ΙΩΑΝΝΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ

ΑΠΑΝΤΑ ΤΑ ΕΡΓΑ

24

Υ Π Ο Μ Ν Η Μ Α

1. ΣΤΗΝ ΠΡΟΣ ΤΙΤΟ ΕΠΙΣΤΟΛΗ
(ΟΜΙΛΙΕΣ Α'–S')

2. ΣΤΗΝ ΠΡΟΣ ΦΙΛΗΜΟΝΑ ΕΠΙΣΤΟΛΗ
(ΟΜΙΛΙΕΣ Α'–Γ')

3. ΣΤΗΝ ΠΡΟΣ ΕΒΡΑΙΟΥΣ ΕΠΙΣΤΟΛΗ
(ΟΜΙΛΙΕΣ Α'–ΙΕ)

ΕΙΣΑΓΩΓΗ
ΚΕΙΜΕΝΟ – ΜΕΤΑΦΡΑΣΗ – ΣΧΟΛΙΑ
Ἀπὸ τὸν

ΣΠΥΡΟ ΜΟΥΣΤΑΚΑ
Θεολόγο – Φιλόλογο

97 ΕΛΛΗΝΕΣ ΠΑΤΕΡΕΣ ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ 97

Ἐπόπτης Ἐκδόσεως

ΠΑΝΑΓΙΩΤΗΣ Κ. ΧΡΗΣΤΟΥ, Καθηγητὴς Πανεπιστημίου

Ἐπιμελητὴς Ἐκδόσεως

ΕΛΕΥΘΕΡΙΟΣ Γ. ΜΕΡΕΤΑΚΗΣ, Πτυχιοῦχος Θεολογίας

Ε Π Ε

ΕΚΔΟΤΙΚΟΣ ΟΙΚΟΣ ΕΛΕΥΘΕΡΙΟΥ ΜΕΡΕΤΑΚΗ
«ΤΟ ΒΥΖΑΝΤΙΟΝ»
ΠΑΤΕΡΙΚΑΙ ΕΚΔΟΣΕΙΣ «ΓΡΗΓΟΡΙΟΣ Ο ΠΑΛΑΜΑΣ»
ΘΕΣΣΑΛΟΝΙΚΗ 1989

ΕΙΣΑΓΩΓΗ

Στὸν παρόντα τόμο δημοσιεύονται τὰ ἑρμηνευτικὰ ὑπομνήματα τοῦ Ἰωάννου Χρυσοστόμου στὶς *Πρὸς Τίτο* καὶ *Πρὸς Φιλήμονα* ἐπιστολὲς τοῦ ἀποστόλου Παύλου, καθὼς καὶ οἱ πρῶτες 15 ὁμιλίες του στὴν *Πρὸς Ἑβραίους*.

Στὶς ἑρμηνευτικὲς ὁμιλίες του ὁ ἱ. Χρυσόστομος ἀποβλέπει στὴν ὠφέλεια τῶν πιστῶν. Γι' αὐτὸ δὲν ἀναλύει μόνο κατὰ τρόπο διεισδυτικὸ τὰ κείμενα τῶν ἐπιστολῶν, ἀλλὰ καὶ μιλάει γιὰ δογματικὰ καὶ ἠθικὰ θέματα, ὡς καὶ γιὰ ζητήματα τῆς καθημερινῆς ζωῆς.

Οἱ ὁμιλίες στὴν *Πρὸς Τίτο* καὶ στὴν *Πρὸς Φιλήμονα* ἐκφωνήθηκαν στὴν Ἀντιόχεια γύρω στὸ 398. Οἱ ὁμιλίες στὴν *Πρὸς Ἑβραίους* ἐκδόθηκαν, ἀπὸ σημειώσεις ταχυγράφων, ἀπὸ τὸν πρεσβύτερο τῆς Ἀντιόχειας Κωνσταντῖνο μετὰ τὸ θάνατο τοῦ Χρυσοστόμου, ἐνῶ εἶχαν ἐκφωνηθεῖ κατὰ τὸ τέλος τῆς ζωῆς του.

Τὸ κείμενο ὅλων τῶν ὁμιλιῶν τοῦ τόμου λαμβάνεται ἀπὸ τὸν 62ο τόμο τῆς Πατρολογίας τοῦ Migne.

Α΄ ΟΜΙΛΙΕΣ ΣΤΗΝ ΠΡΟΣ ΤΙΤΟ ΕΠΙΣΤΟΛΗ

Στὴν Πρὸς Τίτο ἐπιστολὴ ὁ Χρυσόστομος ἀφιερώνει 6 ὁμιλίες.

Α΄ ὁμιλία· ἑρμηνεύει τὸ Τίτ. 1,1–4 καὶ στρέφεται ἐναντίον ἐκείνων ποὺ κατηγοροῦν τοὺς ἐπισκόπους, τονίζοντας πὼς εἶναι μεγάλος ὁ κίνδυνος τοῦ ἐπισκοπικοῦ ἀξιώματος καὶ γι' αὐτὸ ὁ ἐπίσκοπος ἔχει ἀνάγκη ἀπὸ τὴ χάρη καὶ τὴν εἰρήνη τοῦ Θεοῦ.

Β΄ ὁμιλία· ἑρμηνεύει τὸ Τίτ. 1,5–11. Στὴ συνέχεια μιλάει γιὰ τὴν ἀνθρώπινη δόξα καὶ τιμὴ ποὺ ὁδηγοῦν σὲ ἀλαζονεία καὶ ματαιοδοξία, καὶ καλεῖ τοὺς πιστοὺς ν' ἀποφεύγουν τὴν τυραννία τῆς ἀνθρώπινης δόξας καὶ νὰ ἐπιδιώκουν τὴ δόξα ἀπὸ τὸ Θεό.

Γ΄ ὁμιλία· ἑρμηνεύει τὸ Τίτ. 1,12–2,1 καὶ κάνει λόγο γιὰ τὴ

φύση τῶν καθαρῶν καὶ ἀκάθαρτων πραγμάτων. Τὰ πράγματα, λέγει, δὲν εἶναι καθαρὰ ἢ ἀκάθαρτα ἀπὸ τὴ φύση τους, ἀλλὰ γίνονται τέτοια ἀπὸ τὴ διάθεση τῶν ἀνθρώπων.

Δ' ὁμιλία· ἑρμηνεύει τὸ Τίτ. 2,2–10.. Ἔπειτα ἀπευθύνεται στοὺς ὑπηρέτες, σημειώνει τὰ βασικὰ χαρακτηριστικὰ τῆς καλῆς συμπεριφορᾶς, καὶ καλεῖ τοὺς πιστοὺς νὰ ἐπιδιώκουν τὴν ἀρετή.

Ε' ὁμιλία· ἑρμηνεύει τὸ Τίτ. 2,11–3,7 καὶ ἀναλύει τὴν κατάσταση ποὺ ἐπικρατοῦσε στὸν κόσμο πρὶν ἀπὸ τὸν ἐρχομὸ τοῦ Χριστοῦ.

Τέλος, στὴν ΣΤ' ὁμιλία ἑρμηνεύει τὸ Τίτ. 3,8–15. Στὴ συνέχεια μιλώντας γιὰ τὴν ἐλεημοσύνη τὴν ἀποκαλεῖ «μητέρα τῆς ἀγάπης, φάρμακο γιὰ τὰ ἁμαρτήματά μας, σκάλα στηριγμένη στὸν οὐρανό», καὶ καταλήγει καλώντας τοὺς πιστοὺς νὰ ὑποφέρουν τὶς θλίψεις καὶ νὰ μὴ χάνουν τὸ θάρρος τους.

Β' ΟΜΙΛΙΕΣ ΣΤΗΝ ΠΡΟΣ ΦΙΛΗΜΟΝΑ ΕΠΙΣΤΟΛΗ

Στὴν *Πρὸς Φιλήμονα* ἐπιστολὴ ὁ Χρυσόστομος ἀφιερώνει μία σύντομη εἰσαγωγὴ καὶ 3 ὁμιλίες.

Στὴν εἰσαγωγικὴ ὁμιλία ἀναφέρει τὴν ὑπόθεση καὶ τὸ σκοπὸ τῆς ἐπιστολῆς τοῦ Παύλου, δικαιολογεῖ γιατί ὁ Παῦλος ἔγραψε γιὰ ἕνα τόσο ἀσήμαντο πράγμα τὴν ἐπιστολή, καὶ μιλάει γιὰ τὴ θέση τῶν δούλων.

Στὴν Α' ὁμιλία ἑρμηνεύει τοὺς στίχους 1–3 τῆς ἐπιστολῆς καὶ καλεῖ τοὺς πιστοὺς νὰ συγχωροῦν ὅσους τοὺς ἀδικοῦν καὶ τοὺς ἀπατοῦν, καὶ νὰ μὴ μνησικακοῦν.

Στὴ Β' ὁμιλία ἑρμηνεύει τοὺς στίχους 4–16 καὶ μιλάει γιὰ τὸ ἀληθινὸ νόημα τῆς ταπεινοφροσύνης.

Στὴν Γ' ὁμιλία ἑρμηνεύει τοὺς στίχους 17–25 καὶ μιλώντας γιὰ τὴν ἀγαθότητα καὶ τὴ φιλανθρωπία τοῦ Θεοῦ ἀποδεικνύει πῶς ὁ Θεὸς εἶναι ἀγαθὸς καὶ ἀκόμη καὶ ὅταν τιμωρεῖ.

Γ' ΟΜΙΛΙΕΣ ΣΤΗΝ ΠΡΟΣ ΕΒΡΑΙΟΥΣ

Στὴν *Πρὸς Ἑβραίους*, ὅπως προαναφέρθηκε, ὁ ἱερὸς Χρυσόστομος ἀφιέρωσε 34 ὁμιλίες καὶ στὸν τόμο αὐτὸν δημοσιεύονται οἱ 14 πρῶτες ὁμιλίες.

Στὴν εἰσαγωγικὴ ὁμιλία στὴν *Πρὸς Ἑβραίους* ἐπιστολὴ ὁ Χρυσόστομος δικαιολογεῖ γιατί ὁ Παῦλος στάλθηκε ἀπόστολος στὰ ἔθνη καὶ ὁ Πέτρος στοὺς Ἰουδαίους· στὴ συνέχεια λέγει γιατί ὁ Παῦλος γράφει στοὺς Ἑβραίους.

Α΄ ὁμιλία· ἑρμηνεύει τὸ Ἑβρ. 1,1–4. καὶ συνιστᾶ στοὺς πιστοὺς ν' ἀποφεύγουν καὶ τὰ μικρὰ ἀκόμη ἁμαρτήματα· μιλάει ἰδιαίτερα γιὰ τὴν κακολογία καὶ τελειώνει μὲ ἀναφορὰ στὴν ἐλεημοσύνη, τὸ μέγεθος τῆς ὁποίας δὲν κρίνεται ἀπὸ τὸ ποσὸ τῶν χρημάτων ποὺ δίνουν, ἀλλ' ἀπὸ τὴ διάθεση τῶν προσφερόντων αὐτά.

Β΄ ὁμιλία· ἑρμηνεύει τὸ Ἑβρ. 1,3–5 καὶ στρέφεται ἐναντίον τῆς διδασκαλίας τῶν αἱρετικῶν Μαρκέλλου, Φωτεινοῦ, Σαβελλίου, Ἀρείου, Παύλου τοῦ Σαμοσατέα καὶ τοῦ Μαρκίωνα. Ἔπειτα μιλάει γιὰ τὴν ὑπερηφάνεια, ἀναφέρει τὰ κακὰ τοῦ πλούτου καὶ τὰ ἀγαθὰ τῆς φτώχειας καὶ τελειώνει μὲ προτροπὴ πρὸς τοὺς Χριστιανοὺς γιὰ καλὴ χρήση τοῦ πλούτου.

Γ΄ ὁμιλία· ἑρμηνεύει τὸ Ἑβρ. 1,6–2,4 καὶ κάνει λόγο γιὰ τὴν ἀγάπη. Ἡ ἀγάπη, παρατηρεῖ, εἶναι τὸ μεγαλύτερο καὶ τὸ ἀνώτερο ἀπὸ τὰ χαρίσματα ποὺ δίνει ὁ Θεὸς στοὺς ἀνθρώπους· εἶναι τὸ γνώρισμα τοῦ Χριστιανοῦ. Τελειώνει τὴν ὁμιλία καλώντας τοὺς πιστοὺς ν' ἀποκτήσουν τὴν ἀληθινὴ ἀγάπη.

Δ΄ ὁμιλία· ἑρμηνεύει τὸ Ἑβρ. 2, 5–15 καὶ στὴ συνέχεια κατακρίνει μὲ αὐστηρότητα τὶς εἰδωλολατρικὲς συνήθειες κατὰ τὶς κηδεῖες τῶν πιστῶν καὶ συμβουλεύει νὰ ἀνεχόμαστε τὴν ἐπίπληξη καὶ νὰ μὴν ἁμαρτάνουμε.

Ε΄ ὁμιλία· ἑρμηνεύει τὸ Ἑβρ. 2,16–3,6 καὶ τονίζει πὼς στὴν παροῦσα ζωὴ δὲ γίνεται ἀνταπόδοση οὔτε τῆς κακίας οὔτε τῆς ἀρετῆς. Ἡ παροῦσα ζωή, λέγει, εἶναι καιρὸς ἀγώνα καὶ γι' αὐτὸ πρέπει ὁ Χριστιανὸς νὰ προσεύχεται γιὰ νὰ μὴν πέφτει σὲ πειρασμοὺς καὶ νὰ εἶναι πάντοτε, σὰν καλὸς στρατιώτης τοῦ Χριστοῦ, ὁπλισμένος ἐναντίον τῶν παθῶν καὶ τῶν ἐπιθυμιῶν τῆς ἁμαρτίας.

ΣΤ΄ ὁμιλία· ἑρμηνεύει τὸ Ἑβρ. 3,7–4,10. Στὸ β΄ μέρος χαρακτηρίζει πραγματικὴ ἀνάπαυση τὴ βασιλεία τῶν οὐρανῶν, ὅπου τὰ ἀγαθὰ εἶναι ἀτελείωτα καὶ ἀμετάβλητα ἀλλὰ καὶ αὐξάνονται διαρκῶς.

Ζ΄ ὁμιλία· ἑρμηνεύει τὸ Ἑβρ. 4,11–16. Στὴ συνέχεια καλεῖ τοὺς πιστοὺς σὲ συνεχῆ προσπάθεια, γιὰ ἀπόκτηση τῆς ἀρετῆς, στρέφε-

ται ἐναντίον τῶν γερόντων καὶ τῶν νέων, ποὺ γίνονται δοῦλοι τῶν ἐπιθυμιῶν καὶ τῶν ἀπολαύσεων τῆς σάρκας, καὶ συνιστᾶ σὲ ὅλους τὴν ἐγκράτεια. Τελειώνει τὴν ὁμιλία παρατηρώντας πὼς ὁ γάμος δὲν εἶναι ἐμπόδιο γιὰ τὴν ἄσκηση τῆς ἀρετῆς καὶ τὴν εἴσοδο στὴ βασιλεία τῶν οὐρανῶν.

Η' ὁμιλία· ἑρμηνεύει τὸ Ἑβρ. 5,1–15 καὶ καλεῖ τοὺς πιστοὺς νὰ ἐξασκοῦν τὰ αἰσθητήρια ὄργανά τους μὲ τὴ συχνὴ ἀκρόαση τοῦ λόγου τοῦ Θεοῦ καὶ τὴ γνώση τῶν Γραφῶν, καὶ νὰ ἐπιζητοῦν τὰ μελλοντικὰ ἀγαθά.

Θ' ὁμιλία· ἑρμηνεύει τὸ Ἑβρ. 6,1–6 καὶ μιλάει γιὰ τὴ μετάνοια. Τὸ φάρμακο τῆς μετάνοιας, τονίζει, ἔχει μεγάλη δύναμη καὶ παρασκευάζεται ἀπὸ τὴν καταδίκη τῶν ἁμαρτιῶν, τὴν ἐξομολόγησή τους, τὴν ταπεινοφροσύνη, τὴν προσευχή, τὰ δάκρυα καὶ τὴν ἐλεημοσύνη. Τελειώνει προτρέποντας τοὺς πιστοὺς ν' ἀπομακρύνονται ἀπὸ τὰ βιοτικὰ ποὺ δὲν ἀξίζουν τίποτε.

Ι' ὁμιλία· ἑρμηνεύει τὸ Ἑβρ. 6,7–12 καὶ καλεῖ τοὺς πιστοὺς νὰ εὐεργετοῦν χωρὶς διάκριση κάθε ἄνθρωπο.

ΙΑ' ὁμιλία· ἑρμηνεύει τὸ Ἑβρ. 6,13–20· μιλάει γιὰ τὸ νόημα τῆς λογικῆς λατρείας ποὺ πρέπει νὰ προσφέρεται στὸ Θεό, καὶ συνιστᾶ τοὺς πιστοὺς νὰ εἶναι ἐλεήμονες πρὸς ὅλους τοὺς ἀνθρώπους.

ΙΒ' ὁμιλία· ἑρμηνεύει τὸ Ἑβρ. 7,1–10. Τονίζει ὅτι δὲν πρέπει νὰ ὑπερηφανευόμαστε γιὰ τὰ κατορθώματά μας γιατὶ ὅλα ἐξαρτῶνται ἀπὸ τὸ Θεό, καὶ νὰ καθαρίζουμε τὸν ἑαυτό μας ἀπὸ τὶς ἁμαρτίες γιὰ νὰ ἐπιτύχουμε μὲ τὴ βοήθεια τοῦ Θεοῦ τὰ μελλοντικὰ ἀγαθά.

ΙΓ' ὁμιλία· ἑρμηνεύει τὸ Ἑβρ. 7,11–28 καὶ προτρέπει γιὰ ἄσκηση τῆς ἀρετῆς καὶ γιὰ ἄριστη ζωή, ἀφοῦ οἱ ἐντολὲς τοῦ Θεοῦ δὲν εἶναι δύσκολες κι ἐνοχλητικές· ὅλα ἐξαρτῶνται ἀπὸ τὴ θέλησή μας.

ΙΔ' ὁμιλία· ἑρμηνεύει τὸ Ἑβρ. 8, 1–13 καὶ καλεῖ τοὺς πιστοὺς νὰ ξεχνοῦν τὴν κακία καὶ νὰ θυμοῦνται πάντοτε τὸ Θεό. Ἡ ζωὴ εἶναι διαρκὴς ἀγώνας καὶ πόλεμος, καὶ γι' αὐτὸ χρειάζονται τὰ πνευματικὰ ὅπλα· τελειώνει μὲ ἀναφορὰ στὴ δύναμη τῆς προσευχῆς.

ΙΕ' ὁμιλία· ἑρμηνεύει τὸ Ἑβρ. 9, 1–14, παραβάλλει τὴν ἁμαρτία μὲ λοιμώδη νόσο, κατηγορεῖ τοὺς πλεονέκτες καὶ συνιστᾶ ν' ἀποφεύγεται ὁ ἄκαιρος γέλως καὶ νὰ προτιμᾶται τὸ ἑκούσιο πένθος.

Α' ΥΠΟΜΝΗΜΑ

ΣΤΗΝ ΠΡΟΣ ΤΙΤΟ ΕΠΙΣΤΟΛΗ

ΟΜΙΛΙΑ Α'

(Τιτ. 1,1–4)

«Παῦλος, δοῦλος Θεοῦ, ἀπόστολος δὲ Ἰησοῦ Χριστοῦ, κατὰ πίστιν ἐκλεκτῶν Θεοῦ καὶ ἐπίγνωσιν ἀληθείας τῆς κατ' εὐσέβειαν, ἐπ' ἐλπίδι ζωῆς αἰωνίου, ἣν ἐπηγγείλατο ὁ ἀψευδὴς Θεὸς πρὸ χρόνων αἰωνίων, ἐφανέρωσε δὲ και-
5 *ροῖς ἰδίοις τὸν λόγον αὐτοῦ ἐν κηρύγματι, ὃ ἐπιστεύθην ἐγὼ κατ' ἐπιταγὴν τοῦ Σωτῆρος ἡμῶν Θεοῦ, Τίτῳ γνησίῳ τέκνῳ κατὰ κοινὴν πίστιν, χάρις καὶ εἰρήνη ἀπὸ Θεοῦ Πατρὸς καὶ Κυρίου Ἰησοῦ Χριστοῦ τοῦ Σωτῆρος ἡμῶν».*

10 *1. Τῶν Παύλῳ συνόντων δόκιμος οὗτος ἦν· εἰ μὴ γὰρ ἦν δόκιμος, οὐκ ἂν αὐτῷ τὴν νῆσον ὁλόκληρον ἐπέτρεψεν, οὐκ ἂν τὰ ἐλλειφθέντα ἀναπληρῶσαι προσέταξεν· «ἵνα», γάρ, φησί, «τὰ λείποντα ἐπιδιορθώσῃ»· οὐκ ἂν τοσούτων ἐπισκόπων κρίσιν ἐπέτρεψεν, εἰ μὴ σφόδρα ἐθάρρει τἀνδρί. Φασὶ δὲ αὐτὸν καὶ νέον εἶ-*
15 *ναι, διὰ τὸ τέκνον αὐτὸν λέγειν· πλὴν ἀλλ' οὔπω τοῦτο δῆλον ἀπὸ τούτου. Οἶμαι δὲ αὐτοῦ καὶ ἐν ταῖς Πράξεσιν εἶναι μνείαν. Τάχα καὶ Κορίνθιος ἦν, εἰ μή τις ἕτερος ἦν ὁμώνυμος αὐτῷ. Καὶ Ζηνᾶν μὲν καλεῖ πρὸς ἑαυτόν, καὶ Ἀπολλὼ πεμφθῆναι βούλεται, τοῦτον δὲ οὔ· καὶ γὰρ ἐναντίον τοῦ αὐτοκράτορος μείζονα*
20 *τούτοις ἐμαρτύρει τὴν ἀνδρείαν καὶ τὴν ἀρετήν.*

Δοκοῦσι δέ μοι χρόνοι εἶναι μέσοι τινὲς καὶ ἐν ἀδείᾳ Παῦλος ὢν γράφει ταῦτα· οὐδὲν γὰρ περὶ πειρασμῶν φησι, συνεχῶς δὲ περιστρέφει τοῦ Θεοῦ τὴν χάριν καὶ ἄνω καὶ κάτω, ἱκανὴν

---

1. Τίτ. 1,5.
2. Ἡ πληροφορία τοῦ Χρυσοστόμου, ποὺ στηρίζεται στὴ λατινικὴ μετάφραση τῆς Κ.Δ. (Voulgata) τοῦ Πράξεων 18,7, κρίνεται ἀβάσιμη.

ΟΜΙΛΙΑ Α'

(Τίτ. 1,1–4)

«Ὁ Παῦλος, δοῦλος τοῦ Θεοῦ καὶ ἀπόστολος τοῦ Ἰησοῦ Χριστοῦ γιὰ νὰ ὁδηγήσω τοὺς ἐκλεκτοὺς τοῦ Θεοῦ στὴν πίστη καὶ στὴν τέλεια γνώση τῆς σύμφωνης πρὸς τὴν εὐσέβεια ἀλήθειας, καὶ νὰ κηρύξω τὴν ἐλπίδα στὴν αἰώνια ζωή, τὴν ὁποία ὑποσχέθηκε ὁ ἀψευδὴς Θεὸς ἀπὸ πολὺ παλιὰ καὶ στὸν κατάλληλο καιρὸ φανέρωσε τὸ λόγο του μὲ τὸ κήρυγμα, ποὺ μὲ ἐντολὴ τοῦ Σωτήρα μας Θεοῦ ἀνατέθηκε σὲ μένα, πρὸς τὸν Τίτο, γνήσιο τέκνο μου ὡς πρὸς τὴν καινή μας πίστη· χάρη καὶ εἰρήνη ἀπὸ τὸ Θεὸ Πατέρα καὶ τὸν Κύριο Ἰησοῦ Χριστὸ τὸ Σωτήρα μας».

1. Ὁ Τίτος ἦταν ἀπὸ τοὺς δοκιμασμένους μαθητὲς τοῦ Παύλου. Γιατί, ἂν δὲν ἦταν δοκιμασμένος, δὲ θὰ τοῦ ἐμπιστευόταν ὁλόκληρο τὸ νησί, δὲ θὰ τοῦ ἔδινε τὴν ἐντολὴ ν' ἀναπληρώσει τὶς ἐλλείψεις· γιατὶ λέγει· «γιὰ νὰ διορθώσεις τὶς ἐλλείψεις»[1]· δὲ θὰ τοῦ ἀνέθετε τὴν κρίση τόσων ἐπισκόπων, ἂν δὲν τοῦ εἶχε ὑπερβολικὴ ἐμπιστοσύνη. Λένε πὼς ἦταν καὶ νέος, ἐπειδὴ τὸν ἀποκαλεῖ «τέκνο». Ἀλλ' ὅμως τοῦτο δὲ φαίνεται ἀπ' αὐτό. Νομίζω πὼς γίνεται λόγος γι' αὐτὸν καὶ στὶς Πράξεις[2]. Ἴσως ἦταν καὶ Κορίνθιος, ἂν δὲν ἦταν κάποιος ἄλλος συνώνυμος μ' αὐτόν. Καὶ βέβαια καλεῖ κοντά του τὸν Ζηνᾶ καὶ θέλει νὰ σταλεῖ ὁ Ἀπολλώς[3], αὐτὸν ὅμως ὄχι· γιατὶ ἐνώπιον τοῦ αὐτοκράτορα μαρτυροῦσε περισσότερο ἀπ' αὐτοὺς τὴν ἀνδρεία καὶ τὴν ἀρετή.

Μοῦ φαίνεται πὼς εἶναι μιὰ ἐνδιάμεση ἐποχὴ καὶ ὁ Παῦλος τὰ γράφει αὐτὰ βρισκόμενος σὲ ἀσφάλεια. Γιατὶ δὲ λέγει τίποτε γιὰ πειρασμοὺς καὶ συνεχῶς καὶ στὴν ἀρχὴ καὶ στὸ τέλος

---

3. Βλ. Τίτ. 3,13.

οὖσαν παράκλησιν τοῖς πεπιστευκόσι πρὸς ἀρετήν. Τὸ γὰρ μαθεῖν τίνων μὲν ἦσαν ἄξιοι, πρὸς τί δὲ μετέστησαν, καὶ ταῦτα χάριτι, καὶ τίνων ἠξίωνται, οὐ μικρὰ προτροπή. Ἀποτείνεται δὲ καὶ πρὸς Ἰουδαίους. Εἰ δὲ καὶ ὁλόκληρον τὸ ἔθνος ὑβρίζει, μὴ 5 θαυμάσῃς· καὶ ἐπὶ Γαλατῶν γὰρ αὐτὸ ποιεῖ, λέγων· «ὦ ἀνόητοι Γαλάται». Οὐχ ὑβριστικοῦ δὲ τοῦτο ἤθους, ἀλλ' ἐρωτικοῦ. Εἰ μὲν γὰρ τῶν αὐτοῦ ἕνεκεν ταῦτα ἐποίει, εἰκότως τις αὐτῷ ἐπεμέμψατο, εἰ δὲ πεπυρωμένος καὶ ζέων ὑπὲρ τοῦ κηρύγματος, οὐχ ὑβριστικῶς αὐτὸ ἐποίει. Καὶ ὁ Χριστὸς δὲ μυρία ἐλοιδορεῖτο 10 τοῖς γραμματεῦσι καὶ Φαρισαίοις, ἀλλ' οὐχ ἑαυτοῦ ἕνεκεν, ἀλλ' ὅτι τοὺς ἄλλους ἅπαντας ἀπώλλυον.

Βραχεῖαν δὲ ποιεῖ τὴν ἐπιστολήν, εἰκότως. Καὶ τοῦτο δὲ τῆς ἀρετῆς τοῦ Τίτου τεκμήριον ἦν, τὸ μὴ δεῖσθαι λόγων πολλῶν, ἀλλ' ὥσπερ τινὸς ὑπομνήσεως. Αὕτη δέ μοι δοκεῖ τῆς πρὸς 15 Τιμόθεον εἶναι προτέρα ἐπιστολῆς. Ἐκείνην μὲν γὰρ πρὸς τῷ τέλει ἐν δεσμοῖς ὢν ἔγραφεν, ἐνταῦθα δὲ ἄφετος ὢν καὶ λελυμένος· τὸ γάρ, «κέκρικα παραχειμάσαι ἐν Νικοπόλει», τεκμήριον ἦν τοῦ μηδέπω ἐν δεσμοῖς εἶναι· ἐκεῖ δὲ συνεχῶς ἑαυτὸν δέσμιον καλεῖ.

20 *Τί οὖν φησι; «Παῦλος, δοῦλος Θεοῦ, ἀπόστολος δὲ Ἰησοῦ Χριστοῦ, κατὰ πίστιν ἐκλεκτῶν Θεοῦ». Ὁρᾷς πῶς ἀδιαφόρως αὐτὰ τίθησι, ποτὲ μὲν ἑαυτὸν τοῦ Θεοῦ δοῦλον λέγων, τοῦ δὲ Χριστοῦ ἀπόστολον, ποτὲ δὲ τοῦ Χριστοῦ δοῦλον, «Παῦλος δοῦλος Ἰησοῦ Χριστοῦ»; οὕτως οὐδεμίαν οἶδε διαφορὰν μεταξὺ 25 Πατρὸς καὶ Υἱοῦ. «Κατὰ πίστιν ἐκλεκτῶν τοῦ Θεοῦ καὶ ἐπίγνωσιν ἀληθείας τῆς κατ' εὐσέβειαν, ἐπ' ἐλπίδι ζωῆς αἰωνίου». «Κατὰ πίστιν ἐκλεκτῶν Θεοῦ». Ὅτι ἐπίστευσας, ἢ ὅτι ἐπιστεύθης; Οἶμαι αὐτὸν λέγειν, ὅτι αὐτὸς ἐπιστεύθη τοὺς ἐκλεκτοὺς τοῦ*

---

4. Γαλ. 3,1.
5. Τίτ. 3,12.

ἀναφέρει τὴ χάρη τοῦ Θεοῦ, ποὺ εἶναι γιὰ τοὺς πιστοὺς ἀρκετὴ παρηγοριὰ γιὰ παρότρυνση πρὸς τὴν ἀρετή. Γιατὶ τὸ νὰ μάθουν γιὰ ποιά ἦταν ἄξιοι καὶ σὲ τί μεταπήδησαν, καὶ ὅλα αὐτὰ διὰ τῆς χάριτος, καὶ ποιά ἀγαθὰ ἀξιώθηκαν, δὲν εἶναι μικρὴ προτροπή. Ἀπευθύνεται ἀκόμη καὶ στοὺς Ἰουδαίους. Καὶ ἂν καταφέρεται ἐναντίον ὁλοκλήρου τοῦ ἔθνους, μὴν ἀπορεῖς. Γιατὶ καὶ στοὺς Γαλάτες κάνει τὸ ἴδιο λέγοντας· «ἀνόητοι Γαλάτες»[4]. Αὐτὸ δὲν εἶναι γνώρισμα ὑβριστικῆς συμπεριφορᾶς, ἀλλ' ἐκδήλωση ἀγάπης. Γιατί, ἂν τὰ ἔκανε αὐτὰ γι' αὐτὸν τὸν ἴδιο, δίκαια θὰ τὸν κατηγοροῦσε κανείς· ἂν ὅμως τὸ ἔκανε ἀπὸ πάθος καὶ ζῆλο γιὰ τὸ κήρυγμα, δὲν τὸ ἔκανε αὐτὸ μὲ ὑβριστικὴ διάθεση. Καὶ ὁ Χριστὸς ἀπηύθυνε πολλὲς κατηγορίες πρὸς τοὺς γραμματεῖς καὶ Φαρισαίους, ὄχι χάριν τοῦ ἑαυτοῦ του, ἀλλὰ γιατὶ ὁδηγοῦσαν στὴν καταστροφὴ ὅλους τοὺς ἄλλους.

Γράφει σύντομὴ τὴν ἐπιστολή, καὶ σωστά. Καὶ αὐτὸ ἦταν ἀπόδειξη τῆς ἀρετῆς τοῦ Τίτου, τὸ νὰ μὴ χρειάζεται πολλὰ λόγια, ἀλλὰ μόνο κάποια ὑπόμνηση. Αὐτὴ ἡ ἐπιστολὴ μοῦ φαίνεται πὼς εἶναι προγενέστερη ἀπὸ τὴν ἐπιστολὴ πρὸς τὸν Τιμόθεο. Ἐκείνη τὴν ἔγραφε ὅταν πλησίαζε τὸ τέλος του καὶ ἦταν φυλακισμένος, ἐνῶ αὐτὴν τὴν ἔγραφε ὅταν ἦταν ἐλεύθερος καὶ ἔξω ἀπὸ τὴ φυλακή· γιατὶ τό, «ἀποφάσισα νὰ περάσω τὸ χειμώνα στὴ Νικόπολη»[5], ἦταν ἀπόδειξη, ὅτι δὲν ἦταν ἀκόμη στὴ φυλακή, ἐνῶ ἐκεῖ συνέχεια καλεῖ τὸν ἑαυτό του φυλακισμένο.

Τί λέγει λοιπόν; «Ὁ Παῦλος, δοῦλος τοῦ Θεοῦ καὶ ἀπόστολος τοῦ Ἰησοῦ Χριστοῦ γιὰ νὰ ὁδηγήσω στὴν πίστη τοὺς ἐκλεκτοὺς τοῦ Θεοῦ». Βλέπεις πῶς τὰ ἀναφέρει αὐτὰ χωρὶς διάκριση, καὶ ἄλλοτε ὀνομάζει τὸν ἑαυτό του «δοῦλο τοῦ Θεοῦ καὶ ἀπόστολο τοῦ Χριστοῦ», καὶ ἄλλοτε «δοῦλο τοῦ Χριστοῦ», «ὁ Παῦλος, δοῦλος τοῦ Ἰησοῦ Χριστοῦ»; Δὲν ἀναγνωρίζει δηλαδὴ καμμία διαφορὰ ἀνάμεσα στὸν Πατέρα καὶ τὸν Υἱό. «Γιὰ νὰ ὁδηγήσω στὴν πίστη τοὺς ἐκλεκτοὺς τοῦ Θεοῦ καὶ στὴν τέλεια γνώση τῆς σύμφωνης πρὸς τὴν εὐσέβεια ἀλήθειας καὶ νὰ κηρύξω τὴν ἐλπίδα στὴν αἰώνια ζωή». «Γιὰ νὰ ὁδηγήσω στὴν πίστη τοὺς ἐκλεκτοὺς τοῦ Θεοῦ». Ἐπειδὴ ἀνέλαβες ἢ ἐπειδὴ σοῦ ἀνατέθηκε τὸ ἔργο αὐτό; Νομίζω ὅτι αὐτὸς λέγει, πὼς τοῦ ἀνατέθη-

Θεοῦ. Τουτέστιν, οὐκ ἀπὸ κατορθωμάτων, οὐδὲ ἀπὸ πόνων καὶ ἱδρώτων τὸ ἀξίωμα ἔλαβον, ἀλλὰ τὸ πᾶν τῆς τοῦ πιστεύσαντος εὐεργεσίας ἐγένετο. Εἶτα, ἵνα μὴ ἄλογος ἡ χάρις νομισθῇ (οὔτε γὰρ τὸ πᾶν αὐτοῦ· ἐπεί, διὰ τί μὴ καὶ ἑτέροις ἐνεπίστευσε;), διὰ 5 τοῦτο ἐπήγαγε τό, «καὶ ἐπίγνωσις ἀληθείας τῆς κατ' εὐσέβειαν». Ἀπὸ ταύτης, φησίν, ἐπιστεύθην, μᾶλλον δὲ καὶ τοῦτο ἐπιστεύθην ἐκ τῆς αὐτοῦ χάριτος· καὶ γὰρ καὶ τούτου αὐτὸς αἴτιος.

Διὰ τοῦτο γὰρ καὶ αὐτὸς ὁ Χριστός φησιν, «οὐχ ὑμεῖς με ἐξελέξασθε, ἀλλ' ἐγὼ ὑμᾶς ἐξελεξάμην»· καὶ πάλι αὐτὸς οὗτος ὁ 10 μακάριος ἑτέρωθι γράφων φησίν· «ἐπιγνώσομαι, καθὼς καὶ ἐπεγνώσθην»· καὶ πάλιν, «εἰ καταλάβω, ἐφ' ᾧ καὶ κατελήφθην ὑπὸ τοῦ Χριστοῦ Ἰησοῦ». Πρότερον κατελήφθημεν, καὶ ὕστερον ἐπέγνωμεν· πρότερον ἐπεγνώσθημεν, καὶ τότε κατελάβομεν· πρότερον ἐκλήθημεν, καὶ τότε ὑπηκούσαμεν. Τῷ δέ, «κατὰ πί- 15 στιν», εἰπεῖν τὸ πᾶν ἐκείνοις λογίζεται, ὅτι δι' ἐκείνους εἰμὶ ἀπόστολος, οὐχὶ ὡς ἄξιος, ἀλλὰ διὰ τοὺς ἐκλεκτούς· ὅπερ καὶ ἀλλαχοῦ λέγει· «πάντα γὰρ ὑμῶν ἐστιν, εἴτε Παῦλος, εἴτε Ἀπολλῶς». «Καὶ ἐπίγνωσιν», φησίν, «ἀληθείας τῆς κατ' εὐσέβειαν». Ἔστι γὰρ ἀλήθεια πραγμάτων, ἀλλ' οὐ κατ' εὐσέβειαν· οἷον τὸ εἰδέναι 20 τὰ γεωργικά, τὸ εἰδέναι τέχνας, ἀληθῶς ἐστιν εἰδέναι· ἀλλ' αὕτη κατ' εὐσέβειαν ἀλήθεια. Ἢ τό, «κατὰ πίστιν», ὅτι ἐπίστευσαν καθάπερ οἱ λοιποὶ ἐκλεκτοί, καὶ ἐπέγνωσαν τὴν ἀλήθειαν. Ἀπὸ πίστεως ἄρα ἡ ἐπίγνωσις, οὐκ ἀπὸ λογισμῶν.

«Ἐπ' ἐλπίδι ζωῆς αἰωνίου». Εἶπε τὴν παροῦσαν τὴν ἐν τῇ 25 χάριτι τοῦ Θεοῦ· λέγει καὶ τὴν μέλλουσαν, καὶ ἔπαθλα τίθησιν ἡμῖν ὑπὲρ ὧν ἡμᾶς εὐηργέτησεν. Ἐπειδὴ γὰρ ἐπιστεύσαμεν καὶ ἀπηλλάγημεν τῆς πλάνης, στεφανοῦν ἡμᾶς βούλεται. Ὅρα πῶς γέμει τὸ προοίμιον τῶν εὐεργεσιῶν τοῦ Θεοῦ· καὶ ὅλη διόλης ἡ

---

6. Ἰω. 15,16. 7. Α' Κορ. 13,12.
8. Φιλιπ. 3,12. 9. Α' Κορ. 3,22.

καν οἱ ἐκλεκτοὶ τοῦ Θεοῦ. Δηλαδή, δὲν ἔλαβα τὸ ἀξίωμα ἀπὸ κατορθώματα οὔτε ἀπὸ κόπους καὶ ἱδρῶτες, ἀλλ' ὅλα ἔγιναν ἀπὸ τὴν εὐεργεσία ἐκείνου ποὺ μοῦ ἐμπιστεύθηκε αὐτό. Ἔπειτα, γιὰ νὰ μὴ θεωρηθεῖ παράλογη ἡ χάρη (γιατὶ δὲν ὀφειλόταν τὸ πᾶν στὸ Θεό· ἂν δηλαδὴ ὀφειλόταν γιὰ ποιό λόγο δὲν τὸ ἐμπιστεύθηκε καὶ σὲ ἄλλους;), γι' αὐτὸ πρόσθεσε τό, «καὶ στὴν τέλεια γνώση τῆς σύμφωνης πρὸς τὴν εὐσέβεια ἀλήθειας». Ἀπ' αὐτή, λέγει, μοῦ τὸ ἐμπιστεύθηκε, ἢ καλύτερα καὶ αὐτὸ μοῦ συνέβηκε ἀπὸ τὴ δική του χάρη· γιατὶ καὶ γι' αὐτὸ αἴτιος εἶναι ὁ Θεός.

Γι' αὐτὸ καὶ ὁ ἴδιος ὁ Χριστὸς λέγει· «δὲ μὲ διαλέξατε ἐσεῖς, ἀλλ' ἐγὼ σᾶς διάλεξα»[6]. Καὶ πάλι αὐτὸς ὁ μακάριος Παῦλος γράφοντας ἀλλοῦ λέγει· «θὰ τὸν γνωρίσω πολὺ καλά, ὅπως καὶ ὁ Θεὸς μὲ ἔχει γνωρίσει»[7]· καὶ πάλι, «ἀγωνίζομαι μήπως κάνω δικό μου ἐκεῖνο, γιὰ τὸ ὁποῖο ἤδη μὲ ἔκανε δικό του ὁ Ἰησοῦς Χριστός»[8]. Πρῶτα γίναμε δικοί του, καὶ ὕστερα γνωρίσαμε καλὰ αὐτόν· πρῶτα μᾶς γνώρισε καλὰ ὁ Θεός, καὶ ὕστερα κερδίσαμε τὸ βραβεῖο τῆς κλήσης του· πρῶτα κληθήκαμε καὶ ὕστερα ὑπακούσαμε. Μὲ τὸ νὰ πεῖ, «γιὰ νὰ ὁδηγήσω στὴν πίστη», ἀποδίδει τὰ πάντα σ' ἐκείνους, ὅτι δηλαδὴ ἐξαιτίας ἐκείνων εἶμαι ἀπόστολος, ὄχι ὡς ἄξιος, ἀλλὰ ἐξαιτίας τῶν ἐκλεκτῶν, πράγμα ποὺ καὶ ἀλλοῦ λέγει· «ὅλα εἶναι δικά σας καὶ ὁ Παῦλος καὶ ὁ Ἀπολλώς»[9]. «Καὶ στὴν τέλεια γνώση», λέγει, «τῆς ἀλήθειας ποὺ εἶναι σύμφωνη μὲ τὴν εὐσέβεια». Γιατὶ ὑπάρχει ἀλήθεια πραγμάτων, ποὺ δὲν εἶναι σύμφωνη μὲ τὴν εὐσέβεια· ὅπως ἡ γνώση τῶν γεωργικῶν πραγμάτων, ἡ γνώση τῶν τεχνῶν εἶναι ἀληθινὰ γνώση· αὐτὴ ὅμως ἡ ἀλήθεια εἶναι σύμφωνη μὲ τὴν εὐσέβεια. Ἢ τό, «νὰ τοὺς ὁδηγήσω στὴν πίστη», σημαίνει ὅτι πίστεψαν ὅπως οἱ ἄλλοι ἐκλεκτοὶ καὶ γνώρισαν καλὰ τὴν ἀλήθεια. Ἑπομένως ἡ γνώση προέρχεται ἀπὸ τὴν πίστη καὶ ὄχι ἀπὸ τοὺς λογισμούς.

«Καὶ νὰ κηρύξω τὴν ἐλπίδα στὴν αἰώνια ζωή». Μίλησε γιὰ τὴν παρούσα ζωὴ ποὺ βρίσκεται μέσα στὴ χάρη τοῦ Θεοῦ· μιλάει καὶ γιὰ τὴ μέλλουσα καὶ ἀναφέρει τὰ βραβεῖα γιὰ χάρη τῶν ὁποίων μᾶς εὐεργέτησε. Ἐπειδὴ δηλαδὴ πιστέψαμε καὶ ἀπομακρυνθήκαμε ἀπὸ τὴν πλάνη, θέλει νὰ μᾶς στεφανώσει. Πρόσεχε

ἐπιστολὴ αὕτη μάλιστα τοιαύτη τυγχάνει, καὶ αὐτὸν τὸν ἅγιον ἐκεῖνον διανιστῶσα μᾶλλον πρὸς τοὺς πόνους καὶ τοὺς μαθητευομένους. Οὐδὲν γὰρ οὕτως ἡμᾶς ὠφελεῖ, ὡς τὸ συνεχῶς μεμνῆσθαι τῶν εὐεργεσιῶν τοῦ Θεοῦ, τῶν τε κοινῇ καὶ τῶν ἰδίᾳ. Εἰ 5 γὰρ φίλου εὐεργεσίας ἀνενεγκόντες, ἢ ρῆμα προσηνὲς ἀκούσαντες ἢ πρᾶγμα, διαθερμαινόμεθα, πολλῷ μᾶλλον ὅταν ἴδωμεν πόσοις κινδύνοις περιεπέσομεν, καὶ ἀπὸ πάντων ἡμᾶς ἐξείλετο ὁ Θεός, προθυμότεροι πρὸς τὴν ὑπακοὴν ἐσόμεθα.

«Καὶ ἐπίγνωσιν», φησίν, «ἀληθείας». Ἀλήθειαν δὲ ἐνταῦ- 10 θα πρὸς τὸν τύπον οὕτως εἶπε. Καὶ γὰρ καὶ ἐκείνη ἐπίγνωσις ἦν, καὶ εὐσέβεια ἦν, ἀλλ' οὐκ ἀληθείας, οὐ μὴν οὐδὲ ψεύδους, ἀλλὰ τύπων καὶ εἰκόνος. Καλῶς εἶπεν, «ἐπ' ἐλπίδι ζωῆς αἰωνίου», ὅτι ἐκείνη ἐπ' ἐλπίδι ἦν ζωῆς τῆς παρούσης· «ὁ γὰρ ποιήσας αὐτά», φησί, «ζήσεται ἐν αὐτοῖς». Ὁρᾷς πῶς ἐκ προοιμίων ἤδη 15 δείκνυται τῆς χάριτος τὸ μέσον; Ἐκεῖνοι οὐκ ἐκλεκτοί, ἀλλ' ἡμεῖς· εἰ γὰρ καὶ αὐτοὶ ἐλέγοντο ἐκλεκτοί, ἀλλ' οὐκέτι. «Ἣν ἐπηγγείλατο», φησίν, «ὁ ἀψευδὴς Θεὸς πρὸ χρόνων αἰωνίων». Τουτέστιν, οὐ νῦν ἐκ μετανοίας, ἀλλ' ἄνωθεν ταῦτα προώριστο. Πολλαχοῦ τοῦτο τίθησι, ὡς ὅταν λέγῃ, «ἀφωρισμένος εἰς τὸ 20 εὐαγγέλιον τοῦ Θεοῦ»· καὶ πάλιν, «οὓς προέγνω καὶ προώρισε»· δεικνὺς τὴν εὐγένειαν τὴν ἡμετέραν, ὅτι ἡμᾶς οὐ νῦν, ἀλλ' ἄνωθεν ἠγάπησεν. Οὐ μικρὸν δὲ τοῦτο τὸ ἄνωθεν ἠγαπῆσθαι καὶ ἐξ ἀρχῆς.

2. «Ἣν ἐπηγγείλατο», φησίν, «ὁ ἀψευδὴς Θεός». Εἰ ἀψευδής, 25 πάντως ἔσται ὃ ἐπηγγείλατο· εἰ ἀψευδής, οὐ δεῖ ἀμφιβάλλειν, κἂν μετὰ θάνατον ᾖ. «Ἣν ἐπηγγείλατο», φησίν, «ὁ ἀψευδὴς Θεὸς πρὸ χρόνων αἰωνίων». Καὶ ἀπὸ τοῦ εἰπεῖν, «πρὸ χρόνων αἰωνίων», τὸ ἀξιόπιστον δείκνυσιν. Οὐκ ἐπειδὴ Ἰουδαῖοι νῦν οὐ προσῆλθον, φησί, διὰ τοῦτο ταῦτα, ἀλλ' οὕτως ἄνωθεν ἐτετύ- 30 πωτο. Ἄκουε γοῦν τί φησιν· «ἐφανέρωσε δὲ καιροῖς ἰδίοις». Τίς

---

10. Λευϊτ. 18,5 καὶ Ρωμ. 10,5. 11. Ρωμ. 1,1 καὶ 8,29.

πῶς τὸ προοίμιο εἶναι γεμάτο ἀπὸ τὶς εὐεργεσίες τοῦ Θεοῦ. Καὶ ὅλη ἡ ἐπιστολὴ αὐτή, ἀπὸ τὴν ἀρχὴ μέχρι τὸ τέλος, εἶναι τέτοια, παροτρύνοντας καὶ τὸν ἅγιο ἐκεῖνον περισσότερο πρὸς τοὺς κόπους, καὶ τοὺς μαθητές του. Γιατὶ τίποτε δὲ μᾶς ὠφελεῖ τόσο, ὅσο τὸ νὰ θυμούμαστε συνέχεια τὶς εὐεργεσίες τοῦ Θεοῦ, καὶ αὐτὲς ποὺ ἔκανε σὲ ὅλους καὶ αὐτὲς ποὺ κάνει στὸν καθένα μας χωριστά. Γιατί, ἂν διεγειρόμαστε, ὅταν φέρουμε στὸ νοῦ μας τὶς εὐεργεσίες φίλου ἢ ἀκούσουμε κάποιον εὐχάριστο λόγο ἢ πράγμα, πολὺ περισσότερο θὰ γίνουμε προθυμότεροι πρὸς ὑπακοή, ὅταν ἀναλογισθοῦμε σὲ πόσους κινδύνους πέσαμε καὶ ὅτι ἀπὸ ὅλους αὐτοὺς μᾶς ἔσωσε ὁ Θεός.

«Καὶ στὴν τέλεια γνώση», λέγει, «τῆς ἀλήθειας». Ὀνόμασε αὐτὴν ἀλήθεια πρὸς διάκριση ἀπὸ τὸν τύπο. Γιατὶ καὶ ἐκείνη ἦταν τέλεια γνώση καὶ εὐσέβεια, ὄχι ὅμως τῆς ἀλήθειας, οὔτε βέβαια καὶ τοῦ ψεύδους, ἀλλὰ τῶν τύπων καὶ τῆς εἰκόνας. Σωστὰ εἶπε, «στὴν ἐλπίδα τῆς αἰώνιας ζωῆς», γιατὶ αὐτὴ ἦταν ἡ ἐλπίδα τῆς παρούσας ζωῆς· γιατὶ λέγει, «ὅποιος ἐφαρμόσει τὶς ἐντολές, θὰ βρεῖ σ' αὐτὲς τὴ ζωή»[10]. Βλέπεις πῶς ἀπὸ τὴν ἀρχὴ ἤδη δείχνει τὴ διαφορὰ τῆς χάριτος ἀπὸ τὸν τύπο; Ἐκεῖνοι δὲν εἶναι ἐκλεκτοί, ἀλλὰ ἐμεῖς· ἂν καὶ λέγονταν δηλαδὴ καὶ ἐκεῖνοι ἐκλεκτοί, δὲ λέγονται ὅμως πιά. «Τὴν ὁποία ὑποσχέθηκε ὁ ἀψευδὴς Θεὸς πρὶν ἀπὸ πολλὰ χρόνια». Δηλαδὴ αὐτὰ δὲν συνέβηκαν τώρα ἀπὸ τὴ μετάνοια, ἀλλὰ προορίσθηκαν ἀπὸ τὴν ἀρχή. Σὲ πολλὰ σημεῖα τὸ ἀναφέρει αὐτό, ὅπως ὅταν λέγει, «ξεχωρισμένος γιὰ τὸ Εὐαγγέλιο τοῦ Θεοῦ»· καὶ πάλι, «ἐκείνους ποὺ γνώρισε ἀπὸ πρίν, αὐτοὺς καὶ προόρισε»[11], δείχνοντας τὴ δική μας εὐγένεια, ὅτι δὲ μᾶς ἀγάπησε τώρα, ἀλλὰ ἀπὸ τὴν ἀρχή. Καὶ δὲν εἶναι μικρὸ πράγμα τὸ νὰ μᾶς ἀγαπήσει ἀπὸ πρὶν καὶ ἀπὸ τὴν ἀρχή.

2. «Τὴν ὁποία», λέγει, «ὑποσχέθηκε ὁ ἀψευδὴς Θεός». Ἂν εἶναι ἀψευδής, θὰ πραγματοποιηθεῖ ὁπωσδήποτε αὐτὸ ποὺ ὑποσχέθηκε. Ἂν εἶναι ἀψευδής, δὲν πρέπει νὰ ἀμφιβάλλει κανείς, ἔστω καὶ ἂν πραγματοποιηθεῖ μετὰ τὸ θάνατό του. «Τὴν ὁποία», λέγει, «ὑποσχέθηκε ὁ ἀψευδὴς Θεὸς πρὶν ἀπὸ πολλὰ χρόνια». Καὶ μὲ τὸ νὰ πεῖ, «πρὶν ἀπὸ πολλὰ χρόνια», δείχνει τὸ ἀξιόπιστο. Ὄχι, λέγει, γιατὶ δὲν προσῆλθαν τώρα οἱ Ἰουδαῖοι, γι' αὐτὸ συ-

οὖν ἡ ἀναβολή; Κηδεμονίας χάριν καὶ τοῦ εὐκαίρως ποιῆσαι· «καιρός», φησὶν ὁ προφήτης, «τοῦ ποιῆσαι τῷ Κυρίῳ». Τὸ γὰρ «ἰδίοις», τοῦτό ἐστι, τοῖς προσήκουσι, τοῖς ὀφειλομένοις, τοῖς ἁρμόζουσιν. «Ἐφανέρωσε», φησί, «καιροῖς ἰδίοις τὸν λόγον αὐ-
5 *τοῦ ἐν κηρύγματι, ὃ ἐπιστεύθην ἐγώ· τουτέστι, τὸ κήρυγμα. Τοῦτο γὰρ τὰ πάντα εἶχε, τὸ εὐαγγέλιον, καὶ τὰ ἐνταῦθα καὶ μέλλοντα, τὴν ζωήν, τὴν εὐσέβειαν, τὴν πίστιν, πάντα ὁμοῦ.*

«Ἐν κηρύγματι»· τουτέστι, φανερῶς, μετὰ παρρησίας· τοῦτο γάρ ἐστι τό, «ἐν κηρύγματι». Ὥσπερ γὰρ ὁ κῆρυξ πάντων
10 *παρόντων ἐν τῷ θεάτρῳ κηρύττει, οὕτω καὶ ἡμεῖς κηρύττομεν, ὥστε μηδὲν προσθεῖναι, ἀλλ' αὐτὰ ἃ ἠκούσαμεν εἰπεῖν. Ἡ γὰρ τοῦ κήρυκος ἀρετὴ ἐν τῷ πᾶσιν εἰπεῖν ἐστι τὸ γεγονός, οὐκ ἐν τῷ προσθεῖναί τινα καὶ ἀφελεῖν. Εἰ τοίνυν κηρύττειν δεῖ, μετὰ παρρησίας κηρύττειν δεῖ· ἐπεὶ οὐδὲ κηρύττειν ἐστί. Διὰ τοῦτο οὐδὲ*
15 *εἶπεν ὁ Χριστός, «εἴπατε ἐπὶ τῶν δωμάτων», ἀλλά, «κηρύξατε ἐπὶ τῶν δωμάτων», καὶ ἀπὸ τοῦ τόπου, καὶ ἀπὸ τοῦ τρόπου τὸ γεγονὸς παριστῶν.*

«Ὃ ἐπιστεύθην ἐγὼ κατ' ἐπιταγὴν τοῦ Σωτῆρος ἡμῶν Θεοῦ». Καὶ τό, «ἐπιστεύθην», καὶ τό, «κατ' ἐπιταγήν», τὸ ἀξιό-
20 *πιστον δείκνυσιν· ὥστε μηδένα ἀναξιοπαθεῖν, μηδὲ ἀκκίζεσθαι, μηδὲ δυσχεραίνειν. Εἰ τοίνυν ἐπιταγή ἐστι, οὔκ εἰμι κύριος· ἐπίταγμα γὰρ πληρῶ. Τῶν γὰρ πρακτέων τὰ μὲν ἐφ' ἡμῖν κεῖται, τὰ δὲ οὐκ ἐφ' ἡμῖν· ἃ μὲν γὰρ ἐπιτάττων λέγει, ταῦτα οὐκ ἐφ' ἡμῖν· ἅπερ δὲ ἐπιτρέπων, ταῦτα ἐφ' ἡμῖν τυγχάνει. Οἷον τό, «ἐάν τις*
25 *εἴπῃ τῷ ἀδελφῷ αὐτοῦ, μωρέ, ἔνοχος ἔσται εἰς τὴν γέενναν τοῦ πυρός», τοῦτο ἐπίταγμα· καὶ τό, «ὅταν προσφέρῃς τὸ δῶρόν σου ἐπὶ τὸ θυσιαστήριον, καὶ γνῷς ὅτι ὁ ἀδελφός σου ἔχει τι κατὰ σοῦ, ἄφες ἐκεῖ τὸ δῶρόν σου ἔμπροσθεν τοῦ θυσιαστηρίου, καὶ*

---

12. Ψαλμ. 118,126.
13. Ματθ. 10,27.
14. Ματθ. 5,22.

νέβηκαν αὐτά, ἀλλ' ἔτσι ἔχουν προδιατυπωθεῖ ἀπὸ τὴν ἀρχή. Ἄκου δηλαδὴ τί λέγει· «καὶ τὸ φανέρωσε σὲ ὁρισμένο χρόνο». Γιὰ ποιό λόγο λοιπὸν ἔγινε ἡ ἀναβολή; Ἐξαιτίας τῆς φροντίδας του γιὰ τοὺς ἀνθρώπους καὶ γιὰ νὰ τὸ κάνει στὸν κατάλληλο καιρό. «Ἔφθασε», λέγει ὁ προφήτης, «γιὰ τὸν Κύριο ὁ καιρὸς νὰ ἐνεργήσει»[12]. Γιατὶ τὸ «ἰδίοις», αὐτὸ σημαίνει, τὸν προσήκοντα, τὸν ὀφειλόμενο, τὸν κατάλληλο. «Φανέρωσε», λέγει, «στὸν κατάλληλο καιρὸ τὸ λόγο του μὲ τὸ κήρυγμα, ποὺ ἀνατέθηκε σὲ μένα»· δηλαδή, τὸ κήρυγμα. Γιατὶ αὐτὸ τὰ περιεῖχε ὅλα· τὸ εὐαγγέλιο, καὶ τὰ παρόντα καὶ τὰ μελλοντικά, τὴ ζωή, τὴν εὐσέβεια, τὴν πίστη, ὅλα μαζί.

«Μὲ τὸ κήρυγμα». Δηλαδή, φανερά, μὲ παρρησία· γιατὶ αὐτὸ σημαίνει τό, «μὲ τὸ κήρυγμα». Ὅπως δηλαδὴ ὁ κήρυκας κηρύττει ἐνώπιον ὅλων τῶν θεατῶν στὸ θέατρο, ἔτσι καὶ ἐμεῖς κηρύττουμε, ὥστε νὰ μὴν προσθέτουμε τίποτε, ἀλλὰ λέμε ἐκεῖνα ποὺ ἀκούσαμε. Γιατὶ ἡ ἀρετὴ τοῦ κήρυκα βρίσκεται στὸ ὅτι καθιστᾶ γνωστὸ τὸ γεγονὸς ἐνώπιον ὅλων καὶ ὄχι στὸ νὰ προσθέτει κάτι καὶ νὰ ἀφαιρεῖ. Ἂν λοιπὸν πρέπει νὰ κηρύττει κανείς, πρέπει νὰ κηρύττει μὲ παρρησία· διαφορετικὰ δὲν ὑπάρχει κήρυγμα. Γι' αὐτὸ δὲν εἶπε ὁ Χριστός, «μιλῆστε ἀπὸ τοὺς ἐξῶστες», ἀλλά, «κηρύξτε ἀπὸ τοὺς ἐξῶστες»[13], παριστάνοντας τὸ πράγμα καὶ ἀπὸ τὸν τόπο καὶ ἀπὸ τὸν τρόπο.

«Τὸ ὁποῖο μὲ ἐντολὴ τοῦ Σωτήρα μας Θεοῦ ἀνατέθηκε σὲ μένα». Καὶ τό, «ἀνατέθηκε», καὶ τό, «μὲ ἐντολή», δείχνει τὸ ἀξιόπιστο. Ἐπομένως κανεὶς δὲν πρέπει ν' ἀγανακτεῖ ἢ ν' ἀδιαφορεῖ ἢ νὰ δυσανασχετεῖ. Ἂν λοιπὸν εἶναι ἐντολή, δὲν γίνεται μὲ δική μου ἐξουσία· γιατὶ ἐκπληρώνω ἐντολή. Ἀπὸ αὐτὰ δηλαδὴ ποὺ πρέπει νὰ πράττουμε ἄλλα ἐξαρτῶνται ἀπὸ μᾶς καὶ ἄλλα ὄχι· αὐτὰ λοιπὸν ποὺ προστάζει νὰ λέμε δὲν ἐξαρτῶνται ἀπὸ μᾶς, ἐνῶ αὐτὰ ποὺ ἐπιτρέπει νὰ τὰ λέμε ἐμεῖς, ἐξαρτῶνται ἀπὸ μᾶς. Γιὰ παράδειγμα τό, «ὅποιος πεῖ τὸν ἀδελφό του 'μωρέ', πρέπει νὰ παραδοθεῖ στὴ φωτιὰ τῆς κόλασης»[14], εἶναι προσταγή· καὶ τό, «ὅταν προσφέρεις τὸ δῶρο σου στὸ θυσιαστήριο καὶ θυμηθεῖς ὅτι ὁ ἀδελφός σου ἔχει κάτι ἐναντίον σου, ἄφησε τὸ δῶρο σου ἐκεῖ μπροστὰ στὸ θυσιαστήριο, καὶ πήγαινε πρῶτα νὰ συμφυ-

ἀπελθὼν διαλλάγηθι τῷ ἀδελφῷ σου, καὶ τότε ἐλθὼν πρόσφερε τὸ δῶρόν σου»· καὶ τοῦτο ἐπίταγμα, καὶ τὸν μὴ ποιήσαντα ἀνάγκη ὑπεύθυνον εἶναι κολάσει.

Ὅταν δὲ λέγῃ, «ἐὰν θέλῃς τέλειος εἶναι, πώλησόν σου τὰ 5 *ὑπάρχοντα»· καὶ πάλιν, «ὁ δυνάμενος χωρεῖν, χωρείτω», οὐκέτι ἐπίταγμά ἐστι· τὸν γὰρ ἀκροατὴν ποιεῖ κύριον τῶν λεχθέντων, καὶ τὴν αἵρεσιν αὐτῷ δίδωσι τῶν πρακτέων. Ταῦτα μὲν γὰρ καὶ ποιῆσαι, καὶ μὴ ποιῆσαι ἐφ' ἡμῖν· τὰ δὲ ἐπιτάγματα οὐκ ἐφ' ἡμῖν, ἀλλ' ἀνάγκη ἢ ποιῆσαι, ἢ μὴ ποιήσαντα κολασθῆναι. Τοῦτο οὖν* 10 *λέγει καὶ ὅταν λέγῃ, «ἀνάγκη γάρ μοι ἐπίκειται· οὐαὶ γάρ μοί ἐστιν, ἐὰν μὴ εὐαγγελίσωμαι». Σαφέστερον δὲ ἐρῶ αὐτό, ἵνα πᾶσι κατάδηλον γένηται. Οἷον, ὁ τὴν ἀρχὴν τῆς Ἐκκλησίας ἐμπεπιστευμένος καὶ τῇ τῆς ἐπισκοπῆς ἀξίᾳ τετιμημένος, ἂν μὴ διαγορεύῃ τῷ λαῷ τὰ πρακτέα, οὐκ ἀνεύθυνός ἐστιν· ὁ μέντοι* 15 *λαϊκὸς οὐδεμίαν ἀνάγκην ἔχει τούτου. Διὰ τοῦτό φησι καὶ ὁ Παῦλος, ὅτι «κατ' ἐπιταγὴν τοῦ Σωτῆρος ἡμῶν» τοῦτο ποιῶ. Καὶ ὅρα τὰ ἐπίθετα πῶς πρὸς ὃ εἶπον ἁρμόζει. Ἀνωτέρω γὰρ εἰπών, «ὁ ἀψευδὴς Θεός», ἐνταῦθά φησι, «κατ' ἐπιταγὴν τοῦ Σωτῆρος ἡμῶν Θεοῦ». Εἰ τοίνυν Σωτήρ ἐστι, καὶ αὐτὸς ταῦτα ἐπέταξεν* 20 *ἀπὸ τοῦ βούλεσθαι σώζεσθαι, οὐ τοίνυν φιλαρχίας τὸ πρᾶγμά ἐστι· πίστις γάρ ἐστι, καὶ ἐπιταγή ἐστι Θεοῦ Σωτῆρος.*

«Τίτῳ γνησίῳ τέκνῳ». Ἔστι γὰρ καὶ μὴ γνήσια εἶναι τέκνα, ὡς ἐκεῖνος περὶ οὗ φησιν· «ἐάν τις ἀδελφὸς ὀνομαζόμενος ᾖ πόρνος, ἢ πλεονέκτης, ἢ εἰδωλολάτρης, ἢ λοίδορος, ἢ μέθυσος, 25 *τῷ τοιούτῳ μηδὲ συνεσθίειν». Ἰδοὺ καὶ τέκνον, καὶ οὐκ ἔστι γνήσιον τέκνον· τέκνον μέν ἐστιν, ἐπειδὴ ἅπαξ ἐδέξατο τὴν χάριν καὶ ἀνεγεννήθη, οὐ γνήσιον δέ, ἐπειδὴ ἀνάξιον τοῦ πατρός ἐστιν, ἐπειδὴ πρὸς ἕτερον αὐτομολεῖ τύραννον. Ἐπὶ μὲν γὰρ τῶν φυσικῶν παίδων τὸ γνήσιον καὶ μὴ γνήσιον ἀπὸ τῆς ὠδινούσης καὶ*

---

15. Ματθ. 5,23–24. 16. Ματθ. 19,21. 17. Ματθ. 19,12.
18. Α' Κορ. 9,16. 19. Α' Κορ. 5,11.

λιωθεῖς μὲ τὸν ἀδελφό σου, καὶ τότε ἔλα νὰ προσφέρεις τὸ δῶρο σου»[15], εἶναι προσταγὴ καὶ ὅποιος δὲν τὴν ἐκτελέσει, πρέπει ὁπωσδήποτε νὰ τιμωρηθεῖ.

῞Οταν ὅμως λέγει, «ἂν θέλεις νὰ εἶσαι τέλειος, πούλησε τὰ ὑπάρχοντά σου»[16], καὶ πάλι, «ὅποιος μπορεῖ νὰ τὸ δεχθεῖ, ἂς τὸ δεχθεῖ»[17], δὲν εἶναι προσταγή. Γιατὶ ἀφήνει τὴν ἐξουσία γιὰ τὰ ὅσα λέγει στὸν ἀκροατὴ καὶ παραχωρεῖ σ' αὐτὸν τὴν ἐκλογὴ γιὰ ὅσα πρέπει νὰ πράξει. Τὸ νὰ τὰ πράξουμε δηλαδὴ αὐτὰ ἢ νὰ μὴ τὰ πράξουμε ἐξαρτῶνται ἀπὸ μᾶς, ἐνῶ οἱ ἐντολὲς δὲν ἐξαρτῶνται ἀπὸ μᾶς, ἀλλὰ πρέπει ἢ νὰ τὶς ἐκτελέσει κανείς, ἢ ἂν δὲν τὶς ἐκτελέσει νὰ τιμωρηθεῖ. Αὐτὸ λοιπὸν ἐννοεῖ καὶ ὅταν λέγει, «μοῦ ἐπιβάλλεται ἀναγκαστικὰ νὰ τὸ κάνω· γιατὶ ἀλλοίμονό μου ἂν δὲν κηρύξω τὸ εὐαγγέλιο»[18]. Θὰ τὸ πῶ ὅμως σαφέστερα αὐτὸ γιὰ νὰ γίνει φανερὸ σ' ὅλους. Δηλαδή, ἐκεῖνος ποὺ ἔχει ἀναλάβει τὴν ἐξουσία τῆς Ἐκκλησίας καὶ ἔχει τιμηθεῖ μὲ τὸ ἀξίωμα τοῦ ἐπισκόπου, ἂν δὲν κηρύττει στὸ λαὸ αὐτὰ ποὺ πρέπει νὰ πράττει, εἶναι ἔνοχος. Ὁ λαϊκὸς ὅμως δὲν ἔχει καμμιὰ ὑποχρέωση γι' αὐτό. Γι' αὐτὸ λέγει ὁ Παῦλος, ὅτι τὸ κάνω αὐτὸ «κατ' ἐντολὴ τοῦ Σωτήρα μας». Καὶ πρόσεχε πῶς εἶναι σύμφωνα τὰ ὅσα λέγει μὲ αὐτὰ ποὺ εἶπα. Ἀφοῦ εἶπε δηλαδὴ παραπάνω, «ὁ ἀψευδὴς Θεός», ἐδῶ λέγει, «μὲ ἐντολὴ τοῦ Σωτήρα μας Θεοῦ». Ἂν λοιπὸν εἶναι Σωτήρας, καὶ αὐτὸς τὰ πρόσταξε αὐτὰ ἀπὸ τὴν ἐπιθυμία του γιὰ σωτηρία μας, ἑπομένως τὸ πράγμα δὲν εἶναι ἀπόδειξη φιλαρχίας· γιατὶ εἶναι πίστη καὶ προσταγὴ τοῦ Σωτήρα Θεοῦ.

«Πρὸς τὸν Τίτο, γνήσιο τέκνο μου». Γιατὶ εἶναι δυνατὸ νὰ ὑπάρχουν καὶ μὴ γνήσια τέκνα, ὅπως ἐκεῖνος γιὰ τὸν ὁποῖο λέγει· «ἂν κάποιος, ποὺ ἐνῶ ὀνομάζεται ἀδελφός, εἶναι πόρνος ἢ πλεονέκτης ἢ εἰδωλολάτρης ἢ ὑβριστὴς ἢ μέθυσος, μ' αὐτὸν οὔτε νὰ συντρώγετε»[19]. Νὰ καὶ τέκνο εἶναι, καὶ γνήσιο τέκνο δὲν εἶναι· εἶναι τέκνο, ἐπειδὴ μιὰ φορὰ ἔλαβε τὴ χάρη καὶ ἀναγεννήθηκε· δὲν εἶναι ὅμως γνήσιο, ἐπειδὴ εἶναι ἀνάξιο τοῦ πατέρα του, ἐπειδὴ αὐτομολεῖ πρὸς ἄλλον τύραννο. Στὴν περίπτωση τῶν φυσικῶν παιδιῶν τὸ γνήσιο καὶ μὴ γνήσιο ὁρίζεται ἀπὸ τὴ μητέρα καὶ τὸν πατέρα του. Ἐδῶ ὅμως δὲ συμβαίνει τὸ ἴδιο, ἀλλὰ ὁρίζεται ἀπὸ τὴν προαίρεσή του. Γιατὶ εἶναι δυνατὸ νὰ γεννηθεῖ

τοῦ σπείροντος ὁρίζεται, ἐνταῦθα δὲ οὐχ οὕτως, ἀλλ' ἀπὸ τῆς προαιρέσεως. Ἔστι γὰρ γνήσιον γενόμενον μὴ μεῖναι γνήσιον· ἔστιν οὐκ ὂν γνήσιον γενέσθαι γνήσιον· οὐ γὰρ ἀνάγκῃ φύσεως ταῦτα κατακέκλεισται, ἀλλ' ἐξουσίᾳ προαιρέσεως· ὅθεν καὶ συν-
5 *εχεῖς ἔχει τὰς μεταβάσεις. Ἦν Ὀνήσιμος τέκνον γνήσιον, ἀλλὰ καὶ οὐ γνήσιον ἦν· καὶ γὰρ ἄχρηστος ἐγένετο· ἀλλὰ πάλιν ἐγένετο γνήσιον οὕτως, ὡς καὶ αὐτὸν «σπλάγχνα» καλεῖσθαι ἀποστολικά.*

«Τίτῳ γνησίῳ τέκνῳ κατὰ κοινὴν πίστιν». Τί ἐστι, «κατὰ κοινὴν πίστιν»; Ἐπειδὴ εἶπε, «τέκνον», καὶ τὴν τοῦ πατρὸς αὐ-
10 *τοῦ ἔλαβε τάξιν, πῶς καὶ ταύτην τὴν τιμὴν ἐλαττοῖ καὶ καταστέλλει, ἄκουσον. «Κατὰ κοινὴν γὰρ πίστιν» ἐπήγαγε· τουτέστι, κατὰ πίστιν οὐδὲν ἔχω σου πλέον· κοινὴ γάρ ἐστι, καὶ διὰ τῆς αὐτῆς ἐγώ τε ἐτέχθην καὶ σύ. «Τέκνον» οὖν πόθεν αὐτὸν καλεῖ; Ἤτοι τὴν φιλοστοργίαν μόνον δηλῶσαι θέλων, ἢ τὸ πρότερον*
15 *εἶναι ἐν τῷ κηρύγματι, ἢ τὸ δι' αὐτοῦ πεφωτίσθαι. Διὰ τοῦτο καὶ τέκνα καὶ ἀδελφοὺς καλεῖ· ἐπειδὴ ἀπὸ τῆς αὐτῆς πίστεως ἐτέχθησαν, ἀδελφοί· ἐπειδὴ διὰ τῶν ἐκείνου χειρῶν, τέκνα. Τῷ οὖν «κατὰ κοινὴν» εἰπεῖν «πίστιν», τὴν ἀδελφότητα ἠνίξατο. «Χάρις καὶ εἰρήνη ἀπὸ Θεοῦ Πατρὸς καὶ Κυρίου Ἰησοῦ Χριστοῦ τοῦ*
20 *Σωτῆρος ἡμῶν».*

3. Ἐπειδὴ εἶπε, «τέκνον», ἐπήγαγεν, «ἀπὸ Θεοῦ Πατρός», ὥστε ἀναστῆσαι αὐτοῦ τὴν διάνοιαν, καὶ μαθεῖν τίνος ἐστὶ τέκνον, καὶ ὅτι οὐ τῷ «κοινὴν πίστιν» εἰπεῖν μόνον, ἀλλὰ καὶ τῷ ἐπαγαγεῖν, «Πατρὸς ἡμῶν», τὸ ὁμότιμον αὐτοῦ δείκνυσιν. Ὅρα
25 *δὲ πῶς ἃ τοῖς μαθηταῖς καὶ τοῖς πολλοῖς ἐπεύχεται, ταῦτα καὶ τῷ διδασκάλῳ· ὁμοίως γὰρ καὶ αὐτὸς δεῖται τῶν τοιούτων εὐχῶν, καὶ πολλῷ μᾶλλον ἢ ἐκεῖνοι, ὅσῳ καὶ πλείονας ἔχθρας ἔχει, ὅσῳ καὶ πλείονας ἀνάγκας τοῦ προσκρούειν τῷ Θεῷ. Ὅσῳ γὰρ μέγα τὸ ἀξίωμα, τοσούτῳ μείζους καὶ οἱ κίνδυνοι τῷ τὴν ἱερω-*
30 *σύνην ἔχοντι· ἀρκεῖ γὰρ καὶ ἓν κατόρθωμα ἐπισκοπῆς ἀνενεγ-*

---

20. Βλ. Φιλ. στ. 12. Ὀνήσιμος· δραπέτης δοῦλος τοῦ πλούσιου Χριστιανοῦ τῶν Κολοσσῶν Φιλήμονα. Ἔγινε Χριστιανὸς ἀπὸ τὸν Παῦλο στὴ φυλακή. Ἐπιστρέφοντας ὡς Χριστιανὸς στὸ σπίτι τοῦ Φιλήμονα μεταφέρει τὴν ὁμώνυμη ἐπιστολὴ τοῦ Παύλου.

γνήσιο καὶ νὰ μὴ μείνει γνήσιο· καὶ εἶναι δυνατὸ χωρὶς νὰ εἶναι γνήσιο νὰ γίνει γνήσιο. Γιατὶ αὐτὰ δὲν καθορίζονται ἀπὸ τὴν ἀνάγκη τῆς φύσης, ἀλλὰ ἀπὸ τὴ δύναμη τῆς προαίρεσης· γι' αὐτὸ καὶ συνεχῶς μεταλλάσσουν. Ὁ Ὀνήσιμος ἦταν γνήσιο τέκνο, ἦταν ὅμως καὶ μὴ γνήσιο, γιατὶ πραγματικὰ ἔγινε ἄχρηστος· ἀλλὰ πάλι ἔγινε τόσο πολὺ γνήσιο, ὥστε νὰ ὀνομάζεται καὶ σπλάχνα τοῦ ἀποστόλου[20].

«Πρὸς τὸν Τίτο, γνήσιο τέκνο μου, ὡς πρὸς τὴν κοινή μας πίστη». Τί σημαίνει, «ὡς πρὸς τὴν κοινή μας πίστη»; Ἐπειδὴ τὸν ὀνόμασε «τέκνο» καὶ πῆρε τὴ θέση τοῦ πατέρα του, ἄκουσε πῶς μειώνει καὶ πῶς περιορίζει καὶ αὐτὴν τὴν τιμή. Γιατὶ πρόσθεσε, «ὡς πρὸς τὴν κοινή μας πίστη». Δηλαδή, ὡς πρὸς τὴν πίστη δὲν ἔχω τίποτε περισσότερο ἀπὸ σένα, γιατὶ αὐτὴ εἶναι κοινὴ καὶ μὲ τὴν ἴδια πίστη γεννήθηκα καὶ ἐγὼ καὶ σύ. Γιὰ ποιό λόγο λοιπὸν τὸν ὀνομάζει «τέκνο του»; Ἢ γιατί θέλει νὰ δηλώσει μόνο τὴ φιλοστοργία του, ἢ γιατὶ ἦταν προηγουμένως στὸ κήρυγμα, ἢ ἐπειδὴ ἐκεῖνος εἶχε βαπτισθεῖ ἀπ' αὐτόν. Γι' αὐτὸ τοὺς ὀνομάζει καὶ «τέκνα» καὶ «ἀδελφούς»· ἀδελφοί, ἐπειδὴ γεννήθηκαν ἀπὸ τὴν ἴδια πίστη· τέκνα, ἐπειδὴ γεννήθηκαν μὲ τὰ χέρια ἐκείνου. Μὲ τὸ νὰ πεῖ λοιπόν, «ὡς πρὸς τὴν κοινὴ πίστη», ὑπαινίχθηκε τὸ ὅτι εἶναι ἀδελφοί. «Χάρη καὶ εἰρήνη νὰ σοῦ παρέχεται ἀπὸ τὸ Θεὸ Πατέρα καὶ τὸν Κύριο Ἰησοῦ Χριστὸ τὸ Σωτήρα μας».

3. Ἐπειδὴ εἶπε, «τέκνο μου», πρόσθεσε, «ἀπὸ τὸ Θεὸ Πατέρα», γιὰ νὰ ἐνθαρρύνει τὴν ψυχή του καὶ νὰ μάθει τίνος εἶναι τέκνο, καὶ ὅτι ὄχι μὲ τὸ νὰ πεῖ μόνο «ὡς πρὸς τὴν κοινὴ πίστη», ἀλλὰ καὶ μὲ τὸ νὰ προσθέσει «ἀπὸ τὸν Πατέρα μας», δείχνει τὴν ἰσοτιμία του. Καὶ πρόσεχε πῶς ἐκεῖνα ποὺ εὔχεται στοὺς μαθητὲς καὶ στοὺς πολλούς, αὐτὰ εὔχεται καὶ στὸ διδάσκαλο. Γιατὶ τὸ ἴδιο καὶ αὐτὸς ἔχει ἀνάγκη ἀπ' αὐτὲς τὶς εὐχές, καὶ τόσο πολὺ περισσότερο ἀπὸ ἐκείνους, ὅσο καὶ περισσότερες ἔχθρες ἔχει, καθὼς καὶ περισσότερες ἀνάγκες γιὰ σύγκρουση μὲ τὸ Θεό. Γιατὶ ὅσο μεγάλο εἶναι τὸ ἀξίωμα, τόσο μεγαλύτεροι καὶ οἱ κίνδυνοι γιὰ τὸν ἱερωμένο. Ἀρκεῖ καὶ ἕνα μόνο κατόρθωμα τοῦ ἐπισκό-

κεῖν εἰς τὸν οὐρανόν, καὶ ἓν ἁμάρτημα εἰς αὐτὴν ἐμβαλεῖν τὴν γέενναν.

Ἵνα γὰρ τὰ ἄλλα πάντα παρῶ τὰ καθ' ἑκάστην ἡμέραν συμπίπτοντα, ἂν τύχῃ ποτέ τινα ἢ διὰ φιλίαν ἢ δι' ἄλλην τινὰ αἰ-
5 *τίαν ἀνάξιον εἰς ἐπισκοπὴν παραγαγών, καὶ πόλεως ἐπιτρέψας μεγάλης ἀρχήν, ὅρα πόσου πυρὸς ἑαυτὸν καθίστησιν ἔνοχον. Οὐ γὰρ τῶν ψυχῶν τῶν ἀπολλυμένων μόνον (ἀπόλλυσι γὰρ αὐτὰς ἀνευλαβὴς ὤν), ἀλλὰ καὶ πάντων τῶν ὑπ' ἐκείνου πραττομένων αὐτὸς δώσει τὰς εὐθύνας. Ὁ γὰρ ἐν τάξει ἰδιώτου ὢν ἀνευλαβής,*
10 *πολλῷ μᾶλλον, ὅταν ἐπιλάβηται τῆς ἀρχῆς· ἀγαπητὸν γὰρ τὸν εὐλαβῆ μεῖναι τοιοῦτον ἐπιλαβόμενον τῆς ἀρχῆς. Καὶ γὰρ κενοδοξία τότε σφοδρότερον ἐπιτίθεται, καὶ χρημάτων ἔρως, καὶ αὐθάδεια, τῆς ἀρχῆς τὴν ἐξουσίαν παρεχούσης, καὶ προσκρούσματα καὶ ὕβρεις καὶ λοιδορίαι καὶ μυρία ἕτερα. Ἂν οὖν τις ἀνευλα-*
15 *βὴς ᾖ, μᾶλλον ἔσται ἀνελαβέστερος τοιοῦτος γενόμενος. Ὅταν οὖν τοιοῦτον ἐπιστήσῃ ἄρχοντα, πάντων τῶν ἁμαρτανομένων ὑπ' ἐκείνου, καὶ δήμων ὁλοκλήρων ὑπεύθυνος ἔσται.*

Εἰ δὲ ὁ μίαν ψυχὴν σκανδαλίζων, «συμφέρει αὐτῷ ἵνα μύλος ὀνικὸς κρεμασθῇ εἰς τὸν τράχηλον αὐτοῦ καὶ καταποντισθῇ
20 *ἐν τῷ πελάγει τῆς θαλάσσης», ὁ τὰς τοσαύτας ψυχὰς σκανδαλίζων, πόλεις ὁλοκλήρους καὶ δήμους καὶ μυρίας ψυχάς, ἄνδρας, γυναῖκας, παῖδας, πολίτας, γεωργούς, τοὺς ἐν αὐτῇ τῇ πόλει, τοὺς ἐν ἑτέραις ταῖς ὑπ' ἐκείνην τὴν πόλιν, τί ὑποστήσεται; Κἂν γὰρ τριπλασίονα ἑτέραν εἴπῃς, οὐδὲν ἐρεῖς· τοσαύτης ἔσται ὑπεύ-*
25 *θυνος κολάσεως καὶ τιμωρίας. Ὥστε μάλιστα οὗτος δεῖται τῆς χάριτος τοῦ Θεοῦ καὶ τῆς εἰρήνης· ἂν γὰρ μὴ μετὰ ταύτης κυβερνᾷ τὸν λαόν, πάντα οἴχεται καὶ ἀπόλωλε, τῶν οἰάκων αὐτῷ οὐκ ὄντων. Κἂν γὰρ ἔμπειρος ᾖ τῆς κυβερνητικῆς, ἂν μὴ τοὺς*

---

21. Ὁ ὅρος ἐπίσκοπος ἐναλάσσεται συνήθως στὴν Κ.Δ. μὲ τὸν ὅρο πρεσβύτερος καὶ δηλώνει ὑπεύθυνο ἀξιωματοῦχο τῆς Ἐκκλησίας μὲ διοικητικά, λατρευτικὰ καὶ ποιμαντικὰ καθήκοντα.

22. Ματθ. 18,6.

που[21] νὰ τὸν ἀνεβάσει στὸν οὐρανό, καὶ ἕνα ἁμάρτημα νὰ τὸν ρίξει στὴν κόλαση.

Γιὰ ν' ἀφήσω δηλαδὴ κατὰ μέρος ὅλα τὰ ἄλλα ποὺ συμβαίνουν κάθε ἡμέρα, ἂν συμβεῖ ποτὲ νὰ τοποθετήσει ἢ ἀπὸ φιλία ἢ ἀπὸ κάποιαν ἄλλη αἰτία ἕναν ἀνάξιο σὲ ἐκκλησιαστικὸ ἀξίωμα καὶ νὰ τοῦ ἀναθέσει τὴν ἐξουσία μιᾶς μεγάλης πόλης, πρόσεχε γιὰ πόση φωτιὰ καθιστᾶ τὸν ἑαυτό του ἔνοχο. Πράγματι θὰ δώσει λόγο ὄχι μόνο γιὰ τὶς ψυχὲς ποὺ χάνονται (γιατὶ τὶς καταστρέφει αὐτὸς ἐπειδὴ εἶναι ἀσεβής), ἀλλὰ καὶ γιὰ ὅλες τὶς πράξεις του. Ἐκεῖνος δηλαδὴ ποὺ ἦταν ἀσεβὴς ὡς ἰδιώτης, θὰ εἶναι πολὺ περισσότερο ὅταν καταλάβει τὴν ἐξουσία· ἐπιθυμητὸ ὅμως εἶναι νὰ παραμείνει ὁ εὐλαβὴς τέτοιος ὅταν ἀναλάβει τὸ ἀξίωμα. Πραγματικὰ καὶ ἡ κενοδοξία ἐπιτίθεται τότε σφοδρότερα καὶ ἡ ἐπιθυμία τῶν χρημάτων καὶ ἡ αὐθάδεια, γιατὶ ἡ ἐξουσία παρέχει αὐτὴ τὴ δυνατότητα, καὶ προσκόμματα καὶ ὕβρεις καὶ βλασφημίες καὶ ἄπειρα ἄλλα. Ἂν λοιπὸν κάποιος εἶναι ἀσεβής, θὰ γίνει περισσότερο ἀσεβέστερος ὅταν ἀναλάβει τέτοιο ἀξίωμα. Ὅταν λοιπὸν τοποθετήσει ἕναν τέτοιο ἄρχοντα, θὰ εἶναι ὑπεύθυνος γιὰ ὅλα τὰ ἁμαρτήματά του, ἀλλὰ καὶ γιὰ ὁλόκληρα πλήθη λαοῦ.

Ἂν ἐκεῖνος ποὺ σκανδαλίζει μία ψυχή, «εἶναι προτιμότερο γι' αὐτὸν νὰ κρεμάσει μυλόπετρα στὸ λαιμό του καὶ νὰ καταποντισθεῖ στὰ βάθη τῆς θάλασσας»[22], τί θὰ ὑποστεῖ ἐκεῖνος ποὺ σκανδαλίζει τόσες ψυχές, πόλεις ὁλόκληρες καὶ λαοὺς καὶ ἄπειρες ψυχές, ἄνδρες, γυναῖκες, παιδιά, κατοίκους πόλεων, γεωργούς, τοὺς κατοίκους τῆς πόλης ἐκείνης, τοὺς κατοίκους τῶν ἄλλων πόλεων ποὺ βρίσκονται ὑπὸ τὴν ἐξουσία ἐκείνης; Γιατί, καὶ ἂν ἀκόμη ἀναφέρεις κάποιαν ἄλλη τριπλάσια ποινή, δὲ θὰ πεῖς τίποτε· γιὰ τόσο μεγάλη ποινὴ καὶ τιμωρία θὰ εἶναι ἔνοχος. Ἑπομένως αὐτὸς πιὸ πολὺ χρειάζεται τὴ χάρη καὶ τὴν εἰρήνη τοῦ Θεοῦ. Γιατί, ἂν δὲν κυβερνᾶ τὸ λαὸ μ' αὐτή, ὅλα θὰ χαθοῦν καὶ θὰ καταστραφοῦν, ἀφοῦ τὸ πηδάλιο δὲν θὰ βρίσκεται σ' αὐτόν. Καὶ ἂν ἀκόμη εἶναι γνώστης τῆς κυβερνητικῆς τέχνης, ἂν δὲν ἔχει αὐτὸ τὸ πηδάλιο, δηλαδὴ τὴ χάρη καὶ τὴν εἰρήνη ποὺ δίνει ὁ

οἴακας τούτους ἔχῃ, τὴν χάριν καὶ τὴν εἰρήνην τὴν παρὰ τοῦ Θεοῦ, καταδύσει τὸ σκάφος καὶ τοὺς ἐμπλέοντας. Ὅθεν, ἔμοιγε θαυμάζειν ἔπεισι τοὺς ἐφιεμένους ὄγκου τοσούτου.

Ἄθλιε ἄνθρωπε καὶ ταλαίπωρε, οὐχ ὁρᾷς τίνος ἐφίεσαι; 5 *Κατὰ σαυτὸν ἂν ᾖς καὶ ἀγνὼς καὶ ἄσημος, κἂν μυρία ἁμάρτῃς, ἀλλὰ μιᾶς ψυχῆς δώσεις λόγον, καὶ ταύτης εὐθύνας ὑφέξεις μόνον· ὅταν δὲ εἰς τὴν ἄρχὴν ταύτην ἀχθῇς, ἐννόησον ὅσων κεφαλῶν ὑπεύθυνος εἶ τιμωρίας. Ἄκουε γὰρ Παύλου λέγοντος· «πείθεσθε τοῖς ἡγουμένοις ὑμῶν καὶ ὑπείκετε, ὅτι αὐτοὶ ἀγρυπνοῦσιν* 10 *ὑπὲρ τῶν ψυχῶν ὑμῶν, ὡς λόγον δώσοντες». Ἀλλὰ τιμῆς ἐφίεσαι καὶ ἀρχῆς; Καὶ τίς ἡ ἡδονὴ ταύτης τῆς τιμῆς; οὐ γὰρ δὴ οὐδὲ τοῦτο ὁρῶ· οὐ γὰρ ἔστι δυνατὸν ἄρχοντα εἶναι ἀληθῶς. Πῶς; Ὅτι ἐν τῇ ἐξουσίᾳ κεῖται τῶν ἀρχομένων τὸ ὑπακούειν. Καὶ εἴ τις ἀκριβῶς ἐξετάσειε τὸ πρᾶγμα, οὐκ ἐπὶ ἀρχὴν ἔρχεται ὁ τοιοῦ-* 15 *τος, ἀλλὰ δουλεύει μυρίοις δεσπόταις ἐναντία καὶ ἐπιθυμοῦσι καὶ λέγουσιν. Ὅπερ γὰρ ἐγκωμιάζει εἷς, μέμφεται ἕτερος· ὅπερ ψέγει οὗτος, θαυμάζει ἄλλος. Τίνος οὖν ἀκοῦσαι χρή, τίνι πεισθῆναι; Οὐκ ἔστι. Καὶ ὁ μὲν ἀργυρώνητος, κἂν ἐναντία ὁ δεσπότης αὐτῷ προστάξῃ, καὶ δυσχεραίνει· σὺ δέ, ἂν τοσούτων δεσποτῶν* 20 *ἐναντία ἐπιταττόντων ἀλγήσῃς, καὶ τούτου δίδως δίκην, τὰ πάντων ἐπὶ σὲ στόματα ἀνοίγων. Τοῦτο οὖν, εἰπέ μοι, τιμή; τοῦτο ἀρχή; τοῦτο ἐξουσία;*

4. Εἶπεν ὁ τὴν ἐπισκοπὴν ἔχων, εἰσενεγκεῖν χρήματα· ἂν μὴ θέλῃ, οὐ μόνον οὐκ εἰσήνεγκεν, ἀλλὰ καὶ ὑπὲρ τοῦ μὴ δόξαι ῥᾳ- 25 *θυμίας ἕνεκεν τοῦτο ποιεῖν, κατηγορεῖ τοῦ κελεύσαντος· κλέπτει, φησίν, ἁρπάζει, καταπίνει τὰ τῶν πενήτων, κατεσθίει τὰ τῶν πτωχῶν. Παῦσαι λοιδορῶν· μέχρι τίνος ταῦτα φῄς; Οὐ βούλει εἰσενεγκεῖν; οὐδεὶς ὁ καταναγκάζων, οὐδεὶς ὁ βιαζόμενος· τί καὶ λοιδορῇ τῷ παραινοῦντι καὶ συμβουλεύοντι; Ἀλλ' εἰς χρείαν* 30 *τις κατέστη, καὶ οὐκ ὤρεξε χεῖρα μὴ δυνηθείς, ἢ καὶ ἑτέρωθι*

---

23. Ἑβρ. 13,17.

Θεός, θὰ καταποντίσει τὸ σκάφος καὶ ὅσους ταξιδεύουν μ' αὐτό. Γι' αὐτὸ ἐγὼ φθάνω στὸ νὰ θαυμάζω ἐκείνους ποὺ ἐπιθυμοῦν ἕνα τόσο ὑψηλὸ ἀξίωμα.

Ἄθλιε ἄνθρωπε καὶ ταλαίπωρε, δὲ βλέπεις τί πράγμα ἐπιθυμεῖς; Ἂν εἶσαι μόνος σου καὶ ἄγνωστος καὶ ἄσημος, ἔστω καὶ ἂν διαπράξεις ἄπειρα ἁμαρτήματα, θὰ δώσεις λόγο γιὰ μιὰ ψυχὴ καὶ γι' αὐτὴν θὰ ὑποστεῖς τὴν τιμωρία μόνο· ὅταν ὅμως ἀνεβεῖς σ' αὐτὴ τὴν ἐξουσία, σκέψου γιὰ πόσους ἀνθρώπους θὰ τιμωρηθεῖς. Ἄκου τὸν Παῦλο ποὺ λέγει· «νὰ ὑπακοῦτε καὶ νὰ ὑποτάσσεστε στοὺς προϊσταμένους σας, γιατὶ αὐτοὶ ἀγρυπνοῦν γιὰ τὶς ψυχές σας, ἐπειδὴ θὰ δώσουν λόγο στὸ Θεό»[23]. Μήπως ὅμως ἐπιθυμεῖς τιμὴ καὶ ἐξουσία; Καὶ ποιά ἡ εὐχαρίστηση ἀπὸ αὐτὴ τὴν τιμή; Γιατὶ πραγματικὰ οὔτε αὐτὸ βλέπω· ὅτι δηλαδὴ δὲν εἶναι δυνατὸ νὰ εἶναι ἀληθινὰ ἄρχοντας. Πῶς; Γιατὶ στὴν ἐξουσία τῶν ἀρχομένων ἀνήκει ἡ ὑπακοή. Καὶ ἂν κανεὶς ἤθελε ἐξετάσει ἀκριβῶς τὸ πράγμα, δὲν ἔρχεται ἕνας τέτοιος στὸ ν' ἀσκήσει ἐξουσία, ἀλλὰ στὸ νὰ ὑπηρετεῖ ἄπειρους κυρίους ποὺ ἐπιθυμοῦν καὶ λέγουν τὰ ἀντίθετα. Γιατὶ ὅ,τι ἐγκωμιάζει ὁ ἕνας, τὸ κατηγορεῖ ὁ ἄλλος· ὅ,τι ψέγει αὐτός, τὸ θαυμάζει ὁ ἄλλος. Ποιόν λοιπὸν πρέπει ν' ἀκούσει, σὲ ποιόν νὰ πεισθεῖ; Δὲν εἶναι δυνατὸ σὲ κανένα. Καὶ ὁ δοῦλος, ἂν ὁ κύριος τοῦ προστάξει ἀντίθετα, δυσανασχετεῖ, ἐσὺ ὅμως, ἂν λυπηθεῖς ὅταν τόσο πολλοὶ κύριοι προστάζουν ἀντίθετα, θὰ τιμωρηθεῖς καὶ γι' αὐτό, ἐπειδὴ ἀνοίγεις τὰ στόματα ὅλων ἐναντίον σου. Αὐτὸ λοιπόν, πές μου, εἶναι τιμή; αὐτὸ εἶναι ἀρχηγία; αὐτὸ ἐξουσία;

4. Εἶπε ὁ ἐπίσκοπος νὰ προσφέρουν χρήματα. Ἂν κανεὶς δὲ θέλει ὄχι μόνο δὲν προσφέρει, ἀλλὰ καὶ γιὰ νὰ μὴ φανεῖ, ὅτι τὸ κάνει αὐτὸ ἀπὸ ἀδιαφορία, κατηγορεῖ αὐτὸν ποὺ ἔδωσε τὴν ἐντολή. 'Κλέβει', λέγει, 'ἁρπάζει, καταπίνει τὰ πράγματα τῶν φτωχῶν, κατατρώγει τὶς περιουσίες τῶν φτωχῶν'. Σταμάτησε τὶς κατηγορίες. Μέχρι πότε θὰ τὰ λὲς αὐτά; Δὲ θέλεις νὰ προσφέρεις χρήματα; Κανεὶς δὲ σ' ἀναγκάζει, κανεὶς δὲ σὲ πιέζει· γιατί κατηγορεῖς αὐτὸν ποὺ παραινεῖ καὶ συμβουλεύει; Ὅμως βρέθηκε κάποιος σὲ ἀνάγκη, καὶ ἐκεῖνος δὲ βοήθησε ἢ γιατὶ δὲν

ἀσχοληθείς. Οὐδεμία συγγνώμη, ἀλλὰ πάλιν κατηγορίαι χείρους τῶν προτέρων. Τοῦτο γοῦν ἀρχή; Καὶ ἀμύνασθαι οὐκ ἔχει· σπλάγχνα γάρ ἐστιν ἴδια. Καὶ ὥσπερ τὸ σπλάγχνον, κἂν οἰδαίνῃ, κἂν πόνον παρέχῃ καὶ τῇ κεφαλῇ καὶ τῷ λοιπῷ σώματι, οὐ τολ-
5 μῶμεν ἀμύνασθαι (οὐ γὰρ λαβόντες ξίφος διαρρηγνύομεν), οὕτω κἂν τῶν ἀρχομένων τις τοιοῦτος ᾖ, πόνους ἡμῖν παρέχων καὶ ἀθυμίας ἐκ τῶν κατηγοριῶν τούτων, οὐ τολμῶμεν ἀμύνασθαι· πόρρω γὰρ ταῦτα πατρικῆς διανοίας, ἀλλ' ἀνάγκη φέρειν τὸν πόνον, ἕως ἂν ἐκεῖνος ὑγιάνῃ καλῶς.

10 Ὁ ἀργυρώνητος οἰκέτης ἔχει τι ἔργον ἐπιτεταγμένον, κἂν τοῦτο ἀνύσῃ, λοιπὸν ἑαυτοῦ κύριος γίνεται· οὗτος δὲ πανταχοῦ περιέλκεται, πολλὰ καὶ τῶν ὑπὲρ δύναμιν ἀπαιτεῖται· ἂν μὴ εἰδῇ λέγειν, πολὺς ὁ γογγυσμός· ἂν δὲ εἰδῇ λέγειν, πάλιν κατηγορίαι, κενόδοξός ἐστιν· ἂν μὴ νεκροὺς ἀνιστᾷ, οὐδενὸς λόγου ἄξιος,
15 φησίν· ὁ δεῖνα εὐλαβής ἐστιν, οὗτος δὲ οὔ. Ἂν ἀπολαύῃ συμμέτρου τροφῆς, πάλιν κατηγορίαι· ἔδει αὐτὸν ἀπηγχονίσθαι, φησίν· ἂν λουόμενον ἴδῃ τις, πολλαὶ κατηγορίαι· ὅλως οὐδὲ τὸν ἥλιον ὁρᾷν ὀφείλει, φησίν. Εἰ δὲ τὰ αὐτὰ πράττει, ἅπερ ἐγώ, καὶ λούεται καὶ ἐσθίει καὶ πίνει καὶ ἱμάτια περιβέβληται, καὶ οἰκίας
20 φροντίζει καὶ οἰκετῶν, τίνος ἕνεκεν ἐμοῦ προέστηκεν;

Ἀλλὰ καὶ οἰκέτας ἔχει, φησί, τοὺς διακονουμένους αὐτῷ, καὶ ἐπὶ ὄνου ὀχεῖται· τίνος οὖν ἕνεκεν ἐμοῦ προέστηκεν; Ἀλλὰ τί, εἰπέ μοι, οὐκ ὀφείλει τὸν διακονούμενον ἔχειν, ἀλλ' αὐτὸς τὸ πῦρ ἀνακαίειν, καὶ ὑδροφορεῖν, καὶ ξύλα διακλᾶν, καὶ εἰς ἀγορὰν ἐμ-
25 βάλλειν; καὶ πόση τοῦτο αἰσχύνη γίνεται; Καὶ οἱ μὲν ἅγιοι ἐκεῖνοι ἄνδρες οἱ ἀπόστολοι, τὸν τῷ λόγῳ προσκαρτεροῦντα οὐδὲ διακονίᾳ χηρῶν βούλονται προσανέχειν, ἀλλ' ἀνάξιον αὐτοῦ τὸ πρᾶγμα εἶναι νομίζουσι· σὺ δὲ αὐτὸν καὶ εἰς τὴν οἰκετῶν ὑπηρε-

μπόρεσε ἢ γιατὶ ἀσχολήθηκε μὲ κάτι ἄλλο. Δὲν ὑπάρχει καμμιὰ συγγνώμη, ἀλλὰ πάλι οἱ κατηγορίες εἶναι χειρότερες ἀπὸ τὶς προηγούμενες. Αὐτὸ λοιπὸν εἶναι ἐξουσία; Καὶ δὲν μπορεῖ νὰ τιμωρήσει, γιατὶ εἶναι σπλάχνα δικά του. Καὶ ὅπως τὰ σπλάχνα, ὅταν ἐξογκώνονται ἢ προκαλοῦν πόνο καὶ στὸ κεφάλι καὶ στὸ ὑπόλοιπο σῶμα, δὲν τολμοῦμε νὰ τὰ τιμωρήσουμε (δὲν παίρνουμε δηλαδὴ τὸ ξίφος νὰ τὰ κόψουμε), ἔτσι καὶ ἂν ὑπάρχει ἕνας τέτοιος ἀπὸ τὸ ποίμνιο ποὺ μᾶς προκαλεῖ πόνους καὶ στενοχώριες ἀπὸ τὶς κατηγοριές αὐτές, δὲν τολμοῦμε νὰ τὸν τιμωρήσουμε· γιατὶ αὐτὰ βρίσκονται μακριὰ ἀπὸ τὴν πατρικὴ ψυχὴ καὶ ἀναγκαστικὰ ὑποφέρουμε τὸν πόνο μέχρι ποὺ νὰ γίνει ἐκεῖνος ἐντελῶς καλά.

Ὁ ἀγορασμένος ὑπηρέτης μὲ χρήματα ἔχει διαταγὴ νὰ κάνει κάποιο ἔργο, καὶ ἂν τὸ ἐκτελέσει, γίνεται στὴ συνέχεια κύριος τοῦ ἑαυτοῦ του. Οἱ ἀσχολίες ὅμως τοῦ ἐπισκόπου ἁπλώνονται παντοῦ καὶ τοῦ ζητοῦν πολλὰ πάνω ἀπὸ τὶς δυνάμεις του· ἂν δὲν ἔχει τὴν ἱκανότητα νὰ μιλάει, πολὺς εἶναι ὁ γογγυσμός· ἂν ὅμως ἔχει τὴν ἱκανότητα νὰ μιλάει, πάλι κατηγορίες· 'ματαιόδοξος εἶναι'· ἂν δὲν ἀνασταίνει νεκρούς, 'δὲν ἀξίζει', λέγει, 'καθόλου· ὁ τάδε εἶναι εὐσεβής, αὐτός, ὅμως ὄχι'. Ἂν ἡ τροφή του εἶναι μέτρια, πάλι κατηγορίες· 'ἔπρεπε νὰ εἶχε ἀπαγχονισθεῖ', λέγει. Ἂν κάποιος τὸν δεῖ νὰ λούζεται, πολλὲς κατηγορίες· 'πρέπει νὰ μὴ βλέπει καθόλου τὸν ἥλιο', λέγει. Ἂν κάνει τὰ ἴδια ποὺ κάνω ἐγώ, καὶ λούζεται καὶ τρώει καὶ πίνει καὶ ροῦχα φοράει καὶ φροντίζει γιὰ τὸ σπίτι καὶ τοὺς ὑπηρέτες, γιὰ ποιό λόγο εἶναι προϊστάμενός μου;

'Ἔχει ὅμως καὶ ὑπηρέτες', λέγει, 'ποὺ τὸν ὑπηρετοῦν, καὶ μεταφέρεται πάνω σὲ ὄνο· γιὰ ποιό λοιπὸν λόγο εἶναι προϊστάμενός μου;' Ἀλλά, πές μου, δὲν πρέπει νὰ ἔχει τὸν ὑπηρέτη του, ἀλλ' ὁ ἴδιος ν' ἀνάβει τὴ φωτιὰ καὶ νὰ κουβαλάει νερὸ καὶ νὰ κόβει τὰ ξύλα καὶ νὰ πηγαίνει στὴν ἀγορά; Καὶ πόση ντροπὴ δὲν εἶναι αὐτὸ τὸ πράγμα; Καὶ οἱ ἅγιοι ἐκεῖνοι ἄνδρες, οἱ ἀπόστολοι, δὲ θέλουν ν' ἀσχολεῖται μὲ τὴ διακονία τῶν χηρῶν ἐκεῖνος ποὺ ἀφοσιώνεται στὸ κήρυγμα, ἀλλὰ θεωροῦν τὸ πράγμα τοῦτο ἀνάξιο γι' αὐτόν· ἐσὺ λοιπὸ κατεβάζεις αὐτὸν καὶ στὴν ὑπηρεσία

σίαν καθέλκεις τῶν σῶν; Διὰ τί ὁ ταῦτα ἐπιτάττων οὐ παρέρχῃ σύ, καὶ ταῦτα πληροῖς; εἰπέ μοι, οὐχὶ μείζονά σοι διακονεῖται ὑπηρεσίαν, ἢ σὺ τὰ σωματικά; διὰ τί μὴ τὸν παῖδα πέμπεις τὸν σὸν πρὸς τὴν τούτου ὑπηρεσίαν; Ὁ Χριστὸς ἔνιψε τοὺς πόδας
5 τῶν μαθητῶν· σὺ θεραπείαν ἂν παρασχῇς τῷ διδασκάλῳ, μέγα τι ποιεῖς; Ἀλλ' οὔτε σὺ βούλει παρασχεῖν, καὶ αὐτὸν κωλύεις.

Τί οὖν; ἀπὸ τοῦ οὐρανοῦ ζῆν ὀφείλει; Ἀλλ' οὐ βούλεται οὕτως ὁ Θεός. Τί οὖν; οἱ ἀπόστολοι, φησίν, ἐλευθέρους εἶχον δουλεύοντας; Βούλει καὶ τοῦτο ἀκοῦσαι πῶς οἱ ἀπόστολοι διῆγον;
10 ἀποδημίας ἐποιοῦντο, καὶ ἄνδρες ἐλεύθεροι καὶ εὐγενεῖς γυναῖκες ὑπὲρ τῆς ἐκείνων ἀναπαύσεως καὶ τὰς ψυχὰς καὶ τὰς κεφαλὰς ὑπετίθεσαν τὰς ἑαυτῶν. Ἄκουε δὲ καὶ τοῦ μακαρίου τούτου παραινοῦντος καὶ λέγοντος· «τοὺς οὖν τοιούτους ἐντίμους ἔχετε»· καὶ πάλιν, «διὰ τὸ ἔργον τοῦ Θεοῦ μέχρι θανάτου ἤγγισε,
15 παραβουλευσάμενος τῇ ψυχῇ, ἵνα ἀναπληρώσῃ τὸ ὑμῶν ὑστέρημα τῆς πρός με λειτουργίας». Ὁρᾷς τί φησι; Σὺ δὲ οὐδὲ λόγον προΐεσαι ὑπὲρ τοῦ πατρὸς τοῦ σοῦ, μήτι γε κίνδυνον τοσοῦτον ἀναδέχῃ.

Ἀλλὰ λούεσθαι, φησίν, οὐ χρή. Διὰ τί, εἰπέ μοι; ποῦ τοῦτο
20 κεκώλυται; οὐδὲ γὰρ ὁ ρύπος καλόν. Οὐδαμοῦ ταῦτα ὁρῶμεν, οὔτε ἐγκαλούμενα, οὔτε θαυμαζόμενα. Ἄλλα γάρ ἐστιν ἅπερ ἐπέταξε τὸν ἐπίσκοπον ἔχειν, ἀνέγκλητον εἶναι, σώφρονα, κόσμιον, φιλόξενον, διδακτικόν· ταῦτα ἀπαιτεῖ ὁ ἀπόστολος, ταῦτα χρὴ ἐπιζητεῖν παρὰ τοῦ ἄρχοντος, περαιτέρω δὲ μηδέν. Οὐκ εἶ
25 τοῦ Παύλου ἀκριβέστερος, μᾶλλον δὲ οὐκ εἶ τοῦ Πνεύματος ἀκριβέστερος. Ἂν ᾖ πλήκτης ἢ καὶ πάροινος, ἂν ὠμὸς καὶ ἀνηλεής, κατηγόρει, ἀνάξια ταῦτα τοῦ ἐπισκόπου· ἂν τρυφᾷ, καὶ τοῦτο κατηγορία· ἂν δὲ θεραπεύῃ τὸ σῶμα ἵνα σοι διακονῇ, ἂν ἐπιμελῆται ἵνα σοι χρήσιμος ᾖ, ὑπὲρ τούτων αὐτὸν ἐγκαλεῖσθαι δεῖ;

30 Οὐκ οἶδας ὅτι ἀσθένεια σωματικὴ τῆς κατὰ ψυχὴν ἀσθενείας οὐχ ἧττον καὶ ἡμᾶς βλάπτει καὶ τὴν Ἐκκλησίαν; Διὰ τί

---

24. Φιλιπ. 2,29.30

τῶν ὑπηρετῶν σου; Γιατί ἐσύ, ποὺ τὰ προστάζεις αὐτά, δὲν τὰ παραβλέπεις ἀλλὰ τὰ ἐκτελεῖς; Πές μου, δὲ σοῦ προσφέρει μεγαλύτερη ὑπηρεσία ἀπὸ τὴ δική σου φροντίδα ποὺ δείχνεις γιὰ τὰ σωματικά; Γιατί δὲ στέλνεις τὸ δοῦλο σου στὴν ὑπηρεσία του; Ὁ Χριστὸς ἔπλυνε τὰ πόδια τῶν μαθητῶν· ἐσὺ ἂν προσφέρεις κάποια ὑπηρεσία στὸ διδάσκαλο κάνεις κάτι μεγάλο; Ἀλλ' οὔτε ἐσὺ θέλεις νὰ προσφέρεις καὶ αὐτὸν τὸν ἐμποδίζεις.

Τί δηλαδή; ἀπὸ τὸν οὐρανὸ πρέπει νὰ ζεῖ; Ἀλλ' ὁ Θεὸς δὲ θέλει ἔτσι. Τί λοιπόν; 'οἱ ἀπόστολοι', λέγει, 'εἶχαν ἐλεύθερους ἀνθρώπους ποὺ τοὺς ὑπηρετοῦσαν;' Θέλεις ν' ἀκούσεις καὶ αὐτό, πῶς δηλαδὴ ζοῦσαν οἱ ἀπόστολοι; Ταξίδευαν, καὶ ἄνδρες ἐλεύθεροι καὶ εὐγενεῖς γυναῖκες ἔβαζαν σὲ κίνδυνο καὶ τὶς ψυχὲς καὶ τὰ κεφάλια τους γιὰ τὴν ἀνάπαυση ἐκείνων. Ἄκου ὅμως καὶ τὸν μακάριο Παῦλο ποὺ συμβουλεύει καὶ λέγει· «τέτοιους ἀνθρώπους νὰ τοὺς τιμᾶτε»· καὶ πάλι, «γιὰ τὸ ἔργο τοῦ Θεοῦ ἔφθασε κοντὰ στὸ θάνατο, ριψοκινδυνεύοντας τὴ ζωή του, γιὰ ν' ἀναπληρώσει τὴν ἔλλειψη τῆς ὑπηρεσίας σας πρὸς ἐμένα»[24]. Βλέπεις τί λέγει; Ἐσὺ ὅμως οὔτε ἕνα λόγο λὲς γιὰ τὸν πατέρα σου, οὔτε βέβαια ἀναλαμβάνεις τόσο μεγάλο κίνδυνο.

'Ἀλλά', λέγει, 'δὲν πρέπει νὰ λούζεται'. Πές μου, γιατί; ποῦ αὐτὸ ἀπαγορεύεται; Οὔτε βέβαια ἡ ἀκαθαρσία εἶναι καλὸ πράγμα. Πουθενὰ δὲ βλέπουμε αὐτὰ οὔτε νὰ κατηγοροῦνται οὔτε νὰ θαυμάζονται. Γιατὶ ἄλλα εἶναι ἐκεῖνα ποὺ πρόσταξε νὰ ἔχει ὁ ἐπίσκοπος· νὰ εἶναι ἀδιάβλητος, συνετός, κόσμιος, φιλόξενος, καλὸς διδάσκαλος. Αὐτὰ ἀπαιτεῖ ὁ ἀπόστολος, αὐτὰ πρέπει νὰ ἐπιζητεῖ κανεὶς ἀπὸ τὸν ἄρχοντα καὶ τίποτε περισσότερο. Δὲν εἶσαι ἐσὺ ἀκριβέστερος ἀπὸ τὸν Παῦλο, ἢ καλύτερα δὲν εἶσαι ἀκριβέστερος ἀπὸ τὸ ἅγιο Πνεῦμα. Ἂν εἶναι φίλερις ἢ μέθυσος ἢ βίαιος καὶ σκληρός, νὰ κατηγορεῖς. Αὐτὰ εἶναι ἀνάξια γιὰ τὸν ἐπίσκοπο. Ἂν ζεῖ μὲ ἀπολαύσεις, καὶ αὐτὸ εἶναι κατηγορία. Ἂν ὅμως περιποιεῖται τὸ σῶμα του γιὰ νὰ σὲ ὑπηρετεῖ καὶ ἂν τὸ φροντίζει γιὰ νὰ σοῦ εἶναι χρήσιμος, πρέπει γι' αὐτὰ νὰ κατηγορεῖται;

Δὲν ξέρεις ὅτι ἡ ἀσθένεια τοῦ σώματος δὲν εἶναι κατώτερη ἀπὸ τὴν ἀσθένεια τῆς ψυχῆς καὶ ὅτι βλάπτει καὶ ἐμᾶς καὶ τὴν

διορθοῦται αὐτὴν ὁ Παῦλος γράφων τῷ Τιμοθέῳ, «οἴνῳ ὀλίγῳ χρῶ διὰ τὸν στόμαχόν σου, καὶ τὰς πυκνάς σου ἀσθενείας»; Εἰ μὲν γὰρ ψυχῇ μόνῃ τὴν ἀρετὴν κατορθοῦμεν, οὐκ ἔδει φροντίζειν τοῦ σώματος. Τί δὲ ὅλως καὶ γεγόναμεν; Εἰ δὲ πολλὴ τούτου ἡ
5 *συντέλεια, πῶς οὐκ ἐσχάτης ἐστὶν ἀνοίας ἀμελεῖν τούτου; Ἔστω γάρ τις ἀνὴρ ἐπισκοπῇ τετιμημένος καὶ τοῦ κοινοῦ τῆς Ἐκκλησίας τὴν προστασίαν ἐγκεχειρισμένος, καὶ τὰ μὲν ἄλλα ἔστω ἐνάρετος καὶ πάντα ἔχων ἅπερ ἔχειν ἁρμόζει τὸν ἱερωμένον, διαπαντὸς δὲ τῇ κλίνῃ προσδεδέσθω ὑπὸ πολλῆς ἀρρω-*
10 *στίας, τί οὗτος ὀνῆσαι δυνήσεται; ποίαν ἀποδημίαν στείλασθαι; ποίας ἐπισκέψεις ποιήσασθαι; τίνι ἐπιπλῆξαι; τίνα νουθετῆσαι;*

Ταῦτα εἶπον, ἵνα εἰδῆτε μὴ ἁπλῶς ἐγκαλεῖν, ἵνα εἰδῆτε μᾶλλον ἀποδέχεσθαι, ἵνα καὶ εἴ τις ἐφίεται τῆς ἀρχῆς, τὰς νιφάδας τῶν κατηγοριῶν ὁρῶν, τὴν τοιαύτην ἐπιθυμίαν σβεννύῃ.
15 *Μέγας ὄντως κίνδυνος καὶ τῆς τοῦ Θεοῦ δεόμενος χάριτος καὶ τῆς εἰρήνης, ἣν ἐπεύχεσθε ἡμῖν εἶναι πολλήν, καὶ ἡμεῖς ὑμῖν· ἵνα ἀμφότεροι κατορθώσαντες τὴν ἀρετήν, οὕτω τύχωμεν τῶν ἐπηγγελμένων ἀγαθῶν, ἐν Ἰησοῦ Χριστῷ, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεὶ καὶ εἰς*
20 *τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.*

Ἐκκλησία; Γιὰ ποιό λόγο τὴ θεραπεύει ὁ Παῦλος γράφοντας στὸν Τιμόθεο, «νὰ χρησιμοποιεῖς καὶ λίγο κρασὶ ἐξαιτίας τοῦ στομαχιοῦ σου καὶ τῶν συχνῶν ἀσθενειῶν σου»[25]; Γιατί, ἂν κατορθώνουμε τὴν ἀρετὴ μόνο μὲ τὴν ψυχή, δὲν ἔπρεπε νὰ φροντίζουμε γιὰ τὸ σῶμα. Καὶ γενικὰ γιατί γίναμε ἔτσι; Ἂν εἶναι μεγάλη ἡ προσφορὰ τοῦ σώματος, πῶς δὲν εἶναι ἡ χειρότερη ἀνοησία νὰ τὸ παραμελοῦμε; Ἔστω κάποιος ποὺ ἔχει τιμηθεῖ μὲ τὸ ἀξίωμα τοῦ ἐπισκόπου καὶ ἔχει ἀναλάβει τὴν προστασία τοῦ λαοῦ τῆς Ἐκκλησίας, καὶ ἔστω ὅτι εἶναι ἐνάρετος στὰ ἄλλα καὶ ἔχει ὅλα ἐκεῖνα ποὺ πρέπει νὰ ἔχει ὁ ἱερωμένος, εἶναι ὅμως πάντοτε δεμένος στὸ κρεββάτι ἀπὸ ἰσχυρὴ ἀρρώστια· τί θὰ μπορέσει νὰ ὠφελήσει αὐτός; ποιά περιοδεία θὰ μπορέσει νὰ κάνει; ποιές ἐπισκέψεις θὰ κάνει; ποιόν θὰ ἐπιπλήξει; ποιόν θὰ νουθετήσει;

Αὐτὰ τὰ εἶπα γιὰ νὰ μάθετε νὰ μὴν κατηγορεῖτε γενικὰ τοὺς ἱερωμένους, γιὰ νὰ μάθετε περισσότερο νὰ τοὺς δέχεστε, καὶ ἂν κάποιος ἐπιθυμεῖ τὴν ἐξουσία, βλέποντας τὶς πολλὲς κατηγορίες, νὰ σβήσει τὴν ἐπιθυμία αὐτή. Εἶναι πραγματικὰ μεγάλος ὁ κίνδυνος καὶ ἔχει ἀνάγκη ἀπὸ τὴ χάρη καὶ τὴν εἰρήνη τοῦ Θεοῦ, τὴν ὁποία νὰ εὔχεστε νὰ εἶναι σὲ μένα πολλή, ὅπως καὶ ἐγὼ εὔχομαι νὰ εἶναι σὲ σᾶς, ὥστε καὶ ἐγὼ καὶ ἐσεῖς, ἀφοῦ κατορθώσουμε τὴν ἀρετή, νὰ ἐπιτύχουμε ἔτσι τὰ ἀγαθὰ ποὺ μᾶς ὑποσχέθηκε ὁ Θεός, μὲ τὴ βοήθεια τοῦ Ἰησοῦ Χριστοῦ, μαζὶ μὲ τὸν ὁποῖο στὸν Πατέρα καὶ συγχρόνως στὸ ἅγιο Πνεῦμα ἀνήκει ἡ δόξα, ἡ δύναμη, καὶ ἡ τιμή, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

---

25. Α' Τιμ. 5,23.

Ο Μ Ι Λ Ι Α Β'

(Τιτ. 1,5–11)

«Τούτου χάριν κατέλιπόν σε ἐν Κρήτῃ, ἵνα τὰ λείποντα ἐπιδιορθώσῃ, καὶ καταστήσῃς κατὰ πόλιν πρεσβυτέρους, ὡς ἐγώ σοι διεταξάμην· εἴ τίς ἐστιν ἀνέγκλητος, μιᾶς γυναικὸς ἀνήρ, τέκνα ἔχων πιστά, μὴ ἐν κατηγορίᾳ ἀσωτίας
5 *ἢ ἀνυπότακτα».*

1. Τοῖς μὲν παλαιοῖς ἀνδράσιν ἅπας ὁ βίος ἦν ἐνεργὸς καὶ ἐναγώνιος, ἡμῖν δὲ οὐχ οὕτως, ἀλλὰ ῥᾳθυμίας μεστός. Ἐκεῖνοι μὲν γὰρ ᾔδεσαν ὅτι διὰ τοῦτο εἰς τὸν κόσμον παρήχθησαν, ἵνα τῷ παραγαγόντι κατὰ γνώμην ἐργάζωνται, ἡμεῖς δὲ ὡς διὰ τοῦτο
10 παραχθέντες, ἵνα ἐσθίωμεν καὶ πίνωμεν καὶ τρυφῶμεν, οὕτως οὐδενὸς τῶν πνευματικῶν λόγον ποιούμεθα. Οὐ περὶ τῶν ἀποστόλων λέγω μόνον, ἀλλὰ καὶ τῶν μετ' αὐτούς. Ὁρᾷς γοῦν αὐτοὺς πάντα διατρέχοντας, καὶ ὥσπερ τινὸς ἔργου τούτου ἐπειλημμένους, καὶ διόλου ἐν ξένῃ διατρίβοντας, ἅτε οὐκ ἔχοντας
15 πόλιν ἐπὶ τῆς γῆς. Ἄκουσον γοῦν τοῦ μακαρίου τούτου τί φησί· «τούτου χάριν κατέλιπόν σε ἐν Κρήτῃ». Καθάπερ οἰκίαν μίαν τὴν οἰκουμένην διανειμάμενοι, οὕτως ἅπαντα διηκονοῦντο, καὶ τῶν ἁπανταχοῦ ἐπεμέλοντο, ὁ μὲν τοῦτο, ὁ δὲ ἐκεῖνο λαβὼν τὸ μέρος. «Τούτου γὰρ χάριν», φησί, «κατέλιπόν σε ἐν τῇ Κρή-
20 τῃ, ἵνα τὰ λείποντα ἐπιδιορθώσῃ». Οὐκ ἐπιτακτικῶς αὐτῷ παραινεῖ τέως· «ἵνα ἐπιδιορθώσῃ», φησίν.

Ὁρᾷς ψυχὴν φθόνου παντὸς καθαράν, πανταχοῦ τὸ τῶν μαθητευομένων χρήσιμον ζητοῦσαν, οὐκ ἀκριβολογουμένην, εἴτε δι' αὐτοῦ, εἴτε δι' ἑτέρου γένοιτο; Ἔνθα μὲν γὰρ ἦν κίνδυνος
25 καὶ πολλὴ δυσκολία, αὐτὸς κατώρθου παρών, ἃ δὲ τιμὴν μᾶλλον

ΟΜΙΛΙΑ Β'
(Τίτ. 1, 5–11)

«Γι' αὐτὸ σὲ ἄφησα στὴν Κρήτη, γιὰ νὰ διορθώσεις τὶς ἐλλείψεις καὶ νὰ ἐγκατατήσεις σὲ κάθε πόλη πρεσβυτέρους, ὅπως ἐγὼ σὲ διέταξα· ὅποιος εἶναι ἀδιάβλητος, ἄνδρας μιᾶς μόνο γυναίκας, μὲ παιδιὰ πιστά, τὰ ὁποῖα δὲν κατηγοροῦνται γιὰ ἀσωτία οὔτε εἶναι ἀνυπάκουα».

1. Στοὺς παλαιοὺς ἄνδρες ὅλη ἡ ζωὴ ἦταν γεμάτη ἔργα καὶ ἀγῶνες, σὲ μᾶς ὅμως δὲ συμβαίνει τὸ ἴδιο, ἀλλ' εἶναι γεμάτη ραθυμία. Γιατὶ ἐκεῖνοι γνώριζαν ὅτι γι' αὐτὸ δημιουργήθηκαν στὸν κόσμο, γιὰ νὰ ἐργάζονται σύμφωνα μὲ τὸ θέλημα τοῦ δημιουργοῦ τους, ἐμεῖς ὅμως, σὰν νὰ δημιουργηθήκαμε γι' αὐτό, γιὰ νὰ τρῶμε καὶ νὰ πίνουμε καὶ νὰ ζοῦμε μὲ ἀπολαύσεις, τόσο πολὺ δὲν κάνουμε λόγο γιὰ κανένα πνευματικὸ πράγμα. Δὲ μιλῶ γιὰ τοὺς ἀποστόλους μόνο, ἀλλὰ καὶ γιὰ ἐκείνους ποὺ ἔζησαν μετὰ ἀπ' αὐτούς. Τοὺς βλέπεις λοιπὸν νὰ τρέχουν παντοῦ σὰν νὰ εἶχαν ἀναλάβει αὐτὸ ὡς κάποιο ἔργο καὶ πάντοτε νὰ ζοῦν σὲ ξένη χώρα, ἐπειδὴ δὲν εἶχαν δική τους πόλη πάνω στὴ γῆ. Ἄκουσε λοιπὸν τὸν μακάριο αὐτὸν τί λέγει· «γι' αὐτὸ σὲ ἄφησα στὴν Κρήτη». Ἀφοῦ μοίρασαν τὴν οἰκουμένη σὰν ἕνα σπίτι, ἔτσι διαχειρίζονταν τὰ πάντα καὶ φρόντιζαν γιὰ τοὺς ἀνθρώπους ποὺ ἦταν σὲ ὅλα τὰ μέρη τῆς γῆς, ἀναλαμβάνοντας ὁ ἕνας αὐτὸ καὶ ὁ ἄλλος ἐκεῖνο τὸ μέρος. «Γι' αὐτό», λέγει, «σὲ ἄφησα στὴν Κρήτη, γιὰ νὰ διορθώσεις τὶς ἐλλείψεις». Δὲν τὸν προτρέπει στὴν ἀρχὴ μὲ προσταγή· «γιὰ νὰ διορθώσεις», λέγει.

Βλέπεις ψυχὴ καθαρὴ ἀπὸ κάθε φθόνο, ποὺ ἐπιζητεῖ παντοῦ ὅ,τι εἶναι χρήσιμο στοὺς μαθητές, χωρὶς νὰ πολυεξετάζει ἐν αὐτὸ γίνεται μ' αὐτὸν ἢ μὲ ἄλλον; Ὅπου δηλαδὴ ὑπῆρχε κίνδυνος καὶ μεγάλη δυσκολία, ὁ ἴδιος ἦταν παρὼν καὶ ἔφερνε σὲ πέ-

ἔφερεν ἢ ἔπαινον εἶχε, ταῦτα ἐπιτρέπει τῷ μαθητῇ, τῶν ἐπισκόπων λέγω τὰς χειροτονίας, καὶ τὰ ἄλλα πάντα, ὅσα ἐδεῖτό τινος ἐπιορθώσεως, ἤ, ὡς ἂν εἴποι τις, πλείονος καταρτισμοῦ. Τί λέγεις, εἰπέ μοι; τὰ σὰ προσδιορθοῦται; καὶ οὐχ ἡγῇ τὸ πράγμα αἰ-
5 *σχρὸν οὐδὲ αἰσχύνην σοι φέρειν; Οὐδαμῶς· πρὸς γὰρ τὸ κοινὸν κέρδος ὁρῶ μόνον· εἴτε δὲ δι' ἐμοῦ, εἴτε δι' ἑτέρου γένοιτο, οὐδὲν ἐμοὶ διαφέρει. Οὕτω τὸν προεστῶτα χρὴ διακεῖσθαι, μὴ τὴν ἰδίαν τιμὴν ζητεῖν, ἀλλὰ τὸ κοινῇ συμφέρον.*

«Καὶ καταστήσῃς», φησί, «κατὰ πόλιν πρεσβυτέρους».
10 *Τοὺς ἐπισκόπους ἐνταῦθά φησι, καθὼς ἀλλαχοῦ ἡμῖν εἴρηται. «Ὡς ἐγώ σοι διεταξάμην· εἴ τις ἀνέγκλητος». «Κατὰ πόλιν», φησίν· οὐ γὰρ ἐβούλετο πᾶσαν τὴν νῆσον ἐπιτετράφθαι ἑνί, ἀλλ' ἕκαστον ἰδίαν ἔχειν φροντίδα καὶ μέριμναν· οὕτω γὰρ αὐτῷ τε εἶναι τὸν πόνον κοῦφον, καὶ τοὺς ἀρχομένους πλείονος ἀπολαύσε-*
15 *σθαι τῆς ἐπιμελείας, εἴ γε μὴ εἰς πολλῶν Ἐκκλησιῶν προστασίαν ὁ διδάσκαλος περιέρχοιτο, ἀλλὰ σχολάζοι μιᾷ μόνῃ καὶ ταύτην κατακοσμοῖ. «Εἴ τις», φησίν, «ἀνέγκλητος, μιᾶς γυναικὸς ἀνήρ, τέκνα ἔχων πιστά, μὴ ἐν κατηγορίᾳ ἀσωτίας ἢ ἀνυπότακτα». Τίνος ἕνεκεν καὶ τὸν τοιοῦτον εἰς μέσον παράγει; Ἐπι-*
20 *στομίζει τοὺς αἱρετικοὺς τοὺς τὸν γάμον διαβάλλοντας, δεικνὺς ὅτι τὸ πρᾶγμα οὐκ ἔστιν ἐναγές, ἀλλ' οὕτω τίμιον, ὡς μετ' αὐτοῦ δύνασθαι καὶ ἐπὶ τὸν ἅγιον ἀναβαίνειν θρόνον· ἐν ταὐτῷ δὲ καὶ τοὺς ἀσελγεῖς κολάζων καὶ οὐκ ἀφιεὶς μετὰ δευτέρου γάμου τὴν ἀρχὴν ἐγχειρίζεσθαι ταύτην. Ὁ γὰρ πρὸς τὴν ἀπελθοῦσαν*
25 *μηδεμίαν φυλάξας εὔνοιαν, πῶς ἂν οὗτος γένοιτο προστάτης καλός; τίνα δὲ οὐκ ἂν ὑποσταίη κατηγορίαν;*

Ἴστε γὰρ ἅπαντες, ἴστε ὅτι, εἰ μὴ κεκώλυται παρὰ τῶν νόμων τὸ δευτέροις ὁμιλεῖν γάμοις, ἀλλ' ὅμως πολλὰς ἔχει τὸ πρᾶγμα κατηγορίας. Οὐδεμίαν οὖν παρέχειν λαβὴν τοῖς ἀρχομέ-
30 *νοις τὸν ἄρχοντα βούλεται. Διὰ τοῦτο τίθησιν, «εἴ τις ἀνέγκλητος»· τουτέστιν, εἰ κατηγορίας ὁ βίος ἐλεύθερος αὐτῷ γέγονεν, εἰ*

ρας τὸ ἔργο, ἐκεῖνα ὅμως ποὺ παρεῖχαν περισσότερη τιμὴ ἢ εἶχαν ἔπαινο τὰ ἀφήνει στὸ μαθητή, ἐννοῶ τὴ χειροτονία τῶν ἐπισκόπων καὶ ὅλα τὰ ἄλλα ποὺ εἶχαν ἀνάγκη ἀπὸ κάποια διόρθωση ἤ, ὅπως θὰ μποροῦσε νὰ πεῖ κάποιος, ἀπὸ περισσότερη κατάρτιση. Τί λέγεις, πές μου; τὰ δικά σου διορθώνει ἐκεῖνος; Καὶ δὲ νομίζεις τὸ πράγμα αἰσχρὸ οὔτε ὅτι σοῦ φέρνει ντροπή; Καθόλου, γιατὶ βλέπω στὸ κοινὸ κέρδος μόνο· καὶ εἴτε μὲ μένα εἴτε μὲ ἄλλον γίνεται αὐτὸ δὲ μὲ ἐνδιαφέρει καθόλου. Ἔτσι πρέπει νὰ συμπεριφέρεται ὁ προϊστάμενος· νὰ μὴν ἐπιζητεῖ τὴ δική του τιμή, ἀλλὰ τὸ κοινὸ συμφέρον.

«Καὶ νὰ ἐγκαταστήσεις», λέγει, «σὲ κάθε πόλη πρεσβυτέρους». Τοὺς ἐπισκόπους ἐννοεῖ ἐδῶ, ὅπως σᾶς ἔχω πεῖ ἀλλοῦ. «Ὅπως ἐγὼ σὲ διέταξα· ὅποιος εἶναι ἀδιάβλητος». «Σὲ κάθε πόλη», λέγει. Δὲν ἤθελε δηλαδὴ νὰ ἐμπιστευθεῖ ὅλο τὸ νησὶ σ' ἕναν, ἀλλ' ὁ καθένας νὰ ἔχει τὴ δική του φροντίδα καὶ μέριμνα. Ἔτσι λοιπὸν καὶ σ' αὐτὸν ὁ κόπος θὰ εἶναι ἐλαφρὸς καὶ οἱ ἀρχόμενοι θ' ἀπολαμβάνουν περισσότερη φροντίδα, ἂν ὁ διδάσκαλος δὲ διασπᾶται στὴν προστασία πολλῶν ἐκκλησιῶν, ἀλλὰ ἀφοσιώνεται σὲ μιὰ μόνο καὶ αὐτὴν κατακοσμεῖ. «Ὅποιος», λέγει, «εἶναι ἀδιάβλητος, ἄνδρας μιᾶς μόνο γυναίκας, μὲ παιδιὰ πιστά, τὰ ὁποῖα δὲν κατηγοροῦνται γιὰ ἀσωτία οὔτε εἶναι ἀνυπάκουα». Γιὰ ποιό λόγο ἀναφέρει καὶ τὸν ἔγγαμο; Ἀποστομώνει τοὺς αἱρετικοὺς ποὺ συκοφαντοῦσαν τὸ γάμο, δείχνοντας ὅτι τὸ πράγμα δὲν εἶναι βδελυρό, ἀλλὰ τόσο τίμιο, ὥστε νὰ μποροῦν μαζὶ μ' αὐτὸν ν' ἀνεβαίνουν καὶ στὸν ἅγιο θρόνο, συγχρόνως ὅμως τιμωρώντας καὶ τοὺς ἀσελγεῖς καὶ μὴν ἀφήνοντας ν' ἀναλαμβάνουν τὸ ἀξίωμα αὐτὸ μὲ δεύτερο γάμο. Γιατὶ ἐκεῖνος ποὺ δὲν ἔδειξε καμμιὰ συμπάθεια πρὸς τὴ γυναίκα του ποὺ πέθανε, πῶς θὰ μποροῦσε νὰ γίνει καλὸς προστάτης; Καὶ ποιά κατηγορία δὲ θὰ δεχθεῖ;

Πράγματι γνωρίζετε ὅλοι, γνωρίζετε ὅτι, ἂν καὶ δὲν ἀπαγορεύεται ἀπὸ τοὺς νόμους ὁ δεύτερος γάμος, ἔχει ὅμως πολλὲς κατηγορίες τὸ πράγμα. Δὲ θέλει λοιπὸν νὰ δίνει ὁ ἄρχοντας καμμιὰ ἀφορμὴ στοὺς ἀρχομένους. Γι' αὐτὸ ἀναφέρει, «ὅποιος εἶναι ἀδιάβλητος». Δηλαδή, ἂν ἡ ζωή του ὑπῆρξε ἀπαλλαγμένη ἀπὸ

μηδεὶς ἔσχεν ἐπισκῆψαι ἐν τῇ ζωῇ. Ἄκουε τοῦ Χριστοῦ λέγοντος· «εἰ γὰρ τὸ φῶς», φησί, «τὸ ἐν σοὶ ᾖ σκότος, τὸ σκότος πόσον;». «Τέκνα ἔχων πιστά, μὴ ἐν κατηγορίᾳ ἀσωτίας ἢ ἀνυπότακτα». Σκοπήσωμεν πῶς πολλὴν καὶ ὑπὲρ τῶν παίδων ποιεῖται 5 τὴν πρόνοιαν. Ὁ γὰρ τῶν αὐτοῦ παίδων διδάσκαλος γενέσθαι μὴ δυνηθείς, πῶς ἂν ἑτέρων γένοιτο; Εἰ οὓς ἐξ ἀρχῆς εἶχε μεθ' ἑαυτοῦ καὶ ἔτρεφε, καὶ καθ' ὧν καὶ παρὰ τῶν νόμων καὶ παρὰ τῆς φύσεως εἶχεν ἐξουσίαν, τούτους ρυθμίσαι οὐκ ἴσχυσε, πῶς ἂν τοὺς ἔξωθεν ὠφελῆσαι δυνήσεται;

10 *Εἰ μὴ γὰρ πολλὴ νωθεία εἴη πατρός, οὐκ ἂν ὧν ἐξ ἀρχῆς ἔλαβεν ἐξουσίαν, τούτους περιεῖδε γενομένους κακούς. Οὐ γὰρ ἔστιν, οὐκ ἔστιν ἐξ ἀρχῆς μετὰ πολλῆς τραφέντα τῆς ἐπιμελείας γενέσθαι κακόν, καὶ πολλῆς ἀπολαύσαντα σπουδῆς· οὐ γάρ ἐστι φύσει τὰ ἁμαρτήματα, ἵνα τοσαύτης περιγένηται προνοίας. Εἰ δὲ 15 ἐν δευτέρῳ τὰ τῶν παίδων ἐτίθετο, περὶ τὰ χρήματα σχολάζων, καὶ οὐ τοσαύτην αὐτῶν ἐποιεῖτο σπουδήν, καὶ οὕτως ἀνάξιος. Εἰ γάρ, ὅπου ἡ φύσις ἠνάγκαζεν, οὕτως ἄστοργος ἦν, ἢ οὕτως ἀνόητος, ὡς μᾶλλον τῶν χρημάτων φροντίζειν αὐτὸν ἢ αὐτῶν, πῶς ἂν οὗτος ἐπὶ τὸν θρόνον ἀναχθείη καὶ τὴν τοσαύτην ἀρχήν; 20 Εἰ μὲν γὰρ οὐκ ἠδύνατο, πολλὴ τῆς νωθείας ἡ κατηγορία· εἰ δὲ οὐκ ἐσπούδασε, πολλὴ τῆς ἀστοργίας ἡ μέμψις. Ὁ τοίνυν τῶν παίδων ἀμελῶν τῶν ἑαυτοῦ, πῶς τῶν ἀλλοτρίων ἐπιμελήσεται; Καὶ οὐκ εἶπε μὴ ἁπλῶς 'ἄσωτος', ἀλλὰ μηδὲ διαβολὴν ἔχειν τοιαύτην, μηδὲ πονηρᾶς εἶναι δόξης. «Δεῖ γὰρ τὸν ἐπίσκοπον», 25 φησίν, «ἀνέγκλητον εἶναι ὡς Θεοῦ οἰκονόμον, μὴ αὐθάδη, μὴ ὀργίλον, μὴ πάροινον, μὴ πλήκτην».*

2. Ὁ μὲν γὰρ ἔξωθεν ἄρχων, ἐπειδὴ νόμῳ κρατεῖ καὶ ἀνάγκῃ, εἰκότως οὐ πολλαχοῦ τῆς τῶν ἀρχομένων γνώμης κοινωνεῖ· ὁ μέντοι ἑκόντων ὀφείλων ἄρχειν, καὶ χάριν αὐτῷ τῆς ἀρχῆς εἰδό-

---

1. Ματθ. 6,23.

κάθε κατηγορία, ἂν κανεὶς δὲν μποροῦσε νὰ καταγγείλει κάτι γιὰ τὴ ζωή του. Ἄκου τὸν Χριστὸ ποὺ λέγει· «ἂν τὸ φῶς ποὺ ἔχεις εἶναι σκοτάδι, πόσο μεγάλο θὰ εἶναι τὸ σκοτάδι;»[1]. «Μὲ παιδιὰ πιστά, τὰ ὁποῖα δὲν κατηγοροῦνται γιὰ ἀσωτία οὔτε εἶναι ἀνυπάκουα». Ἂς ἐξετάσουμε καὶ τὴ μεγάλη φροντίδα ποὺ δείχνει γιὰ τὰ παιδιά. Γιατὶ αὐτὸς ποὺ δὲν μπόρεσε νὰ γίνει διδάσκαλος τῶν παιδιῶν του, πῶς θὰ γίνει διδάσκαλος ἄλλων; Ἂν δηλαδὴ αὐτὰ ποὺ ἀπὸ τὴν ἀρχὴ εἶχε μαζί του καὶ ἔτρεφε, καὶ πάνω στὰ ὁποῖα καὶ ἀπὸ τοὺς νόμους καὶ ἀπὸ τὴ φύση εἶχε ἐξουσία, δὲν μπόρεσε νὰ τὰ διαπαιδαγωγήσει σωστά, πῶς θὰ μπορέσει νὰ ὠφελήσει τοὺς ἄλλους.

Ἂν λοιπὸν ὁ πατέρας δὲν ἔδειχνε μεγάλη ἀδιαφορία, δὲ θὰ ἔβλεπε νὰ γίνονται κακὰ ἐκεῖνα πάνω στὰ ὁποῖα ἀπὸ τὴν ἀρχὴ ἔλαβε τὴν ἐξουσία. Γιατὶ δὲν μπορεῖ, πραγματικὰ δὲν μπορεῖ νὰ γίνει κακὸς ἐκεῖνος ποὺ ἀπὸ τὴν ἀρχὴ ἀνατράφηκε μὲ πολλὴ ἐπιμέλεια καὶ ἀπόλαυσε πολλὴ φροντίδα· καθόσον τὰ ἁμαρτήματα δὲν ὑπάρχουν ἐκ φύσεως, ὥστε νὰ ὑπερινικήσουν τὴν τόσο μεγάλη φροντίδα. Ἂν ὅμως ἔβαζε σὲ δεύτερη μοίρα τὴν ἀνατροφὴ τῶν παιδιῶν, ἐξαιτίας τοῦ ἐνδιαφέροντός του γιὰ τὰ χρήματα, καὶ δὲν τὰ φρόντιζε τόσο πολύ, καὶ ἔτσι θὰ ἦταν ἀνάξιος. Ἂν λοιπὸν ὅπου τὸν ἀνάγκαζε ἡ φύση ἦταν τόσο ἄστοργος ἢ τόσο ἀνόητος, ὥστε νὰ φροντίζει περισσότερο γιὰ τὰ χρήματα παρὰ γιὰ τὰ παιδιά του, πῶς αὐτὸς θὰ μποροῦσε νὰ ἀνεβεῖ στὸ θρόνο καὶ σὲ τόσο ὑψηλὸ ἀξίωμα; Γιατί, ἂν δὲν μποροῦσε, ἡ κατηγορία θὰ στρεφόταν ἐναντίον τῆς μεγάλης ὀκνηρίας του· ἂν ὅμως δὲν προσπάθησε, ἡ ἐπιτίμηση στρέφεται ἐναντίον τῆς μεγάλης ἀστοργίας του. Αὐτὸς λοιπὸν ποὺ ἀδιαφορεῖ γιὰ τὰ δικά του παιδιὰ πῶς θὰ φροντίσει γιὰ τὰ παιδιὰ τῶν ἄλλων; Καὶ δὲν εἶπε 'νὰ μὴν εἶναι ἁπλῶς ἄσωτος', ἀλλ' οὔτε τέτοια κατηγορία νὰ ἔχει οὔτε κακὴ φήμη νὰ ἔχει. «Γιατὶ ὁ ἐπίσκοπος», λέγει, «ὡς διαχειριστὴς τοῦ Θεοῦ δὲν πρέπει νὰ ἔχει καμμιὰ κατηγορία, νὰ μὴν εἶναι αὐθάδης, εὐέξαπτος, μέθυσος, βίαιος».

2. Ὁ κοσμικὸς δηλαδὴ ἄρχοντας, ἐπειδὴ κυβερνάει μὲ τὸ νόμο καὶ τὸν ἐξαναγκασμό, σωστὰ πολλὲς φορὲς δὲ συμφωνεῖ μὲ τὴ γνώμη τῶν πολιτῶν. Ἐκεῖνος ὅμως ποὺ ὀφείλει νὰ ἄρχει σὲ ἀν-

των, ἂν οὕτω τὸ πρᾶγμα καταστήσῃ, ὡς ἀπὸ τῆς οἰκείας γνώμης μόνον πάντα ποιεῖν καὶ μηδενὶ μεταδιδῷ λόγου, τυραννικώτερον μᾶλλον ἢ δημοτικώτερον τὴν ἐπιστασίαν πεποίηται. «Δεῖ γάρ», φησίν, «ἀνέγκλητον εἶναι ὡς Θεοῦ οἰκονόμον, μὴ αὐθάδη, μὴ 5 ὀργίλον». Πῶς γὰρ ἑτέρους παιδεύσει κρατεῖν τοῦ πάθους τούτου, ἑαυτὸν μὴ παιδεύσας; Εἰς πολλὰ γὰρ ἡ ἀρχὴ ἐξάγει, καὶ χαλεπώτερον ποιεῖ καὶ δυσάρεστον καὶ τὸν σφόδρα ἐπιεικῆ, μυρίας ἀνάγκας περιιστᾶσα ὀργῆς· ἂν μὴ ᾖ τοῦτο μεμελετηκὼς πρότερον, καὶ χαλεπώτερος ἔσται, καὶ πολλὰ διαφθερεῖ καὶ ἀπολέσει 10 τῶν τῆς ἀρχῆς.

«Μὴ πάροινον, μὴ πλήκτην». Τὸν ὑβριστὴν ἐνταῦθά φησι· νουθετοῦντα γὰρ ἢ ἐπιπλήττοντα πάντα χρὴ ποιεῖν, μὴ ὑβρίζοντα· ποία γὰρ ἀνάγκη ὕβρεως, εἰπέ μοι; Φοβεῖν χρὴ τῇ τῆς γεέννης ἀπειλῇ, δεδίττεσθαι, καθικνεῖσθαι. Ὁ γὰρ ὑβρισθεὶς θρασύ-15 τερος γίνεται καὶ μᾶλλον καταφρονεῖ τοῦ ὑβρίζοντος. Οὐδὲν γὰρ οὕτω ποιεῖ καταφρόνησιν, ὡς ὕβρις, καὶ αἰσχύνει τὸν ὑβρίζοντα μᾶλλον, καὶ οὐκ ἀφίησιν εἶναι αἰδέσιμον ὡς δεῖ. Πολλῆς αὐτοῖς τῆς εὐλαβείας γέμειν τὸν λόγον χρή, ἐν τοῖς ἁμαρτήμασι μνήμην ἔχειν τῆς μελλούσης κρίσεως, πάσης δὲ ὕβρεως εἶναι καθαρόν· 20 εἰ δέ τινες εἶεν οἱ κωλύοντες τὰ δέοντα ποιεῖν, μετὰ πάσης αὐθεντίας μετιέναι τὸ πρᾶγμα. «Μὴ πλήκτην», φησίν. Ἰατρός ἐστιν ὁ διδάσκαλος τῶν ψυχῶν· ὁ δὲ ἰατρὸς οὐ πλήττει, ἀλλὰ τὸν πεπληγότα διορθοῦται καὶ θεραπεύει.

«Μὴ αἰσχροκερδῆ, ἀλλὰ φιλόξενον, φιλάγαθον, σώφρονα, 25 δίκαιον, ὅσιον, ἐγκρατῆ, ἀντεχόμενον τοῦ κατὰ τὴν διδαχὴν πιστοῦ λόγου». Εἶδες πόσην ἐπίτασιν ἀρετῆς ἀπήτησε; «Μὴ αἰσχροκερδῆ», φησί· τουτέστι, πολλὴν ὑπεροψίαν χρημάτων ἐπιδεικνύμενον· «φιλόξενον, φιλάγαθον, σώφρονα, δίκαιον, ὅσιον»· τὰ αὐτοῦ πάντα τοῖς δεομένοις, φησί, προϊέμενον. «Ἐγκρατῆ». 30 Οὐ τὸν νηστευτὴν εἶπεν ἐνταῦθα, ἀλλὰ τὸν πάθους κρατοῦντα,

θρώπους πού τὸ θέλουν οἱ ἴδιοι καὶ τὸν εὐγνωμονοῦν γιὰ τὴν ἐξουσία του αὐτή, ἂν ἔτσι καταστήσει τὸ πράγμα, ὥστε νὰ κάνει τὰ πάντα μὲ τὴ δική του μόνο γνώμη καὶ νὰ μὴ δίνει λόγο σὲ κανέναν, ἔκανε τὸ ἀξίωμά του πιὸ τυραννικὸ μᾶλλον παρὰ πιὸ δημοκρατικό. «Γιατὶ ὁ ἐπίσκοπος», λέγει, «ὡς διαχειριστὴς τοῦ Θεοῦ, πρέπει νὰ εἶναι ἀδιάβλητος, νὰ μὴν εἶναι αὐθάδης, οὔτε εὐέξαπτος». Πῶς λοιπὸν θὰ διδάξει ἄλλους νὰ ἐξουσιάζουν τὸ πάθος αὐτό, ἀφοῦ δὲ δίδαξε τὸν ἑαυτό του; Γιατὶ ἡ ἐξουσία αὐτὴ ὁδηγεῖ σὲ πολλά, καὶ τὸν ὑπερβολικὰ ἀκόμη σώφρονα τὸν κάνει σκληρότερο καὶ δυσάρεστο, ἐπειδὴ περιέχει πολλὲς ἀφορμὲς γιὰ ὀργή. Ἂν δὲν τὸ ἔχει μελετήσει προηγουμένως αὐτὸ καὶ σκληρότερος θὰ γίνει καὶ πολλὰ πράγματα ἀπὸ ἐκεῖνα ποὺ ἐξουσιάζει θὰ τὰ καταστρέψει καὶ θὰ τὰ ὁδηγήσει στὴν ἀπώλεια.

«Νὰ μὴν εἶναι μέθυσος, βίαιος». Τὸν ὑβριστὴ ἐννοεῖ ἐδῶ. Ἐκεῖνος δηλαδὴ ποὺ νουθετεῖ ἢ ἐπιπλήττει πρέπει νὰ κάνει τὰ πάντα, χωρὶς ὅμως νὰ βρίζει. Γιατί, πές μου, ποιά ἀνάγκη ὑπάρχει γιὰ ὕβρεις; Μὲ τὴν ἀπειλὴ τῆς γέεννας πρέπει νὰ φοβίζουμε, νὰ φοβούμαστε, νὰ ἐλέγχουμε. Γιατὶ ἐκεῖνος ποὺ βρίστηκε γίνεται θρασύτερος καὶ περιφρονεῖ περισσότερο τὸν ὑβριστή. Τίποτε δὲν προκαλεῖ τόση περιφρόνηση, ὅσο ἡ ὕβρη· ντροπιάζει τὸν ὑβριστὴ περισσότερο καὶ δὲν τὸν ἀφήνει νὰ εἶναι σεβάσμιος ὅπως πρέπει. Ὁ λόγος του πρέπει νὰ εἶναι γεμάτος ἀπὸ πολλὴ εὐσέβεια, νὰ ὑπενθυμίζει στὰ ἁμαρτήματα τὴ μέλλουσα κρίση καὶ νὰ εἶναι καθαρὸς ἀπὸ κάθε ὕβρη. Ἂν ὅμως μερικοὶ τὸν ἐμποδίζουν νὰ κάνει ἐκεῖνα ποὺ πρέπει, πρέπει ν' ἀντιμετωπίζει τὸ πράγμα μὲ κάθε αὐθεντία. «Νὰ μὴν εἶναι βίαιος», λέγει. Ἰατρὸς εἶναι ὁ διδάσκαλος τῶν ψυχῶν· ὁ ἰατρὸς ὅμως δὲν κτυπάει, ἀλλὰ διορθώνει καὶ θεραπεύει τὸν πληγωμένο.

«Νὰ μὴν εἶναι αἰσχροκερδής, ἀλλὰ φιλόξενος, φιλάγαθος, συνετός, δίκαιος, εὐσεβής, ἐγκρατής, προσηλωμένος στὸν πιστὸ λόγο, ὅπως μᾶς διδάχθηκε». Εἶδες πόσο ὕψος ἀρετῆς ζήτησε; «Νὰ μὴν εἶναι αἰσχροκερδής», λέγει. Δηλαδή, νὰ δείχνει μεγάλη περιφρόνηση γιὰ τὰ χρήματα. «Φιλόξενος, φιλάγαθος, συνετός, δίκαιος, εὐσεβής»· ὅλα τὰ δικά του, λέγει, νὰ τὰ δίνει σ' ἐκείνους ποὺ ἔχουν ἀνάγκη. «Ἐγκρατής». Δὲν ἐννοεῖ ἐδῶ ἐκεῖνον ποὺ

τὸν καὶ γλώττης καὶ χειρὸς καὶ ὀφθαλμῶν ἀκολάστων· τοῦτο γάρ ἐστιν ἐγκράτεια, τὸ μηδενὶ ὑποσύρεσθαι πάθει. «Ἀντεχόμενον τοῦ κατὰ τὴν διδαχὴν πιστοῦ λόγου». Πιστοῦ ἐνταῦθα τοῦ ἀληθοῦς φησιν, ἢ τοῦ διὰ πίστεως παραδεδομένου, οὐ δεομένου 5 συλλογισμῶν οὐδὲ ζητημάτων. Ἀντεχόμενον, φροντίζοντα, ἔργον τοῦτο ποιούμενον. Τί οὖν, ἂν λόγων ἄπειρος ᾖ τῶν ἔξωθεν; Διὰ τοῦτο εἶπον, «τοῦ κατὰ διδαχὴν πιστοῦ λόγου». «Ἵνα δυνατὸς ᾖ καὶ παρακαλεῖν, καὶ τοὺς ἀντιλέγοντας ἐλέγχειν». Ὥστε οὐ χρεία κόμπου ρημάτων, ἀλλὰ φρενῶν καὶ Γραφῶν ἐμ- 10 πειρίας καὶ νοημάτων δυνάμεως. Οὐχ ὁρᾷς Παῦλον τρεψάμενον τὴν οἰκουμένην ἅπασαν καὶ μειζόνως ἰσχύσαντα καὶ Πλάτωνος καὶ τῶν ἄλλων ἁπάντων; Ἀλλ' ἀπὸ τῶν σημείων, φησίν. Οὐκ ἀπὸ τῶν σημείων μόνον· εἰ γὰρ ἐπέλθοις τὰς Πράξεις τῶν Ἀποστόλων, πολλαχοῦ αὐτὸν εὑρήσεις ἀπὸ τῆς διδασκαλίας κρα- 15 τοῦντα καὶ πρὸ τῶν σημείων.

«Ἵνα δυνατὸς ᾖ καὶ παρακαλεῖν ἐν τῇ διδασκαλίᾳ τῇ ὑγιαινούσῃ»· τουτέστι, πρὸς φυλακὴν τῶν οἰκείων, πρὸς ἀνατροπὴν τῶν ἐχθρῶν. «Καὶ τοὺς ἀντιλέγοντας ἐλέγχειν». Τούτου γὰρ μὴ ὄντος, πάντα οἴχεται. Ὁ γὰρ οὐκ εἰδὼς μάχεσθαι τοῖς 20 ἐχθροῖς, καὶ αἰχμαλωτίζειν πᾶν νόημα εἰς τὴν ὑπακοὴν τοῦ Χριστοῦ, καὶ λογισμοὺς καθαιρεῖν· ὁ οὐκ εἰδὼς ἃ χρὴ περὶ τῆς ὀρθῆς διδάσκειν διδασκαλίας, πόρρω ἔστω θρόνου διδασκαλικοῦ. Τὰ μὲν γὰρ ἄλλα καὶ ἐν τοῖς ἀρχομένοις εὕροι τις ἄν, οἷον τὸ ἀνέγκλητον, τὸ τέκνα ἔχειν ἐν ὑποταγῇ, τὸ φιλόξενον, τὸ δίκαιον, τὸ 25 ὅσιον· ὃ δὲ μάλιστα χαρακτηρίζει τὸν διδάσκαλον, τοῦτό ἐστι, τὸ δύνασθαι κατηχεῖν τὸν λόγον, οὗ πρόνοια οὐδεμία νῦν.

«Εἰσὶ γὰρ πολλοὶ καὶ ἀνυπότακτοι, ματαιολόγοι καὶ φρεναπάται, μάλιστα ἐκ περιτομῆς· οὓς δεῖ ἐπιστομίζειν». Ὁρᾷς πῶς δείκνυσι πόθεν εἰσὶ τοιοῦτοι; Ἀπὸ τοῦ μὴ θέλειν ἄρχεσθαι, 30 ἀλλὰ ἄρχειν· τοῦτο γὰρ ᾐνίξατο. Ὅταν οὖν πεῖσαι μὴ δυνηθῇς, μὴ διάταττε τούτοις, ἀλλ' ἐπιστόμιζε εἰς τὴν τῶν ἄλλων ὠφέ-

νηστεύει, ἀλλὰ ἐκεῖνον ποὺ ἐξουσιάζει τὸ πάθος, τὴ γλῶσσα, τὸ χέρι καὶ τὰ ἀκόλαστα μάτια. Γιατὶ αὐτὸ σημαίνει ἐγκράτεια, τὸ νὰ μὴν παρασύρεται ἀπὸ κανένα πάθος. «Προσηλωμένος στὸν πιστὸ λόγο, ὅπως μᾶς διδάχθηκε». Πιστὸ ἐδῶ ἐννοεῖ τὸν ἀληθινὸ ἢ τὸ λόγο ποὺ μᾶς παραδόθηκε μὲ τὴν πίστη καὶ ὄχι ἐκεῖνον ποὺ χρειάζεται συλλογισμοὺς καὶ ἀναζητήσεις. Νὰ εἶναι προσηλωμένος, νὰ φροντιζει γιὰ τὸ κήρυγμα, νὰ τὸ κάνει αὐτὸ ἔργο. Τί σημασία ἔχει ἂν εἶναι ἄπειρος ἀπὸ ρητορικοὺς λόγους; Γι' αὐτὸ εἶπα, «νὰ εἶναι προσηλωμένος στὸν πιστὸ λόγο, ὅπως μᾶς διδάχθηκε». «Γιὰ νὰ εἶναι ἱκανὸς νὰ στηρίζει καὶ νὰ ἐλέγχει ἐκείνους ποὺ ἀντιλέγουν». Ὥστε δὲ χρειάζονται μεγάλα λόγια, ἀλλὰ σύνεση καὶ γνώση τῶν Γραφῶν καὶ δύναμη νοημάτων. Δὲ βλέπεις τὸν Παῦλο ποὺ ἔστρεψε ὅλη τὴν οἰκουμένη καὶ ξεπέρασε κατὰ πολὺ τὸν Πλάτωνα καὶ ὅλους τοὺς ἄλλους; Ἀλλά, λέγει, ἐξαιτίας τῶν θαυμάτων. Ὄχι μόνο ἐξαιτίας τῶν θαυμάτων· γιατί, ἂν ἀναγνώσεις τὶς Πράξεις τῶν Ἀποστόλων, θὰ τὸν βρεῖς παντοῦ νὰ ὑπερισχύει ἀπὸ τὴ διδασκαλία καὶ πρὶν ἀπὸ τὰ θαύματα.

«Γιὰ νὰ εἶναι ἱκανὸς νὰ στηρίζει στὴ σωστὴ διδασκαλία». Δηλαδή, γιὰ στήριξη τῶν οἰκείων, γιὰ ἀνατροπὴ τῶν ἐχθρῶν. «Καὶ νὰ ἐλέγχει ἐκείνους ποὺ ἀντιλέγουν». Γιατί, ἂν δὲν ὑπάρχει αὐτό, ὅλα χάνονται. Ἐκεῖνος δηλαδὴ ποὺ δὲν ξέρει νὰ μάχεται τοὺς ἐχθροὺς καὶ νὰ αἰχμαλωτίζει κάθε νόημα στὴν ὑπακοὴ τοῦ Χριστοῦ καὶ ν' ἀνατρέπει συλλογισμούς, ἐκεῖνος ποὺ δὲν ξέρει νὰ διδάσκει αὐτὰ ποὺ πρέπει γιὰ τὴ σωστὴ διδασκαλία, εἶναι μακριὰ ἀπὸ τὸ διδασκαλικὸ θρόνο. Γιατὶ ὅλα τὰ ἄλλα θὰ μποροῦσε νὰ τὰ βρεῖ κανεὶς καὶ στοὺς ἀρχομένους, ὅπως τὸ νὰ εἶναι κάποιος ἀδιάβλητος, νὰ ἔχει παιδιὰ ὑπάκουα, νὰ εἶναι φιλόξενος, δίκαιος, εὐσεβής. Ἐκεῖνο ὅμως ποὺ χαρακτηρίζει ἰδιαίτερα τὸ διδάσκαλο εἶναι αὐτό, τὸ νὰ μπορεῖ νὰ διδάσκει τὸ λόγο, γιὰ τὸ ὁποῖο δὲν ὑπάρχει τώρα καμμιὰ φροντίδα.

«Γιατὶ ὑπάρχουν πολλοὶ ἀνυπότακτοι, ματαιολόγοι καὶ συσκοτιστὲς τοῦ νοῦ, μάλιστα ἐκεῖνοι ποὺ προέρχονται ἀπὸ τοὺς Ἰουδαίους· αὐτοὺς πρέπει κανεὶς νὰ τοὺς ἀποστομώνει». Βλέπεις πῶς δείχνει ἀπὸ ποῦ εἶναι τέτοιοι; Ἀπὸ τὸ ὅτι δὲ θέλουν νὰ ἐξουσιάζονται, ἀλλὰ νὰ ἐξουσιάζουν· γιατὶ αὐτὸ ὑπαινίχθηκε. Ὅταν

λειαν. Τί οὖν τὸ κέρδος, ὅταν μὴ πείθωνται, ἢ καὶ εἰ ἀνυπότακτοί εἰσι; Τίνος ἕνεκεν ἐπιστομίζειν χρή; Ἵνα ὠφεληθῶσιν ἕτεροι ἐντεῦθεν. «Οἵτινες ὅλους οἴκους ἀνατρέπουσι, διδάσκοντες ἃ μὴ δεῖ, αἰσχροῦ κέρδους χάριν». Εἰ γὰρ τὴν διδασκαλίαν ἀνεδέξατο, οὐχ ἱκανὸς δέ ἐστιν ἐκείνοις μάχεσθαι οὐδὲ ἐπιστομίσαι αὐτοὺς οὕτως ἀναισχυντοῦντας, τῆς τῶν ἀπολλυμένων βλάβης καθ' ἕκαστον αἴτιος γενήσεται. Εἰ γὰρ παραινεῖ τις λέγων, «μὴ ζήτει γενέσθαι κριτής, εἰ μὴ ἰσχύεις ἐξᾶραι ἀδικίαν», πολλῷ μᾶλλον ἐνταῦθα ἂν εἴποι τις, μὴ ζήτει γενέσθαι διδάσκαλος, εἰ τῆς τοῦ πράγματος ἀξίας ἀπέχεις, ἀλλὰ καὶ ἑλκόμενος ἀποπήδα. Ὁρᾷς πανταχοῦ τὴν φιλαργυρίαν, τὴν αἰσχροκέρδειαν αἰτίαν τούτων οὖσαν; «Διδάσκοντες», φησίν, «ἃ μὴ δεῖ, αἰσχροῦ κέρδους χάριν».

3. Οὐδὲν γάρ ἐστιν, ὃ μὴ λυμαίνεται ταῦτα τὰ πάθη· ἀλλ' ὥσπερ πνεύματά τινα ἄγρια εἰς γαληνὸν ἐμπεσόντα πέλαγος, ὅλον αὐτὸ κάτωθεν ἀναμοχλεύει, ὡς καὶ τὴν ἄμμον τοῖς κύμασιν ἀναμίγνυσθαι, οὕτω ταῦτα τὰ πάθη εἰς ψυχὴν εἰσιόντα, πάντα ἄνω καὶ κάτω ποιεῖ, πηροῖ τὸ διορατικὸν τῆς διανοίας, μάλιστα δὲ ἡ τῆς δόξης μανία. Χρημάτων μὲν γὰρ εὔκολον καταφρονῆσαι τῷ βουλομένῳ· τῆς δὲ παρὰ τῶν πολλῶν τιμῆς ὑπεριδεῖν, πολλοῦ δεῖ πόνου, μεγάλης φιλοσοφίας, ψυχῆς τινος ἀγγελικῆς αὐτῆς ἁπτομένης τῆς κορυφῆς τῆς τοῦ οὐρανοῦ. Οὐ γάρ ἐστιν, οὐκ ἔστιν οὐδὲν οὕτω πάθος τυραννικὸν καὶ πανταχοῦ κρατοῦν, ἐκ πλείονος μὲν καὶ ἐλάττονος μοίρας, πανταχοῦ δὲ ὅμως. Πῶς ἂν οὖν αὐτοῦ περιγενοίμεθα, εἰ καὶ μὴ κατὰ κράτος, ἀλλὰ κἂν ἐξ ἐλαχίστου μέρους; Ἂν εἰς τὸν οὐρανὸν ἀναβλέπωμεν, ἂν τὸν Θεὸν σχῶμεν πρὸ ὀφθαλμῶν, ἂν μείζων τῶν γηΐνων λάβωμεν λογισμόν.

Ἐννόησον, ὅταν ἐπιθυμῇς δόξης, ὅτι αὐτῆς ἐπέτυχες, καὶ μάθε τὸ τέλος, καὶ οὐδὲν εὑρήσεις· ἐννόησον ὅσην ἔχει τὴν

---

2. Σοφ. Σειρ. 7,6.

λοιπὸν δὲν μπορέσεις νὰ τοὺς πείσεις, αὐτοὺς νὰ μὴν τοὺς προστάζεις, ἀλλὰ νὰ τοὺς ἀποστομώνεις πρὸς ὠφέλεια τῶν ἄλλων. Ποιό δηλαδὴ εἶναι τὸ κέρδος, ὅταν δὲν πείθονται ἢ καὶ ὅταν εἶναι ἀνυπάκουοι; Γιὰ ποιό λόγο πρέπει νὰ τοὺς ἀποστομώνει; Γιὰ νὰ ὠφεληθοῦν ἄλλοι ἀπ' αὐτό. «Οἱ ὁποῖοι γκρεμίζουν ὁλόκληρα σπίτια, διδάσκοντας ἐκεῖνα ποὺ δὲν πρέπει ἐξαιτίας αἰσχροῦ κέρδους». Ἂν λοιπὸν ἀνέλαβε τὴ διδασκαλία καὶ δὲν εἶναι ἱκανὸς νὰ τοὺς μάχεται καὶ νὰ τοὺς ἀποστομώνει ὅταν εἶναι τόσο ἀδιάντροποι, θὰ γίνει αἴτιος γιὰ τὴ ζημία τοῦ καθενὸς ξεχωριστὰ ἀπ' αὐτοὺς ποὺ χάνονται. Γιατί, ἂν κάποιος συμβουλεύει λέγοντας, «νὰ μὴ ζητᾶς νὰ γίνεις δικαστής, ἂν δὲν μπορέσεις να ἐξαλείψεις τὴν ἀδικία»[2], πολὺ περισότερο ἐδῶ θὰ μποροῦσε νὰ πεῖ κανείς, 'νὰ μὴ ζητᾶς νὰ γίνεις διδάσκαλος, ἂν ἀπέχεις ἀπὸ τὴν ἀξία τοῦ πράγματος, ἀλλὰ ν' ἀπομακρύνεσαι καὶ ὅταν σύρεσαι πρὸς αὐτό. Βλέπεις ὅτι παντοῦ αἰτία αὐτῶν εἶναι ἡ φιλαργυρία καὶ ἡ αἰσχροκέρδεια; «Διδάσκοντας», λέγει, «ἐκεῖνα ποὺ δὲν πρέπει ἐξαιτίας αἰσχροῦ κέρδους».

3. Δὲν ὑπάρχει τίποτε ποὺ νὰ μὴν τὸ καταστρέφουν αὐτὰ τὰ πάθη, ἀλλὰ ὅπως κάποιοι ἄγριοι ἄνεμοι ὅταν ξεσπάσουν σὲ γαλήνιο πέλαγος τὸ ἀνακατώνουν ὅλο ἀπὸ κάτω, ὥστε καὶ ἡ ἄμμος ν' ἀναμειχθεῖ μὲ τὰ κύματα, ἔτσι καὶ τὰ πάθη αὐτά, ὅταν μποῦν στὴν ψυχὴ ἀναντρέπουν τὰ πάντα, τυφλώνουν τὴν ὅραση τοῦ νοῦ, καὶ ἰδιαίτερα ἡ μανία τῆς δόξας. Γιατὶ τὰ χρήματα εἶναι εὔκολο νὰ τὰ περιφρονήσει ὅποιος θέλει, νὰ παραβλέψει ὅμως τὴν τιμὴ ἀπὸ τοὺς πολλοὺς χρειάζεται πολὺ κόπο, μεγάλη φιλοσοφία, ψυχὴ ἀγγελική, ποὺ ν' ἀγγίζει τὴν ἴδια τὴν κορυφὴ τοῦ οὐρανοῦ. Δὲν ὑπάρχει, πραγματικὰ δὲν ὑπάρχει κανένα πάθος τόσο τυραννικὸ ποὺ νὰ ὑπερισχύει παντοῦ, ἀλλοῦ περισσότερο καὶ ἀλλοῦ λιγότερο, παντοῦ ὅμως. Πῶς λοιπὸν θὰ μπορέσουμε νὰ τὸ νικήσουμε, ἂν ὄχι τελείως, ἀλλ' ἔστω καὶ ὡς πρὸς τὸ ἐλάχιστο μέρος; Ἂν βλέπουμε ψηλὰ στὸν οὐρανό, ἂν ἔχουμε τὸ Θεὸ μπροστά μας, ἂν σκεπτόμαστε πράγματα σπουδαιότερα ἀπὸ τὰ γήϊνα.

Σκέψου, ὅταν ἐπιθυμεῖς δόξα, ὅτι τὴν πέτυχες, καὶ μάθε τὸ τέλος καὶ τίποτε δὲ θὰ βρεῖς. Σκέψου πόση ζημιὰ ἔχει τὸ πράγ-

ζημίαν τὸ πρᾶγμα, ὅσων καὶ ἡλίκων ἀποστερεῖ ἀγαθῶν· τοὺς μὲν γὰρ πόνους ὑποστήσῃ καὶ τοὺς κινδύνους, τῶν δὲ καρπῶν ἀποστερηθήσῃ καὶ τῶν ἐπάθλων· ἐννόει ὅτι οἱ πλεῖστοι κακοί, καὶ καταφρόνησον αὐτῶν τῆς δόξης. Καθ' ἕνα ἕκαστον ἀναλόγι-
5 σαι τίς ἐστι, καὶ ὄψει τὸ πρᾶγμα γέλωτος γέμον· ὄψει ὅτι αἰσχύνη μᾶλλον, ἢ δόξα τὸ πρᾶγμά ἐστι· καὶ μετὰ ταῦτα ἀνάγαγε τὸν λογισμὸν ἐπὶ τὸ ἄνω θέατρον. Ὅταν ἀγαθόν τι πράττων ἐννοῇς, ὅτι δεῖ καὶ ἀνθρώποις δεῖξαι, καί τινας ἐπιζητῇς θεατὰς τοῦ πράγματος, καὶ ὠδίνῃς ὥστε ὀφθῆναι· ἐννόησον ὅτι ὁ Θεὸς ὁρᾷ,
10 καὶ πᾶσαν ἐκείνην σβεννύεις τὴν ἐπιθυμίαν· ἀναχώρησον ἐκ τῆς γῆς, πρὸς ἐκεῖνο ἴδε τὸ θέατρον τὸ ἐν τοῖς οὐρανοῖς. Ἄνθρωποι κἂν ἐπαινέσωσιν, ἀλλ' ὕστερον ἐμέμψαντο, ἀλλὰ φθονοῦσιν, ἀλλ' ἐπιλαμβάνονται· κἂν μὴ τοῦτο ποιῶσιν, οὐδὲν ὅλως ὠφελήσουσι τὸν ἐπαινούμενον· ἐπὶ δὲ τοῦ Θεοῦ οὐχ οὕτως, ἀλ-
15 λὰ χαίρει ἐπαινῶν ἡμῶν τὰ κατορθώματα.

Εἶπες ὀρθῶς καὶ κρότων ἐπέτυχες; καὶ τί τὸ κέρδος; Εἰ μὲν γὰρ ὠφελήθησαν οἱ κροτήσαντες καὶ μετεβάλοντο καὶ βελτίους ἐγένοντο καὶ τῶν προτέρων κακῶν ἀπέστησαν, δεῖ χαίρειν ὄντως, οὐκ ἐπὶ τοῖς ἐπαίνοις τοῖς γενομένοις, ἀλλ' ἐπὶ τῇ μετα-
20 βολῇ τῇ καλῇ καὶ θαυμαστῇ. Εἰ δὲ διαπαντὸς μὲν ἐπαινοῦντες καὶ θορυβοῦντες καὶ κροτοῦντες διατελοῦσι, καρποῦνται δὲ οὐδὲν ἀπὸ τῶν κρότων, ἀλγεῖν μᾶλλον χρή, ὅτι αὐτοῖς εἰς κρίμα ταῦτα γίνεται. Ἀλλ' ἐπὶ εὐλαβείᾳ δόξαν ἔχεις; Ἂν μὲν ὄντως ᾖς εὐλαβὴς καὶ μηδὲν ἑαυτῷ σύνοιδας πονηρόν, χαίρειν δεῖ, οὐκ
25 ἐπειδὴ δοκεῖς, ἀλλ' ἐπειδὴ εἶ· ἂν μέντοι μὴ ὤν, τῆς τῶν πολλῶν δόξης ἐπιθυμῇς, ἐννόει ὅτι οὐχ οὗτοι κρινοῦσιν ἡμῖν κατ' ἐκείνην τὴν ἡμέραν, ἀλλ' ὁ τὰ λανθάνοντα μετὰ ἀκριβείας ἐπιστάμενος. Εἰ δὲ συνειδὼς ἑαυτῷ ἁμαρτήματα, καθαρὸς εἶναι παρὰ πᾶσιν ὑποπτεύῃ, οὐ μόνον οὐ χαίρειν δεῖ, ἀλλὰ καὶ ἀλγεῖν καὶ στένειν
30 πικρόν, τὴν ἡμέραν ἐννοοῦντα συνεχῶς, καθ' ἣν πάντα ἀποκαλύπτεται, καθ' ἣν τὰ κρυπτὰ τοῦ σκότους φωτίζεται.

μα, πόσα πολλὰ καὶ μεγάλα ἀγαθὰ σοῦ στερεῖ· γιατὶ θὰ ὑποστεῖς τοὺς κόπους καὶ τοὺς κινδύνους, ἀλλὰ θὰ στερηθεῖς τοὺς καρποὺς καὶ τὰ ἔπαθλα. Σκέψου ὅτι οἱ περισσότεροι εἶναι κακοὶ καὶ περιφρόνησε τὴ δόξα τους. Ἀναλογίσου τί εἶναι ὁ καθένας χωριστά, καὶ θὰ δεῖς ὅτι τὸ πράγμα εἶναι πολὺ γελοῖο. Θὰ δεῖς ὅτι τὸ πράγμα εἶναι ντροπὴ μᾶλλον παρὰ δόξα, καὶ ὕστερα μετάφερε τὴ σκέψη σου στὸν οὐρανό. Ὅταν κάνεις κάτι καλὸ καὶ σκεφθεῖς ὅτι πρέπει νὰ τὸ δείξεις καὶ στοὺς ἀνθρώπους καὶ ἐπιζητεῖς κάποιους θεατὲς τοῦ πράγματος καὶ ἀγωνιᾶς νὰ φανεῖ, σκέψου ὅτι ὁ Θεὸς βλέπει, καὶ τότε θὰ σβήσεις ὅλη αὐτὴ τὴν ἐπιθυμία· ἀναχώρησε ἀπὸ τὴ γῆ καὶ δὲς πρὸς ἐκεῖνο τὸ θέατρο ποὺ βρίσκεται στοὺς οὐρανούς. Οἱ ἄνθρωποι, καὶ ἂν ἀκόμη ἐπαινέσουν, ὕστερα κατηγοροῦν, φθονοῦν, ἐπιτίθενται· καὶ ἂν δὲν κάνουν αὐτό, δὲ θὰ ὠφελήσουν καθόλου ἐκεῖνον ποὺ ἐπαινεῖται. Μὲ τὸ Θεὸ ὅμως δὲ συμβαίνει τὸ ἴδιο, ἀλλὰ χαίρεται ὅταν ἐπαινεῖ τὰ κατορθώματά μας.

Μίλησες σωστὰ καὶ δέχθηκες χειροκροτήματα; Καὶ ποιό τὸ κέρδος; Γιατί, ἂν ὠφελήθηκαν ἐκεῖνοι ποὺ σὲ χειροκρότησαν καὶ ἄλλαξαν καὶ ἔγιναν καλύτεροι καὶ ἀπομακρύνθηκαν ἀπὸ τὰ προηγούμενα κακά, πρέπει πραγματικὰ νὰ χαίρεσαι, ὄχι γιὰ τοὺς ἐπαίνους, ἀλλὰ γιὰ τὴν καλὴ καὶ θαυμαστὴ μεταβολὴ ποὺ ἔγινε. Ἂν ὅμως συνεχῶς ἐπαινοῦν καὶ θορυβοῦν καὶ χειροκροτοῦν καὶ δὲν ὠφελοῦνται καθόλου ἀπὸ τὰ χειροκροτήματα, πρέπει μᾶλλον νὰ λυπᾶσαι, γιατὶ αὐτὰ κατέληξαν σὲ καταδίκη τους. Ἀλλὰ ἔχεις δόξα γιὰ τὴν εὐσέβειά σου; Ἂν πραγματικὰ εἶσαι εὐσεβὴς καὶ δὲν αἰσθάνεσαι κανένα κακὸ στὴ συνείδησή σου, πρέπει νὰ χαίρεσαι, ὄχι γιατὶ φαίνεσαι ἀλλὰ γιατὶ εἶσαι. Ἂν ὅμως χωρὶς νὰ εἶσαι εὐσεβὴς ἐπιθυμεῖς τὴ δόξα τῶν πολλῶν, σκέψου ὅτι δὲ θὰ μᾶς κρίνουν αὐτοὶ ἐκείνη τὴν ἡμέρα ἀλλ' ἐκεῖνος ποὺ γνωρίζει πολὺ καλὰ τὰ κρυφά. Ἂν ὅμως παρ' ὅλο ποὺ ἡ συνείδησή σου σὲ ἐλέγχει γιὰ ἁμαρτήματα θεωρεῖσαι ἀπ' ὅλους καθαρός, ὄχι μόνο δὲν πρέπει νὰ χαίρεσαι, ἀλλὰ καὶ νὰ λυπᾶσαι καὶ νὰ στενάζεις πικρά, σκεπτόμενος συνεχῶς τὴν ἡμέρα κατὰ τὴν ὁποία ἀποκαλύπτονται ὅλα καὶ φωτίζονται τὰ κρυφὰ ποὺ ἔγιναν στὸ σκοτάδι.

Τιμῆς ἀπολαύεις; διακρούου ταύτην, εἰδὼς ὅτι σὲ ὀφειλέτην καθίστησιν. Οὐδείς σοι παρέχει τιμήν; καὶ χαίρειν δεῖ ἐπὶ τούτῳ· καὶ γάρ σοι μετὰ τῶν ἄλλων καὶ τοῦτο ὁ Θεὸς προβαλεῖται, ὅτι τιμῆς ἀπήλαυσας. Ἢ οὐχ ὁρᾷς, ὡς μετὰ τῶν ἄλλων εὐ-
5 εργεσιῶν καὶ τοῦτο ἐγκαλεῖ ὁ Θεὸς διὰ τοῦ προφήτου, «ἔλαβον ἐκ τῶν υἱῶν ὑμῶν εἰς προφήτας, καὶ ἐκ τῶν νεανίσκων ὑμῶν εἰς ἁγιασμόν»; Κἂν τοῦτο τοίνυν κερδανεῖς, ὅτι οὐκ ἔσῃ ὑπεύθυνος μείζονι τιμωρίᾳ. Ὁ μὲν γὰρ μὴ τιμώμενος ἐν τῷ παρόντι βίῳ, καὶ καταφρονούμενος καὶ οὐδὲ λόγου τινὸς ἀπολαύων,
10 ἀλλὰ καὶ ὑβριζόμενος καὶ διαπτυόμενος, εἰ καὶ μηδὲν ἕτερον, τοῦτο γοῦν καρποῦται, τὸ μὴ καὶ τούτου ὑπεύθυνος εἶναι, τοῦ τιμηθῆναι παρὰ τῶν ὁμοδούλων. Καὶ διὰ πολλὰ δὲ ἕτερα κερδαίνει ἐντεῦθεν· συστέλλεται, ταπεινοῦται, οὐδέ, ἐὰν θέλῃ, μέγα φρονήσει ποτέ, εἰ ἑαυτῷ μᾶλλον προσέχει. Ὁ μέντοι πολλῆς
15 ἀπολαύων τιμῆς, πρὸς τῷ καὶ ὀφλημάτων εἶναι μεγάλων ὑπεύθυνος, καὶ εἰς ἀπόνοιαν αἴρεται καὶ εἰς κενοδοξίαν, καὶ γίνεται δοῦλος ἀνθρώπων. Εἶτα τῆς δεσποτείας ταύτης αὐξανομένης, πολλὰ ἀναγκάζεται ποιεῖν, ὧν οὐ βούλεται.

4. Ὡς οὖν εἰδότες ὅτι τοῦτο βέλτιον ἡμῖν, ἢ ἐκεῖνο, μήτε
20 ζητῶμεν τιμάς, καὶ τὰς παρεχομένας διακρουώμεθα, ἀπορρίπτωμεν ἀφ' ἑαυτῶν, σβεννύωμεν τὴν ἐπιθυμίαν ταύτην. Ταῦτα καὶ πρὸς ἄρχοντας καὶ πρὸς ἀρχομένους ἡμῖν εἴρηται. Ψυχὴ γὰρ τιμῆς ἐπιθυμοῦσα καὶ τοῦ δοξάζεσθαι, οὐκ ὄψεται τὴν βασιλείαν τῶν οὐρανῶν. Οὐκ ἐμὸς οὗτος ὁ λόγος, οὐδὲ ἐμαυτοῦ λέγω
25 ῥήματα, ἀλλὰ τοῦ θείου Πνεύματος· οὐκ ὄψεται, κἂν ἀρετὴν ἐργάζηται. «Ἀπέχουσι» γάρ, φησί, «τὸν μισθὸν αὐτῶν». Ὁ τοίνυν μισθὸν μὴ λαμβάνων, πῶς ὄψεται τὴν βασιλείαν τῶν οὐρανῶν; Οὐ κωλύω δόξης ἐφίεσθαι, ἀλλὰ δόξης βούλομαι τῆς ἀληθοῦς τῆς παρὰ τοῦ Θεοῦ· «οὗ ὁ ἔπαινος», φησίν, «οὐκ ἐξ ἀνθρώπων,
30 ἀλλ' ἐκ τοῦ Θεοῦ». Ἐν τῷ κρυπτῷ ὦμεν εὐλαβεῖς, μὴ περικείμενοι τῦφον πολὺν καὶ σκηνὴν καὶ ὑπόκρισιν· ῥίψωμεν

---

3. Ἀμὼς 2,11. 4. Ματθ. 6,5. 5. Ρωμ. 2,29.

Ἀπολαμβάνεις τιμή; Ἀπόκρουσέ την, γνωρίζοντας ὅτι σὲ καθιστᾶ ὀφειλέτη. Δὲ σοῦ παρέχει κανεὶς τιμή; Πρέπει νὰ χαίρεσαι γι' αὐτό. Γιατὶ μαζὶ μὲ τὰ ἄλλα ὁ Θεὸς θὰ σοῦ κατηγορήσει καὶ αὐτό, ὅτι δηλαδὴ ἀπόλαυσες τιμή. Ἢ δὲ βλέπεις ὅτι μαζὶ μὲ τὶς ἄλλες εὐεργεσίες ὁ Θεὸς κατηγορεῖ καὶ αὐτὸ μὲ τὸ στόμα τοῦ προφήτη, «ἔλαβα ἀπὸ τὰ παιδιά σας τοὺς προφῆτες μου καὶ ἀπὸ τοὺς πιὸ νέους σας διάλεξα ἀνθρώπους νὰ εἶναι ἀφιερωμένοι σὲ μένα»[3]; Τουλάχιστο ὅμως θὰ κερδίσεις αὐτό, ὅτι δὲ θὰ θεωρηθεῖς ὑπεύθυνος γιὰ μεγαλύτερη τιμωρία. Γιατὶ ἐκεῖνος ποὺ στὴν παρούσα ζωὴ δὲν τιμᾶται, ἀλλὰ περιφρονεῖται καὶ δὲν ἀπολαμβάνει καμμιὰ τιμή, ἀλλὰ προπηλακίζεται καὶ καταφρονεῖται, ἂν τίποτε ἄλλο, τουλάχιστο κερδίζει αὐτό, τὸ νὰ μὴν εἶναι ὑπεύθυνος γιὰ τὴν τιμὴ ποὺ ἀπόλαυσε ἀπὸ τοὺς συνανθρώπους του. Καὶ πολλὰ ἄλλα κερδίζει ἀπὸ ἐδῶ· συστέλλεται, ταπεινώνεται, οὔτε, ἂν θέλει, θὰ καυχηθεῖ ποτέ, ἂν προσέχει περισσότερο τὸν ἑαυτό του. Ὅποιος ὅμως ἀπολαμβάνει πολλὴ τιμή, ἐκτὸς τοῦ ὅτι εἶναι ὑπεύθυνος γιὰ μεγάλες ὀφειλές, ὁδηγεῖται σὲ ἀλαζονεία καὶ ματαιοδοξία καὶ γίνεται δοῦλος ἀνθρώπων. Στὴ συνέχεια καθὼς μεγαλώνει αὐτὴ ἡ τυραννία ἀναγκάζεται νὰ κάνει πολλὰ ποὺ δὲ θέλει.

4. Ἀφοῦ λοιπὸν γνωρίζουμε ὅτι αὐτὸ εἶναι καλύτερο γιὰ μᾶς ἀπὸ ἐκεῖνο, ἃς μὴν ἐπιδιώκουμε τιμές, καὶ ἐκεῖνες ποὺ μᾶς παρέχονται ἃς τὶς ἀποκρούουμε καὶ ἃς τὶς ἀπορρίπτουμε ἀπὸ μόνοι μας καὶ ἃς σβήνουμε τὴν ἐπιθυμία αὐτή. Αὐτὰ τὰ λέγω καὶ στοὺς ἄρχοντες καὶ τοὺς ἀρχομένους. Γιατὶ ἡ ψυχὴ ποὺ ἐπιθυμεῖ τὴν τιμὴ καὶ τὴ δόξα δὲ θὰ δεῖ τὴ βασιλεία τῶν οὐρανῶν. Δὲν εἶναι δικός μου αὐτὸς ὁ λόγος, οὔτε λέγω δικά μου λόγια, ἀλλὰ τοῦ θείου Πνεύματος· δὲ θὰ τὴ δεῖ ἔστω καὶ ἂν ἐργάζεται τὴν ἀρετή. Γιατὶ λέγει· «αὐτοὶ οἱ ἄνθρωποι ἔχουν λάβει τὴν ἀμοιβή τους»[4]. Ἐκεῖνος λοιπὸν ποὺ δὲν λαμβάνει ἀμοιβὴ πῶς θὰ δεῖ τὴ βασιλεία τῶν οὐρανῶν; Δὲν ἐμποδίζω τὴν ἐπιθυμία τῆς δόξας, ἀλλὰ θέλω τὴν ἐπιθυμία τῆς ἀληθινῆς δόξας ποὺ προέρχεται ἀπὸ τὸ Θεό· «αὐτὸς ὁ ἄνθρωπος», λέγει, «λαμβάνει ἔπαινο ὄχι ἀπὸ τοὺς ἀνθρώπους ἀλλὰ ἀπὸ τὸ Θεό»[5]. Ἂς εἴμαστε στὰ κρυφὰ εὐσεβεῖς, χωρὶς νὰ δείχνομε μεγάλη ὑπερηφάνεια καὶ νὰ ἐπιδεικνυόμαστε

τοῦ προβάτου τὴν δοράν, μᾶλλον δὲ γενώμεθα πρόβατα· οὐδὲν τῆς τῶν ἀνθρώπων δόξης οὐδαμινέστερον. Εἰπὲ γάρ μοι, ἐὰν ἴδῃς παίδων πλῆθος μικρῶν, ὑπομαζίων λέγω, ἆρα ἐπιθυμεῖς τῆς δόξης τῆς παρ' ἐκείνων; Οὕτω πρὸς τοὺς ἀνθρώπους διά-
5 κεισο πάντας δόξης ἕνεκεν. Διὰ τοῦτο κενοδοξία λέγεται.

Οὐχ ὁρᾷς τὰ προσωπεῖα, ἃ περιτίθενται οἱ ἐπὶ τῆς σκηνῆς; πῶς μὲν καλά, πῶς δὲ λαμπρά, πῶς δὲ εἰς τὴν ἐσχάτην ἀκρίβειαν τῆς εὐμορφίας διαπεπλασμένα; ἔχεις μοι δεῖξαι ὄψιν τοιαύτην ἐπὶ τῆς ἀληθείας; Οὐδαμῶς. Τί οὖν; ἆρα ἠράσθης αὐτῶν
10 ποτε; Οὔ. Διὰ τί; ἐπειδὴ διάκενά ἐστι καὶ μιμεῖται κάλλος, οὐκ ἔστι δὲ κάλλος. Οὕτω καὶ ἡ δόξα διάκενός ἐστι καὶ μιμεῖται δόξαν, οὐκ ἔστι δὲ δόξα. Ἐκείνη μόνη μένει ἡ φυσική, ἡ ἔνδον, αὕτη δὲ ἡ ἔξω ἐπικειμένη ἐπικρύπτει πολλάκις τὴν ἀμορφίαν, ἐπικρύπτει παρὰ ἀνθρώποις, καὶ μέχρι τῆς ἑσπέρας, τοῦ δὲ θεάτρου
15 λυθέντος καὶ τῶν προσωπείων ἐπαρθέντων, ἕκαστος ὅπερ ἐστί, τοῦτο φαίνεται. Μὴ τοίνυν ὡς ἐν σκηνῇ καὶ ἐν ὑποκρίσει τὴν ἀλήθειαν μετέλθωμεν. Εἰπὲ γάρ μοι, τί καλὸν ἔχει τὸ περιβλέπεσθαι παρὰ τῶν πολλῶν; κενοδοξία ἐστὶ καὶ οὐδὲν ἕτερον· ἐπεὶ ἄνελθε εἰς τὴν οἰκίαν καὶ γενοῦ μόνος, καὶ εὐθέως διερρύη τὸ
20 πᾶν. Ἐνέβαλες εἰς τὴν ἀγοράν; ἐπέστρεψας τοὺς παρόντας; καὶ τί τὸ πλέον; Οὐδέν· ἐσβέσθη καὶ ἀπῆλθεν ὡς καπνὸς διαλυθείς. Τῶν οὖν ἀνυποστάτων οὕτως ἐρῶμεν; καὶ πόσης ταῦτα ἀλογίας, εἰπέ μοι; πόσης ἀνοίας;

Πρὸς ἓν τοίνυν ὁρῶμεν μόνον, πῶς ὁ Θεὸς ἐπαινέσει· ἂν
25 τοῦτο σκοπῶμεν, οὐδέποτε ζητήσομεν τὰ παρὰ τῶν ἀνθρώπων, ἀλλὰ κἂν γένηται, καταφρονήσομεν, καταγελασόμεθα, διαπτύσομεν· ὡς ἂν εἰ χρυσίου μὲν ἐφιέμενοι, πηλὸν δὲ λαμβάνοντες, οὕτω διακεισόμεθα. Μὴ ἐπαινείτω σε ὁ δεῖνα· οὐδὲν γὰρ ὠφέλησε· κἂν ψέξῃ, οὐδὲν ἔβλαψεν. Ἐπὶ δὲ τοῦ Θεοῦ ταῦτα ἀμφότε-
30 ρα ἔχει τι κέρδος καὶ ζημίαν, τὰ δὲ παρὰ τῶν ἀνθρώπων πάντα

καὶ νὰ ὑποκρινόμαστε. Ἂς πετάξουμε τὸ δέρμα τοῦ προβάτου, ἢ καλύτερα ἂς γίνουμε πρόβατα. Τίποτε δὲν εἶναι μηδαμινότερο ἀπὸ τὴν ἀνθρώπινη δόξα. Γιατὶ πές μου, ἂν δεῖς πολλὰ μικρὰ παιδιά, ἐννοῶ νήπια, ἄραγε ἐπιθυμεῖς τὴ δόξα ἀπ' αὐτά; Ἔτσι νὰ συμπεριφέρεσαι πρὸς ὅλους τοὺς ἀνθρώπους ἐξαιτίας τῆς δόξας. Γι' αὐτὸ λέγεται κενοδοξία.

Δὲ βλέπεις τὰ προσωπεῖα ποὺ φοροῦν οἱ ἠθοποιοί; πῶς εἶναι ὡραῖα, πῶς εἶναι λαμπρά, πῶς εἶναι κατασκευασμένα ὡς τὴν τελευταία λεπτομέρεια τῆς ὀμορφιᾶς; Μπορεῖς νὰ μοῦ δείξεις ἕνα τέτοιο πρόσωπο ἀληθινό; Καθόλου. Τί λοιπόν; Μήπως τὰ ἀγάπησες κάποτε; Ὄχι. Γιὰ ποιό λόγο; Ἐπειδὴ εἶναι ἐντελῶς κενὰ καὶ μιμοῦνται τὴν ὀμορφιά, ἐνῶ στὴν πραγματικότητα δὲν ὑπάρχει ὀμορφιά. Ἔτσι καὶ ἡ δόξα εἶναι ἐντελῶς κενὴ καὶ μιμεῖται τὴ δόξα, ἀλλὰ δὲν ὑπάρχει δόξα. Ἐκείνη μόνο μένει ἡ φυσική, ἡ ἐσωτερική, ἐνῶ αὐτὴ ποὺ προστίθεται ἀπ' ἔξω καλύπτει πολλὲς φορὲς ἀσχήμια, τὴν καλύπτει ἀπὸ τοὺς ἀνθρώπους καὶ μέχρι τὸ βράδυ· ὅταν ὅμως τελειώσει τὸ θέατρο καὶ ἀφαιρεθοῦν τὰ προσωπεῖα ὁ καθένας φαίνεται αὐτὸ ποὺ εἶναι. Ἂς μὴν ἀσκήσουσε λοιπὸν τὴν ἀλήθεια ὅπως στὴ σκηνὴ καὶ στὴν ὑποκριτικὴ τέχνη. Γιατὶ πές μου· τί καλὸ ἔχει τὸ νὰ σὲ βλέπουν οἱ πολλοί; Κενοδοξία εἶναι τὸ πράγμα καὶ τίποτε ἄλλο. Πήγαινε στὸ σπίτι σου καὶ μεῖνε μόνος, καὶ ἀμέσως ἐξαφανίζονται τὰ πάντα. Πῆγες στὴν ἀγορά; ἔστρεψες τὰ βλέμματα τῶν παρόντων πρὸς τὸν ἑαυτό σου; καὶ ποιά ἡ ὠφέλεια; Καμμιά· σβήστηκε καὶ ἔφυγε ἡ δόξα σὰν καπνὸς ποὺ διαλύθηκε. Ἀγαπᾶμε δηλαδὴ τόσο τὰ ἀνύπαρκτα πράγματα; Καὶ πόσης, πές μου, παραφροσύνης ἀπόδειξη δὲν εἶναι αὐτὰ καὶ πόσης ἀνοησίας;

Ἂς βλέπουμε λοιπὸν σ' ἕνα μόνο, πῶς θὰ μᾶς ἐπαινέσει ὁ Θεός. Ἂν προσέχουμε αὐτό, ποτὲ δὲ θὰ ζητήσουμε τὰ ἀνθρώπινα, ἀλλὰ καὶ ἂν γίνει κάτι τέτοιο θὰ τὰ περιφρονήσουμε, θὰ τὰ περιγελάσουμε, θὰ τὰ σιχαθοῦμε· σὰν νὰ ἐπιθυμοῦμε χρυσὸ καὶ παίρνουμε πηλό, ἔτσι θὰ συμπεριφερόμαστε πρὸς αὐτά. Ἂς μὴ σὲ ἐπαινεῖ ὁ τάδε, γιατὶ δὲ σὲ ὠφέλησε καθόλου· καὶ ἂν σὲ ψέξει, δὲ σὲ ἔβλαψε καθόλου. Στὸ Θεὸ ὅμως καὶ τὰ δύο αὐτὰ ἔχουν κάποιο κέρδος καὶ ζημία, ἐνῶ τὰ ἀνθρώπινα εἶναι ὅλα μάταια.

μάταια. Καὶ κατὰ τοῦτο ἐξισούμεθα τῷ Θεῷ, ὅτι οὐ δεῖται τῆς παρ' ἀνθρώπων δόξης ἐκεῖνος· «δόξαν» γάρ, φησί, «παρὰ ἀνθρώπων οὐ λαμβάνω». Μικρὸν μὲν οὖν τοῦτο, εἰπέ μοι; Ὅταν μὴ θέλῃς καταφρονεῖν δόξης, εἰπὲ ὅτι τῷ Θεῷ ἴσος γίνομαι κα-
5 *ταφρονήσας, καὶ εὐθέως καταφρονήσεις. Οὐ γὰρ ἔστιν ἄνθρωπον δόξης δοῦλον, μὴ πάντων εἶναι δοῦλον, καὶ αὐτῶν τῶν ἀνδραπόδων δουλικώτερον. Οὐ γὰρ ἐπιτάττομεν τοιαῦτα τοῖς δούλοις τοῖς ἡμετέροις, οἷα ἐκείνη τοῖς ὑπ' αὐτῆς ἁλοῦσιν· αἰσχρὰ καὶ αἰσχύνης γέμοντα πράγματα καὶ φθέγγεσθαι ποιεῖ καὶ*
10 *πάσχειν· καὶ μάλιστα ὅταν ἴδῃ ὑπακούοντας, ἐπιτείνει μᾶλλον τὰ ἐπιτάγματα.*

Φύγωμεν οὖν, φύγωμεν, παρακαλῶ, τὴν δουλείαν ταύτην. Πῶς δέ, φησί, δυνησόμεθα; Ἂν φιλοσοφήσωμεν περὶ τῶν ἐνταῦθα, ἂν ἴδωμεν ὅτι τὰ παρόντα πράγματα ὄναρ ἐστὶ καὶ σκιὰ
15 *καὶ οὐδὲν ἕτερον, εὐκόλως αὐτῆς περιεσόμεθα καὶ οὔτε ἐν τοῖς μικροῖς, οὔτε ἐν τοῖς μεγάλοις ἁλωσόμεθα· ἂν δὲ μὴ ἐν τοῖς μικροῖς καταφρονῶμεν, καὶ ἐν τοῖς μεγίστοις ῥᾳδίως περιπεσούμεθα. Πόρρωθεν οὖν ἀναστέλλωμεν αὐτῆς τὰς πηγάς· αὗται δέ εἰσιν ἄνοια καὶ τὸ ταπεινὴν κεκτῆσθαι ψυχήν· ὡς ἐὰν ὑψηλὸν*
20 *λάβωμεν φρόνημα, δυνησόμεθα καὶ τῆς παρὰ τῶν πολλῶν τιμῆς ὑπεριδεῖν, καὶ πρὸς τὸν οὐρανὸν τεῖναι τὴν διάνοιαν, καὶ τῶν ἐκεῖ ἐπιτυχεῖν ἀγαθῶν, ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας*
25 *τῶν αἰώνων. Ἀμήν.*

Καὶ ὡς πρὸς αὐτὸ γινόμαστε ὅμοιοι μὲ τὸ Θεό, γιατὶ αὐτὸς δὲ χρειάζεται τὴ δόξα τῶν ἀνθρώπων· γιατὶ λέγει· «δὲ δέχομαι τὴ δόξα ἀπὸ τοὺς ἀνθρώπους»[6]. Πές μου λοιπόν, εἶναι μικρὸ αὐτό; Ὅταν δὲ θέλεις νὰ περιφρονεῖς τὴ δόξα, πὲς ὅτι γίνομαι ἴσος μὲ τὸ Θεὸ ἂν τὴν περιφρονήσω, καὶ ἀμέσως θὰ τὴν περιφρονήσεις. Γιατὶ δὲν εἶναι δυνατὸ νὰ εἶναι ἕνας ἄνθρωπος δοῦλος τῆς δόξας καὶ νὰ μὴν εἶναι δοῦλος ὅλων καὶ μάλιστα περισσότερο δοῦλος ἀπὸ τοὺς ἴδιους τοὺς δούλους. Πράγματι δὲν προστάζουμε τέτοια στοὺς δούλους μας, ὅπως αὐτὴ στοὺς ἀνθρώπους ποὺ κυρίεψε· κάνει νὰ λέγουν καὶ νὰ πάσχουν πράγματα αἰσχρὰ καὶ γεμάτα ντροπὴ καὶ μάλιστα ὅταν δεῖ νὰ τὴν ὑπακοῦν δίνει μεγαλύτερες προσταγές.

Ἂς ἀποφύγουμε λοιπόν, ἂς ἀποφύγουμε, παρακαλῶ, αὐτὴ τὴ δουλεία. Καὶ πῶς, λέγει, θὰ μπορέσουμε νὰ τὸ κάνουμε; Ἂν φιλοσοφήσουμε γύρω ἀπὸ τὰ γήινα, ἂν δοῦμε πὼς τὰ παρόντα πράγματα εἶναι ὄνειρο καὶ σκιὰ καὶ τίποτε ἄλλο, εὔκολα θὰ τὴ νικήσουμε καὶ δὲ θὰ αἰχμαλωτισθοῦμε οὔτε στὰ μικρὰ οὔτε στὰ μεγάλα. Ἂν ὅμως δὲν τὴν περιφρονοῦμε στὰ μικρά, εὔκολα θὰ πέσουμε καὶ στὰ πολὺ μεγάλα. Ἀπὸ μακριὰ λοιπὸν ἂς ἀνακόπτουμε τὶς πηγές της· καὶ αὐτὲς εἶναι ἡ μωρία καὶ τὸ νὰ ἔχουμε ταπεινὴ ψυχή. Ἂν λοιπὸν ἀποκτήσουμε ὑψηλὸ φρόνημα, θὰ μπορέσουμε καὶ τὴν τιμὴ ἀπὸ τοὺς πολλοὺς νὰ περιφρονήσουμε καὶ πρὸς τὸν οὐρανὸ νὰ ὑψώσουμε τὸ νοῦ μας καὶ τὰ ἀγαθὰ ποὺ βρίσκονται ἐκεῖ νὰ ἐπιτύχουμε, τὰ ὁποῖα εἴθε νὰ ἐπιτύχουμε ὅλοι μας μὲ τὴ χάρη καὶ τὴ φιλανθρωπία τοῦ Χριστοῦ, μαζὶ μὲ τὸν ὁποῖο στὸν Πατέρα καὶ συγχρόνως στὸ ἅγιο Πνεῦμα ἀνήκει ἡ δόξα, ἡ δύναμη καὶ ἡ τιμή, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

---

6. Ἰω. 5,41.

Ο Μ Ι Λ Ι Α Γ'

(Τιτ. 1,12–2,1)

«Εἶπέ τις ἐξ αὐτῶν ἴδιος αὐτῶν προφήτης· 'Κρῆτες ἀεὶ ψεῦσται, κακὰ θηρία, γαστέρες ἀργαί'. Ἡ μαρτυρία αὕτη ἐστὶν ἀληθής. Δι' ἣν αἰτίαν ἔλεγχε αὐτοὺς ἀποτόμως, ἵνα ὑγιαίνωσιν ἐν τῇ πίστει, μὴ προσέχοντες ἰουδαϊκοῖς μύθοις
5 *καὶ ἐντολαῖς ἀνθρώπων ἀποστρεφομένων τὴν ἀλήθειαν».*

1. Πολλὰ ἐνταῦθά ἐστι τὰ ζητούμενα. Πρῶτον μέν, τίς ὁ εἰρηκώς· δεύτερον δέ, τί δήποτε ὁ Παῦλος αὐτοῖς ἐχρήσατο· τρίτον, ὅτι οὐδὲ ὀρθῶς ἔχουσαν μαρτυρίαν παρήγαγε. Φέρε οὖν καὶ ἕτερα προσθέντες οὕτω καιρίαν τὴν λύσιν ἐπαγάγωμεν. Καὶ γὰρ ὅτε
10 *τοῖς Ἀθηναίοις διελέγετο, μεταξὺ τῆς δημηγουρίας φησίν, «Ἀγνώστῳ Θεῷ»· καὶ πάλιν, «τοῦ γὰρ καὶ γένος ἐσμέν, ὥς καί τινες τῶν καθ' ὑμᾶς ποιητῶν εἰρήκασιν». Ἐπιμενίδης οὖν ἐστιν ὁ εἰρηκώς, Κρὴς καὶ αὐτὸς ὤν· ἀλλὰ πόθεν κινούμενος, ἀναγκαῖον εἰπεῖν τὴν ὑπόθεσιν πρὸς ὑμᾶς· ἔχει δὲ οὕτως.*
15 *Οἱ Κρῆτες τάφον ἔχουσι τοῦ Διὸς ἐπιγραφέντα τοῦτο·*

Ἐνταῦθα Ζὰν κεῖται, ὃν τὸν Δία κικλήσκουσι.

Διὰ ταύτην οὖν τὴν ἐπιγραφὴν ὁ ποιητὴς ψεύστας τοὺς Κρῆτας κωμῳδῶν, προϊὼν πάλιν ἐπάγει, αὔξων μᾶλλον τὴν κωμῳδίαν·

Καὶ γὰρ τάφον, ὦ ἄνα, σεῖο Κρῆτες ἐτεκτήναντο·
20 *σὺ δ' οὐ θάνες, ἐσσὶ γὰρ αἰεί.*

Εἰ τοίνυν αὕτη ἡ μαρτυρία ἀληθής, ὅρα τὸν κίνδυνον ὅσος. Εἰ

1. Πράξ. 17,23.28.

2. Ἐπιμενίδης· προφήτης καὶ θαυματοποιός, ἀμφισβητουμένων χρόνων. Ἀναφέρεται ὅτι καθάρισε τὴν Ἀθήνα ἀπὸ τὸ Κυλώνειο ἄγος. Κυκλοφοροῦσαν

ΟΜΙΛΙΑ Γ'

(Τίτ. 1, 12–2,1)

«Εἶπε κάποιος ἀπ' αὐτούς, δικός τους προφήτης· 'οἱ Κρῆτες εἶναι πάντοτε ψεῦτες, κακὰ θηρία, λαίμαργοι, ράθυμοι'. Ἡ μαρτυρία αὐτὴ εἶναι ἀληθινή. Γιὰ τὸ λόγο αὐτὸν νὰ τοὺς ἐλέγχεις αὐστηρά, γιὰ νὰ ἔχουν τὴ σωστὴ πίστη καὶ νὰ μὴν προσέχουν σὲ ἰουδαϊκοὺς μύθους καὶ σὲ ἐντολὲς ἀνθρώπων ποὺ ἀποστρέφονται τὴν ἀλήθεια».

1. Πολλὰ εἶναι ἐδῶ τὰ ζητούμενα· πρῶτο, ποιός εἶναι αὐτὸς ποὺ τὸ εἶπε· δεύτερο, γιὰ ποιό λόγο ὁ Παῦλος τὸ χρησιμοποίησε σ' αὐτούς· τρίτο, ὅτι παρουσίασε μιὰ μαρτυρία ποὺ δὲν εἶναι σωστή. Ἐμπρὸς λοιπόν, προσθέτοντας καὶ κάποια ἄλλα, ἂς δώσουμε τὴν κατάλληλη ἐξήγηση. Γιατὶ καὶ στοὺς Ἀθηναίους ὅταν μιλοῦσε κατὰ τὴ διάρκεια τῆς ὁμιλίας του λέγει· «στὸν ἄγνωστο Θεό», καὶ ἐπίσης, «δικό του γένος εἴμαστε, ὅπως λένε καὶ μερικοὶ ἀπὸ τοὺς ποιητές σας»[1]. Ὁ Ἐπιμενίδης[2] λοιπὸν τὸ εἶπε αὐτό, ποὺ ἦταν Κρητικὸς καὶ ὁ ἴδιος. Ἀλλὰ πρέπει νὰ σᾶς πῶ ἀπὸ ποῦ κινούμενος τὸ εἶπε αὐτό, ποὺ ἔχει ὡς ἑξῆς.

Οἱ Κρῆτες ἔχουν τάφο τοῦ Δία μὲ τὴν ἐπιγραφὴ αὐτή·

«Ἐδῶ κεῖται ὁ Ζεύς, τὸν ὁποῖον ὀνομάζουν Δία».

Γι' αὐτὴ λοιπὸν τὴν ἐπιγραφὴ ὁ ποιητὴς διασύρει τοὺς Κρητικοὺς ὀνομάζοντάς τους ψεῦτες, καὶ παρακάτω πάλι προσθέτει, αὐξάνοντας περισσότερο τὸ διασυρμό τους·

«Γιατί, βασιλιά, τάφο δικό σου ἔστησαν οἱ Κρῆτες·
ἐσὺ ὅμως δὲν πέθανες, γιατὶ ζεῖς πάντοτε».

Ἂν λοιπὸν αὐτὴ ἡ μαρτυρία εἶναι ἀληθινή, πρόσεχε πόσος εἶναι

ποιήματα καὶ χρησμοὶ μὲ τὸ ὄνομά του.

γὰρ ἀληθὴς ὁ ποιητὴς εἰπὼν ὅτι ἐψεύσαντο, τεθνηκέναι τὸν Δία εἰπόντες, ὥς φησιν ὁ ἀπόστολος, μέγας ὁ κίνδυνος. Προσέχετε, ἀγαπητοί, μετὰ πολλῆς τῆς ἀκριβείας. Εἶπεν ὁ ποιητής, ὅτι ψεύδονται οἱ Κρῆτες οἱ τὸν Δία εἰπόντες τετελευτηκέναι· ἐβεβαίωσε 5 τὴν μαρτυρίαν αὐτοῦ ὁ ἀπόστολος. Οὐκοῦν κατὰ τὸν ἀπόστολον ἀθάνατος ὁ Ζεύς· «αὕτη» γάρ, φησίν, «ἡ μαρτυρία ἀληθής ἐστι». Τί οὖν ἐροῦμεν; μᾶλλον δὲ πῶς ἐστι τοῦτο ἐπιλύσασθαι; Οὐ τοῦτο εἶπεν ὁ ἀπόστολος, ἀλλ' ἁπλῶς οὕτως ἔλαβε τὴν μαρτυρίαν καὶ ἀφελῶς πρὸς τὸ ἦθος αὐτῶν τὸ ἐψευσμένον. Διὰ τί γὰρ μὴ 10 ἐπήγαγε τό, «καὶ γὰρ τάφον, ὦ ἄνα, σεῖο Κρῆτες ἐτεκτήναντο»; Ὥστε οὐ τοῦτο εἶπεν ὁ ἀπόστολος, ἀλλ' ὅτι καλῶς ὁ δεῖνα εἶπεν, ὅτι ψεῦσταί εἰσιν οἱ Κρῆτες. Οὐκ ἐντεῦθεν δὲ μόνον ἰσχυριζόμεθα, ὅτι οὐκ ἔστι θεὸς ὁ Ζεύς· ἔνεστι γὰρ καὶ ἑτέρωθεν πολλαχόθεν κατασκευάζοντας, καὶ οὐχὶ ἀπὸ τῆς τῶν Κρητῶν μαρτυρίας, 15 τοῦτο σαφῶς ἀποδεῖξαι. Ἄλλως δὲ οὐκ ἐν τούτῳ εἶπεν αὐτοὺς ψεύδεσθαι· μᾶλλον δὲ εἰκὸς καὶ τοῦτο ἐψεῦσθαι αὐτούς· καὶ γὰρ καὶ ἄλλους ἐνόμιζον θεούς. Διὰ τοῦτο ὁ ἀπόστολος ψεύστας αὐτοὺς εἶπεν.

Ἀλλὰ τὸ ζητούμενον, τί δήποτε ἀπὸ τῶν Ἑλληνικῶν ἄγει 20 τὰς μαρτυρίας. Ὅτι μάλιστα τούτοις ἐντρέπομεν αὐτούς, ὅταν οἴκοθεν ἐνέγκωμεν τὰς μαρτυρίας καὶ τὰς κατηγορίας, ὅταν τοὺς παρ' αὐτοῖς θαυμαστούς, τούτους ἐπιστήσωμεν αὐτοῖς αἰτιωμένους. Διὰ τοῦτο καὶ ἑτέρωθι κέχρηται λέγων, «Ἀγνώστῳ Θεῷ». Οἱ γὰρ Ἀθηναῖοι, ἐπειδὴ οὐκ ἐξ ἀρχῆς τοὺς θεοὺς πάντας παρέ- 25 λαβον, ἀλλὰ κατὰ χρόνους, καὶ ἄλλους τινάς, ὡς τὰ ἐκ τῶν Ὑπερβορέων, ὡς τὰ τοῦ Πανός, ὡς τὰ μικρά, ὡς τὰ μεγάλα μυστήρια ἐπήγαγον ὕστερον, οὗτοι στοχαζόμενοι ἀπὸ τούτων, ὅτι εἰκὸς καὶ ἄλλον εἶναι θεόν, ὑπ' αὐτῶν δὲ ἠγνοῆσθαι, ἵνα καὶ περὶ ἐκεῖνον ὦσιν εὐκαθοσίωτοι, τούτῳ βωμὸν ἔστησαν ἐπιγράψαν-

---

3. Ὑπερβόρειοι· μυθικὸς λαὸς ποὺ κατοικοῦσε πάνω ἀπὸ τὸ Βορρά. Κατὰ τὴν ἑλληνικὴ μυθολογία ἦταν θεοφίλητοι, ζοῦσαν σ' ἕναν ἐπίγειο παράδεισο καὶ ἦταν προικισμένοι μὲ ὅλες τὶς ἀνθρώπινες ἀρετὲς καὶ ἀπαλλαγμένοι ἀπὸ κάθε κακό.

ὁ κίνδυνος. Γιατί, ἂν εἶναι ἀληθινὸς ὁ ποιητὴς ποὺ εἶπε, ὅτι εἶπαν ψέματα λέγοντας πὼς ὁ Δίας πέθανε, ὅπως λέγει ὁ ἀπόστολος, ὁ κίνδυνος εἶναι μεγάλος. Προσέχετε, ἀγαπητοί, πάρα πολύ. Εἶπε ὁ ποιητὴς ὅτι ψεύδονται οἱ Κρῆτες ποὺ εἶπαν πὼς πέθανε ὁ Δίας· τὴ μαρτυρία του ἐπιβεβαίωσε ὁ ἀπόστολος. Ἐπομένως κατὰ τὸν ἀπόστολο ὁ Δίας εἶναι ἀθάνατος· «αὐτὴ ἡ μαρτυρία», λέγει, «εἶναι ἀληθινή». Τί λοιπὸν θὰ ποῦμε; ἢ καλύτερα, πῶς μπορεῖ νὰ ἐπιλυθεῖ αὐτό; Δὲν εἶπε αὐτὸ ὁ ἀπόστολος, ἀλλ' ἁπλῶς ἔτσι ἔλαβε τὴ μαρτυρία καὶ τὴν προσάρμοσε καλόπιστα στὸ γεμάτο ψεύδη ἦθος τους. Γιατί δηλαδὴ δὲν πρόσθεσε τό, «γιατί, βασιλιά, τάφο δικό σου ἔστησαν οἱ Κρῆτες»; Ἐπομένως δὲν εἶπε αὐτὸ ὁ ἀπόστολος, ἀλλ' ὅτι καλῶς εἶπε ὁ τάδε πὼς οἱ Κρῆτες εἶναι ψεῦτες. Καὶ δὲν ἰσχυριζόμαστε μόνο ἀπὸ ἐδῶ πὼς δὲν εἶναι θεὸς ὁ Δίας. Γιατὶ εἶναι δυνατὸ καὶ ἀπὸ πολλὲς ἄλλες ἀποδείξεις, καὶ ὄχι ἀπὸ τὴ μαρτυρία τῶν Κρητῶν, νὰ τὸ ἀποδείξω καθαρὰ αὐτό. Ἄλλωστε δὲν εἶπε ὅτι σὲ τοῦτο τὸ πράγμα ψεύδονται αὐτοί· ἢ καλύτερα εἶναι ἀλήθεια ὅτι καὶ σ' αὐτὸ ἦταν ψεῦτες, γιατὶ πραγματικὰ πίστευαν καὶ ἄλλους θεούς. Γι' αὐτὸ ὁ ἀπόστολος τοὺς εἶπε ψεῦτες.

Τὸ ζητούμενο ὅμως εἶναι, γιὰ ποιό λόγο φέρνει τὶς μαρτυρίες ἀπὸ τὰ ἑλληνικά. Γιατὶ μ' αὐτὰ πρὸ πάντων τοὺς ἐλέγχουμε, ὅταν φέρουμε τὶς μαρτυρίες καὶ τὶς κατηγορίες ἀπ' αὐτοὺς τοὺς ἴδιους, ὅταν τοὺς θαυμαστοὺς σ' αὐτοὺς τοὺς παρουσιάσουμε στοὺς ἴδιους κατηγορουμένους. Γι' αὐτὸ καὶ ἀλλοῦ κάνει χρήση αὐτοῦ, λέγοντας, «στὸν ἄγνωστο θεό». Ἐπειδὴ δηλαδὴ οἱ Ἀθηναῖοι δὲν παρέλαβαν ἀπὸ τὴν ἀρχὴ ὅλους τοὺς θεοὺς ἀλλὰ κατὰ καιρούς, καὶ κάποιους ἄλλους ἔφεραν ἀργότερα, ὅπως ἐκεῖνα ποὺ πῆραν ἀπὸ τοὺς Ὑπερβόρειους[3], ὅπως τὰ σχετικὰ μὲ τὸν Πάνα[4], ὅπως τὰ μικρὰ καὶ τὰ μεγάλα μυστήρια, σκεπτόμενοι βάσει αὐτῶν ὅτι εἶναι πιθανὸ νὰ ὑπάρχει καὶ ἄλλος θεὸς ποὺ δὲν ἦταν γνωστὸς σ' αὐτούς, γιὰ νὰ εἶναι εὐσεβεῖς καὶ πρὸς ἐκεῖνον τὸ θεό, τοῦ ἔστησαν βωμὸ μὲ τὴν ἐπιγραφή, «στὸν ἄγνωστο

---

4. Πᾶν· ἀρκαδικὸς ποιμενικὸς θεός, ποὺ ἡ λατρεία του διαδόθηκε στὸν ὑπόλοιπο ἑλληνικὸ κόσμο, συνδυασμένη μὲ τὴν ὀργιαστικὴ λατρεία τῆς Κυβέλης καὶ τοῦ Διονύσου.

τες, «Ἀγνώστῳ θεῷ», μονονουχὶ τοῦτο δηλοῦντες, 'καὶ εἴ τις ἄγνωστος εἴη θεός'. Εἶπεν οὖν, ὅτι «ὃν προλαβόντες ὑμῖν ἐπέγνωτε, τοῦτον ἐγὼ καταγγέλλω ὑμῖν». Τὸ δέ, «τοῦ γὰρ καὶ γένος ἐσμέν», περὶ τοῦ Διὸς εἴρηται τῷ Ἀράτῳ· ὃς ἐπεὶ ἀρχόμενος 5 εἶπε, «μεσταὶ δὲ Διὸς μὲν ἀγυιαί, μεστὴ δὲ θάλασσα», τότε ἐπίγαγε τό, «τοῦ γὰρ καὶ γένος ἐσμέν», δεικνὺς οἶμαι κἀκεῖνος ὅτι γεγόναμεν ἐκ Θεοῦ.

Πῶς οὖν ὁ Παῦλος τὰ περὶ τοῦ Διὸς εἰρημένα εἰς τὸν Θεὸν τῶν ὅλων εἵλκυσεν; Οὐ τὰ περὶ τοῦ Διὸς εἰρημένα εἵλκυσεν εἰς 10 τὸν Θεόν, ἀλλὰ τὰ προσήκοντα τῷ Θεῷ, καὶ οὐ γνησίως οὐδὲ κυρίως ἐπιτεθέντα τῷ Διί, ταῦτα ἀποδίδωσι τῷ Θεῷ· ἐπεὶ καὶ τό, «θεός», ὄνομα αὐτοῦ μόνου ἐστί, καὶ παρανόμως ἐπίκειται τοῖς εἰδώλοις. Ἀλλὰ πόθεν ἐχρῆν αὐτοῖς διαλεχθῆναι; ἀπὸ τῶν προφητῶν; Ἀλλ' οὐκ ἂν ἐπίστευσαν· ἐπεὶ καὶ Ἰουδαίοις οὐδὲν 15 ἀπὸ τῶν Εὐαγγελίων φθέγγεται, ἀλλ' ἀπὸ τῶν προφητῶν· διὰ τοῦτο φησιν, «ἐγενόμην τοῖς Ἰουδαίοις ὡς Ἰουδαῖος, τοῖς ἀνόμοις ὡς ἄνομος, τοῖς ὑπὸ νόμον ὡς ὑπὸ νόμον».

2. Τοῦτο καὶ ὁ Θεὸς ποιεῖ· οἷον ἐπὶ τῶν μάγων, οὐ δι' ἀγγέλου αὐτοὺς ἄγει, οὐ διὰ προφήτου, οὐ δι' ἀποστόλου, οὐ δι' εὐαγγελι-20 στοῦ, ἀλλὰ πόθεν; Διὰ ἄστρου· ἐπειδὴ γὰρ περὶ ταῦτα τὴν τέχνην εἶχον, ἐκεῖθεν αὐτοὺς εἵλκυσε. Πάλιν ἐπὶ τῶν βοῶν ἐπὶ τῆς κιβωτοῦ, ἐὰν πορευθῶσι, φησί, τήνδε τὴν ὁδόν, ἀληθής ἐστιν ἡ τοῦ Θεοῦ ἀγανάκτησις, καθάπερ οἱ μάντεις ὑπετίθεντο. Οὐκοῦν ἀληθεύουσιν οἱ μάντεις; Ἄπαγε· ἀλλ' ἀπὸ τῶν οἰκείων στομά-25 των αὐτοὺς ἐλέγχει καὶ καταπλήττει. Πάλιν ἐπὶ τῆς ἐγγαστριμύθου· καὶ γὰρ ἐπειδὴ ταύτῃ ἐπίστευε, διὰ ταύτης ἐποίησεν ἀκοῦσαι τὸν Σαοὺλ τὰ μέλλοντα αὐτὸν καταλαμβάνειν. Τίνος οὖν ἕνεκεν ἐπεστόμισε τὸν δαίμονα ὁ Παῦλος τὸν λέγοντα, «οὗτοι οἱ ἄν-

---

5. Πράξ. 17,23.

6. Ἄρατος· ποιητὴς ἀπὸ τοὺς Σόλους τῆς Κιλικίας (315–240 π. Χ.). Ἔγραψε τὸ ἔπος «Ἔνοπτρα καὶ Φαινόμενα», στὴν εἰσαγωγὴ τοῦ ὁποίου γράφει τὸ ἐγκώμιο τοῦ Δία, ποὺ ὁμοιάζει μὲ ὕμνο.

θεό», δηλώνοντας σχεδὸν αὐτό, ἂν ἀκόμη ὑπάρχει κάποιος ἄγνωστος θεός. Εἶπε λοιπὸν ὅτι ἐκεῖνον ποὺ ἐσεῖς προλάβατε καὶ γνωρίσατε ἀπὸ πρίν, αὐτὸν ἐγὼ σᾶς κηρύττω[5]. Ἀλλὰ τὸ «δικό του γένος εἴμαστε» τὸ εἶπε γιὰ τὸ Δία ὁ Ἄρατος[6], ὁ ὁποῖος, ἀφοῦ εἶπε στὴν ἀρχή, «ἀπὸ τὸ Δία εἶναι γεμάτοι οἱ δρόμοι, γεμάτη καὶ ἡ θάλασσα», πρόσθεσε ὕστερα τὸ «δικό του γένος εἴμαστε», δείχνοντας κατὰ τὴ γνώμη μου καὶ ἐκεῖνος ὅτι καταγόμαστε ἀπὸ Θεό.

Πῶς λοιπὸν ὁ Παῦλος ἀπέδωσε στὸ Θεὸ τῶν ὅλων τὰ λεχθέντα γιὰ τὸ Δία; Δὲν ἀπέδωσε τὰ λεχθέντα γιὰ τὸ Δία στὸ Θεό, ἀλλ' ἐκεῖνα ποὺ ἁρμόζουν στὸ Θεὸ καὶ ποὺ ὄχι δίκαια οὔτε κυριολεκτικὰ ἀποδόθηκαν στὸ Δία, αὐτὰ ἀποδίδει στὸ Θεό. Γιατὶ καὶ τὸ ὄνομα «θεὸς» ἀνήκει σ' αὐτὸν μόνο καὶ παράνομα τίθεται πάνω στὰ εἴδωλα. Ἀλλὰ ἀπὸ ποῦ ἔπρεπε νὰ τοὺς μιλήσει; ἀπὸ τοὺς προφῆτες; Ὅμως δὲ θὰ πίστευαν. Γιατὶ καὶ στοὺς Ἰουδαίους δὲ λέγει τίποτε ἀπὸ τὰ εὐαγγέλια ἀλλὰ ἀπὸ τοὺς προφῆτες. Γι' αὐτὸ λέγει· «ἔγινα στοὺς Ἰουδαίους σὰν Ἰουδαῖος, στοὺς ἐκτὸς τοῦ νόμου σὰν νὰ ἤμουν ἐκτὸς τοῦ νόμου, σ' ἐκείνους ποὺ ἦταν κάτω ἀπὸ τὸ νόμο σὰν νὰ ἤμουν κάτω ἀπὸ τὸ νόμο»[7].

2. Τὸ ἴδιο κάνει καὶ ὁ Θεός, ὅπως στὴν περίπτωση τῶν μάγων· δὲν τοὺς ὁδηγεῖ μὲ ἄγγελο, οὔτε μὲ προφήτη, οὔτε μὲ ἀπόστολο, οὔτε μὲ εὐαγγελιστή, ἀλλὰ πῶς; Μὲ τὸ ἄστρο. Ἐπειδὴ δηλαδὴ ἡ τέχνη τους ἦταν σχετικὰ μὲ τὰ ἄστρα, ἀπὸ ἐκεῖ τοὺς προσείλκυσε[8]. Πάλι γιὰ τὶς ἀγελάδες στὴν περίπτωση τῆς κιβωτοῦ, ἂν ἀκολουθήσουν, λέγει, αὐτὸν τὸ δρόμο, εἶναι ἀληθινὴ ἡ ἀγανάκτηση τοῦ Θεοῦ, ὅπως ἀκριβῶς ὑπέθεσαν οἱ μάντεις[9]. Λοιπὸν εἶναι ἀληθινὰ αὐτὰ ποὺ λέγουν οἱ μάντεις; Μακριὰ μιὰ τέτοια σκέψη· ἀλλὰ ἀπὸ τὰ δικά τους λόγια τοὺς ἐλέγχει καὶ τοὺς ἐπιτιμᾶ. Ἐπίσης στὴν περίπτωση τῆς ἐγγαστρίμυθης γυναίκας· ἐπειδὴ ὁ Σαοὺλ πίστευε σ' αὐτήν, μ' αὐτὴν ὁ Θεὸς ἐνήργησε ν' ἀκούσει ὁ Σαοὺλ ὅσα ἐπρόκειτο νὰ τοῦ συμβοῦν[10]. Γιὰ ποιό λόγο λοιπὸν ὁ Παῦλος ἔκλεισε τὸ στόμα τοῦ δαίμονα ποὺ ἔλεγε, «αὐτοὶ οἱ ἄν-

---

7. Α' Κορ. 9. 21. 8. Βλ. Ματθ. 2,1–12.
9. Βλ. Α' Βασ. 6,1–12. 10. Βλ. Α' Βασ. 28,7–25.

θρωποι δοῦλοι τοῦ Θεοῦ τοῦ ὑψίστου εἰσίν, οἵτινες καταγγέλλουσιν ἡμῖν ὁδὸν σωτηρίας»· τίνος δὲ ἕνεκεν καὶ ὁ Χριστὸς κωλύει τοὺς δαίμονας φθέγγεσθαι; Ἐκεῖ μὲν εἰκότως· καὶ γὰρ τὰ σημεῖα προεχώρει· ἐπεὶ καὶ ἐνταῦθα οὐκ ἀστὴρ ἦν, ἀλλ' αὐτὸς 5 ἑαυτὸν ἐκήρυττε· καὶ οἱ δαίμονες δὲ οὐ προσεκυνοῦντο. Οὐκ ἦν γὰρ εἴδωλον τὸ φθεγγόμενον, ἵνα κωλυθῇ. Καὶ τὸν Βαλαὰμ δὲ εἴασεν εὐλογῆσαι, καὶ οὐκ ἐκώλυσεν. Οὕτω πανταχοῦ συγκαταβαίνει.

Καὶ τί τοῦτο θαυμάζεις; Αὐτὸς περὶ ἑαυτοῦ ἀφίησι δόξας 10 πονηρὰς καὶ ἀναξίους ἑαυτοῦ συνίστασθαι, οἷον ὅτι σῶμα ἦν πρότερον, ὅτι ὁρατός· πρὸς τοῦτο γοῦν λέγει, «Πνεῦμα ὁ Θεός». Πάλιν ὅτι χαίρει ταῖς θυσίαις, ὅπερ ἦν ἀλλότριον αὐτοῦ, καὶ ῥήματα φθέγγεται ἀπᾴδοντα αὐτοῦ τῆς ὁμολογίας, καὶ ὅσα τοιαῦτα. Οὐδαμοῦ γὰρ τὴν ἀξίαν ὁρᾷ τὴν ἑαυτοῦ, ἀλλὰ πανταχοῦ 15 τὸ ἡμῖν χρήσιμον. Εἰ γὰρ πατὴρ οὐχ ὁρᾷ τὴν ἀξίαν τὴν ἑαυτοῦ, ἀλλὰ συμψελλίζει τοῖς παιδίοις καὶ τροφὴν καὶ ἐδέσματα καὶ πόματα οὐχ ἑλληνικοῖς ὀνόμασι καλῶν, ἀλλὰ παιδικῇ τινι διαλέξει καὶ βαρβάρῳ, πολλῷ μᾶλλον ὁ Θεός. Καὶ ὀνειδίζει συγκαταβατικῶς διὰ τοῦ προφήτου, λέγων· «εἰ ἀλλάξονται ἔθνη θεοὺς αὐ- 20 τῶν»· καὶ πανταχοῦ συγκατάβασίς ἐστι τὰ ἐν ταῖς Γραφαῖς, καὶ ῥήματα καὶ πράγματα.

«Δι' ἣν αἰτίαν», φησίν, «ἔλεγχε αὐτοὺς ἀποτόμως, ἵνα ὑγιαίνωσι τῇ πίστει». Διὰ τοῦτό φησιν, ἐπειδὴ ἦθος αὐτοῖς ἐστιν ἰταμὸν καὶ δολερὸν καὶ ἀκόλαστον. Τάδε μυρία κακὰ αὐτοὶ 25 ἔχουσιν. Ὅταν δὲ καὶ ψεύδωνται προχείρως καὶ δολεροὶ ὦσι καὶ γαστρίμαργοι καὶ ἀργοί, σφοδροῦ καὶ πληκτικοῦ τοῦ λόγου δεῖ· προσηνείᾳ γὰρ οὐκ ἂν ἀχθείη ὁ τοιοῦτος. «Ἔλεγχε» οὖν «αὐτούς». Ἐνταῦθα οὐ τοὺς ἀλλοτρίους φησίν, ἀλλὰ τοὺς οἰκείους. «Ἀποτόμως». Βαθυτέραν, φησί, δίδου τὴν πληγήν. Οὐ 30 γὰρ πᾶσιν ἑνὶ τρόπῳ προσενεκτέον, ἀλλὰ διαφόρως καὶ ποικί-

---

11. Πράξ. 16,17. 12. Μάρκ. 1,25· Λουκᾶ 4,35.
13. Ἀριθμ. 23,1–30. 14. Ἰω. 4,24.

θρωποι εἶναι δοῦλοι τοῦ ὑψίστου Θεοῦ, ποὺ σᾶς κηρύττουν τὸ δρόμο τῆς σωτηρίας»[11]; Καὶ γιὰ ποιό λόγο ὁ Χριστὸς ἐμποδίζει τοὺς δαίμονες νὰ μιλήσουν[12]; Ἐκεῖ βέβαια σωστὰ τὸ κάνει, γιατὶ τὰ θαύματα αὐξάνονταν. Ἄλλωστε καὶ ἐδῶ δὲν ὑπῆρχε ἄστρο ἀλλὰ ὁ ἴδιος κήρυττε τὸν ἑαυτό του καὶ οἱ δαίμονες δὲν προσκυνοῦσαν. Γιατὶ δὲν ἦταν εἴδωλο αὐτὸ ποὺ μιλοῦσε γιὰ νὰ τὸ ἐμποδίσει. Καὶ τὸν Βαρλαὰμ ἐπίσης τὸν ἄφησε νὰ εὐλογήσει καὶ δὲν τὸν ἐμπόδισε[123]. Ἔτσι παντοῦ δείχνει συγκατάβαση.

Καὶ γιατί τὸ θαυμάζεις αὐτό; Ὁ ἴδιος ἀφήνει νὰ σχηματισθοῦν γιὰ τὸν ἑαυτό του γνῶμες κακὲς καὶ ἀνάξιές του, ὅπως γιὰ παράδειγμα ὅτι προηγουμένως ἦταν σῶμα, ὅτι ἦταν ὁρατός· γι' αὐτὸ λοιπὸν λέγει, «ὁ Θεὸς εἶναι Πνεῦμα»[14]. Ἐπίσης ὅτι εὐχαριστεῖται γιὰ τὶς θυσίες, πράγμα ποὺ ἦταν ξένο γι' αὐτόν, καὶ ὅτι λέγει πολλὰ τέτοια. Γιατὶ πουθενὰ δὲ βλέπει τὴν ἀξία τὴ δική του, ἀλλὰ παντοῦ τὸ δικό μας συμφέρον. Ἂν δηλαδὴ ἕνας πατέρας δὲ δίνει σημασία στὴν ἀξία του ἀλλὰ ψελλίζει μαζὶ μὲ τὰ παιδιά, ἀποκαλώντας τὴν τροφὴ καὶ τὰ φαγητὰ καὶ τὰ ποτὰ ὄχι μὲ τὰ ἑλληνικὰ ὀνόματα, ἀλλὰ μὲ κάποια παιδικὴ καὶ ξένη διάλεκτο, πολὺ περισσότερο τὸ κάνει αὐτὸ ὁ Θεός. Καὶ ἐπικρίνει μὲ συγκατάβαση λέγοντας μὲ τὸν προφήτη· «ἂν ἀλλάξουν τὰ εἰδωλολατρικὰ ἔθνη τοὺς θεούς τους»[15]. Καὶ παντοῦ στὶς Γραφὲς εἶναι γεμάτα ἀπὸ συγκατάβαση, καὶ τὰ λόγια καὶ τὰ πράγματα.

«Γιὰ τὸ λόγο αὐτό», λέγει, «νὰ τοὺς ἐλέγχεις αὐστηρά, γιὰ νὰ ἔχουν τὴ σωστὴ πίστη». Γι' αὐτὸ λέγει, ἐπειδὴ τὸ ἦθος τους εἶναι ἀδιάντροπο καὶ δολερὸ καὶ ἀκόλαστο. Αὐτὰ τὰ ἄπειρα κακὰ ἔχουν αὐτοί. Ὅταν μάλιστα ψεύδονται εὔκολα καὶ εἶναι δόλιοι καὶ λαίμαργοι καὶ ράθυμοι, χρειάζεται αὐστηρὸς καὶ πληκτικὸς λόγος· γιατὶ ἕνας τέτοιος ἄνθρωπος δὲ θὰ μποροῦσε νὰ σωφρονισθεῖ μὲ ἐπιείκεια. «Νὰ τοὺς ἐλέγχεις λοιπὸν αὐτούς». Ἐδῶ δὲν ἐννοεῖ τοὺς ξένους, ἀλλὰ τοὺς πιστούς. «Αὐστηρά». Βαθύτερη, λέγει, νὰ κάνεις τὴν πληγή. Γιατὶ δὲν πρέπει νὰ τὴν προξενεῖ κανεὶς μὲ τὸν ἴδιο τρόπο, ἀλλὰ μὲ τρόπο ἀνόμοιο καὶ διαφορετικὸ καὶ ἀνάλογα μὲ τὶς περιπτώσεις. Καθόλου δὲν

15. Ἱερ. 2,11.

λως καὶ πρὸς τὰ ὑποκείμενα. Οὐδαμοῦ παρακαλεῖ ἐνταῦθα. Ὥσπερ γὰρ ὁ τὸν ἐπιεικῆ καὶ εὐγενῆ πλήττων ἀναιρεῖ καὶ ἀπόλλυσιν, οὕτως ὁ τὸν δεόμενον σφοδρότητος κολακεύων διαφθείρει καὶ οὐκ ἀφίησι διαναστῆναι.

5 *«Ἵνα ὑγιαίνωσι», φησίν, «ἐν τῇ πίστει». Ἄρα τοῦτο ὑγεία, τὸ μηδὲν νόθον μηδὲ ἀλλότριον ἐπεισάγειν. Εἰ δὲ οἱ βρώματα παρατηροῦντες οὐχ ὑγιαίνουσιν, ἀλλὰ νοσοῦσι καὶ ἀσθενοῦσι «τοὺς γὰρ ἀσθενοῦντας», φησί, «τῇ πίστει προσλαμβάνεσθε μὴ εἰς διακρίσεις διαλογισμῶν», τί ἂν εἴποι τις περὶ τῶν 10 τὰ αὐτὰ νηστευόντων αὐτοῖς, περὶ τῶν σαββατιζόντων, περὶ τῶν εἰς τόπους ἀπερχομένων ἐκείνοις ἀφιερωμένους; τὸν ἐν Δάφνῃ λέγω, τὸ τῆς Ματρώνης λεγόμενον σπήλαιον, τὸν ἐν Κιλικίᾳ τόπον τὸν τοῦ Κρόνου λεγόμενον. Πῶς δὲ οὗτοι ὑγιαίνουσι; Διὸ χρὴ σφοδροτέρας αὐτοῖς τῆς πληγῆς. Διὰ τί οὖν ἐπὶ Ρωμαίων τὸ 15 αὐτὸ οὐ ποιεῖ; Ὅτι οὐ τοιαῦτα τὰ ἤθη ἐκείνων, ἀλλ' εὐγενέστεροι ἐτύγχανον.*

«Μὴ προσέχοντες», φησίν, «ἰουδαϊκοῖς μύθοις». Διπλῇ μῦθος τὰ ἰουδαϊκά, καὶ ὅτι παραποίησις, καὶ ὅτι παρὰ καιρὸν τὸ πρᾶγμα· λοιπὸν γὰρ μῦθος γίνεται. Ὅταν γὰρ μὴ δεῖ αὐτὸ γενέ-20 σθαι, καὶ γενόμενον βλάπτῃ, μῦθός ἐστιν, ὥσπερ ἄχρηστόν ἐστιν. Ὥσπερ οὖν ἐκείνοις οὐ δεῖ πείθεσθαι, οὕτως οὐδὲ τούτοις· οὐ γάρ ἐστιν ὑγιαίνειν. Εἰ γὰρ πιστεύεις τῇ πίστει, τί ἕτερα ἐπεισάγεις, ὡς οὐκ ἀρκούσης τῆς πίστεως δικαιῶσαι; τί καταδουλοῖς ἑαυτὸν καὶ ὑποβάλλεις τῷ νόμῳ; οὐ θαρρεῖς τῷ πρά-25 γματι; Τοῦτο νοσοῦντος ἐστὶ καὶ ἀπιστοῦντος· πιστῆς γὰρ διανοίας μὴ ἀμφιβάλλειν· ἀμφιβάλλει δὲ ὁ τοιοῦτος. Πάντα μέν», φησί, «καθαρὰ τοῖς καθαροῖς». Ὁρᾷς ὅτι πρός τί ἐστι τὸ εἰρημένον; «Τοῖς δὲ μεμιαμμένοις», φησί, «καὶ ἀπίστοις οὐδὲν καθαρόν».

30 *3. Οὐκ ἄρα παρὰ τὴν οἰκείαν φύσιν καθαρὰ ἢ ἀκάθαρτα, ἀλλὰ παρὰ τὴν προαίρεσιν τῶν μεταλαμβανόντων. «Ἀλλὰ μεμίανται*

---

16. Ρωμ. 14,1.

παρακαλεῖ ἐδῶ. Γιατί, ὅπως ἐκεῖνος ποὺ κτυπάει τὸν καλὸ καὶ εὐγενὴ τὸν καταστρέφει καὶ τὸν ἀφανίζει, ἔτσι καὶ ἐκεῖνος ποὺ κολακεύει αὐτὸν ποὺ χρειάζεται αὐστηρότητα τὸν διαφθείρει καὶ δὲν τὸν ἀφήνει νὰ διορθωθεῖ.

«Γιὰ νὰ ἔχουν», λέγει, «τὴ σωστὴ πίστη». Ἑπομένως αὐτὸ εἶναι ὑγεία, τὸ νὰ μὴν εἰσάγουν τίποτε τὸ νόθο οὔτε ξένο. Ἂν ἐκεῖνοι ποὺ διακρίνουν τὰ φαγητὰ δὲν εἶναι ὑγιεῖς στὴν πίστη, ἀλλὰ ἄρρωστοι καὶ ἀσθενεῖς («τοὺς ἀσθενεῖς κατὰ τὴν πίστη», λέγει, «νὰ τοὺς δέχεστε χωρὶς νὰ ἐπικρίνετε τὶς ἀπόψεις τους»[16]), τί θὰ μποροῦσε νὰ πεῖ κανεὶς γι' αὐτοὺς ποὺ νηστεύουν ὅπως ἐκεῖνοι, γι' αὐτοὺς ποὺ τηροῦν τὸ Σάββατο, γι' αὐτοὺς ποὺ πηγαίνουν σὲ τόπους ἀφιερωμένους σ' ἐκείνους, δηλαδὴ στὴ Δάφνη, στὸ λεγόμενο σπήλαιο τῆς Ματρώνας, στὸν τόπο ἐκεῖνον ποὺ βρίσκεται στὴν Κιλικία καὶ ὀνομάζεται τόπος τοῦ Κρόνου; Πῶς αὐτοὶ ἔχουν τὴ σωστὴ πίστη; Γι' αὐτὸ χρειάζονται ἰσχυρότερο πλῆγμα. Γιατί λοιπὸν δὲν κάνει τὸ ἴδιο στὴν περίπτωση τῶν Ρωμαίων; Ἐπειδὴ τὰ ἤθη τους δὲν ἦταν τέτοια, ἀλλ' ἦταν εὐγενέστεροι ἐκεῖνοι.

«Νὰ μὴν προσέχουν», λέγει, «σὲ ἰουδαϊκοὺς μύθους». Δυὸ φορὲς εἶναι μύθος τὰ ἰουδαϊκά, καὶ ἐπειδὴ εἶναι παραποίηση καὶ ἐπειδὴ τὸ πρᾶγμα εἶναι ἄκαιρο· γι' αὐτὸ λοιπὸν γίνονται μύθος. Γιατί, ὅταν αὐτὸ δὲν πρέπει νὰ γίνει καὶ ὅταν γίνει βλάπτει, εἶναι μύθος, σὰν νὰ εἶναι ἄχρηστο. Ὅπως λοιπὸν δὲν πρέπει νὰ ὑπακούει κανεὶς σ' ἐκεῖνα, ἔτσι δὲν πρέπει οὔτε σ' αὐτά· γιατὶ δὲν εἶναι σωστά. Γιατί, ἂν πιστεύεις στὴν πίστη, τί εἰσάγεις ἄλλα, σὰν νὰ μὴν ἀρκεῖ ἡ πίστη γιὰ τὴ δικαίωσή σου; Γιατί ὑποδουλώνεις τὸν ἑαυτό σου καὶ τὸν θέτεις κάτω ἀπὸ τὸ νόμο; Δὲν ἔχεις ἐμπιστοσύνη στὴν πίστη; Αὐτὸ εἶναι δεῖγμα ἀνθρώπου ποὺ εἶναι ἄρρωστος καὶ δὲν πιστεύει, ἐνῶ τῆς πιστῆς ψυχῆς ἀπόδειξη εἶναι νὰ μὴν ἀμφιβάλλει· ἕνας τέτοιος ὅμως ἀμφιβάλλει. «Ὅλα», λέγει, «εἶναι καθαρὰ γιὰ τοὺς καθαρούς». Βλέπεις σὲ τί ἀποβλέπει αὐτὸ ποὺ λέχθηκε; «γιὰ τοὺς μολυσμένους ὅμως καὶ ἀπίστους», λέγει, «τίποτε δὲν εἶναι καθαρό».

3. Δὲν εἶναι ἑπομένως καθαρὰ ἢ ἀκάθαρτα ἀπὸ τὴ δική τους φύση, ἀλλὰ ἀπὸ τὴ διάθεση ἐκείνων ποὺ τὰ τρῶνε. «Ἔχει μο-

αὐτῶν», φησί, «καὶ ὁ νοῦς καὶ ἡ συνείδησις. Θεὸν ὁμολογοῦσιν εἰδέναι, τοῖς δὲ ἔργοις ἀρνοῦνται, βδελυκτοὶ ὄντες καὶ ἀπειθεῖς καὶ πρὸς πᾶν ἔργον ἀγαθὸν ἀδόκιμοι». Οὐκοῦν καὶ ὁ ὗς καθαρόν· τί οὖν ὡς ἀκάθαρτον ἀπηγόρευται; Οὐ τῇ φύσει ἀκάθαρτον 5 ἦν· πάντα γὰρ καθαρά· ἐπεὶ οὐδὲν ἰχθύος ἀκαθαρτότερον, ὅπου γε καὶ ἀνθρωπίνων ἀπογεύεται σωμάτων· ἀλλ' ἐπετέτραπτο καὶ καθαρὸν εἶναι ἐδόκει. Πάλιν οὐδὲν ὄρνιθος ἀκαθαρτότερον· σκώληκας γὰρ ἐσθίει· οὐδὲν ἐλάφου· καὶ γὰρ καὶ παρὰ τοῦτό φασιν αὐτὸν καλεῖσθαι ἔλαφον, διὰ τὸ ὄφεις ἐσθίειν· ἀλλὰ πάντα 10 ταῦτα ἠσθίετο. Τίνος οὖν ἕνεκεν τὸν ὗν καὶ ἕτερά τινα τοιαῦτα ἀπηγόρευσεν; Οὐχ ὡς ἀκάθαρτα, ἀλλὰ τὸ πλέον τῆς τρυφῆς περικόπτων. Ἀλλ', εἰ μὲν τοῦτο εἶπεν, οὐκ ἂν ἔπεισε, νῦν δὲ τῷ φόβῳ τῆς ἀκαθαρσίας αὐτοὺς κατέσχε.

Τί γάρ, εἰπέ μοι, οἴνου ἀκαθαρτότερον, εἰ ταῦτα ἐξετάζειν 15 χρή; τί δὲ ὕδατος, εἰπέ μοι, ᾧ μάλιστα ἐκαθαίροντο; νεκρῶν οὐχ ἥπτοντο, καὶ νεκρῷ καθηγνίζοντο· τὸ γὰρ σφαζόμενον νεκρόν, καὶ τούτῳ ἐκαθαίροντο. Οὕτω παίδων ἦν ἡ διδασκαλία. Σκόπει δέ· ὁ οἶνος οὐχὶ ἀπὸ κόπρου τὴν σύστασιν ἔχει; ὥσπερ γὰρ ἀπὸ τῆς γῆς ἕλκει ἡ ἄμπελος τὴν νοτίδα, οὕτω καὶ ἀπὸ τῆς κόπρου 20 τῆς παρακειμένης. Καὶ ὅλως, εἰ βουλοίμεθα ἀκριβολογεῖσθαι, πάντα ἀκάθαρτα. Ἀλλ' οὐδέν, εἰ βουλοίμεθα μὴ ἀκριβολογεῖσθαι, ἀκάθαρτον, ἀλλὰ πάντα καθαρά· οὐδὲν ὁ Θεὸς ἀκάθαρτον ἐποίησεν· οὐδὲν γὰρ ἀκάθαρτον, εἰ μὴ ἡ ἁμαρτία μόνη· ψυχῆς γὰρ ἅπτεται καὶ ταύτην ῥυποῖ. Τοῦτο δὲ πρόληψίς ἐστιν ἀνθρω- 25 πίνη. «Τοῖς δὲ μεμιαμμένοις», φησί, «καὶ ἀπίστοις οὐδὲν καθαρόν, ἀλλὰ μεμίανται αὐτῶν καὶ ὁ νοῦς καὶ ἡ συνείδησις».

Πῶς γὰρ ἐν τοῖς καθαροῖς ἀκάθαρτον ἂν εἴη; Ὁ ψυχὴν ἔχων ἀσθενῆ, πάντα ῥυποῖ. Εἰ δὲ ἐνσπαρῇ τοιοῦτος λογισμὸς τὸ καθαρὸν καὶ τὸ ἀκάθαρτον ζητῶν, οὐδενὸς ἅψεται· οὐδὲ γὰρ 30 ταῦτα καθαρά, ἰχθῦς λέγω, καὶ τὰ ἄλλα κατὰ τὸν αὐτῶν λογισμόν· «μεμίανται αὐτῶν», φησί, «καὶ ὁ νοῦς καὶ ἡ συνείδησις».

λυνθεῖ», λέγει, «καὶ ὁ νοῦς τους καὶ ἡ συνείδησή τους. Ὁμολογοῦν ὅτι γνωρίζουν τὸ Θεό, ἀλλὰ μὲ τὰ ἔργα τους τὸν ἀρνοῦνται· εἶναι ἄνθρωποι βδελυροί, ἀπειθεῖς καὶ ἀκατάλληλοι γιὰ κάθε καλὸ ἔργο». Ἑπομένως ὁ χοῖρος εἶναι καθαρός· γιατί τότε ἔχει ἀπαγορευθεῖ σὰν ἀκάθαρτος; Δὲν ἦταν ἀκάθαρτος ἀπὸ τὴ φύση, γιατὶ ὅλα εἶναι καθαρά. Ἄλλωστε τίποτε δὲν εἶναι πιὸ ἀκάθαρτο ἀπὸ τὸ ψάρι, ἀφοῦ τρώει καὶ ἀνθρώπινα σώματα· ὅμως εἶχε ἐπιτραπεῖ καὶ θεωροῦνταν πὼς εἶναι καθαρό. Ἐπίσης τίποτε δὲν εἶναι πιὸ ἀκάθαρτο ἀπὸ τὴν ὄρνιθα, ἀφοῦ τρώει σκουλήκια. Τίποτε πιὸ ἀκάθαρτο ἀπὸ τὸ ἐλάφι· γιατὶ πραγματικὰ λένε πὼς γι' αὐτὸ ὀνομάζεται ἐλάφι, ἐπειδὴ τρώει φίδια. Ὅλα ὅμως αὐτὰ τὰ ἔτρωγαν . Γιὰ ποιό λόγο λοιπὸν ἀπαγόρευσε τὸ χοῖρο καὶ κάποια ἄλλα τέτοια ζῶα; Ὄχι σὰν ἀκάθαρτα, ἀλλὰ γιὰ νὰ περιορίσει τὴν πλεονεξία τῆς ἀπόλαυσης. Ἀλλὰ ἂν τὸ ἔλεγε αὐτό, δὲ θὰ τοὺς ἔπειθε· τώρα ὅμως τοὺς συγκράτησε μὲ τὸ φόβο τῆς ἀκαθαρσίας.

Πράγματι, πές μου, τί ὑπάρχει πιό ἀκάθαρτο ἀπὸ τὸ κρασί, ἂν πρέπει νὰ ἐξετάζει κανεὶς αὐτά; Καὶ τί πιὸ ἀκάθαρτο ἀπὸ τὸ νερό, μὲ τὸ ὁποῖο κυρίως καθαρίζονταν· γιατὶ ἐκεῖνο ποὺ θυσίαζαν ἦταν νεκρὸ καὶ μὲ νεκρὸ καθαρίζονταν. Ἔτσι γιὰ μικρὰ παιδιὰ ἦταν ἡ διδασκαλία αὐτή. Ἀλλὰ πρόσεχε· τὸ κρασὶ δὲν ἔχει τὴ σύστασή του ἀπὸ τὴν κοπριά; Γιατί, ὅπως τὸ κλῆμα τραβάει ἀπὸ τὸ χῶμα τὴν ὑγρασία, ἔτσι καὶ ἀπὸ τὴν κοπριὰ ποὺ βρίσκεται δίπλα του. Καὶ γενικά, ἂν θέλουμε ν' ἀκριβολογοῦμε, ὅλα εἶναι ἀκάθαρτα. Ἂν ὅμως δὲ θέλουμε νὰ ἀκριβολογοῦμε, τίποτε δὲν εἶναι ἀκάθαρτο, ἀλλ' ὅλα εἶναι καθαρά. Τίποτε δὲν ἔκαμε ὁ Θεὸς ἀκάθαρτο. Τίποτε λοιπὸν δὲν εἶναι ἀκάθαρτο, παρὰ μόνο ἡ ἁμαρτία· γιατὶ ἀγγίζει τὴν ψυχὴ καὶ τὴ ρυπαίνει. Αὐτὸ λοιπὸν εἶναι ἀνθρώπινη πρόληψη. «Γιὰ τοὺς μολυσμένους ὅμως καὶ ἀπίστους», λέγει, «τίποτε δὲν εἶναι καθαρό, ἀλλὰ ἔχει μολυνθεῖ καὶ ὁ νοῦς τους καὶ ἡ συνείδησή τους».

Πῶς λοιπὸν θὰ μποροῦσε νὰ ὑπάρξει ἀκάθαρτο στοὺς καθαρούς; Ἐκεῖνος ποὺ εἶναι ἀσθενὴς στὴν ψυχὴ ρυπαίνει τὰ πάντα. Καὶ ἂν γεννηθεῖ μέσα του μιὰ τέτοια σκέψη ποὺ ζητάει τὸ καθαρὸ καὶ τὸ ἀκάθαρτο, δὲν ἀγγίζει τίποτε. Γιατὶ οὔτε αὐτὰ εἶ-

ἀλλὰ πάντα μιαρά. Ἀλλ' οὐκ εἶπεν οὕτως, ἀλλὰ τί; Περιέτρεψεν εἰς αὐτοὺς τὸ πᾶν. Οὐδὲν γὰρ ἀκάθαρτον, φησίν, ἀλλ' αὐτοί, καὶ ὁ νοῦς καὶ ἡ συνείδησις αὐτῶν· τούτων οὐδέν ἐστιν ἀκαθαρτότερον. «Θεὸν ὁμολογοῦσιν εἰδέναι, τοῖς δὲ ἔργοις ἀρνοῦνται, βδε-5 λυκτοὶ ὄντες καὶ ἀπειθεῖς, καὶ πρὸς πᾶν ἔργον ἀγαθὸν ἀδόκιμοι».

«Σὺ δὲ λάλει ἃ πρέπει τῇ ὑγιαινούσῃ διδασκαλίᾳ». Τοῦτό ἐστιν ἀκαθαρσία· αὐτοί εἰσιν ἀκάθαρτοι, ἀλλὰ μὴ τούτων ἕνεκεν σιγήσῃς. Κἂν μὴ δέχωνται, φησί, σὺ τὰ σαυτοῦ πρᾶττε· κἂν μὴ 10 πείθωνται, σὺ παραίνει καὶ συμβούλευε. Ἐνταῦθα πλέον αὐτοὺς διαβάλλει. Καὶ γὰρ οἱ μαινόμενοι οὐδὲν νομίζουσιν ἑστηκέναι· ἀλλ' οὐ παρὰ τὰ ὁρώμενα τοῦτο γίνεται, ἀλλὰ παρὰ τοὺς ὁρῶντας ὀφθαλμούς. Ἐπειδὴ ἄστατοί εἰσι καὶ ἰλιγγιῶντες, νομίζουσι περιστρέφεσθαι αὐτοῖς τὴν γῆν· ἀλλ' οὐ περιστρέφεται, ἀλλ' 15 ἕστηκε παγία· τοῦ γὰρ πάθους αὐτῶν ἡ ἀπόνοια, οὐ τοῦ στοιχείου τὸ πάθος. Οὕτω καὶ ἐνταῦθα· ὅταν ψυχὴ ἀκάθαρτος ᾖ, πάντα ἀκάθαρτα νομίζει. Ἄρα οὖν οὐ τὸ παρατηρεῖσθαι καθαρότητος, ἀλλὰ καθαρότητος τὸ πάντων κατατολμᾶν· ὁ γὰρ φύσει καθαρός, πάντων κατατολμᾷ, οἱ δὲ ἐρρυπωμένοι, οὐδενός. Τοῦ-20 το καὶ πρὸς Μαρκίωνά ἐστιν εἰπεῖν.

Ὁρᾷς ὅτι καθαρότητος τεκμήριον τίθεται τὸ παντὸς ῥύπου ἀνώτερον εἶναι, τὸ δὲ μηδενὸς ἅπτεσθαι, ἀκαθαρσίας; Οὕτω καὶ ἐπὶ Θεοῦ· ὅτι σάρκα ἀνέλαβε, τοῦτο καθαρότητος· εἰ δεδοικὼς δὲ οὐκ ἀνέλαβε, ῥύπου. Ὁ τὰ δοκοῦντα εἶναι ἀκάθαρτα μὴ 25 ἐσθίων, οὗτός ἐστιν ἀκάθαρτος καὶ ἀσθενής· ὁ δὲ ἐσθίων, οὐκέτι. Μὴ καθαροὺς τοίνυν καλῶμεν τοὺς τοιούτους· οὗτοί εἰσιν οἱ ἀκάθαρτοι· ὁ δὲ πάντων κατατολμῶν, καθαρός. Ταύτην τὴν εὐ-

ναι καθαρά, δηλαδὴ τὰ ψάρια καὶ τὰ ἄλλα σύμφωνα μὲ τὴ λογική του («ἔχει μολυνθεῖ», λέγει, «καὶ ὁ νοῦς τους καὶ ἡ συνείδησή τους»), ἀλλ' ὅλα εἶναι μολυσμένα. Ἀλλ' ὅμως δὲν εἶπε αὐτό, ἀλλὰ τί; Περιέστρεψε σ' αὐτοὺς τὰ πάντα. Γιατὶ λέγει, τίποτε δὲν εἶναι ἀκάθαρτο, ἀλλὰ οἱ ἴδιοι καὶ ὁ νοῦς τους καὶ ἡ συνείδησή τους· ἀπ' αὐτοὺς δὲν ὑπάρχει τίποτε πιὸ ἀκάθαρτο. «Ὁμολογοῦν ὅτι γνωρίζουν τὸ Θεό, ἀλλὰ μὲ τὰ ἔργα τους τὸν ἀρνοῦνται· εἶναι ἄνθρωποι βδελυροί, ἀπειθεῖς καὶ ἀκατάλληλοι γιὰ κάθε καλὸ ἔργο».

«Ἐσὺ ὅμως νὰ διδάσκεις ὅσα εἶναι σύμφωνα μὲ τὴ σωστὴ διδασκαλία». Αὐτὸ εἶναι ἀκαθαρσία· αὐτοὶ εἶναι ἀκάθαρτοι. Ἀλλὰ μὴ σιγήσεις ἐξ αἰτίας τους. Καὶ ἂν δὲν πείθονται, ἐσὺ νὰ προτρέπεις καὶ νὰ συμβουλεύεις. Ἐδῶ τοὺς κατηγορεῖ περισσότερο. Γιατὶ καὶ αὐτοὶ ποὺ κυριεύονται ἀπὸ μανία νομίζουν πὼς τίποτε δὲν εἶναι σταθερό. Αὐτὸ ὅμως δὲ γίνεται ἀπ' αὐτὰ ποὺ βλέπουν, ἀλλὰ ἀπὸ τὰ μάτια ποὺ βλέπουν. Ἐπειδὴ εἶναι ἀσταθεῖς καὶ αἰσθάνονται ἴλιγγο νομίζουν πὼς ἡ γῆ περιστρέφεται γύρω τους. Δὲν περιστρέφεται ὅμως, ἀλλὰ στέκεται ἀκίνητη. Γιατὶ ἡ παραφροσύνη εἶναι ἀπόδειξη τοῦ πάθους τους καὶ ὄχι τὸ πάθος τοῦ στοιχείου τῆς γῆς. Τὸ ἴδιο συμβαίνει καὶ ἐδῶ. Ὅταν ἡ ψυχὴ εἶναι ἀκάθαρτη, θεωρεῖ τὰ πάντα ἀκάθαρτα. Ἄρα λοιπὸν ἀπόδειξη καθαρότητας δὲν εἶναι οἱ διακρίσεις, ἀλλ' ἀπόδειξη καθαρότητας εἶναι τὸ νὰ χρησιμοποιοῦν τὰ πάντα. Γιατὶ ὅποιος εἶναι ἀπὸ τὴ φύση του καθαρὸς τὰ χρησιμοποιεῖ ὅλα, ἐνῶ οἱ ἀκάθαρτοι δὲν προσεγγίζουν τίποτε. Τὸ ἴδιο μποροῦμε νὰ ποῦμε καὶ πρὸς τὸ Μαρκίωνα.

Βλέπεις ὅτι ἀπόδειξη καθαρότητας ὁρίζεται τὸ νὰ εἶναι κανεὶς ἀπαλλαγμένος ἀπὸ κάθε ἀκαθαρσία, ἐνῶ τὸ νὰ μὴν ἀγγίζει τίποτε εἶναι ἀπόδειξη ἀκαθαρσίας; Ἔτσι συμβαίνει καὶ μὲ τὸ Θεό· ὅτι ἀνέλαβε σάρκα εἶναι ἀπόδειξη καθαρότητας· ἂν ὅμως φοβούμενος δὲν ἀναλάμβανε, θὰ ἦταν ἀπόδειξη ἀκαθαρσίας. Ὅποιος δὲν τρώει αὐτὰ ποὺ θεωροῦνται ἀκάθαρτα αὐτὸς εἶναι ἀκάθαρτος καὶ ἀσθενής· ὅποιος ὅμως τρώει δὲν εἶναι. Ἂς μὴν ὀνομάζουμε λοιπὸν καθαροὺς αὐτοὺς τοὺς ἀνθρώπους. Αὐτοὶ εἶναι ἀκάθαρτοι. Ἐκεῖνος ποὺ τὰ χρησιμοποιεῖ ὅλα, αὐτὸς εἶναι

λάβειαν ἐπὶ τῶν ρυπούντων τὴν ψυχὴν ἐπιδείκνυσθαι χρή· ἐκεῖνο γὰρ ἀκαθαρσία, ἐκεῖνο ρύπος· τοῦτο δὲ οὐδὲν τούτων. Ἐπεὶ καὶ οἱ στόμα ἔχοντες διεφθαρμένον νομίζουσι τὰ προσφερόμενα ἀκάθαρτα εἶναι, τοῦτο δὲ τοῦ πάθους ἐστί. Χρὴ τοίνυν τῶν κα-
5 *θαρῶν σφόδρα εἰδέναι καὶ τῶν ἀκαθάρτων τὴν φύσιν.*

4. Τί οὖν ἐστιν ἀκάθαρτον; Ἁμαρτία, κακία, πλεονεξία, πονηρία. «Λούσασθε», φησί, «καθαροὶ γίνεσθε, ἀφέλετε τὰς πονηρίας ὑμῶν ἀπὸ τῶν ψυχῶν ὑμῶν». «Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός». «Ἐξέλθετε ἐκ μέσου αὐτῶν καὶ ἀφορίσθητε»,
10 *φησί, «καὶ ἀκαθάρτου μὴ ἅπτεσθε»· ἐπεὶ καὶ αἱ παρατηρήσεις ἐκεῖναι σύμβολὰ ἦσαν καθαρσιῶν. «Νεκροῦ», φησί, «μὴ ἅψῃ». Τοιοῦτον γὰρ ἡ ἁμαρτία, νεκρὸν καὶ ὀδωδός. «Ὁ λεπρός», φησίν, «ἀκάθαρτός ἐστι». Καὶ γὰρ ἡ ἁμαρτία ποικίλον καὶ πολυειδές. Καὶ ὅτι τοῦτο αἰνίττεται, ἐκ τῶν ἑξῆς δῆλον. Ἐὰν γὰρ ᾖ*
15 *διαπαντὸς ἡ λέπρα καὶ καθ' ὅλου τοῦ σώματος, καθαρός ἐστιν, ἐὰν δὲ ἐν μέρει, οὐκέτι. Ὁρᾷς ὅτι τὸ ποικίλον καὶ ἐνηλλαγμένον ἐστὶ τὸ ἀκάθαρτον; Πάλιν ὁ γονορρυὴς ἀκάθαρτος ἐν τῇ ψυχῇ. Λόγισαι τὸν γονορρυῆ, τὸν τὰ σπέρματα ἀποβάλλοντα. Ὁ μὴ περιτμηθεὶς πάλιν ἀκάθαρτος. Ὁρᾷς πῶς οὐκ ἔστι ταῦτα ἀλληγο-*
20 *ρία, ἀλλὰ τύποι; Ὁ μὴ περιελών, φησί, τῆς ψυχῆς τὴν κακίαν. Ὁ ἐργαζόμενος ἐν τῷ σαββάτῳ, λιθάζεται· τουτέστιν, ὁ μὴ διαπαντὸς ἀνακείμενος τῷ Θεῷ, οὗτος ἀπόλλυται.*

Εἴδετε πόσοι τρόποι ἀκαθαρσιῶν; «Ἡ ἀπὸ λέχους», φησίν, «ἀκάθαρτός ἐστι». Διὰ τί, εἰπέ μοι; Οὐχὶ σπόρον καὶ γέν-
25 *νησιν αὐτὸς ἐποίησε; τίνος οὖν ἕνεκεν ἀκάθαρτος ἡ γυνή; εἰ μὴ ἕτερόν τι ᾐνίττετο. Τί δὲ τοῦτό ἐστιν; Εὐλάβειαν ἐνέτικτε τῇ ψυχῇ, τῆς πορνείας ἀπήγαγε πόρρω. Εἰ γὰρ ἡ τεκοῦσα ἀκάθαρτος, πολλῷ μᾶλλον ἡ πορνεύουσα· εἰ τὸ τῇ γυναικὶ τῇ ἑαυτοῦ*

---

17. Ἡσ. 1,16. 18. Ψαλμ. 50,12.
19. Ἡσ. 52,11.

καθαρός. Αὐτὴν τὴν εὐλάβεια πρέπει νὰ δείχνουμε σ' ἐκεῖνα ποὺ ρυπαίνουν τὴν ψυχή, γιατὶ ἐκεῖνο εἶναι ἀκαθαρσία, ἐκεῖνο εἶναι ρύπος, ἐνῶ αὐτὸ τίποτε ἀπ' αὐτά. Ἄλλωστε καὶ ἐκεῖνοι ποὺ ἔχουν ἀνήθικο στόμα νομίζουν πὼς τὰ προσφερόμενα εἶναι ἀκάθαρτα, ἐνῶ αὐτὸ εἶναι ἀπόδειξη τοῦ πάθους. Πρέπει λοιπὸν νὰ γνωρίσουμε καλὰ τὴ φύση τῶν καθαρῶν καὶ τῶν ἀκαθάρτων.

4. Ποιό λοιπὸν εἶναι ἀκάθαρτο; Ἡ ἁμαρτία, ἡ κακία, ἡ πλεονεξία, ἡ πονηρία. «Λουσθεῖτε», λέγει, «γίνετε καθαροί, ἀφαιρέστε τὶς πονηρίες σας ἀπὸ τὶς ψυχές σας»[17]. «Κτίσε μέσα μου καρδιὰ καθαρή, Θεέ μου»[18]. «Βγεῖτε ἔξω ἀπ' αὐτοὺς καὶ ξεχωρίστε», λέγει, «καὶ μὴν ἀγγίζετε τίποτε τὸ ἀκάθαρτο»[19]. Ἄλλωστε καὶ οἱ διακρίσεις ἐκεῖνες ἦταν σύμβολα καθαρσιῶν. «Νεκρό», λέγει, «δὲ θὰ ἀγγίζεις»[20]. Γιατὶ τέτοιο πράγμα εἶναι ἡ ἁμαρτία, νεκρὸ καὶ γεμάτο δυσωδία. «Ὁ λεπρός», λέγει, «εἶναι ἀκάθαρτος»[21]. Πραγματικὰ ἡ ἁμαρτία εἶναι πολύμορφη καὶ πολλῶν εἰδῶν. Καὶ ὅτι ὑπαινίσσεται αὐτὸ γίνεται φανερὸ ἀπὸ τὰ ἑπόμενα. Γιατί, ἂν ἡ λέπρα καλύπτει πάντοτε καὶ ὅλο ἐντελῶς τὸ σῶμα, εἶναι καθαρός· ἂν ὅμως καλύπτει ἕνα μέρος, δὲν εἶναι καθαρός. Βλέπεις ὅτι τὸ ποικίλο καὶ μεταβλητὸ εἶναι τὸ ἀκάθαρτο; Ἐπίσης ὁ ἄνδρας ποὺ παθαίνει ρεύση εἶναι ἀκάθαρτος στὴν ψυχή[22]. Σκέψου τὸν 'γονορρυή', αὐτὸν ποὺ ἀποβάλλει τὸ σπέρμα του. Ὅποιος δὲν περιτμήθηκε εἶναι ἐπίσης ἀκάθαρτος. Βλέπεις πῶς αὐτὰ δὲν εἶναι ἀλληγορία, ἀλλὰ τύποι; Ὅποιος δὲν ξερριζώνει, λέγει, τὴν κακία τῆς ψυχῆς του. Ὅποιος ἐργάζεται τὸ Σάββατο λιθοβολεῖται· δηλαδή, ὅποιος δὲν ἀφοσιώνεται συνέχεια στὸ Θεό, αὐτὸς ὁδηγεῖται στὴν ἀπώλεια.

Εἴδατε πόσοι τρόποι ἀκαθαρσιῶν ὑπάρχουν; «Ἡ γυναίκα», λέγει, «ποὺ εἶναι λεχώνα εἶναι ἀκάθαρτη»[23]. Πές μου, γιατί; Δὲν ἔκαμε αὐτὸς καὶ τὸ σπέρμα καὶ τὴ γέννηση; γιὰ ποιό λόγο λοιπὸν εἶναι ἀκάθαρτη ἡ γυναίκα; Ἐκτὸς ἂν ὑπονοοῦσε κάτι ἄλλο. Καὶ ποιό εἶναι αὐτό; Εὐλάβεια στάλαζε μέσα στὴν ψυχή, ὁδηγοῦσε μακριὰ ἀπὸ τὴν πορνεία. Γιατί, ἂν ἡ γυναίκα ποὺ γέννησε εἶναι

20. Λευϊτ. 11,8. 21. Λευϊτ. 13,15.
22. Λευϊτ. 15,4. 23. Λευϊτ. 15,19.

πλησιάζειν οὐ σφόδρα καθαρόν, τὸ ἀλλοτρίᾳ μίγνυσθαι πολλῷ μᾶλλον. Ὁ ἀπὸ κήδους, φησίν, ἀκάθαρτος· πολλῷ μᾶλλον ὁ ἀπὸ φόνου καὶ πολέμου. Καὶ πολλοὺς ἂν εὕροι τις τρόπους ἀκαθαρσιῶν, εἴ γε δεῖ πάντας ἀναλέγεσθαι. Ἀλλ' οὐ νῦν ταῦτα ἀπαιτούμεθα, ἀλλὰ μετέστη εἰς τὴν ψυχὴν τὸ πᾶν. Τὰ γὰρ σωματικὰ ἐγγυτέρω ἡμῶν· διὰ τοῦτο ἀπὸ τούτου ἐνήγαγεν· ἀλλ' οὐ νῦν· οὐ γὰρ ἔδει παρακαθέζεσθαι τοῖς τύποις, οὐδὲ προσεδρεύειν ταῖς σκιαῖς, ἀλλὰ τῆς ἀληθείας ἔχεσθαι, καὶ ταύτης ἀντιλαμβάνεσθαι. Ἀκάθαρτον ἡ ἁμαρτία· ταύτην φεύγωμεν, ταύτης ἀπεχώμεθα· «ἐὰν προσέλθῃς», φησί, «πρὸς αὐτήν, δήξεταί σε».

Οὐδὲν πλεονεξίας ἀκαθαρτότερον. Πόθεν τοῦτο δῆλον; Ἀπ' αὐτῶν τῶν πραγμάτων. Τί γὰρ οὐ μιαίνει; χεῖρας, ψυχήν, αὐτὴν τὴν οἰκίαν, ἔνθα ἀπόκειται τὰ ἁρπαζόμενα. Πρὸς Ἰουδαίους μὲν οὖν οὐδὲν τοῦτο εἶναι δοκεῖ. Καίτοι ὀστᾶ ἐβάστασεν ὁ Μωϋσῆς τοῦ Ἰωσήφ, καὶ ὁ Σαμψὼν ἀπὸ σιαγόνος ὄνου ἔπιε, καὶ ἀπὸ λέοντος μέλι ἔφαγε, καὶ Ἠλίας ἀπὸ κοράκων ἐτρέφετο, καὶ παρὰ γυναικὸς χήρας. Τί δέ, εἰπέ μοι, εἰ τούτων ἕνεκεν ἀκριβολογεῖσθαι χρή, τὰ δέρματα τῶν βιβλίων αὐτῶν οὐ πάντων ἦν ἐναγέστερα; καὶ γὰρ ἀπὸ νεκρῶν ζώων ἐστίν. Οὐχὶ ὁ πόρνος τοίνυν ἀκάθαρτος μόνον, ἀλλὰ καὶ ἕτεροι τούτου μᾶλλον, καὶ ὁ μοιχὸς ἀκάθαρτος· ἀκάθαρτος δὲ καὶ οὗτος κἀκεῖνος, οὐ διὰ τὴν μίξιν· ἐπεὶ κατὰ τοῦτον τὸν λόγον καὶ ὁ γυναικὶ ἰδίᾳ πλησιάζων, ἀκάθαρτος· ἀλλὰ διὰ τὴν ἀδικίαν καὶ τὴν πλεονεξίαν, ὅτι τὸν ἀδελφὸν ἐπλεονέκτησεν ἐν τοῖς ἀναγκαιοτάτοις.

Ὁρᾷς ὅτι ἡ κακία ἀκάθαρτον; Καὶ ὁ μὲν δύο γυναῖκας ἔχων οὐκ ἦν ἀκάθαρτος· καὶ πολλὰς ἔχων ὁ Δαυὶδ οὐκ ἦν ἀκά-

---

24. Λευΐτ. 21,1.
25. Σοφ. Σειρ. 21,2.
26. Βλ. Ἐξ. 18,19.
27. Βλ. Κριτ. 15,15–19 καὶ 14,8–10.

ἀκάθαρτη, πολὺ περισσότερο θὰ εἶναι ἡ πόρνη. Ἂν τὸ νὰ πλησιάζει κανεὶς τὴ γυναίκα του δὲν εἶναι πολὺ καθαρό, θὰ εἶναι πολὺ περισσότερο τὸ νὰ συνευρίσκεται μὲ ξένη. Αὐτὸς ποὺ πλησίασε νεκρό, λέγει, εἶναι ἀκάθαρτος[24]· πολὺ περισσότερο αὐτὸς ποὺ διέπραξε φόνο καὶ πολέμησε. Καὶ πολλοὺς τρόπους ἀκαθαρσιῶν θὰ μποροῦσε νὰ βρεῖ κανείς, ἂν βέβαια πρέπει νὰ τοὺς ἀναφέρουμε ὅλους. Ὅμως δὲν τὰ ζητοῦμε τώρα αὐτά, ἀλλὰ ὅλα ἔχουν μετατεθεῖ στὴν ψυχή. Τὰ σωματικὰ δηλαδὴ εἶναι πιὸ κοντά μας· γι' αὐτὸ τοὺς ὁδήγησε ἀπ' αὐτά. Ἀλλὰ ὄχι τώρα· γιατὶ δὲν ἔπρεπε νὰ καθόμαστε στοὺς τύπους οὔτε νὰ παραμένουμε στὶς σκιὲς ἀλλὰ ν' ἀκολουθοῦμε τὴν ἀλήθεια καὶ αὐτὴν νὰ ἐπιδιώκουμε. Ἀκάθαρτο εἶναι ἡ ἁμαρτία· αὐτὴν ἂς ἀποφεύγουμε, ἀπ' αὐτὴν ἂς ἀπομακρυνόμαστε. «Ἂν τὴν πλησιάσεις», λέγει, «θὰ σὲ δαγκώσει»[25].

Τίποτε δὲν εἶναι πιὸ ἀκάθαρτο ἀπὸ τὴν πλεονεξία. Ἀπὸ ποῦ φαίνεται αὐτό; Ἀπὸ τὰ ἴδια τὰ πράγματα. Πράγματι τί δὲ μολύνει; χέρια, ψυχή, τὸ ἴδιο τὸ σπίτι, ὅπου φυλάγονται τὰ ἁρπαζόμενα. Ἀπὸ τοὺς Ἰουδαίους βέβαια γι' αὐτὸ δὲ δίνεται καμμιὰ σημασία. Ἂν καὶ ὁ Μωυσῆς μετέφερε τὰ ὀστὰ τοῦ Ἰωσὴφ[26] καὶ ὁ Σαμψὼν ἤπιε ἀπὸ τὸ σαγόνι τοῦ ὄνου καὶ ἔφαγε μέλι ἀπὸ λιοντάρι[27] καὶ ὁ Ἠλίας τρεφόταν ἀπὸ τὰ κοράκια καὶ ἀπὸ χήρα γυναίκα[28]. Τί λοιπόν, πές μου, ἂν πρέπει ἐξαιτίας αὐτῶν νὰ ἀκριβολογοῦμε, τὰ δέρματα τῶν βιβλίων αὐτῶν δὲν ἦταν πιὸ μολυσμένα ἀπ' ὅλα; καθόσον εἶναι ἀπὸ νεκρὰ ζῶα. Δὲν εἶναι λοιπὸν ἀκάθαρτος μόνο ὁ πόρνος, ἀλλὰ καὶ ἄλλοι περισσότερο ἀπ' αὐτόν· καὶ ὁ μοιχὸς εἶναι ἀκάθαρτος. Καὶ εἶναι ἀκάθαρτοι καὶ ὁ ἕνας καὶ ὁ ἄλλος ὄχι ἐξαιτίας τῆς συνουσίας (γιατὶ τότε σύμφωνα μ' αὐτὴ τὴ λογικὴ καὶ ἐκεῖνος ποὺ συνευρίσκεται μὲ τὴ δική του γυναίκα εἶναι ἀκάθαρτος), ἀλλ' ἐξαιτίας τῆς ἀδικίας καὶ τῆς πλεονεξίας, ἐπειδὴ ἔδειξε πλεονεξία στὰ ἀναγκαῖα πρὸς τὸν ἀδελφό του.

Βλέπεις ὅτι ἡ κακία εἶναι ἀκάθαρτο πράγμα; Καὶ αὐτὸς ποὺ εἶχε δύο γυναῖκες δὲν ἦταν ἀκάθαρτος. Καὶ ὁ Δαβίδ, ἂν καὶ εἶχε

---

28. Βλ. Γ' Βασ. 17,1–16.

θαρτος· ἐπειδὴ δὲ μίαν ἔσχε παρανόμως, ἀκάθαρτος γέγονε. Διὰ τί; Ὅτι ἠδίκησεν, ὅτι ἐπλεονέκτησε. Καὶ ὁ πόρνος δὲ οὐ διὰ τοῦτο ἀκάθαρτος διὰ τὴν μίξιν, ἀλλὰ διὰ τὸν τρόπον, ὅτι ἀδικεῖ τὸ γύναιον, καὶ ἀλλήλους ἀδικοῦσι τὴν γυναῖκα ποιοῦντες κοινήν,
5 *καὶ τοὺς τῆς φύσεως ἀνατρέποντες νόμους· ἑνὸς γὰρ αὐτὴν ἔδει εἶναι. «Ἄρσεν» γάρ, φησί, «καὶ θῆλυ ἐποίησεν αὐτούς»· καὶ εἶπεν, «ἔσονται οἱ δύο εἰς σάρκα μίαν»· οὐχ οἱ πολλοί, ἀλλ' «οἱ δύο εἰς σάρκα μίαν». Καὶ ἐνταῦθα τοίνυν ἀδικία ἐστί, καὶ διὰ τοῦτο πονηρὸν τὸ πρᾶγμα. Ὁ θυμὸς πάλιν ὅταν ὑπερβῇ τὰ μέτρα, ἀκά-*
10 *θαρτον ποιεῖ τὸν ἄνθρωπον, οὐ διὰ τὴν ὀργήν, ἀλλὰ διὰ τὸν τρόπον· ἐπεὶ καὶ τοῦτο πρόσκειται, «ὁ ὀργιζόμενος», οὐχ ἁπλῶς, ἀλλά, «εἰκῇ». Ὥστε πανταχοῦ τὸ τοῦ πλείονος ἐφίεσθαι, ἀκάθαρτον· ἀπὸ γὰρ ἀπληστίας καὶ τοῦ ἀκορέστου τὸ πρᾶγμα τίκτεται.*

15 *Νήφωμεν τοίνυν, παρακαλῶ, καθαροὶ γενώμεθα τὴν ἀληθῆ καθαρότητα, ἵνα τὸν Θεὸν ἰδεῖν καταξιωθῶμεν, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.*

πολλὲς γυναῖκες, δὲν ἦταν ἀκάθαρτος· ἐπειδὴ ὅμως ἀπέκτησε μία παράνομα ἔγινε ἀκάθαρτος. Γιατί; Ἐπειδὴ ἀδίκησε, ἐπειδὴ ἔγινε πλεονέκτης. Καὶ ὁ πόρνος δὲν εἶναι ἀκάθαρτος ἐξαιτίας τῆς συνουσίας, ἀλλ' ἐξαιτίας τοῦ τρόπου, ἐπειδὴ ἀδικεῖ τὴ γυναίκα· καὶ ὁ ἕνας ἀδικεῖ τὸν ἄλλον κάνοντας τὴ γυναίκα κοινὴ καὶ ἀνατρέποντας τοὺς νόμους τῆς φύσης, γιατὶ αὐτὴ ἔπρεπε ν' ἀνήκει σ' ἕναν ἄνδρα. «Ἔπλασε», λέγει, «ἄνδρα καὶ γυναίκα»· καὶ εἶπε ὁ Θεός, «θὰ γίνουν οἱ δυό τους μία σάρκα»[29]. Ὄχι οἱ πολλοί, ἀλλὰ «οἱ δύο μία σάρκα». Καὶ ἐδῶ λοιπὸν ἀδικία ὑπάρχει, καὶ γι' αὐτὸ τὸ πράγμα εἶναι κακό. Ὁ θυμὸς ἐπίσης ὅταν ξεπεράσει τὰ μέτρα κάνει ἀκάθαρτο τὸν ἄνθρωπο, ὄχι ἐξαιτίας τῆς ὀργῆς, ἀλλ' ἐξαιτίας τοῦ τρόπου· γιατὶ καὶ αὐτὸ προστίθεται· «ὅποιος ὀργίζεται», ὄχι ἁπλῶς, ἀλλά, «χωρὶς λόγο»[30]. Ἑπομένως παντοῦ τὸ νὰ ἐπιθυμεῖ κανεὶς τὸ περισσότερο εἶναι ἀκάθαρτο, γιατὶ ἀπὸ τὴν ἀπληστία καὶ τὸ ἀκόρεστο γεννιέται τὸ πράγμα αὐτό.

Ἂς εἴμαστε λοιπόν, παρακαλῶ, προσεκτικοί, ἂς γινόμαστε καθαροὶ μὲ τὴν ἀληθινὴ καθαρότητα, γιὰ ν' ἀξιωθοῦμε νὰ δοῦμε τὸ Θεό, μὲ τὴ βοήθεια τοῦ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου μας, μαζὶ μὲ τὸν ὁποῖο στὸν Πατέρα καὶ συγχρόνως στὸ ἅγιο Πνεῦμα ἀνήκει ἡ δόξα, ἡ δύναμη καὶ ἡ τιμή, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

---

29. Γεν. 1,27 καὶ 2,24.
30. Ματθ. 5,22.

ΟΜΙΛΙΑ Δ'

(Τιτ. 2,2–10)

«Πρεσβύτας νηφαλίους εἶναι, σεμνούς, σώφροντας, ὑγιαίνοντας τῇ πίστει, τῇ ἀγάπῃ, τῇ ὑπομονῇ· πρεσβύτιδας ὡσαύτως ἐν καταστήματι ἱεροπρεπεῖς, μὴ διαβόλους, μὴ οἴνῳ πολλῷ δεδουλωμένας, καλοδιδασκάλους, ἵνα σω-
5 φρονίζωσι τὰς νέας φιλάνδρους εἶναι, φιλοτέκνους, σώφρονας, ἁγνάς, οἰκουρούς, ἀγαθάς, ὑποτασσομένας τοῖς οἰκείοις ἀνδράσιν, ἵνα μὴ ὁ λόγος τοῦ Θεοῦ βλασφημῆται».

1. Ἔστιν ἃ καὶ τὸ γῆρας ἐλαττώματα ἔχει, καὶ οὐχ ἡ νεότης· καὶ ἔχει μέν τινα καὶ τῶν τῆς νεότητος, ἔχει δὲ ὅμως καὶ τὸ
10 νωθρόν, τὸ ὀκνηρόν, τὸ ληθαργόν, τὸ ἀμβλύ, τὸ ἀκρόχολον. Διὰ τοῦτο περὶ τούτων παραγγέλλων φησί· «πρεσβύτας εἶναι νηφαλίους». Πολλὰ γάρ ἐστι τὰ ποιοῦντα μὴ νήφειν τοὺς ἐν ἡλικίᾳ τοιαύτῃ· καὶ πρῶτον αὐτὸ ὅπερ ἔφην, τὸ πανταχόθεν ἀμβλύνεσθαι καὶ δυσκόλως διεγείρεσθαι καὶ δυσκόλως κινεῖσθαι· διὸ
15 καὶ ἐπάγει, «σεμνούς, σώφρονας». Ἐνταῦθα τοὺς φρονίμους φησί· σωφροσύνη γὰρ τοῦτο λέγεται, ἡ τῶν φρενῶν σωτηρία. Εἰσὶ γάρ, εἰσὶ καὶ ἐν τοῖς γεγηρακόσι λυττῶντες ἄνθρωποι, παράφρονες, οἱ μὲν ἀπὸ οἴνου, οἱ δὲ ἀπὸ λύπης· μικροψύχους γὰρ τὸ γῆρας ποιεῖ.

20 «Ὑγιαίνοντας ἐν τῇ πίστει, τῇ ἀγάπῃ, τῇ ὑπομονῇ». Καὶ καλῶς εἴρηκε, «τῇ ὑπομονῇ»· καὶ τοῦτο γὰρ μάλιστα τοῖς γέρουσιν ἁρμόζει. «Πρεσβύτιδας ὡσαύτως ἐν καταστήματι ἱεροπρεπεῖς», τουτέστιν, ἀπ' αὐτοῦ τοῦ σχήματος καὶ τῆς καταστολῆς δεικνυμένας τὴν κοσμιότητα. «Μὴ διαβόλους, μὴ οἴνῳ πολλῷ
25 δεδουλωμένας». Μάλιστα γὰρ τοῦτο γυναικῶν τὸ ἐλάττωμα καὶ

ΟΜΙΛΙΑ Δ'

(Τίτ. 2, 2–10)

«Οἱ ἡλικιωμένοι ἄνδρες νὰ εἶναι νηφάλιοι, σεμνοί, σώφρονες, ὑγιεῖς στὴν πίστη, στὴν ἀγάπη, στὴν ὑπομονή. Ἐπίσης οἱ ἡλικιωμένες γυναῖκες νὰ εἶναι σεβάσμιες στὴ συμπεριφορά τους, νὰ μὴ διαβάλλουν, νὰ μὴν εἶναι ὑποδουλωμένες στὸ πολὺ κρασί· νὰ διδάσκουν τὸ καλό, συνετίζοντας τὶς νέες νὰ ἀγαποῦν τοὺς ἄνδρες τους καὶ τὰ παιδιά τους, νὰ εἶναι ἀγαθὲς καὶ νὰ ὑποτάσσονται στοὺς ἄνδρες τους, γιὰ νὰ μὴ δυσφημίζεται ὁ λόγος τοῦ Θεοῦ».

1. Ὑπάρχουν ἐλαττώματα ποὺ τὰ ἔχουν τὰ γηρατειὰ καὶ δὲν τὰ ἔχει ἡ νεότητα, ὑπάρχουν ὅμως καὶ κάποια ποὺ τὰ ἔχει καὶ ἡ νεότητα, ποὺ ἔχει ὅμως καὶ τὴ νωθρότητα, τὴν ὀκνηρία, τὴ λησμοσύνη, τὴν ἀτονία, τὸ ὀξύθυμο. Γι' αὐτὸ παραγγέλλοντας γι' αὐτὰ λέγει· «οἱ ἡλικιωμένοι νὰ εἶναι νηφάλιοι». Γιατὶ ὑπάρχουν πολλὰ ποὺ κάνουν τοὺς ἀνθρώπους σ' αὐτὴ τὴν ἡλικία νὰ μὴν εἶναι νηφάλιοι. Καὶ πρῶτα αὐτὸ ποὺ εἶπα, τὸ ὅτι τὰ πάντα σ' αὐτοὺς ἀτονοῦν καὶ δύσκολα σηκώνονται καὶ κινοῦνται. Γι' αὐτὸ καὶ προσθέτει· «νὰ εἶναι σεμνοί, σώφρονες». Ἐδῶ ἐννοεῖ τοὺς σώφρονες, γιατὶ σωφροσύνη λέγεται ἡ ὑγεία τοῦ νοῦ. Γιατὶ ὑπάρχουν, ὑπάρχουν καὶ ἀνάμεσα στοὺς γέροντες ἄνθρωποι μανιακοὶ καὶ παράφρονες, ἄλλοι ἀπὸ τὸ κρασὶ καὶ ἄλλοι ἀπὸ τὴ λύπη, γιατὶ τὰ γηρατειὰ δημιουργοῦν μικρόψυχους ἀνθρώπους.

«Νὰ εἶναι ὑγιεῖς στὴν πίστη, στὴν ἀγάπη, στὴν ὑπομονή». Καὶ καλὰ εἶπε, «στὴν ὑπομονή», γιατὶ καὶ αὐτὸ ἁρμόζει κυρίως στοὺς γέροντες. «Ἐπίσης οἱ ἡλικιωμένες γυναῖκες νὰ εἶναι σεβάσμιες στὴ συμπεριφορά», δηλαδή, ἀπὸ τὴν ἐμφάνιση καὶ τὸ ντύσιμό τους νὰ δείχνουν τὴ σεμνότητα. «Νὰ μὴ διαβάλλουν, νὰ μὴν εἶναι ὑποδουλωμένες στὸ πολὺ κρασί». Τὸ ἐλάττωμα αὐτὸ

τοῦ γήρως· τῷ γὰρ κατεψύχθαι τὰς ἡλικίας πολλὴ καὶ τούτου γίνεται ἡ ἐπιθυμία. Ὅθεν καὶ περὶ τούτου μάλιστα τὴν παραίνεσιν πρὸς αὐτὰς ποιεῖται, πανταχόθεν τὴν μέθην ἐκκόπτων, καὶ τοῦ νοσήματος τούτου ἐκτὸς αὐτὰς εἶναι βουλόμενος, καὶ διαφυγεῖν
5 *τὸν ἐντεῦθεν γέλωτα. Καὶ γὰρ εὐκολώτερον καὶ οἱ κάτωθεν ἀτμοὶ ἀναφέρονται, καὶ αἱ μήνιγγες τὴν βλάβην δέχονται τῷ πεπαλαιῶσθαι αὐτὰς τῷ χρόνῳ· καὶ ἐντεῦθεν ἡ μέθη μάλιστα γίνεται. Δεῖ μὲν οὖν οἴνου τῇ ἡλικίᾳ ταύτῃ μάλιστα, ἀσθενὴς γάρ· δεῖ δὲ οὐ πολλοῦ, ὥσπερ οὐδὲ ταῖς νέαις, οὐ διὰ τὴν αὐτὴν αἰτίαν,*
10 *ἀλλὰ διὰ τὸ σφόδρα τὴν φλόγα τῆς ἐπιθυμίας ἀνάπτεσθαι.*

«Καλοδιδασκάλους». Καὶ μὴν κωλύεις γυναῖκας διδάσκειν· πῶς οὖν ἐνταῦθα ἐπιτρέπεις, ἐν τοῖς ἑτέρωθι λέγων, «γυναικὶ δὲ διδάσκειν οὐκ ἐπιτρέπω»; Ἀλλ' ἄκουε τί ἐπήγαγεν, «οὐδὲ αὐθεντεῖν ἀνδρός». Ἀνδράσι μὲν γὰρ ἐπιτέτραπται διδά-
15 *σκειν ἄνωθεν καὶ ἄνδρας καὶ γυναῖκας· γυναιξὶ δὲ τὸν μὲν παραινετικὸν ἐπιτρέπει λόγον ἐπ' οἰκίας, οὐδαμοῦ δὲ προκαθῆσθαι συγχωρεῖ, οὐδὲ μακρὸν ἀποτείνειν λόγον ἀφίησι. Διὰ τοῦτο ἐπήγαγεν, «οὐδὲ αὐθεντεῖν ἀνδρός». «Ἵνα σωφρονίζωσι», φησί, «τὰς νέας».*

20 *2. Ὁρᾷς πῶς συμπλέκει καὶ συνάγει τὸν λαόν; πῶς ὑποτάττει τὰς νεωτέρας ταῖς γεγηρακυίαις; Οὐ γὰρ περὶ θυγατέρων ἐνταῦθα διαλέγεται, ἀλλ' ἁπλῶς ἀπὸ τῆς ἡλικίας. Ἑκάστη, φησί, πρεσβυτέρα τὴν νεωτέραν σωφρονιζέτω. «Φιλάνδρους εἶναι». Τὸ κεφάλαιον τοῦτο τῶν κατὰ τὴν οἰκίαν ἀγαθῶν· «γυνὴ» γάρ,*
25 *φησίν, «ἀνδρὶ συμπεριφερομένη». Τούτου γὰρ ὄντος, οὐδὲν τῶν ἀηδῶν συμβήσεται. Πῶς γάρ, τῆς κεφαλῆς πρὸς τὸ σῶμα συννενευκυίας καὶ μηδεμιᾶς ἐκεῖ διαστάσεως οὔσης, οὐ πάντα τὰ λοιπὰ εἰρηνεύσεται; τῶν γὰρ ἀρχόντων ἐν εἰρήνῃ ὄντων, τίς ὁ διαιρῶν καὶ διατέμνων τὴν εἰρήνην; ὥσπερ αὖ τούτων κακῶς*
30 *διακειμένων, οὐδὲν ὑγιὲς ἔσται κατὰ τὴν οἰκίαν. Οὐδὲν οὖν τούτου μεῖζον· καὶ χρημάτων καὶ εὐγενείας καὶ δυναστείας καὶ τῶν*

---

1. Α' Τιμ. 2,12. 2. Σοφ. Σειρὰχ 25,1.

ἀνήκει κυρίως στὶς γυναῖκες καὶ στὰ γηρατειά, γιατὶ μὲ τὴν ἀτονία ποὺ δημιουργεῖ ἡ ἡλικία γίνεται μεγάλη ἡ ἐπιθυμία τοῦ κρασιοῦ. Γι' αὐτὸ κυρίως γι' αὐτὸ τὸ ἐλάττωμα τὶς ἀπευθύνει τὴν προτροπή του, ξερριζώνοντας ἀπὸ παντοῦ τὴ μέθη καὶ θέλοντας ν' ἀπαλλαγοῦν ἀπὸ τὴν ἀρρώστια αὐτὴ καὶ ν' ἀποφύγουν τὴ γελοιοποίησή τους ποὺ προέρχεται ἀπὸ ἐδῶ. Γιατὶ πραγματικὰ πιὸ εὔκολα καὶ οἱ κάτω ἀναθυμιάσεις ἀνεβαίνουν ἐπάνω καὶ οἱ μεμβράνες τοῦ ἐγκεφάλου παθαίνουν βλάβη καθὼς γερνοῦν μὲ τὰ χρόνια· καὶ ἀπὸ ἐδῶ κυρίως γίνεται ἡ μέθη. Χρειάζεται βέβαια ἰδιαίτερα ἡ ἡλικία αὐτὴ τὸ κρασί, γιατὶ εἶναι ἀδύναμη· χρειάζεται ὅμως ὄχι πολύ, ὅπως δὲ χρειάζονται καὶ οἱ νέες πολύ, ὄχι γιὰ τὴν ἴδια αἰτία, ἀλλὰ γιατὶ ἀνάβει ὑπερβολικὰ ἡ φλόγα τῆς ἐπιθυμίας.

«Νὰ διδάσκουν τὸ καλό». Καὶ ὅμως ἐμποδίζεις τὶς γυναῖκες νὰ διδάσκουν. Πῶς λοιπὸν ἐδῶ ἐπιτρέπεις, ἐνῶ ἀλλοῦ λέγεις, «στὴ γυναίκα δὲν ἐπιτρέπω νὰ διδάσκει»[1]; Ἄκου ὅμως τί πρόσθεσε· «οὔτε νὰ ἐξουσιάζει τὸν ἄνδρα». Γιατὶ στοὺς ἄνδρες ἔχει ἐπιτραπεῖ ἀπὸ τὴν ἀρχὴ νὰ διδάσκουν καὶ ἄνδρες καὶ γυναῖκες· στὶς γυναῖκες ὅμως ἐπιτρέπει νὰ συμβουλεύουν στὸ σπίτι καὶ δὲν τὶς ἀφήνει πουθενὰ νὰ προΐστανται, οὔτε νὰ βγάζουν μακρὸ λόγο. Γι' αὐτὸ πρόσθεσε, «οὔτε νὰ ἐξουσιάζει τὸν ἄνδρα. «Γιὰ νὰ συνετίζουν», λέγει, «τὶς νέες».

2. Βλέπεις πῶς συνδέει καὶ ἑνώνει τὸ λαό; πῶς ὑποτάσσει τὶς νεότερες στὶς ἡλικιωμένες; Γιατὶ ἐδῶ δὲ μιλάει γιὰ θυγατέρες, ἀλλ' ἁπλῶς σὲ σχέση μὲ τὴν ἡλικία. Κάθε ἡλικιωμένη, λέγει, ἂς σωφρονίζει τὴ νεότερη. «Ν' ἀγαποῦν τοὺς ἄνδρες τους». Αὐτὸ εἶναι τὸ σπουδαιότερο ἀπὸ τὰ ἀγαθὰ στὸ σπίτι. «Ἡ γυναίκα», λέγει, «νὰ συμπεριφέρεται καλὰ στὸν ἄνδρα της»[2]. Γιατί, ἂν ὑπάρχει αὐτὸ δὲ θὰ συμβεῖ τίποτε τὸ δυσάρεστο. Γιατὶ πῶς, ὅταν συμφωνεῖ ἡ κεφαλὴ πρὸς τὸ σῶμα καὶ δὲν ὑπάρχει ἐκεῖ καμμιὰ διάσταση, δὲ θὰ εἰρηνεύσουν ὅλα τὰ ὑπόλοιπα; Ὅταν δηλαδὴ οἱ ἄρχοντες ζοῦν μὲ εἰρήνη, ποιός μπορεῖ νὰ διαλύσει καὶ νὰ καταστρέψει τὴν εἰρήνη; Ὅπως πάλι, ἂν αὐτοὶ βρίσκονται σὲ ἐχθρικὴ διάθεση μεταξύ τους τίποτε τὸ ὑγιὲς δὲ θὰ συμβεῖ στὸ σπίτι. Τίποτε λοιπὸν δὲν ὑπάρχει μεγαλύτερο ἀπ' αὐτό, τὸ ὁποῖο εἶναι πιὸ ὠφέλιμο καὶ ἀπὸ τὰ χρήματα καὶ ἀπὸ τὴν εὐγενικὴ καταγωγὴ

ἄλλων ἁπάντων τοῦτο λυσιτελέστερον. Οὐκ εἶπεν ἁπλῶς, ἐν εἰρήνῃ εἶναι, ἀλλά, φιλεῖν τοὺς ἄνδρας. Ὅταν γὰρ ἀγάπη ᾖ, οὐδὲν τῶν δυσκόλων παρείσδυσιν ἕξει· ἀπὸ ταύτης γὰρ καὶ τὰ λοιπὰ τίκτεται ἀγαθά.

5 *«Φιλοτέκνους», φησί. Καλῶς· ἡ γὰρ τὴν ρίζαν ἀγαπῶσα, πολλῷ μᾶλλον καὶ τοὺς καρπούς. «Σώφρονας, ἁγνάς, οἰκουρούς, ἀγαθάς». Πάντα ἀπ᾽ ἐκείνης τίκτεται· καὶ γὰρ ἀγαθαὶ καὶ οἰκουροὶ ἀπὸ τῆς ἀγάπης καὶ τῆς περὶ τὸν ἄνδρα φιλίας γίνονται. «Ὑποτασσομένας τοῖς ἰδίοις ἀνδράσιν, ἵνα μὴ ὁ λόγος τοῦ Θεοῦ 10 βλασφημῆται»· ὡς ἥ γε τοῦ ἀνδρὸς καταφρονοῦσα καὶ τῆς οἰκίας ἀμελεῖ. Ἀπὸ δὲ τοῦ φιλεῖν καὶ σωφροσύνη πολλὴ τίκτεται, ἀπὸ τοῦ φιλεῖν πᾶσα ἀναιρεῖται φιλονεικία· κἂν Ἕλλην ᾖ, ταχέως πειθήσεται· κἂν Χριστιανός, βελτίων ἔσται. Ὁρᾷς τοῦ Παύλου τὴν συγκατάβασιν; Ὁ πάντα πράττων ὥστε ἡμᾶς ἀποστῆσαι 15 τῶν βιωτικῶν, περὶ τῶν κατὰ τὴν οἰκίαν νῦν πολλὴν ποιεῖται τὴν φροντίδα. Τούτων γὰρ καλῶς διοικουμένων, καὶ τὰ πνευματικὰ χώραν ἕξει· ἑτέρως δέ, κἀκεῖνα λυμαίνεται. Ἡ γὰρ οἰκουρὸς γυνὴ καὶ σώφρων ἔσται, ἡ οἰκουρὸς καὶ οἰκονομική· οὔτε περὶ τρυφήν, οὔτε περὶ ἐξόδους ἀκαίρους, οὔτε περὶ ἄλλο τι τῶν 20 τοιούτων ἀσχοληθήσεται.*

«Ἵνα μὴ ὁ λόγος τοῦ Θεοῦ», φησί, «βλασφημῆται». Ὁρᾷς ὅτι προηγουμένως τοῦ κηρύγματος φροντίζει, οὐχὶ τῶν κοσμικῶν πραγμάτων; Καὶ γὰρ πρὸς Τιμόθεον γράφων φησίν· «ἵνα ἤρεμον καὶ ἡσύχιον βίον διάγωμεν ἐν πάσῃ εὐσεβείᾳ καὶ σεμνό- 25 τητι»· καὶ ἐνταῦθα, «ἵνα μὴ ὁ λόγος τοῦ Θεοῦ» καὶ ἡ διδασκαλία «βλασφημῆται». Εἰ γὰρ συμβαίη γυναῖκα πιστὴν ἀπίστῳ συνοικοῦσαν μὴ εἶναι ἐνάρετον, ἡ βλασφημία ἐπὶ τὸν Θεὸν διαβαίνειν εἴωθεν· εἰ δὲ εἴη κοσμία, τὸ κήρυγμα καρποῦται τὴν δόξαν τὴν ἐξ ἐκείνης καὶ τῶν ὑπ᾽ ἐκείνης κατορθουμένων. Ἀκουέτωσαν αἱ 30 γυναῖκες, ὅσαι μοχθηροῖς ἢ ἀπίστοις συνοικοῦσιν ἀνδράσιν· ἀκουέτωσαν, καὶ παιδευέσθωσαν διὰ τῶν οἰκείων τρόπων ἐνάγειν αὐτοὺς εἰς εὐσέβειαν. Κἂν γὰρ μηδὲν ἕτερον κερδάνῃς, μηδὲ

---

3. Α΄ Τιμ. 2,2.

καὶ ἀπὸ τὴν ἐξουσία καὶ ἀπὸ ὅλα τὰ ἄλλα. Δὲν εἶπε ἁπλῶς, νὰ ἔχουν εἰρήνη, ἀλλά, ν' ἀγαποῦν τοὺς ἄνδρες τους. Γιατί, ὅταν ὑπάρχει ἀγάπη καμμιὰ δυσκολία δὲ θὰ εἰσχωρήσει στὸ σπίτι· γιατὶ ἀπὸ τὴν ἀγάπη γεννιοῦνται καὶ τὰ ὑπόλοιπα ἀγαθά.

«Νὰ ἀγαποῦν τὰ παιδιά τους», λέγει. Σωστά· γιατὶ ἐκείνη ποὺ ἀγαπάει τὴ ρίζα θὰ ἀγαπάει πολὺ περισσότερο καὶ τοὺς καρπούς. «Νὰ εἶναι ἐγκρατεῖς, ἁγνές, νὰ φροντίζουν γιὰ τὸ σπίτι τους, νὰ εἶναι ἀγαθές». Ὅλα ἀπὸ ἐκείνη προέρχονται. Γιατὶ πραγματικὰ ἀπὸ τὴν ἀγάπη καὶ τὴ φιλία πρὸς τὸν ἄνδρα γίνονται καὶ ἀγαθὲς καὶ καλὲς νοικοκυρές. «Νὰ ὑποτάσσονται στοὺς ἄνδρες τους, γιὰ νὰ μὴ δυσφημίζεται ὁ λόγος τοῦ Θεοῦ». Γιατὶ ἐκείνη ποὺ περιφρονεῖ τὸν ἄνδρα της ἀδιαφορεῖ καὶ γιὰ τὸ σπίτι της. Ἀπὸ τὴν ἀγάπη γεννιέται καὶ πολλὴ σωφροσύνη, ἀπὸ τὴν ἀγάπη ἐξαφανίζεται κάθε φιλονεικία. Καὶ ἂν εἶναι εἰδωλολάτρης, γρήγορα θὰ πεισθεῖ· ἂν πάλι εἶναι Χριστιανός, θὰ γίνει καλύτερος. Βλέπεις τὴ συγκατάβαση τοῦ Παύλου; Αὐτὸς ποὺ κάνει τὰ πάντα, ὥστε νὰ μᾶς ἀπομακρύνει ἀπὸ τὰ βιοτικά, φροντίζει τώρα πολὺ γιὰ τὰ πράγματα τοῦ σπιτιοῦ. Γιατί, ὅταν αὐτὰ διοικοῦνται καλά, θὰ βροῦν τόπο καὶ τὰ πνευματικά· διαφορετικὰ καταστρέφονται καὶ αὐτά. Γιατὶ ἡ γυναίκα ποὺ φροντίζει γιὰ τὸ σπίτι της θὰ εἶναι καὶ ἐγκρατὴς καὶ οἰκονόμα· οὔτε γιὰ ἀπολαύσεις, οὔτε γιὰ ἄκαιρες ἐξόδους, οὔτε γιὰ κάτι ἄλλο ἀπὸ τὰ παρόμοια θ' ἀσχοληθεῖ.

«Γιὰ νὰ μὴ δυσφημίζεται», λέγει, «ὁ λόγος τοῦ Θεοῦ». Βλέπεις ὅτι πρῶτα φροντίζει γιὰ τὸ κήρυγμα καὶ ὄχι γιὰ τὰ κοσμικὰ πράγματα; Γιατὶ καὶ πρὸς τὸν Τιμόθεο γράφοντας λέγει· «γιὰ νὰ ζοῦμε ἤρεμα καὶ ἥσυχα μὲ κάθε εὐσέβεια καὶ σεμνότητα»[3]· καὶ ἐδῶ, «γιὰ νὰ μὴ δυσφημίζεται ὁ λόγος τοῦ Θεοῦ» καὶ ἡ διδασκαλία του. Γιατί, ἂν συμβεῖ νὰ μὴν εἶναι ἐνάρετη ἡ πιστὴ γυναίκα ποὺ συνοικεῖ μὲ ἄπιστο ἄνδρα, ἡ δυσφήμιση συνήθως μεταφέρεται στὸ Θεό· ἂν ὅμως εἶναι σεμνή, τὸ κήρυγμα κερδίζει τὴ δόξα ἀπὸ ἐκείνη καὶ ἀπὸ τὰ κατορθώματά της. Ἂς ἀκούσουν οἱ γυναῖκες, ὅσες συνοικοῦν μὲ κακοὺς ἢ ἄπιστους ἄνδρες· ἂς ἀκούσουν καὶ ἂς μάθουν μὲ τοὺς δικούς τους τρόπους νὰ τοὺς ὁδηγοῦν στὴν εὐσέβεια. Γιατί, καὶ ἂν ἀκόμη δὲν κερδίσεις τίποτε ἄλλο καὶ δὲν προσελκύσεις τὸν ἄνδρα σου στὴν κοινωνία τῶν

ἐφελκύσῃ τὸν ἄνδρα πρὸς τὴν τῶν ὀρθῶν δογμάτων κοινωνίαν, ἀλλὰ τὸ στόμα αὐτοῦ ἀπέρραψας, οὐκ ἐῶσα βλασφημεῖσθαι τὸν Χριστιανισμόν. Τοῦτο δὲ οὐ μικρόν, ἀλλὰ καὶ σφόδρα μέγα, τὸ θαυμάζεσθαι τὸ δόγμα ἐκ τῆς ἡμετέρας ἀναστροφῆς.

5 *«Τοὺς νεωτέρους ὡσαύτως παρακάλει σωφρονεῖν». Ὅρα πῶς πανταχοῦ παρακαλεῖ τὸ πρέπον φυλάττειν. Τῆς μὲν γὰρ εἰς τὰς γυναῖκας διδασκαλίας ταῖς γυναιξὶ τὸ πλέον ἀπένειμε, τὰς γεγηρακυίας ταῖς νεωτέραις ἐπιστήσας· τῶν δὲ ἀνδρῶν τὸ πᾶν αὐτῷ δίδωσι καὶ ἀπονέμει. Οὐδὲν γάρ, οὐδὲν οὕτω δύσκο-*
10 *λον καὶ χαλεπὸν τῇ ἡλικίᾳ ταύτῃ γένοιτ' ἄν, ὡς τὸ περιγενέσθαι τῶν ἡδονῶν τῶν ἀτόπων. Οὔτε γὰρ χρημάτων ἔρως, οὔτε δόξης ἐπιθυμία, οὔτε ἄλλο οὐδὲν οὕτω ταύτην διενοχλεῖ τὴν ἡλικίαν, ὡς ὁ τῶν σωμάτων ἔρως. Διὸ πάντα τὰ ἄλλα ἀφείς, περὶ τὸ καίριον αὐτῷ τὴν παραίνεσιν ἵστησιν.*

15 *Εἶτα οὐδὲ τῶν ἄλλων ἕνεκεν ῥᾳθυμεῖ, ἀλλὰ τί φησι; Περὶ πάντα ἑαυτὸν παρεχόμενος τύπον καλῶν ἔργων». Διδασκέτωσαν μὲν οὖν, φησί, καὶ αἱ πρεσβύτεραι τὰς νεωτέρας, καὶ σὺ δὲ αὐτὸς παρακάλει τοὺς νεωτέρους σωφρονεῖν. Ἔστω δὲ κοινὸν πᾶσι διδασκαλεῖον καὶ ὑπόδειγμα ἀρετῆς ἡ τοῦ σοῦ βίου λαμ-*
20 *πρότης, εἰς μέσον πᾶσι προκειμένη, ὥσπερ ἀρχέτυπός τις εἰκών, πάντα ἔχουσα ἐν ἑαυτῇ τὰ καλά, μετὰ πολλῆς τῆς εὐκολίας τοῖς βουλομένοις ἐναπομάξασθαί τι τῶν ἐν αὐτῇ καλῶν παρεχομένη τὰ παραδείγματα. «Ἐν τῇ διδασκαλίᾳ ἀδιαφθορίαν, σεμνότητα, λόγον ὑγιῆ, ἀκατάγνωστον, ἵνα ὁ ἐξ ἐναντίας ἐντραπῇ, μηδὲν*
25 *ἔχων περὶ ἡμῶν λέγειν φαῦλον».*

3. Τὸν ἐξ ἐναντίας φησὶ καὶ τὸν διάβολον καὶ πάντα τὸν ἐκείνῳ διακονούμενον. Ὅταν γὰρ καὶ βίος λάμπῃ καὶ λόγος ᾖ συμβαίνων, ἐπιεικής, ἥμερος, προσηνής, μηδεμίαν τοῖς ἐναντίοις παρέχων λαβήν, πολὺ καὶ ἄφατον τὸ κέρδος. Πολλὴ ἄρα τῆς τοῦ λό-
30 *γου διακονίας ἡ χρεία, λόγου οὐ τοῦ τυχόντος, ἀλλὰ δοκίμου τινὸς καὶ ἀλήπτου, καὶ μηδεμίαν μηδαμόθεν παρεχομένου τοῖς βουλομένοις πρόφασιν. «Δούλους ἰδίοις δεσπόταις ὑποτάσσε-*

ὀρθῶν δογμάτων, ἔκλεισες ὅμως τελείως τὸ στόμα του, ἐπειδὴ δὲν ἀφήνεις νὰ δυσφημίζεται ὁ Χριστιανισμός. Καὶ αὐτὸ δὲν εἶναι μικρὸ ἀλλὰ καὶ ὑπερβολικὰ μεγάλο, τὸ νὰ θαυμάζεται τὸ δόγμα ἀπὸ τὴ δική μας συμπεριφορά.

«Τοὺς νεότερους ἐπίσης νὰ τοὺς προτρέπεις νὰ εἶναι σώφρονες». Πρόσεχε πῶς παντοῦ προτρέπει νὰ τηροῦν τὸ σωστό. Γιατὶ τὸ περισσότερο μέρος τῆς διδασκαλίας τῶν γυναικῶν τὸ πρόσφερε στὶς γυναῖκες, ἐνῶ τὰ πάντα γιὰ τοὺς ἄνδρες τὰ δίνει καὶ τὰ προσφέρει στὸν ἴδιο τὸν Τίτο. Γιατὶ τίποτε, τίποτε δὲ θὰ μποροῦσε νὰ ὑπάρξει τόσο δύσκολο καὶ ἐπίπονο γι' αὐτὴ τὴν ἡλικία, ὅσο τὸ νὰ νικήσει τὶς αἰσχρὲς ἡδονές. Οὔτε ὁ ἔρωτας δηλαδὴ τῶν χρημάτων, οὔτε ἡ ἐπιθυμία τῆς δόξας, οὔτε τίποτε ἄλλο ἐνοχλεῖ τόσο τὴν ἡλικία αὐτή, ὅσο ὁ ἔρωτας τῶν σωμάτων. Γι' αὐτό, ἀφήνοντας ὅλα τὰ ἄλλα, ἀπευθύνει τὴν προτροπὴ γιὰ τὸ καίριο αὐτὸ σημεῖο.

Στὴ συνέχεια δὲν ἀδιαφορεῖ γιὰ τὰ ἄλλα, ἀλλὰ τί λέγει; «Σὲ ὅλα νὰ παρέχεις τὸν ἑαυτό σου ὑπόδειγμα καλῶν ἔργων». Ἂς διδάσκουν λοιπόν, λέγει, καὶ οἱ ἡλικιωμένες τὶς νεότερες, καὶ σὺ ὅμως ὁ ἴδιος νὰ προτρέπεις τοὺς νέους νὰ εἶναι σώφρονες. Καὶ ἂς εἶναι κοινὸ σχολεῖο σὲ ὅλους καὶ ὑπόδειγμα ἀρετῆς ἡ λαμπρότητα τοῦ βίου σου, βρισκόμενη ἀνάμεσα σὲ ὅλους σὰν κάποια ἀρχέτυπη εἰκόνα, ἔχοντας ὅλα τὰ καλὰ μέσα της καὶ δίνοντας μὲ πολλὴ εὐκολία τὰ παραδείγματα σ' ἐκείνους ποὺ θέλουν ν' ἀποτυπώσουν κάτι ἀπὸ τὰ καλὰ ποὺ ἔχει μέσα της. «Στὴ διδασκαλία δεῖχνε ἀκεραιότητα, σεμνότητα, λόγο σωστό, ἀπαλλαγμένο ἀπὸ κατηγορίες, γιὰ νὰ ντροπιασθεῖ ὁ ἀντίπαλος, ἀφοῦ δὲ θὰ ἔχει νὰ πεῖ τίποτε κακὸ γιὰ μᾶς».

3. Ἐννοεῖ τὸν ἀντίπαλο καὶ τὸ διάβολο καὶ τὸν καθένα ποὺ τὸν ὑπηρετεῖ. Γιατί, ὅταν καὶ ὁ βίος λάμπει καὶ ὁ λόγος εἶναι σύμφωνος πρὸς αὐτόν, ἤπιος, ἥμερος, ἥσυχος καὶ δὲν παρέχει καμμιὰ ἀφορμὴ στοὺς ἀντιπάλους, τότε εἶναι πολὺ καὶ ἀπερίγραπτο τὸ κέρδος. Ἐπομένως εἶναι μεγάλη ἡ ἀνάγκη τῆς διακονίας τοῦ λόγου, ὄχι ὁποιουδήποτε λόγου, ἀλλὰ δόκιμου καὶ ἀνεπίληπτου καὶ ποὺ δὲν παρέχει ἀπὸ πουθενὰ καμμιὰ ἀφορμὴ σ' αὐτοὺς ποὺ θέλουν νὰ τοῦ ἐναντιωθοῦν. «Οἱ δοῦλοι νὰ ὑποτάσσονται στοὺς κυρίους τους, σὲ ὅλα νὰ τοὺς εἶναι εὐχάριστοι». Βλέπεις τί εἶπε

σθαι, ἐν πᾶσιν εὐαρέστους εἶναι». Ὁρᾷς τί προλαβὼν εἶπε; «Ἵνα ὁ ἐξ ἐναντίας», φησίν, «ἐντραπῇ, μηδὲν ἔχων περὶ ἡμῶν λέγειν φαῦλον». Ἄρα καταγνώσεως ἄξιος ὁ γυναῖκας ἀπὸ ἀνδρῶν ἀποζευγνὺς τῇ προφάσει τῆς ἐγκρατείας, καὶ ὁ δούλους δεσπο-
5 *τῶν ἀποστερῶν τῷ αὐτῷ δὴ τούτῳ προσχήματι. Οὗτος οὐκ ἔστιν ἀκατάγνωστος ὁ λόγος· πολλὴν δὲ καὶ τοῖς ἀπίστοις δίδωσι λαβήν, καὶ τὰ πάντων καθ' ἡμῶν ἀνοίγει στόματα.*

«Δούλους», φησίν, «ἰδίοις δεσπόταις ὑποτάσσεσθαι, ἐν πᾶσιν εὐαρέστους εἶναι, μὴ ἀντιλέγοντας, μὴ νοσφιζομένους,
10 *ἀλλὰ πίστιν πᾶσαν ἐνδεικνυμένους ἀγαθήν, ἵνα τὴν διδασκαλίαν τὴν τοῦ Θεοῦ Σωτῆρος ἡμῶν κοσμῶσιν ἐν πᾶσιν». Εἰκότως ἄρα ἔλεγεν ἑτέρωθι, «ὡς τῷ Θεῷ δουλεύοντες, καὶ οὐκ ἀνθρώποις». Κἂν γὰρ τῷ δεσπότῃ διακονῇς μετ' εὐνοίας, ἀλλ' ἡ πρόφασις ἀπὸ τοῦ φόβου τὴν ἀρχὴν ἔχει. Ὥστε ὁ μετὰ τοσούτου φό-*
15 *βου ἐκείνῳ διακονῶν, μεγίστων ἐπιτεύξεται τῶν μισθῶν. Εἰ γὰρ χειρὸς μὴ κρατεῖ, μηδὲ γλώττης ἀκολάστου, πόθεν θαυμάσεται ὁ Ἕλλην τὸ δόγμα τὸ παρ' ἡμῖν; Εἰ δὲ τὸν δοῦλον θεάσοιντο τὸν ἐν Χριστῷ φιλοσοφοῦντα, τῶν παρ' αὐτοῖς φιλοσοφησάντων μείζονα τὴν ἐγκράτειαν ἐπιδεικνύμενον, καὶ μετὰ πολλῆς*
20 *τῆς ἐπιεικείας καὶ τῆς εὐνοίας διακονούμενον, παντὶ τρόπῳ θαυμάσεται τὴν δύναμιν τοῦ κηρύγματος. Οὐ γὰρ ἀπὸ δόγματος δόγματα, ἀλλ' ἀπὸ πραγμάτων καὶ βίου τὰ δόγματα κρίνουσιν Ἕλληνες.*

Ἔστωσαν οὖν αὐτοῖς καὶ γυναῖκες καὶ δοῦλοι διδάσκαλοι
25 *διὰ τῆς οἰκείας ἀναστροφῆς. Καὶ γὰρ καὶ παρ' αὐτοῖς καὶ πανταχοῦ τοῦτο διωμολόγηται, ὅτι τὸ τῶν δούλων γένος ἰταμόν πώς ἐστι, δυσδιατύπωτον, δυστράπελον, οὐ σφόδρα ἐπιτήδειον πρὸς τὴν τῆς ἀρετῆς διδασκαλίαν, οὐ διὰ τὴν φύσιν, μὴ γένοιτο, ἀλλὰ διὰ τὴν ἀνατροφὴν καὶ τὴν ἀμέλειαν τὴν παρὰ τῶν δεσποτῶν.*
30 *Ἐπειδὴ γὰρ πανταχοῦ οὐδενὸς ἑτέρου, ἀλλὰ τῆς αὐτῶν διακονίας οἱ κρατοῦντες αὐτῶν φροντίζουσιν· εἰ δέ που καὶ τῶν τρόπων ἐπιμεληθεῖεν, καὶ τοῦτο πάλιν διὰ τὴν αὐτῶν ἀνάπαυσιν πράττουσιν, ὥστε μὴ πράγματα αὐτοῖς παρέχειν ἢ πορνεύοντας,*

---

4. Ἐφ. 6,7.

προηγουμένως; «Γιὰ νὰ ντροπιασθεῖ», λέγει, ὁ ἀντίπαλος, ἀφοῦ δὲ θὰ ἔχει νὰ πεῖ τίποτε κακὸ γιὰ μᾶς». Ἄρα εἶναι ἀξιοκατάκριτος ἐκεῖνος ποὺ χωρίζει τὶς γυναῖκες ἀπὸ τοὺς ἄνδρες τους μὲ τὸ πρόσχημα τῆς ἐγκράτειας καὶ ἐκεῖνος ποὺ στερεῖ τοὺς δούλους ἀπὸ τοὺς κυρίους τους μὲ τὴν ἴδια ἀκριβῶς ἀφορμή. Αὐτὸς ὁ λόγος δὲν εἶναι ἀπαλλαγμένος ἀπὸ κατηγορίες, ἀλλὰ καὶ στοὺς ἀπίστους δίνει μεγάλη ἀφορμὴ καὶ τὰ στόματα ὅλων ἀνοίγει ἐναντίον μας.

«Οἱ δοῦλοι», λέγει, «νὰ ὑποτάσσονται στοὺς κυρίους τους, σὲ ὅλα νὰ τοὺς εἶναι εὐχάριστοι, νὰ μὴν ἀντιλέγουν, νὰ μὴν κλέβουν, ἀλλὰ νὰ δείχνουν πλήρη καὶ καλὴ ἀξιοπιστία, γιὰ νὰ στολίζουν μὲ ὅλα τους τὰ ἔργα τὴ διδασκαλία τοῦ Σωτήρα μας Θεοῦ». Σωστὰ λοιπὸν ἔλεγε ἀλλοῦ, «σὰν νὰ δουλεύετε στὸ Θεὸ καὶ ὄχι στοὺς ἀνθρώπους»[4]. Γιατί, καὶ ἂν ἀκόμη ὑπηρετεῖς μὲ εὐχαρίστηση τὸν κύριο, ἡ αἰτία ὅμως ἔχει τὴν ἀρχὴ ἀπὸ τὸ φόβο. Ὥστε αὐτὸς ποὺ μὲ τόσο φόβο ὑπηρετεῖ ἐκεῖνον, θὰ ἐπιτύχει τὸν πιὸ μεγάλο μισθό. Γιατὶ ἂν δὲ συγκρατεῖ τὸ χέρι οὔτε τὴν ἀκόλαστη γλώσσα του, ἀπὸ ποῦ θὰ θαυμάσει ὁ εἰδωλολάτρης τὴν πίστη μας; Ἂν ὅμως δοῦν τὸ δοῦλο, ποὺ πιστεύει στὸ Χριστό, νὰ ἐπιδεικνύει μεγαλύτερη ἐγκράτεια ἀπὸ τοὺς δικούς τους φιλοσόφους καὶ νὰ ὑπηρετεῖ μὲ πολλὴ καλωσύνη καὶ εὐχαρίστηση, μὲ κάθε τρόπο θὰ θαυμάσει τὴ δύναμη τοῦ κηρύγματος. Γιατὶ οἱ Ἕλληνες δὲν κρίνουν τὰ δόγματα ἀπὸ τὸ δόγμα, ἀλλὰ ἀπὸ τὰ ἴδια τὰ πράγματα καὶ ἀπὸ τὸν τρόπο ζωῆς.

Ἂς ὑπάρχουν λοιπὸν σ' αὐτοὺς καὶ γυναῖκες καὶ δοῦλοι διδάσκαλοι μὲ τὴ συμπεριφορά τους. Γιατὶ πραγματικὰ καὶ ἀπ' αὐτοὺς καὶ παντοῦ ὁμολογεῖται αὐτό, ὅτι δηλαδὴ τὸ γένος τῶν δούλων εἶναι κάπως ἀδιάντροπο, μὲ δυσκολία ἀποκτάει εὐπρεπὴ συμπεριφορά, εἶναι γενικὰ δύσκολο καὶ ὄχι πολὺ ἱκανὸ γιὰ τὴ διδασκαλία τῆς ἀρετῆς, ὄχι ἐξαιτίας τῆς φύσης του, μακριὰ μιὰ τέτοια σκέψη, ἀλλ' ἐξαιτίας τῆς ἀνατροφῆς και τῆς ἀδιαφορίας τῶν κυρίων τους. Ἀφοῦ λοιπὸν παντοῦ οἱ κύριοι τῶν δούλων δὲ φροντίζουν γιὰ τίποτε ἄλλο, παρὰ μόνο γιὰ τὴν ἐξυπηρέτησή τους· καὶ ἂν κάπου φροντίσουν καὶ γιὰ τὴ συμπεριφορά τους, τὸ κάμνουν καὶ αὐτὸ πάλι γιὰ δική τους ἡσυχία, ὥστε νὰ μὴν τοὺς

ἢ κλέπτοντας, ἢ μεθύοντας· εἰκότως ἠμελημένοι, καὶ οὐδένα τῶν πολυπραγμονούντων ἔχοντες, εἰς αὐτὰ τῆς κακίας τὰ βάραθρα καταποντίζονται.

Εἰ γάρ, ἔνθα πατὴρ ἐφέστηκε καὶ μήτηρ καὶ παιδαγωγὸς 5 καὶ τροφεὺς καὶ διδάσκαλος καὶ ἡλικιῶται καὶ αὐτὴ ἡ τῆς ἐλευθερίας δόξα περικειμένη καὶ πολλὰ ἕτερα, μόλις ἄν τις διαφύγοι τὰς τῶν πονηρῶν συνουσίας, τί οἴει τοὺς πάντων τούτων ἐρήμους ὄντας καὶ μιαροῖς ἀναμιγνυμένους καὶ μετὰ ἀδείας οἷς ἂν ἐθέλωσι συγγινομένους, οὐδενὸς ὄντος τοῦ τὰς φιλίας αὐτῶν πο- 10 λυπραγμονοῦντος; τί οἴει τοὺς τοιούτους ἔσεσθαι; Διὰ τοῦτο δύσκολον δοῦλον γενέσθαι ἀγαθόν. Ἄλλως δὲ οὐδὲ διδασκαλίας ἀπολαύουσιν, οὔτε τῶν ἔξωθεν οὔτε τῶν παρ' ἡμῖν· οὐ συναναστρέφονται ἀνδράσιν ἐλευθέροις, κοσμίοις, πολλὴν τῆς αὐτῶν δόξης ποιουμένοις φροντίδα. Διὰ ταῦτα πάντα δύσκολον καὶ 15 θαυμαστόν, χρήσιμον οἰκέτην γενέσθαι ποτέ.

Ὅταν οὖν ἴδωσιν, ὅτι τὸ γένος τὸ οὕτως αὔθαδες ἡ τοῦ κηρύγματος δύναμις χαλινὸν περιθεῖσα πάντων εἰργάσατο κοσμιώτερον καὶ ἐπιεικέστερον, κἂν σφόδρα πάντων ὦσιν ἀλογώτεροι οἱ δεσπόται, λήψονται ἔννοιαν μεγάλην περὶ τῶν δογμά- 20 των τῶν παρ' ἡμῖν. Δῆλον γὰρ ὅτι καὶ τὸν περὶ τῆς ἀναστάσεως φόβον καὶ τὸν τῆς κρίσεως καὶ τὸν τῶν ἄλλων ἁπάντων μετὰ τὸν θάνατον φιλοσοφουμένων παρ' ἡμῖν πρότερον ἐγκαταθέντες αὐτῶν τῇ ψυχῇ, οὕτως ἴσχυσαν ἀποκρούσασθαι τὴν κακίαν, ἀντίρροπόν τινα φόβον τῆς ἀπὸ τῶν κακῶν ἡδονῆς εἰς τὴν ἑαυτῶν 25 ἐνιδρύσαντες ψυχήν. Ὥστε οὐκ εἰκῇ οὐδὲ ἁπλῶς πολὺν ὑπὲρ τούτων πανταχοῦ ποιεῖται τὸν λόγον· ὅσῳ γὰρ ἂν ὦσι κακοί, τοσούτῳ μάλιστα θαυμάζεται τοῦ κηρύγματος ἡ ἰσχύς. Καὶ γὰρ ἰατρὸν τότε θαυμάζομεν, ὅταν τὸν ἀπεγνωσμένον καὶ οὐδεμιᾶς βοηθείας ἀπολαύοντα οὐδὲ κρατῆσαι τῶν ἀκαίρων ἐπιθυμιῶν 30 δυνάμενον, ἀλλ' ἐν ταύταις ἐγκαλινδούμενον, ἐναγάγῃ πρὸς ὑγείαν καὶ διορθώσηται. Καὶ ὅρα τίνα παρ' αὐτῶν ἀπαιτεῖ· ἃ μάλιστα πάντων ἀναπαύει τὸν δεσπότην· «μὴ ἀντιλέγοντας, μὴ νοσφιζομένους»· τουτέστι, πολλὴν εὔνοιαν ἐπιδείκνυσθαι ἐν οἷς ἂν

ἐνοχλοῦν ὅταν διαπράττουν πορνεία ἢ κλέβουν ἢ μεθοῦν· καθὼς λοιπὸν εἶναι παραμελημένοι καὶ δὲν ἔχουν κανένα νὰ τοὺς προσέχει, εὔλογα καταποντίζονται στὰ ἴδια τὰ βάραθρα τῆς κακίας.

Πράγματι, ἂν ἐκεῖ, ὅπου προσέχει ὁ πατέρας καὶ ἡ μητέρα καὶ ὁ παιδαγωγὸς καὶ ἡ τροφὸς καὶ ὁ διδάσκαλος καὶ οἱ συνομήλικοι καὶ ὑπάρχει αὐτὴ ἡ δόξα τῆς ἐλευθερίας καὶ πολλὰ ἄλλα, μὲ δυσκολία θὰ μποροῦσε κανεὶς νὰ ξεφύγει τὶς συντροφιὲς τῶν κακῶν, τί νομίζεις πὼς θὰ γίνουν αὐτοὶ ποὺ στεροῦνται ὅλα αὐτά, ἀναμειγνύονται μὲ τοὺς ἀχρείους καὶ συναναστρέφονται ἐλεύθερα μὲ ὅποιους θέλουν, ὅταν δὲν ὑπάρχει κανεὶς νὰ φροντίζει γιὰ τὶς φιλίες τους; Τί νομίζεις πὼς θὰ γίνουν αὐτοί; Γι' αὐτὸ εἶναι δύσκολο νὰ γίνει ἕνας δοῦλος ἀγαθός. Ἄλλωστε οὔτε διδασκαλία ἀπολαμβάνουν οὔτε τὴν ἐθνικὴ οὔτε τὴ χριστιανική· δὲ συναναστρέφονται μὲ ἄνδρες ἐλεύθερους καὶ σεμνούς, ποὺ φροντίζουν πολὺ γιὰ τὴν τιμή τους. Γι' αὐτὰ ὅλα εἶναι δύσκολο καὶ θαυμαστὸ νὰ γίνει ποτὲ χρήσιμος ἕνας ὑπηρέτης.

Ὅταν λοιπὸν δοῦν ὅτι τὸ γένος αὐτὸ τὸ τόσο θρασὺ τὸ ἔκαμε ἡ δύναμη τοῦ κηρύγματος, θέτοντας χαλινάρι, σεμνότερο καὶ πραότερο ἀπὸ ὅλους, καὶ ἂν ἀκόμη οἱ κύριοι εἶναι πιὸ ἀνόητοι ἀπ' ὅλους θὰ σκεφθοῦν πολὺ σοβαρὰ τὰ δόγματά μας. Γιατὶ εἶναι φανερὸ ὅτι πρῶτα ἐγκατέστησαν στὴν ψυχή τους τὸ φόβο γιὰ τὴν ἀνάσταση καὶ τὴν κρίση καὶ γιὰ ὅλα τὰ ἄλλα ποὺ διδάσκουμε ὅτι θὰ συμβοῦν μετὰ τὸ θάνατο καὶ ὕστερα κατόρθωσαν ν' ἀποκρούσουν τὴν κακία, τοποθετώντας στὴν ψυχή τους τὸ φόβο αὐτὸν σὰν κάποιο ἀντίρροπο στὴν ἡδονὴ τῶν κακῶν. Ἑπομένως ὄχι χωρὶς λόγο οὔτε τυχαῖα μιλάει παντοῦ τόσο πολὺ γι' αὐτά· γιατὶ ὅσο πιὸ κακοὶ συμβαίνει νὰ εἶναι, τόσο πιὸ πολὺ θαυμάζεται ἡ δύναμη τοῦ κηρύγματος. Ἄλλωστε καὶ τὸ γιατρὸ τότε τὸν θαυμάζουμε, ὅταν ἐκεῖνον ποὺ εἶναι ἀπελπισμένος, ποὺ δὲν ἔχει καμμιὰ βοήθεια καὶ δὲν μπορεῖ νὰ συγκρατήσει τὶς ἄκαιρες ἐπιθυμίες, ἀλλὰ κυλίεται μέσα σ' αὐτές, τὸν ὁδηγήσει στὴν ὑγεία του καὶ τὸν θεραπεύσει. Καὶ πρόσεχε τί ζητάει ἀπ' αὐτούς· ἐκεῖνα ποὺ πιὸ πολὺ ἀπ' ὅλα καθησυχάζουν τὸν κύριό του. «Νὰ μὴν ἀντιλέγουν, νὰ μὴ κλέβουν». Δηλαδή, νὰ δείχνουν μεγάλο ἐνδιαφέρον γι' αὐτὰ ποὺ θὰ τοὺς ἐμπιστευθοῦν, ἀπέναντι στοὺς κυ-

πιστευθῶσιν, ἐν τοῖς πρὸς τοὺς δεσπότας μάλιστα εἶναι ἀγαθούς, ὑπείκοντας ἐν τοῖς ἐπιτάγμασι.

4. Μὴ τοίνυν νομίζετε ἁπλῶς με ταῦτα νῦν διεξιέναι· λοιπὸν γάρ μοι πρὸς τοὺς οἰκέτας ὁ λόγος. Μὴ τοίνυν, ὦ βέλτιστε, σὺ 5 πρὸς τοῦτο ἴδῃς, ὅτι ἀνθρώπῳ δουλεύεις, ἀλλ' ὅτι Θεῷ, ὅτι τὸ κήρυγμα κοσμεῖς· καὶ πάντα ὑποστήσῃ ποιεῖν, τῷ δεσπότῃ πειθόμενος καὶ φέρων ἀγανακτοῦντα ἀκαίρως καὶ δυσχεραίνοντα. Ἐννόησον ὅτι οὐκ ἐκείνῳ τὴν χάριν δίδως, ἀλλὰ τοῦ Θεοῦ πρόσταγμα πληροῖς, καὶ πᾶν ὁτιοῦν ὑποστήσῃ ῥᾳδίως. Ὅπερ δὲ ἀεὶ 10 λέγω, τοῦτο καὶ νῦν ἐρῶ, ὅτι τῶν πνευματικῶν ἡμῖν κατορθουμένων, καὶ τὰ τοῦ παρόντος ἕψεται βίου. Τὸν γὰρ τοιοῦτον οἰκέτην, τὸν οὕτως εὔνουν, τὸν οὕτως ἐπιεικῆ, οὐχ ὁ Θεὸς ἀποδέξεται μόνον καὶ τῶν στεφάνων μεταδώσει τῶν λαμπρῶν ἐκείνων, ἀλλὰ καὶ αὐτὸς ὁ παθὼν εὖ δεσπότης, κἂν θηρίον ᾖ, κἂν λίθινός 15 τις ᾖ καὶ ἀπάνθρωπος καὶ ὠμός, ἐπαινέσεται καὶ θαυμάσεται καὶ προτιμήσει τῶν ἄλλων ἁπάντων, καὶ τοῖς λοιποῖς αὐτὸν ἐπιστήσει, κἂν Ἕλλην ᾖ.

Καὶ ὅτι, κἂν Ἕλληνες ὦσιν οἱ δεσπόται, κελεύει τὸν οἰκέτην τοιοῦτον ἑαυτὸν ἐπιδείκνυσθαι, εἰ βούλεσθε, ὑμῖν καὶ παρά- 20 δειγμα διηγήσομαι. Ὁ Ἰωσὴφ ἐπράθη πρὸς τὸν ἀρχιμάγειρον καὶ δόξης ἑτέρας ἦν, οὐ τῆς αἰγυπτιακῆς. Τί οὖν ἐκεῖνος; Ἐπειδὴ ἐνάρετον εἶδε τὸν νεανίσκον, οὐκ ἐνενόησε τὸ τῆς δόξης διεστηκός, ἀλλ' αὐτός τε ἠγάπα καὶ ἐφίλει καὶ ἐθαύμαζε καὶ τῶν ἄλλων αὐτῷ τὴν ἐπιστασίαν ἐνεχείρισεν ἅπασαν καὶ τῶν κατὰ τὴν 25 οἰκίαν οὐδὲν ᾔδει δι' αὐτόν· ἀλλὰ δεύτερος δεσπότης ἐκεῖνος ἦν, μᾶλλον δὲ καὶ αὐτοῦ τοῦ δεσπότου κυριώτερος, εἴ γε ὁ μὲν ἠγνόει τὰ αὐτοῦ, οὗτος δὲ τὰ ἐκείνου ᾔδει μᾶλλον τοῦ δεσπότου. Καί μοι δοκεῖ καὶ ὕστερον, ὅτι ἐπίστευσε τῷ γυναίῳ τὴν παράνομον ἐκείνην συκοφαντίαν κατ' αὐτοῦ ποιησαμένῳ, τιμῶν τὸν δίκαιον 30 ἀπὸ τῆς προτέρας αἰδοῦς καὶ τῆς τιμῆς, μέχρι τοῦ δεσμωτηρίου στῆσαι τὴν ὀργήν. Εἰ γὰρ μὴ σφόδρα ᾐδεῖτο τὸν ἄνδρα καὶ ἐθαύ-

ρίους τους νὰ εἶναι πάρα πολὺ καλοί, νὰ ὑπακούουν στὶς ἐντολές τους.

4. Μὴ νομίζετε λοιπὸν ὅτι χωρὶς λόγο τὰ εἶπα αὐτὰ τώρα, γιατὶ στὴ συνέχεια ὁ λόγος μου ἀπευθύνεται πρὸς τοὺς ὑπηρέτες. Μὴ λοιπόν, φίλτατε, δεῖς ἐσὺ σ' αὐτό, ὅτι ὑπηρετεῖς σὲ ἄνθρωπο, ἀλλὰ ὅτι δουλεύεις στὸ Θεό, ὅτι στολίζεις τὸ κήρυγμα· καὶ τότε θὰ συγκατατεθεῖς νὰ κάνεις τὰ πάντα, ὑπακούοντας στὸν κύριό σου καὶ ἀνεχόμενος ν' ἀγανακτεῖ καὶ νὰ δυσανασχετεῖ. Σκέψου ὅτι δὲν κάνεις χάρη σ' ἐκεῖνον, ἀλλὰ ἐκπληρώνεις τὸ πρόσταγμα τοῦ Θεοῦ, καὶ ὁτιδήποτε θὰ τὸ ὑποφέρεις εὔκολα. Καὶ ἐκεῖνο ποὺ πάντοτε λέγω, αὐτὸ θὰ πῶ καὶ τώρα, ὅτι δηλαδή, ἂν ἐπιτύχουμε τὰ πνευματικά, θ' ἀκολουθήσουν καὶ τὰ πράγματα τῆς παρούσας ζωῆς. Γιατὶ ἕναν τέτοιο ὑπηρέτη, τόσο ἀγαθὸ καὶ τόσο πράο, ὄχι μόνο ὁ Θεὸς θὰ τὸν δεχθεῖ καὶ θὰ τοῦ δώσει τὰ λαμπρὰ ἐκεῖνα στεφάνια, ἀλλὰ καὶ αὐτὸς ὁ κύριος ποὺ εὐεργετήθηκε, ἔστω καὶ ἂν εἶναι θηρίο ἢ ἀναίσθητος καὶ ἀπάνθρωπος καὶ σκληρός, θὰ τὸν ἐπαινέσει καὶ θὰ τὸν θαυμάσει καὶ θὰ τὸν προτιμήσει ἀπ' ὅλους τοὺς ἄλλους, ἀλλὰ καὶ θὰ τὸν συστήσει στοὺς ὑπόλοιπους, ἔστω καὶ ἂν εἶναι ἐθνικός.

Καὶ ὅτι, καὶ ἂν ἀκόμη οἱ κύριοι εἶναι ἐθνικοί, προστάζει τὸν ὑπηρέτη νὰ παρουσιάζει τέτοιο τὸν ἑαυτό του, ἂν θέλετε θὰ σᾶς διηγηθῶ καὶ ἕνα παράδειγμα. Ὁ Ἰωσὴφ πωλήθηκε στὸν ἀρχιμάγειρα καὶ ἀνῆκε σὲ ξένη θρησκεία ὄχι στὴν αἰγυπτιακή. Τί λοιπὸν ἔκαμε ἐκεῖνος; Ἐπειδὴ εἶδε ἐνάρετο τὸ νεανία, δὲ σκέφθηκε τὴ διαφορὰ τῆς θρησκείας, ἀλλὰ τὸν συμπαθοῦσε καὶ τὸν ἀγαποῦσε καὶ τὸν θαύμαζε καὶ τοῦ ἐμπιστεύθηκε ὅλη τὴν ἐπιστασία τῶν ἄλλων, καὶ ἐξαιτίας του δὲ γνώριζε τίποτε ἀπ' αὐτὰ ποὺ εἶχε σπίτι του, ἀλλὰ δεύτερος κύριος ἦταν ἐκεῖνος, ἢ καλύτερα καὶ πιὸ σημαντικὸς ἀπὸ τὸν ἴδιο τὸν κύριο, ἀφοῦ αὐτὸς ἀγνοοῦσε τὰ δικά του, ἐνῶ ὁ Ἰωσὴφ γνώριζε τὰ πράγματα τοῦ κυρίου του καλύτερα ἀπ' αὐτόν. Καὶ μοῦ φαίνεται ὅτι καὶ ὕστερα, ὅταν πίστεψε στὴ γυναίκα του ποὺ ἔκαμε τὴν παράνομη ἐκείνη συκοφαντία ἐναντίον του, τιμώντας τὸν δίκαιο ἄνδρα ἀπὸ τὸν προηγούμενο σεβασμὸ καὶ τιμή, περιόρισε τὴν ὀργή του στὴ φυλακή. Γιατί, ἂν δὲν τὸν σεβόταν ὑπερβολικὰ καὶ δὲν τὸν θαύμαζε

μαζεν ἀπὸ τῶν προϋπηργμένων αὐτῷ, κἂν εὐθέως αὐτὸν διεχειρίσατο καὶ τὸ ξίφος διήλασε διὰ τοῦ σώματος ἐκείνου. «Μεστὸς γὰρ ζήλου», φησί, «θυμὸς ἀνδρός· οὐκ ἀνταλλάξεται οὐδενὸς λύτρου τὴν ἔχθραν, οὐδὲ μὴ διαλυθῇ πολλῶν δώρων». Εἰ δὲ παν-5 τος ἀνδρὸς τοιοῦτος ὁ ζῆλος, πολλῷ μᾶλλον ἐκείνου, Αἰγυπτίου τε ὄντος καὶ βαρβάρου καὶ παρὰ τοῦ τιμηθέντος ἠδικημένου, ὡς ᾤετο.

Ἴστε γὰρ δήπου πάντες, ὅτι οὐχ ὁμοίως ἡμᾶς δάκνει τὰ παρὰ πάντων ἀδικήματα, ἀλλὰ σφοδρότερον τῶν ἄλλων καὶ πι-10 κρότερον τὰ παρὰ τῶν εὐνοϊκῶς πρὸς ἡμᾶς διατεθέντων καὶ πιστευθέντων καὶ πιστευσάντων ἡμῖν, καὶ πολλὰ παρ' ἡμῶν εὖ παθόντων γενόμενα κακὰ μᾶλλον ἡμᾶς ἀνιᾷ καὶ λυπεῖ. Οὐκ ἐνενόησε πρὸς ἑαυτόν, οὐδὲ εἶπε, 'τί τοῦτο; οἰκέτην αὐτὸν λαβών, πάντων μετέδωκα τῶν τῆς οἰκίας, ἐλεύθερον ἐποίησα καὶ ἐμοῦ 15 τι μείζονα, καὶ τοιαύτας μοι τὰς ἀμοιβὰς ἀποδέδωκεν;' Οὐδὲν τούτων εἶπεν· οὕτως αὐτοῦ τὴν ψυχὴν ἡ προτέρα κατεῖχεν αἰδώς. Καὶ τί θαυμαστόν, εἰ ἐν οἰκίᾳ τοσαύτης ἀπήλαυσε τιμῆς, ὅπου καὶ ἐν τῷ δεσμωτηρίῳ ὅρα αὐτὸν ὅσης ἀπολαύει κηδεμονίας;

20 *Ἴστε δὲ πῶς πρὸς ὠμότητα τοῖς τὰ δεσμωτήρια ἐγκεχειρισμένοις τὸ ἦθος ἐξήσκηται· τὰς ἀλλοτρίας καὶ καρποῦνται συμφοράς, καὶ οὓς ἕτεροι κακῶς πάσχοντας τρέφουσι, τούτους οὗτοι σπαράττουσι, κέρδη κερδαίνοντες πολλῶν δακρύων ἄξια, θηρίων ὄντες ὠμότεροι. Ἀφ' ὧν γὰρ ἐχρῆν ἐλεεῖν τοὺς ἐμβεβλη-25 μένους, ἀπὸ τούτων αὐτοὶ καρποῦνται. Καὶ μὴ τοῦτο μόνον λογιζώμεθα, ἀλλ' ὅτι καὶ αὐτοὶ οὗτοι οὐχ ὁμοίως πᾶσι κέχρηνται τοῖς ἐμβεβλημένοις. Τοὺς μὲν γὰρ ἐπὶ συκοφαντίαις καὶ ἐπηρεασθέντας ἁπλῶς καὶ δεθέντας καὶ ἐλεήσαιεν ἄν, τοὺς δὲ ἐπὶ τοῖς αἰσχίστοις καὶ δεινοτάτοις καὶ τολμηροῖς ἐμβεβλημένους μυρίαις 30 αἰκίζονται πληγαῖς. Ὥστε οὐ μόνον ἀπὸ τοῦ τρόπου ὠμὸς ἔμελλεν ἔσεσθαι ὁ δεσμοφύλαξ, ἀλλὰ καὶ ἀπὸ τῆς αἰτίας, δι' ἣν ἐνεβέβλητο.*

---

5. Παροιμ. 6,34–35.
6. Βλ. Γεν. 39,1–23.

ἀπὸ τὰ προηγούμενα ἔργα του, θὰ τὸν φόνευε ἀμέσως καὶ θὰ περνοῦσε τὸ ξίφος μέσα ἀπὸ τὸ σῶμα του. «Γιατὶ ὁ θυμὸς τοῦ ἄνδρα», λέγει, εἶναι γεμάτος ζηλοτυπία· δὲ θὰ δεχθεῖ νὰ ἀνταλλάξει μὲ κανένα λύτρο τὸ μίσος του οὔτε νὰ τὸ διαλύσει ἔστω καὶ μὲ πολλὰ δῶρα»[5]. Ἂν λοιπὸν τέτοιος εἶναι ὁ φθόνος κάθε ἄνδρα, πολὺ περισσότερο θὰ ἦταν ἐκείνου, ποὺ ἦταν καὶ Αἰγύπτιος καὶ βάρβαρος καί, ὅπως νόμιζε, ἀδικημένος ἀπὸ ἐκεῖνον ποὺ τίμησε[6].

Γιατὶ γνωρίζετε βέβαια ὅτι δὲ μᾶς πληγώνουν ὅμοια οἱ ἀδικίες ἀπὸ ὅλους, ἀλλὰ σφοδρότερα καὶ πικρότερα τῶν ἄλλων μᾶς ἐνοχλοῦν καὶ μᾶς στενοχωροῦν περισσότερο τὰ κακὰ ποὺ μᾶς ἔγιναν ἀπὸ ἐκείνους ποὺ τοὺς δείξαμε ἐμπιστοσύνη, ὑπῆρξαν πιστοὶ σὲ μᾶς καὶ εὐεργετήθηκαν πολὺ ἀπὸ μᾶς. Δὲ σκέφθηκε μέσα του, οὔτε εἶπε· 'Τί εἶναι αὐτό; τὸν πῆρα ὑπηρέτη, τοῦ παρέδωσα ὅλα τὰ πράγματα τοῦ σπιτιοῦ, τὸν ἔκαμα ἐλεύθερο καὶ λίγο ἀνώτερο ἀπὸ μένα, καὶ μοῦ ἀνταπέδωσε τέτοιες ἀμοιβές;' Δὲν εἶπε τίποτε ἀπ' αὐτά· τόσο πολὺ κατεῖχε τὴν ψυχή του ὁ προηγούμενος σεβασμός. Καὶ τί τὸ θαυμαστό, ἂν ἀπόλαυσε στὸ σπίτι τόσο μεγάλη τιμή, τὴ στιγμὴ ποὺ καὶ στὴ φυλακὴ πρόσεχε αὐτὸν πόση φροντίδα ἀπολαμβάνει;

Γνωρίζετε πῶς ἀσκεῖται στὴ σκληρότητα τὸ ἦθος τῶν δεσμοφυλάκων· ἐκμεταλλεύονται τὶς ξένες συμφορές, καὶ ἐκείνους ποὺ ἄλλοι τοὺς τρέφουν βλέποντάς τους νὰ ὑποφέρουν, αὐτοὶ τοὺς κατασπαράσσουν, κερδίζοντας κέρδη ποὺ ἀξίζουν πολλὰ δάκρυα, καὶ δείχνοντας σκληρότητα μεγαλύτερη ἀπὸ θηρία. Γιατὶ ἀπὸ ἐκεῖνα ποὺ ἔπρεπε νὰ συμπονοῦν τοὺς φυλακισμένους, ἀπ' αὐτὰ κερδίζουν αὐτοί. Καὶ ἂς μὴ σκεπτόμαστε αὐτὸ μόνο, ἀλλὰ ὅτι καὶ αὐτοὶ οἱ ἴδιοι δὲ συμπεριφέρονται μὲ τὸν ἴδιο τρόπο σὲ ὅλους τοὺς φυλακισμένους. Γιατὶ ἐκείνους ποὺ κατηγορήθηκαν ἁπλῶς γιὰ συκοφαντίες καὶ φυλακίσθηκαν, μπορεῖ νὰ τοὺς εὐσπλαγχισθοῦν, τοὺς φυλακισμένους ὅμως γιὰ τὰ αἰσχρότατα καὶ φοβερότατα καὶ τολμηρὰ ἔργα τους τοὺς ἐπιφέρουν ἄπειρα κτυπήματα. Ὥστε ὄχι μόνο ἀπὸ τὸ χαρακτήρα του ἐπρόκειτο νὰ γίνει σκληρὸς ὁ δεσμοφύλακας, ἀλλὰ καὶ ἀπὸ τὴν αἰτία γιὰ τὴν ὁποία εἶχε φυλακισθεῖ.

Τίνα γὰρ οὐκ ἂν διήγειρε καθ' ἑαυτοῦ ὁ νεανίσκος, τοσαύτης μὲν ἀπολαύσας τιμῆς, ὑποπτευθεὶς δὲ τὴν δέσποιναν πειρᾶν καὶ τοιαύταις τὸν εὐεργέτην ἀμειβόμενος ἀμοιβαῖς; Ταῦτα οὖν ἐννοῶν ὁ δεσμοφύλαξ καὶ τὴν τιμὴν τοῦ ἐμβεβλημένου καὶ τὸ 5 πρᾶγμα ἐφ' ᾧ ἐνεβέβλητο, οὐκ ἂν παντὸς θηρίου χαλεπώτερον ἐχρήσατο τῷ ἀνδρί; Ἀλλὰ πάντων τούτων ἀνωτέρα γέγονεν ἡ ἐλπὶς ἡ εἰς τὸν Θεόν· οὕτως οἶδε καὶ θηρία καταπραΰνειν ψυχῆς ἀρετή. Ἀπὸ γὰρ τῆς αὐτῆς ἐπιεικείας, ἀφ' ἧς τὸν δεσπότην εἷλεν, ἀπὸ τῆς αὐτῆς καὶ τὸν ἀρχιδεσμοφύλακα· καὶ πάλιν ἦν ἄρχων ὁ 10 Ἰωσὴφ καὶ δεσμωτηρίῳ ἐκράτει καὶ ἐν οἰκίᾳ. Ἐπειδὴ γὰρ ἔμελλε βασιλεύειν, εἰκότως πρότερον ἐμάνθανεν ἄρχεσθαι, καὶ ἀρχόμενος ἄρχων ἦν καὶ προέστη τῆς οἰκίας.

5. Εἰ γὰρ τὸν εἰς Ἐκκλησίαν ἑλκόμενον ἀπαιτεῖ τοῦτο ὁ Παῦλος, οὕτω λέγων, «εἰ γάρ τις τοῦ ἰδίου οἴκου προστῆναι οὐκ οἶδε, 15 πῶς Ἐκκλησίας Θεοῦ ἐπιμελήσεται;», καὶ τὸν εἰς ἀρχὴν ἐλθόντα, πρότερον ἄριστον εἶναι χρὴ προεστάναι οἰκίας. Προέστη δεσμωτηρίου, οὐχ ὡς δεσμωτηρίου, ἀλλ' ὡς οἰκίας. Πᾶσι γὰρ ἐπεκούφιζε τὰς συμφοράς, καὶ τῶν ἐμβεβλημένων ὡς οἰκείων προΐστατο μελῶν, οὐ μόνον αὐτῶν τὰς συμφορὰς πολυπραγμο- 20 νῶν καὶ παραμυθούμενος, ἀλλὰ κἂν εἰ σύννουν εἶδέ τινα, προσῄει καὶ τὴν αἰτίαν ἐμάνθανεν, οὐδὲ ἁπλῶς κατηφοῦντα ἀνεχόμενος ὁρᾶν, ἂν μὴ πρότερον αὐτὸν ἀπαλλάξῃ τῆς κατηφείας· καίτοι τοσαύτην τις οὐδὲ περὶ τέκνα στοργὴν ἐπεδείξατο. Ἀπὸ τούτων γοῦν αὐτῷ καὶ ἡ ἀρχὴ τῶν ἀγαθῶν ἐγένετο. Δεῖ γὰρ τὰ παρ' 25 ἡμῶν ὑπάρχειν πρότερον, καὶ τότε τὰ παρὰ τοῦ Θεοῦ.

Ὅτι γὰρ τοσαύτῃ ἐκέχρητο φειδοῖ καὶ ἐπιμελείᾳ, εἶδε, φησί, τοὺς εὐνούχους τοὺς ἐμβληθέντας ὑπὸ τοῦ Φαραώ, τὸν ἀρχιοινοχόον καὶ τὸν ἀρχισιτοποιόν, καὶ εἶπε· «τί σκυθρωπὰ τὰ πρόσωπα ὑμῶν σήμερον;». Καὶ οὐκ ἀπὸ τούτου μόνον, ἀλλὰ καὶ 30 ἀφ' ὧν ἐκεῖνοι ἐποίησαν, καταμαθεῖν ἔστι τὴν ἀρετὴν τοῦ ἀν-

---

7. Α' Τιμ. 3,5.
8. Γεν. 40,7.

Πράγματι ποιόν δὲ θὰ ξεσήκωνε ἐναντίον του ὁ νεανίας ἐκεῖνος, πού, ἐνῶ ἀπόλαυσε τόση μεγάλη τιμή, ἐπιχείρησε νὰ βιάσει τὴν κυρία του καὶ ἤθελε νὰ ἀμείψει μὲ τέτοιες ἀμοιβὲς τὸν εὐεργέτη του; Αὐτὰ λοιπὸν σκεπτόμενος ὁ δεσμοφύλακας, καὶ τὴν τιμὴ τοῦ φυλακισμένου καὶ τὴν αἰτία γιὰ τὴν ὁποία εἶχε φυλακισθεῖ, δὲ θὰ φερόταν στὸν ἄνδρα φοβερότερα ἀπὸ κάθε θηρίο; Ἀλλὰ ἀπ' ὅλα αὐτὰ ἀνώτερη ὑπῆρξε ἡ ἐλπίδα στὸ Θεό· τόση μεγάλη δύναμη ἔχει ἡ ἀρετὴ τῆς ψυχῆς, ὥστε καὶ θηρία νὰ καταπραΰνει. Γιατὶ ἀπὸ τὴν ἴδια πραότητα, ἀπὸ τὴν ὁποία κατέκτησε τὸν κύριό του, ἀπὸ τὴν ἴδια κατέκτησε καὶ τὸν ἀρχιδεσμοφύλακα. Καὶ πάλι ὁ Ἰωσὴφ ἦταν ἄρχοντας, καὶ στὴ φυλακὴ ἐξουσίαζε καὶ στὸ σπίτι. Ἐπειδη δηλαδὴ ἐπρόκειτο νὰ βασιλεύσει, πολὺ σωστὰ πρῶτα μάθαινε νὰ ἐξουσιάζεται, καὶ ἐνῶ ἐξουσιαζόταν ἦταν ἄρχοντας καὶ ἐπιστάτης τοῦ σπιτιοῦ.

5. Ἂν λοιπὸν ἀπὸ ἐκεῖνον ποὺ τοῦ ἀνατίθεται ἡ διοίκηση τῆς ἐκκλησίας ἀπαιτεῖ αὐτὸ ὁ Παῦλος, λέγοντας αὐτά, «γιατὶ ὅποιος δὲν ξέρει νὰ διευθύνει τὸ σπίτι του, πῶς θὰ φροντίσει γιὰ τὴν ἐκκλησία τοῦ Θεοῦ;»[7], καὶ ἐκεῖνος ποὺ ἀνεβαίνει στὴν ἐξουσία πρέπει πρῶτα νὰ εἶναι ἄριστος στὴ διοίκηση τοῦ σπιτιοῦ. Διεύθυνε τὴ φυλακή, ὄχι σὰν φυλακὴ ἀλλὰ σὰν σπίτι. Γιατὶ σὲ ὅλους ἀνακούφιζε τὶς συμφορὲς καὶ γιὰ τοὺς φυλακισμένους φρόντιζε σὰν δικά του μέλη, ἐξετάζοντας μὲ προσοχὴ καὶ ἀνακουφίζοντας ὄχι μόνο τὰ βάσανά τους, ἀλλὰ καὶ ἂν ἀκόμη ἔβλεπε κάποιον σκεπτικὸ τὸν πλησίαζε καὶ μάθαινε τὴν αἰτία, καὶ μὴ ἀνεχόμενος νὰ τὸν βλέπει σκυθρωπό, δὲν ἔφευγε ἂν πρῶτα δὲν τὸν ἀπάλλασσε ἀπὸ τὴν κατήφειά του. Ὅμως τόσο μεγάλη στοργὴ οὔτε γιὰ τὰ παιδιά του ἔδειξε κανείς. Ἀπ' αὐτὰ λοιπὸν ἀρχίζουν καὶ τὰ ἀγαθά του. Γιατὶ πρέπει νὰ ὑπάρχουν πρῶτα τὰ δικά μας καὶ ὕστερα νὰ ἔρθουν τοῦ Θεοῦ.

Ἐπειδὴ λοιπὸν φερόταν μὲ τόσο μεγάλη συμπόνοια καὶ φροντίδα, εἶδε, λέγει ἡ Γραφή, τοὺς εὐνούχους ποὺ φυλακίσθηκαν ἀπὸ τὸ Φαραώ, τὸν ἀρχιοινοχόο καὶ τὸν ἀρχιμάγειρα, καὶ εἶπε· «γιατὶ εἶναι σκυθρωπὰ τὰ πρόσωπά σας σήμερα;»[8]. Καὶ ὄχι μόνο ἀπ' αὐτὸ ἀλλὰ καὶ ἀπὸ ὅσα ἐκεῖνοι ἔκαμαν εἶναι δυνατὸ νὰ γνωρίσει κανεὶς καλὰ τὴν ἀρετὴ τοῦ ἄνδρα. Δὲν τὸν περιφρόνη-

δρός. Οὐ γὰρ ὡς βασιλέως ὄντες οἰκέται διέπτυσαν αὐτόν, οὐχ ὡς ἐν ἀθυμίᾳ ὄντες διεκρούσαντο, ἀλλ' ὡς ἀδελφῷ γνησίῳ καὶ συναλγεῖν εἰδότι πάντα αὐτῷ ἐξεκάλυπτον τὰ ἑαυτῶν. Ταῦτα δέ μοι πάντα εἴρηται, ὅτι κἂν ἐν δουλείᾳ, κἂν ἐν αἰχμαλωσίᾳ, κἂν ἐν 5 δεσμωτηρίῳ, κἂν ὑπ' αὐτὴν τὴν γῆν γένηται ὁ ἐνάρετος, οὐδὲν αὐτὸν καταγωνίσασθαι δυνήσεσθαι.

Ταῦτά μοι πρὸς τοὺς οἰκέτας λέλεκται, ὅτι κἂν θηρία ἔχωσι δεσπότας, ὡς τὸν Αἰγύπτιον, κἂν ὠμούς, ὡς τὸν ἀρχιδεσμοφύλακα, δυνήσονται αὐτοὺς ἑλεῖν, κἂν Ἕλληνες ὦσιν, ὡς ἐκεῖ- 10 νοι, κἂν ὁτιοῦν, ταχέως τιθασσεύσουσιν. Οὐδὲν γὰρ ἐμμελέστερον τρόπων, οὐδὲν ἡδύτερον, οὐδὲν γλυκύτερον ἐπιεικείας καὶ πρᾳότητος καὶ ὑπακοῆς· πᾶσιν ἐστὶν ἐπιτήδειος ὁ τοιοῦτος. Καὶ οὔτε δουλείαν ἐπαισχύνονται οἱ τοιοῦτοι, οὔτε πένητα φεύγουσιν, οὔτε ἄρρωστον καὶ κάμνοντα· πάντων γὰρ κρατεῖ καὶ πάντων ἡ 15 ἀρετὴ περιγίνεται. Εἰ δὲ ἐν δούλοις τοσαύτην ἔχει τὸ πρᾶγμα τὴν ἰσχύν, πόσῳ μᾶλλον ἐν ἐλευθέροις; Ταῦτα οὖν ἀσκῶμεν καὶ δοῦλοι καὶ ἐλεύθεροι, καὶ γυναῖκες καὶ ἄνδρες· οὕτω καὶ ἀνθρώποις καὶ Θεῷ ἐσόμεθα ποθεινοί, καὶ ἀνθρώποις οὐ τοῖς ἐναρέτοις μόνον, ἀλλὰ καὶ τοῖς κακοῖς, καὶ μάλιστα ἐκείνοις· ἐκεῖνοι 20 γάρ εἰσιν οἱ μάλιστα τιμῶντες καὶ αἰδούμενοι. Ὥσπερ γὰρ τοὺς ἐπιεικεῖς οἱ ἀρχόμενοι μάλιστα τρέμουσιν, οὕτω καὶ τοὺς ἐναρέτους οἱ ἀκόλαστοι, εἰδότες τίνων ἐκπεπτώκασιν.

Ἐπεὶ οὖν τοσοῦτος ὁ καρπὸς τῆς ἀρετῆς, ταύτην διώκωμεν, ταύτην μετίωμεν. Ἂν ταύτης ἐχώμεθα, οὐδὲν ἡμῖν ἔσται 25 δεινόν, πάντα ῥᾴδια, πάντα εὔκολα· κἂν διὰ πυρὸς διαβαίνωμεν, κἂν δι' ὕδατος, πάντα εἴκει τῇ ἀρετῇ καὶ παραχωρεῖ, καὶ αὐτὸς ὁ θάνατος. Ζηλώσωμεν τοίνυν αὐτήν, ἵνα καὶ τῶν μελλόντων ἐπιτύχωμεν ἀγαθῶν, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεὶ 30 καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

σαν δηλαδὴ ἐπειδὴ ἦταν ὑπηρέτες τοῦ βασιλιᾶ, οὔτε τὸν ἀπέφυγαν ἐπειδὴ ἦταν στενοχωρημένοι, ἀλλὰ σὰν σὲ ἀδελφὸ γνήσιο ποὺ γνώριζε νὰ συμπάσχει τοῦ φανέρωναν ὅλα τὰ δικά τους. Καὶ ὅλα αὐτὰ τὰ εἶπα γιὰ νὰ δείξω ὅτι ὁ ἐνάρετος εἴτε σὲ δουλεία βρεθεῖ εἴτε σὲ αἰχμαλωσία εἴτε σὲ φυλακὴ εἴτε κάτω ἀπὸ τὴν ἴδια τὴ γῆ, δὲ θὰ μπορέσει τίποτε νὰ τὸν νικήσει.

Αὐτὰ λέχθηκαν πρὸς τοὺς ὑπηρέτες, γιατὶ εἴτε θηρία ἔχουν κυρίους, σὰν τὸν Αἰγύπτιο, εἴτε σκληρούς, σὰν τὸν ἀρχιδεσμοφύλακα, θὰ μπορέσουν νὰ τοὺς κατακτήσουν· καὶ ἂν εἶναι ἐθνικοί, ὅπως ἐκεῖνοι, ἢ ὁτιδήποτε ἄλλο, γρήγορα θὰ τοὺς τιθασσεύσουν. Γιατὶ τίποτε δὲν ὑπάρχει πιὸ κόσμιο ἀπὸ τὴν καλὴ συμπεριφορά, τίποτε πιὸ εὐχάριστο καὶ πιὸ γλυκὸ ἀπὸ τὴν καλωσύνη, τὴν πραότητα καὶ τὴν ὑπακοή. Ἕνας τέτοιος ἄνθρωπος εἶναι σὲ ὅλους ὠφέλιμος. Καὶ αὐτοὶ ποὺ εἶναι τέτοιοι οὔτε τὴ δουλεία ντρέπονται οὔτε τὸ φτωχὸ ἀποφεύγουν, οὔτε τὸν ἄρρωστο καὶ στενοχωρημένο, γιατὶ ὅλα τὰ ἐξουσιάζει ἡ ἀρετὴ καὶ ὅλα τὰ νικάει. Ἂν ὅμως αὐτὸ τὸ πράγμα ἔχει στοὺς δούλους τόση μεγάλη δύναμη, πόσο περισσότερο θὰ ἔχει στοὺς ἐλεύθερους; Αὐτὰ λοιπὸν ἃς ἀσκοῦμε καὶ οἱ δοῦλοι καὶ οἱ ἐλεύθεροι, καὶ οἱ γυναῖκες καὶ οἱ ἄνδρες. Ἔτσι θὰ γίνουμε ἀγαπητοὶ καὶ στοὺς ἀνθρώπους καὶ στὸ Θεό· καὶ στοὺς ἀνθρώπους ὄχι μόνο στοὺς καλοὺς ἀλλὰ καὶ στοὺς κακούς, καὶ πρὸ πάντων σ' αὐτούς, γιατὶ αὐτοὶ τιμοῦν καὶ σέβονται πιὸ πολύ. Γιατὶ ὅπως οἱ ἀρχόμενοι τρέμουν τοὺς ἐπιεικεῖς, ἔτσι καὶ τοὺς ἐναρέτους οἱ ἀκόλαστοι, γιατὶ γνωρίζουν τί ἔχουν χάσει.

Ἀφοῦ λοιπὸν εἶναι τόσο μεγάλος ὁ καρπὸς τῆς ἀρετῆς, ἃς τὴν ἐπιδιώκουμε, ἃς τὴν ἀσκοῦμε. Ἂν φροντίζουμε γι' αὐτήν, δὲ θὰ μᾶς συμβεῖ κανένα κακό, ὅλα θὰ εἶναι εὔκολα, ὅλα θὰ εἶναι εὐνοϊκά. Καὶ ἂν ἀκόμη περνᾶμε μέσα ἀπὸ φωτιὰ ἢ μέσα ἀπὸ νερό, ὅλα ὑποχωροῦν καὶ παραμερίζουν στὴν ἀρετή, ἀκόμη καὶ αὐτὸς ὁ θάνατος. Ἂς τὴν ἐπιδιώξουμε λοιπὸν μὲ ζῆλο, γιὰ νὰ ἐπιτύχουμε καὶ τὰ μελλοντικὰ ἀγαθὰ μὲ τὴ βοήθεια τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μαζὶ μὲ τὸν ὁποῖο στὸν Πατέρα καὶ συγχρόνως στὸ ἅγιο Πνεῦμα ἀνήκει ἡ δόξα, ἡ δύναμη καὶ ἡ τιμή, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

Ο Μ Ι Λ Ι Α Ε'
(Τίτ. 2,11–3,7)

«Ἐπεφάνη γὰρ ἡ χάρις τοῦ Θεοῦ ἡ σωτήριος πᾶσιν ἀνθρώποις, παιδεύουσα ἡμᾶς, ἵνα ἀρνησάμενοι τὴν ἀσέβειαν καὶ τὰς κοσμικὰς ἐπιθυμίας, σωφρόνως καὶ δικαίως καὶ εὐσεβῶς ζήσωμεν ἐν τῷ νῦν αἰῶνι· προσδεχόμενοι τὴν
5 *μακαρίαν ἐλπίδα καὶ ἐπιφάνειαν τῆς δόξης τοῦ μεγάλου Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ· ὃς ἔδωκεν ἑαυτὸν ὑπὲρ ἡμῶν, ἵνα λυτρώσηται ἡμᾶς ἀπὸ πάσης ἀνομίας καὶ καθαρίσῃ ἑαυτῷ λαὸν περιούσιον, ζηλωτὴν καλῶν ἔργων».*

10 *1. Πολλὴν παρὰ τῶν οἰκετῶν ἀπαιτήσας τὴν ἀρετὴν (καὶ γάρ ἐστι πολλὴ τὸ τὴν διδασκαλίαν τοῦ Θεοῦ καὶ Σωτῆρος ἡμῶν κοσμεῖν ἐν πᾶσι καὶ μηδεμίαν διδόναι τοῖς δεσπόταις λαβὴν μηδὲ ἐν τῷ τυχόντι), ἐπάγει καὶ τὴν αἰτίαν δικαίαν, δι' ἣν ὀφείλουσι τοιοῦτοι εἶναι οἱ οἰκέται. Ποίαν δὲ ταύτην; «Ἐπεφάνη γάρ»,*
15 *φησίν, «ἡ χάρις τοῦ Θεοῦ ἡ σωτήριος». Οἱ Θεοῦ διδασκάλου τυγχάνοντες, πῶς οὐκ ἂν εἶεν εἰκότως τοιοῦτοι, οἵους ἄρτι διῆλθον ἐγώ, μυρίων ἁμαρτημάτων λύσιν εὑρόντες; Ἴστε γὰρ ὅτι μετὰ τῶν ἄλλων καὶ τοῦτο οὐκ ὡς ἔτυχεν ἐντρέπει καὶ συστέλλει ψυχήν, τὸ μυρίων ἁμαρτημάτων οὖσαν ὑπεύθυνον, μὴ δίκην*
20 *δοῦναι, ἀλλὰ συγγνώμης τυχεῖν καὶ μυρίων ἀγαθῶν. Εἰ γάρ τις, εἰπέ μοι, τὸν μυρία προσκρούσαντα οἰκέτην λαβών, μὴ κατατείνοι ἱμᾶσιν, ἀλλ' ἐπ' ἐκείνοις μὲν συγγνώμην παράσχοι, ὑπὲρ δὲ τῶν μελλόντων αὐτὸν ἀπαιτοίη εὐθύνας, καὶ φυλάττεσθαι παρακελεύοιτο, ὥστε μὴ τοῖς αὐτοῖς περιπεσεῖν, καὶ δωρεαῖς μεγά-*
25 *λαις τιμήσειε, τίνα οὐκ ἂν οἴεσθε ἐντρέψαι τὴν τοσαύτην χάριν ἀκούοντα;*

ΟΜΙΛΙΑ Ε΄

(Τίτ. 2, 11–3,7)

«Γιατὶ φανερώθηκε ἡ χάρη τοῦ Θεοῦ, ποὺ σώζει ὅλους τοὺς ἀνθρώπους καὶ μᾶς διδάσκει, νὰ ἀρνηθοῦμε τὴν ἀσέβεια καὶ τὶς κοσμικὲς ἐπιθυμίες καὶ νὰ ζήσουμε μὲ σωφροσύνη, μὲ δικαιοσύνη καὶ μὲ εὐσέβεια τὸν παρόντα αἰώνα, περιμένοντας τὴ μακάρια ἐλπίδα μας καὶ τὴν ἐμφάνιση τῆς δόξας τοῦ μεγάλου Θεοῦ καὶ Σωτῆρα μας Ἰησοῦ Χριστοῦ, ὁ ὁποῖος ἔδωσε τὸν ἑαυτό του γιὰ μᾶς, γιὰ νὰ μᾶς λυτρώσει ἀπὸ κάθε ἀνομία καὶ νὰ καθαρίσει γιὰ τὸν ἑαυτό του ἕνα λαὸ ἐκλεκτό, ζηλωτὴ καλῶν ἔργων».

1. Ἀφοῦ ζήτησε ἀπὸ τοὺς ὑπηρέτες πολλὴ ἀρετὴ (γιατὶ πραγματικὰ εἶναι μεγάλη ἀρετὴ τὸ νὰ κοσμεῖ κανεὶς σὲ ὅλα τὴ διδασκαλία τοῦ Θεοῦ καὶ Σωτῆρα μας καὶ νὰ μὴ δίνει καμμιὰ ἀφορμὴ στοὺς κυρίους οὔτε καὶ γιὰ τὸ παραμικρὸ πράγμα), προσθέτει καὶ τὴ δίκαιη αἰτία γιὰ τὴν ὁποία ὀφείλουν οἱ ὑπηρέτες νὰ εἶναι ἐνάρετοι. Καὶ ποιά εἶναι αὐτή; «Γιατὶ φανερώθηκε», λέγει, «ἡ χάρη τοῦ Θεοῦ ποὺ σώζει». Αὐτοὶ ποὺ ἔχουν τὸ Θεὸ διδάσκαλο πῶς δὲν θὰ εἶναι λογικὰ τέτοιοι, ὅπως πρὶν ἀπὸ λίγο εἶπα, ἀφοῦ βρῆκαν ἄφεση τῶν ἀπείρων ἁμαρτημάτων τους; Γιατὶ γνωρίζετε ὅτι μαζὶ μὲ τὰ ἄλλα καὶ αὐτὸ ἐλέγχει καὶ συγκρατεῖ ὄχι λίγο τὴν ψυχή, τὸ νὰ μὴ τιμωρηθεῖ, ἐνῶ εἶναι ὑπεύθυνη γιὰ ἄπειρα ἁμαρτήματα, ἀλλὰ νὰ ἐπιτύχει συγγνώμη καὶ ἄπειρα ἀγαθά. Ἂν λοιπὸν κάποιος, πές μου, ἀφοῦ πάρει ὑπηρέτη ἐκεῖνον ποὺ ἔκαμε ἄπειρα σφάλματα, δὲν τὸν βασανίζει μὲ μαστίγιο, ἀλλὰ τοῦ δώσει γιὰ ἐκεῖνα συγγνώμη καὶ τοῦ ζητήσει εὐθύνες γιὰ τὰ μελλοντικά, παραγγέλλοντάς τον νὰ φυλάγεται, ὥστε νὰ μὴν πέσει στὰ ἴδια, καὶ τὸν τιμήσει μὲ μεγάλα δῶρα, ποιόν νομίζετε ὅτι δὲ θὰ μεταβάλει αὐτὸ ἀκούοντας τὴν τόσο μεγάλη χάρη;

Ἀλλὰ μὴ νομίσῃς, ὅτι ἡ χάρις μέχρι τῆς τῶν προτέρων συγχωρήσεως ἵσταται, ἀλλὰ καὶ εἰς τὸ μέλλον ἡμᾶς ἀσφαλίζεται· καὶ γὰρ καὶ τοῦτο χάριτος. Ἐπεί, εἰ μέλλοι αἰεὶ κακῶς πράττοντας μὴ κολάζειν, οὐκέτι τὸ πρᾶγμα χάρις ἐστίν, ἀλλὰ προτρο-5 πή τις εἰς λύμην καὶ διαφθοράν. «Ἐπεφάνη γάρ», φησίν, «ἡ χάρις τοῦ Θεοῦ παιδεύουσα ἡμᾶς, ἵνα ἀρνησάμενοι τὴν ἀσέβειαν καὶ τὰς κοσμικὰς ἐπιθυμίας, σωφρόνως καὶ δικαίως καὶ εὐσεβῶς ζήσωμεν ἐν τῷ νῦν αἰῶνι, προσδεχόμενοι τὴν μακαρίαν ἐλπίδα καὶ ἐπιφάνειαν τῆς δόξης τοῦ μεγάλου Θεοῦ καὶ σωτῆρος 10 ἡμῶν Ἰησοῦ Χριστοῦ». Ὅρα πῶς μετὰ τῶν ἐπάθλων τίθησι καὶ τὴν ἀρετήν. Καὶ τοῦτο χάριτος, τὸ ἀπαλλάξαι τῶν βιωτικῶν, τὸ πρὸς τὸν οὐρανὸν ἀγαγεῖν. Δύο δείκνυσιν ἐνταῦθα ἐπιφανείας· καὶ γάρ εἰσι δύο, ἡ μὲν προτέρα χάριτος, ἡ δὲ δευτέρα ἀνταποδόσεως καὶ τοῦ δικαίου.

15 *«Ἵνα ἀρνησάμενοι», φησί, «τὴν ἀσέβειαν καὶ τὰς κοσμικὰς ἐπιθυμίας». Ἰδοὺ πάσης τῆς ἀρετῆς ἡ ὑπόθεσις. Οὐκ εἶπεν, 'ἵνα φευξώμεθα', ἀλλ', «ἵνα ἀρνησάμενοι». Ἡ ἄρνησις πολλὴν δείκνυσι τὴν διάστασιν, πολὺ τὸ μῖσος, πολλὴν τὴν ἀποστροφήν· μεθ' ὅσης διαθέσεως, μεθ' ὅσης σπουδῆς τὰ εἴδωλα ἀπεστράφη-20 σαν, μετὰ τοσαύτης καὶ τὴν κακίαν αὐτὴν καὶ τὰς κοσμικὰς ἐπιθυμίας, φησί. Καὶ γὰρ καὶ ταῦτα εἴδωλα, κοσμικὴ ἐπιθυμία καὶ πλεονεξία, καὶ ταύτην εἰδωλολατρίαν ὀνομάζει· καὶ ὅσα πρὸς τὸν παρόντα βίον ἡμῖν χρησιμεύει, κοσμικαί εἰσιν ἐπιθυμίαι· πάντα ὅσα ἂν τῷ παρόντι βίῳ συγκαταλύεται, κοσμική ἐστιν 25 ἐπιθυμία. Μηδὲν τοίνυν πρὸς ταύτας ἔχωμεν. Ἦλθεν ὁ Χριστός, ἵνα ἀρνησώμεθα τὴν ἀσέβειαν. Ἀσέβειαν τὰ δόγματά φησι, καὶ κοσμικὰς ἐπιθυμίας τὸν βίον τὸν ἐναγῆ. «Σωφρόνως καὶ δικαίως καὶ εὐσεβῶς ζήσωμεν, ἐν τῷ νῦν αἰῶνι».*

2. Ὁρᾷς ὅτι, ὅπερ ἀεὶ λέγω, σωφροσύνη οὐ τοῦτο μόνον ἐστί, 30 τὸ πορνείας ἀπέχεσθαι, ἀλλὰ καὶ τὸ τῶν λοιπῶν παθῶν ἐκτὸς εἶναι; Ἄρα καὶ ὁ χρημάτων ἐρῶν, οὐ σώφρων. Ὥσπερ γὰρ ἐκεῖνος σωμάτων, οὕτω καὶ οὗτος χρημάτων· μᾶλλον δὲ οὗτος ἀκολαστότερος, ὅσῳ οὐδὲ τοσαύτην ἔχει βίαν τὴν ὠθοῦσαν αὐ-

Ὅμως μὴ νομίσεις ὅτι ἡ χάρη σταματάει μέχρι τὴ συγχώρηση τῶν προηγουμένων ἁμαρτημάτων, ἀλλὰ καὶ ἀπὸ τὰ στὸ μέλλον μᾶς ἐξασφαλίζει· γιατὶ καὶ αὐτὸ εἶναι ἔργο τῆς χάριτος. Ἂν δηλαδὴ συμβαίνει νὰ μὴ τιμωρεῖ πάντοτε ὅταν ἐνεργοῦμε κακῶς, τὸ πράγμα τότε δὲν εἶναι χάρη, ἀλλὰ κάποια προτροπὴ γιὰ ὄλεθρο καὶ καταστροφή. «Γιατὶ φανερώθηκε», λέγει, «ἡ χάρη τοῦ Θεοῦ ποὺ μᾶς διδάσκει ν' ἀρνηθοῦμε τὴν ἀσέβεια καὶ τὶς κοσμικὲς ἐπιθυμίες καὶ νὰ ζήσουμε μὲ σωφροσύνη, μὲ δικαιοσύνη καὶ μὲ εὐσέβεια τὸν παρόντα αἰώνα, περιμένοντας τὴ μακάρια ἐλπίδα μας καὶ τὴν ἐμφάνιση τῆς δόξας τοῦ μεγάλου Θεοῦ καὶ Σωτήρα μας Ἰησοῦ Χριστοῦ». Πρόσεχε πῶς μαζὶ μὲ τὰ βραβεῖα ἀναφέρει καὶ τὴν ἀρετή. Κι' αὐτὸ εἶναι ἔργο τῆς χάριτος, τὸ νὰ μᾶς ἀπαλλάξει ἀπὸ τὰ βιοτικὰ καὶ νὰ μᾶς ὁδηγήσει πρὸς τὸν οὐρανό. Ἐδῶ δείχνει δύο ἐμφανίσεις. Καὶ πραγματικὰ εἶναι δύο, ἡ πρώτη πρὶν ἀπὸ τὴ χάρη καὶ ἡ δεύτερη τῆς ἀνταπόδοσης καὶ τῆς δικαιοσύνης.

«Γιὰ ν' ἀρνηθοῦμε», λέγει, «τὴν ἀσέβεια καὶ τὶς κοσμικὲς ἐπιθυμίες». Νὰ ἡ προϋπόθεση ὅλης τῆς ἀρετῆς. Δὲν εἶπε, 'γιὰ ν' ἀποφύγουμε', ἀλλά, «γιὰ ν' ἀρνηθοῦμε». Ἡ ἄρνηση δείχνει μεγάλο τὸ χάσμα, πολὺ τὸ μίσος, μεγάλη τὴν ἀποστροφή. Μὲ ὅση διάθεση, μὲ ὅσο ζῆλο ἀποστράφηκαν τὰ εἴδωλα, μὲ τόση, λέγει, ν' ἀποστραφοῦν καὶ τὴν κακία αὐτὴν καὶ τὶς κοσμικὲς ἐπιθυμίες. Γιατὶ πραγματικὰ καὶ αὐτὰ εἶναι εἴδωλα, ἡ κοσμικὴ ἐπιθυμία καὶ ἡ πλεονεξία, καὶ αὐτὴν ὀνομάζει εἰδωλολατρία. Καὶ ὅσα μᾶς χρησιμεύουν στὴν παρούσα ζωὴ εἶναι κοσμικὲς ἐπιθυμίες· ὅλα ὅσα θὰ διαλυθοῦν μαζὶ μὲ τὴν παρούσα ζωὴ εἶναι κοσμικὴ ἐπιθυμία. Ἂς μὴν ἔχουμε λοιπὸν κανένα κοινὸ μ' αὐτές. Ἦρθε ὁ Χριστὸς γιὰ ν' ἀρνηθοῦμε τὴν ἀσέβεια. Ἀσέβεια ἐννοεῖ τὰ δόγματα, καὶ κοσμικὲς ἐπιθυμίες τὴ ζωὴ τὴν ἀνήθικη. «Μὲ σωφροσύνη, μὲ δικαιοσύνη καὶ μὲ εὐσέβεια νὰ ζήσουμε τὸν παρόντα αἰώνα».

2. Βλέπεις ὅτι, ὅπως πάντοτε λέγω, ἐγκράτεια δὲν εἶναι αὐτὸ μόνο, τὸ ν' ἀπέχει κανεὶς ἀπὸ τὴν πορνεία, ἀλλὰ καὶ νὰ εἶναι μακριὰ ἀπὸ τὰ ὑπόλοιπα πάθη; Ἄρα καὶ ὅποιος ἀγαπᾶ τὰ χρήματα δὲν εἶναι ἐγκρατής. Γιατί, ὅπως ἐκεῖνος ἀγαπᾶ τὰ σώματα, ἔτσι καὶ αὐτὸς ἀγαπᾶ τὰ χρήματα· ἢ καλύτερα αὐτὸς εἶναι περισσότε-

τόν. Καὶ γὰρ ἡνίοχος ἐκεῖνος ἀκρατὴς μάλιστα ἂν λέγοιτο, οὐχ ὁ τὸν τραχὺν καὶ δυσήνιον μὴ κατέχων ἵππον, ἀλλ' ὁ τὸν ἠρέμα ἐπιεικέστερον μὴ δυνάμενος ὑποτάξαι. Τί δέ, φησίν; ἡ τῶν χρημάτων ἐπιθυμία τῆς τῶν σωμάτων ἐλάττων; Παντί που
5 *δῆλον, καὶ πολλαχόθεν τοῦτο δείκνυται· καὶ πρῶτον μέν, ὅτι ἀναγκαίως γέγονεν ἡ τῶν σωμάτων ἐπιθυμία· τὸ δὲ ἀναγκαίως γεγονὸς δῆλον ὅτι καὶ μετὰ πολλοῦ κατορθοῦται τοῦ πόνου, ἐπεὶ καὶ ἐνεσπάρη τῇ φύσει. Δεύτερον, ὅτι χρημάτων μὲν οὐ πολὺς τοῖς παλαιοῖς λόγος, γυναικῶν δὲ πολὺς σωφροσύνης ἕνεκεν·*
10 *καὶ γυναικὶ μὲν συγγενομένῳ κατὰ νόμον οὐδεὶς ἂν μέμψαιτο μέχρι γήρως, χρηματιζομένῳ δὲ πάντες.*

Καὶ τῶν ἔξωθεν φιλοσόφων πολλοὶ χρημάτων μὲν κατεφρόνησαν, γυναικῶν δὲ οὐκέτι· οὕτω τοῦτο ἐκείνου τυραννικώτερον. Ἀλλ' ἐπειδὴ πρὸς τὴν Ἐκκλησίαν ἡμῖν ὁ λόγος, μὴ ἀπὸ
15 *τῶν ἔξωθεν φέρωμεν τὰ ὑποδείγματα, ἀλλὰ ἀπὸ τῶν Γραφῶν. Τοῦτο μὲν οὖν καὶ ἐν ἐπιτάγματος σχεδὸν μέρει τίθησιν ὁ μακάριος οὗτος οὕτω λέγων, «ἔχοντες διατροφὰς καὶ σκεπάσματα, τούτοις ἀρκεσθησόμεθα»· περὶ δὲ τῶν γυναικῶν, «μὴ ἀποστερεῖτε ἀλλήλους, εἰ μή τι ἂν ἐκ συμφώνου»· καὶ πάλιν, «ἐπὶ τὸ*
20 *αὐτὸ συνέρχεσθε». Καὶ πολλάκις ἴδοις ἂν αὐτὸν περὶ συνουσίας νομοθετοῦντα τῆς νομίμου. Καὶ ταύτης μὲν ἀφίησιν ἀπολαύειν τῆς ἐπιθυμίας, καὶ δευτέρῳ προσιέναι γάμῳ, καὶ πολλὴν ποιεῖται τοῦ πράγματος τὴν ἐπιμέλειαν, καὶ οὐδαμοῦ ὑπὲρ τούτου κολάζει· τὸν δὲ χρημάτων ἐφιέμενον, πανταχοῦ καταδικάζει.*

25 *Καὶ περὶ μὲν χρημάτων ὁ Χριστὸς πολλαχοῦ διέταξεν, ὥστε φεύγειν τὴν ἐντεῦθεν λύμην, περὶ δὲ ἀποχῆς γυναικὸς οὐχ οὕτως. Ἄκουε γὰρ τί φησι περὶ χρημάτων· «ἐὰν μή τις ἀποτάξηται πᾶσιν αὐτοῦ τοῖς ὑπάρχουσιν». Οὐδαμοῦ εἶπεν, 'ἐὰν μή τις ἀποτάξηται γυναικί'· οἶδε γὰρ οἵαν ἐνέθηκε τὴν τυραννίδα. Καὶ ὁ*

---

1. Α' Τιμ. 6,8.
2. Α' Κορ. 7,5.
3. Λουκᾶ 14,33.

ρο ἀκόλαστος, ἐπειδὴ δὲν τὸν ὠθεῖ σ' αὐτὸ τόσο μεγάλη ἀνάγκη. Γιατὶ καὶ ἀναβάτης ἀνίκανος κυρίως λέγεται ὄχι ἐκεῖνος ποὺ δὲ συγκρατεῖ τὸ ἄγριο καὶ ἀτίθασο ἄλογο, ἀλλ' ἐκεῖνος ποὺ δὲν μπορεῖ νὰ ὑποτάξει τὸ ἥσυχο καὶ πολὺ ἥμερο. Τί λοιπόν, λέγει, ἡ ἐπιθυμία τῶν χρημάτων εἶναι μικρότερη ἀπὸ τὴν ἐπιθυμία τῶν σωμάτων; Στὸν καθένα βέβαια εἶναι φανερό, ἀλλὰ καὶ ἀπὸ πολλὰ ἀποδεικνύεται αὐτό. Καὶ πρῶτα, ἐπειδὴ ἡ ἐπιθυμία τῶν σωμάτων ἔγινε σὲ μᾶς ἀπὸ ἀνάγκη. Αὐτὸ ὅμως ποὺ ἔγινε ἀπὸ ἀνάγκη εἶναι φανερὸ ὅτι κατορθώνεται καὶ μὲ πολὺ κόπο, ἀφοῦ καὶ σπάρθηκε μέσα στὴ φύση μας. Δεύτερο, γιατὶ στοὺς παλαιοὺς δὲ γινόταν πολὺς λόγος γιὰ χρήματα, ἐνῶ πολὺς ἦταν ὁ λόγος γιὰ γυναῖκες ἐξαιτίας τῆς σωφροσύνης. Καὶ ὅταν ἕνας συνευρεθεῖ μὲ γυναίκα σύμφωνα μὲ τὸ νόμο κανεὶς δὲν μπορεῖ νὰ τὸν κατηγορήσει μέχρι τὰ γηρατειά, ὅταν ὅμως χρηματίζεται θὰ τὸν κατηγορήσουν ὅλοι.

Καὶ ἀπὸ τοὺς ἐθνικοὺς φιλοσόφους πολλοὶ περιφρόνησαν τὰ χρήματα, τὶς γυναῖκες ὅμως ὄχι· τόσο πιὸ τυραννικότερο εἶναι αὐτὸ τὸ πάθος ἀπὸ ἐκεῖνο. Ἀλλά, ἐπειδὴ ὁ λόγος μου ἀπευθύνεται πρὸς τὴν ἐκκλησία, ἂς μὴ φέρω τὰ παραδείγματα ἀπὸ τοὺς ἔξω, ἀλλὰ ἀπὸ τὶς Γραφές. Αὐτὸ λοιπὸν τὸ ἀναφέρει σχεδὸν σὰν ἐντολὴ ὁ μακάριος Παῦλος λέγοντας· «ὅταν ἔχουμε τροφὲς καὶ ἐνδύματα, ἂς ἀρκεσθοῦμε σ' αὐτά»[1]. Καὶ γιὰ τὶς γυναῖκες λέγει· «μὴ στερεῖτε ὁ ἕνας τὸν ἄλλον, παρὰ μόνο ἔπειτα ἀπὸ συμφωνία, καὶ πάλι νὰ σμίγετε μαζί»[2]. Καὶ πολλὲς φορὲς θὰ τὸν δεῖς νὰ νομοθετεῖ γιὰ τὴ νόμιμη συνουσία. Καὶ ἐπιτρέπει ν' ἀπολαμβάνει κανεὶς αὐτὴ τὴν ἐπιθυμία, καὶ δεύτερο γάμο νὰ συνάψει, καὶ πολὺ φροντίζει γι' αὐτὸ τὸ πράγμα, καὶ πουθενὰ δὲν τιμωρεῖ γι' αὐτό, ἐκεῖνον ὅμως ποὺ ἐπιθυμεῖ χρήματα παντοῦ τὸν καταδικάζει.

Ἀλλὰ καὶ ὁ Χριστὸς γιὰ τὰ χρήματα βέβαια πολλὲς φορὲς πρόσταξε, ὥστε ν' ἀποφεύγει κανεὶς τὴν καταστροφὴ ποὺ προέρχεται ἀπ' αὐτά, ἐνῶ γιὰ τὴν ἀποχὴ ἀπὸ γυναίκα δὲν ἔκανε τὸ ἴδιο. Ἄκου λοιπὸν τί λέγει γιὰ τὰ χρήματα· «ἂν κανεὶς δὲν ἀπαρνηθεῖ ὅλα τὰ ὑπάρχοντά του»[3]. Πουθενὰ δὲν εἶπε, 'ἂν κανεὶς δὲν ἀπαρνηθεῖ τὴ γυναίκα του', γιατὶ γνωρίζει ποιά τυραννίδα ἔθεσε

μακάριος οὗτός φησι Τιμοθέῳ· «τίμιος ὁ γάμος, καὶ ἡ κοίτη ἀμίαντος». Οὐδαμοῦ τιμίαν τὴν τῶν χρημάτων ἐπιμέλειαν καλεῖ, ἀλλὰ τὸ ἐναντίον. «Οἱ δὲ βουλόμενοι πλουτεῖν ἐμπίπτουσιν εἰς πειρασμὸν καὶ παγίδα καὶ ἐπιθυμίας πολλὰς ἀνοήτους καὶ βλα- 5 *βεράς». Οὐκ εἶπε, 'πλεονεκτεῖν', ἀλλά, «πλουτεῖν».*

Ἵνα δὲ μάθητε καὶ ἀπὸ τῶν κοινῶν ἐννοιῶν, ἀναγκαῖον καὶ τοῦτον τὸν λόγον εἰς μέσον παραγαγεῖν. Χρημάτων μὲν γάρ τις καθάπαξ ἀποστερηθεὶς οὐκέτ' ἂν ἐνοχλοῖτο ὑπὸ τῆς ἐπιθυμίας· οὐδὲν γὰρ οὕτω ποιεῖ χρημάτων ἐπιθυμεῖν, ὡς τὸ χρήματα 10 *ἔχειν. Ἐπὶ δὲ τῆς τῶν σωμάτων ἐπιθυμίας οὐχ οὕτως, ἀλλὰ καὶ εὐνουχισθέντες πολλοὶ τὴν ἔνδον ἐνοχλοῦσαν πυρὰν οὐκ ἀπέβαλον· ἡ γὰρ ἐπιθυμία ἐν ἑτέροις κεῖται ὀργάνοις, ἔνδον ἐν τῇ φύσει ἐγκειμένη. Τίνος οὖν ἕνεκεν ἡμῖν ταῦτα εἴρηται; Ὅτι οἱ πλεονέκται τῶν πορνευόντων ἀκολαστότεροι, ὅσῳ ὑπὸ ἐλάττονος ἐνο-* 15 *χλοῦνται ἐπιθυμίας· μᾶλλον δὲ οὐδὲ ἐπιθυμίας τὸ πρᾶγμά ἐστιν, ἀλλὰ ῥᾳθυμίας. Ἐνταῦθα μὲν γὰρ οὕτως ἐστὶν ἡ ἐπιθυμία φυσική, ὥστε κἂν γυναικί τις μὴ πλησιάζῃ, ἡ φύσις τὸ αὐτῆς ποιεῖ καὶ ἐργάζεται, ἐκεῖ δὲ οὐδὲν τοιοῦτον γίνεται.*

«Καὶ εὐσεβῶς», φησί, «ζήσωμεν ἐν τῷ νῦν αἰῶνι». Καὶ 20 *τίς ἡ ἐλπίς; τί τὸ ἔπαθλον τῶν πόνων; «Προσδεχόμενοι», φησί, «τὴν μακαρίαν ἐλπίδα καὶ ἐπιφάνειαν». Ὄντως γὰρ οὐδὲν ἐκείνης μακαριώτερον, οὐδὲν ζηλωτότερον· καὶ ταῦτα λόγοι παραστῆσαι οὐ δύνανται· καὶ γὰρ νοῦν ὑπερβαίνει τὰ τότε ἀγαθά. «Προσδεχόμενοι», φησί, «τὴν μακαρίαν ἐλπίδα καὶ ἐπιφάνειαν* 25 *τῆς δόξης τοῦ μεγάλου Θεοῦ καὶ Σωτῆρος ἡμῶν». Ποῦ εἰσιν οἱ τοῦ Πατρὸς ἐλάττονα τὸν Υἱὸν λέγοντες; «Τοῦ μεγάλου», φησί, «Θεοῦ καὶ Σωτῆρος». Ὁ τοὺς ἐχθροὺς σώσας, τί οὐκ ἐργάσεται τότε οὐκ εὐδοκιμοῦντας λαβών; «Τοῦ μεγάλου», φησί, «Θεοῦ», Τὸ μέγας ἐπὶ Θεοῦ ὅταν λέγῃ, οὐ πρός τι μέγας φησίν, ἀλλ' ἀπο-*

---

4. Ἑβρ. 13,4.
5. Α΄ Τιμ. 6,9.

μέσα μας. Καὶ αὐτὸς ὁ μακάριος λέγει στὸν Τιμόθεο· «ὁ γάμος νὰ εἶναι ἄξιος τιμῆς καὶ ἡ συζυγικὴ κλίνη ἀμόλυντη»[4]. Πουθενὰ δὲν καλεῖ ἄξια τιμῆς τὴ φροντίδα γιὰ τὰ χρήματα, ἀλλὰ τὸ ἀντίθετο. «Ὅσοι ὅμως θέλουν νὰ πλουτίζουν πέφτουν σὲ πειρασμό, σὲ παγίδα καὶ σὲ πολλὲς ἐπιθυμίες ἀνόητες καὶ βλαβερές»[5]. Δὲν εἶπε, 'νὰ γίνουν πλεονέκτες', ἀλλά, «νὰ πλουτίζουν».

Γιὰ νὰ μάθετε ὅμως καὶ ἀπὸ τὶς κοινὲς ἔννοιες εἶναι ἀνάγκη ν' ἀναφέρω καὶ αὐτὸν τὸ λόγο. Ἂν κάποιος στερηθεῖ μιὰ φορὰ τὰ χρήματα, δὲ θὰ ἐνοχλεῖται πιὰ ἀπὸ τὴν ἐπιθυμία τους. Γιατὶ τίποτε δὲν τὸν κάνει νὰ ἐπιθυμεῖ τόσο πολὺ τὰ χρήματα, ὅσο τὸ νὰ ἔχει χρήματα. Σχετικὰ μὲ τὴν ἐπιθυμία ὅμως τῶν σωμάτων δὲ συμβαίνει τὸ ἴδιο, ἀλλά, παρ' ὅλο ποὺ καὶ εὐνουχίσθηκαν πολλοί, δὲν ἀπέβαλαν τὴ φωτιὰ ποὺ τοὺς ἐνοχλεῖ ἀπὸ μέσα, γιατὶ ἡ ἐπιθυμία βρίσκεται σὲ ἄλλα ὄργανα, φυτεμένη μέσα στὴ φύση. Γιὰ ποιό λόγο λοιπὸν σᾶς τὰ εἶπα αὐτά; Ἐπειδὴ οἱ πλεονέκτες εἶναι πιὸ ἀκόλαστοι ἀπὸ τοὺς πόρνους, ἀφοῦ ἐνοχλοῦνται ἀπὸ μικρότερη ἐπιθυμία· ἢ καλύτερα τὸ πράγμα αὐτὸ δὲν εἶναι ἐπιθυμία, ἀλλὰ ραθυμία. Γιατὶ ἐδῶ ἡ ἐπιθυμία εἶναι τόσο φυσική, ὥστε, καὶ ἂν ἀκόμη δὲν πλησιάζει κανεὶς γυναίκα, ἡ φύση κάνει καὶ ἐργάζεται τὸ δικό της· ἐκεῖ ὅμως δὲ συμβαίνει τίποτε τέτοιο.

«Καὶ μὲ εὐσέβεια», λέγει, «νὰ ζήσουμε τὸν παρόντα αἰῶνα». Καὶ ποιά ἡ ἐλπίδα; ποιό τὸ βραβεῖο τῶν κόπων; «Περιμένοντας», λέγει, «τὴ μακάρια ἐλπίδα μας καὶ ἐμφάνιση». Πραγματικὰ λοιπὸν τίποτε δὲν εἶναι πιὸ μακάριο ἀπὸ ἐκείνη, τίποτε πιὸ περιπόθητο. Καὶ αὐτὰ δὲν μποροῦν νὰ τὰ παραστήσουν λόγια, γιατὶ τὰ τότε ἀγαθὰ ξεπερνοῦν τὸ νοῦ μας. «Περιμένοντας», λέγει, «τὴ μακάρια ἐλπίδα μας καὶ ἐμφάνιση τῆς δόξας τοῦ μεγάλου Θεοῦ καὶ Σωτήρα μας». Ποῦ εἶναι ἐκεῖνοι ποὺ λέγουν ὅτι ὁ Υἱὸς εἶναι κατώτερος ἀπὸ τὸν Πατέρα; «Τοῦ μεγάλου», λέγει, «Θεοῦ καὶ Σωτήρα». Αὐτὸς ποὺ ἔσωσε τοὺς ἐχθρούς, τί δὲ θὰ κάνει τότε ὅταν δεχθεῖ ἐκείνους ποὺ διακρίνονται γιὰ τὴν ἀρετή τους; «Τοῦ μεγάλου Θεοῦ», λέγει. Ὅταν λέγει τὸ «μεγάλος» γιὰ τὸ Θεὸ δὲν ἐννοεῖ μεγάλος πρὸς κάτι, ἀλλ' ἀπολύτως μεγάλος, μετὰ τὸν ὁποῖο δὲν μπορεῖ κανεὶς νὰ εἶναι μεγάλος, ἐπειδὴ εἶναι

λύτως μέγας, μεθ' ὃν οὐκ ἂν εἴη μέγας, ἐπεὶ πρός τί ἐστιν. Εἰ δὲ πρός τι, κατὰ σύγκρισιν, καὶ οὐ φύσει μέγας· νῦν δὲ ἀσυγκρίτως μέγας.

«Ὃς ἔδωκεν ἑαυτὸν ὑπὲρ ἡμῶν», φησίν, «ἵνα λυτρώσηται ἡμᾶς ἀπὸ πάσης ἀνομίας καὶ καθαρίσῃ ἑαυτῷ λαὸν περιούσιον», τουτέστιν, ἐξειλεγμένον, οὐδὲν ἔχοντα κοινὸν πρὸς τοὺς λοιπούς. «Ζηλωτὴν καλῶν ἔργων». Ὁρᾷς ὅτι καὶ τῶν παρ' ἡμῶν δεῖ. Οὐχ ἁπλῶς ἔργων, ἀλλὰ ζηλωτήν, τουτέστι, μετὰ προθυμίας πολλῆς ἐπ' αὐτὴν ἰόντα τὴν ἀρετήν, μετὰ σφοδρότητος τῆς προσηκούσης. Τὸ μὲν οὖν βεβαρημένους τοῖς κακοῖς καὶ ἀνίατα νοσοῦντας ἀπαλλάξαι, τῆς ἐκείνου φιλανθρωπίας ἦν, τὰ δὲ μετὰ ταῦτα καὶ ἡμῶν καὶ ἐκείνου. «Ταῦτα λάλει καὶ παρακάλει καὶ ἔλεγχε μετὰ πάσης ἐπιταγῆς». «Ταῦτα λάλει καὶ παρακάλει».

3. Ὁρᾷς πῶς Τιμοθέῳ μὲν προστάττει καί φησιν, «ἔλεγξον, ἐπιτίμησον, παρακάλεσον», ἐνταῦθα δέ, «ταῦτα λάλει καὶ παρακάλει καὶ ἔλεγχε μετὰ πάσης ἐπιταγῆς»; Ἐπειδὴ τὸ ἦθος τούτων σκληρότερον ἦν, διὰ τοῦτο καὶ ἀποτόμως καὶ μετὰ πάσης ἐπιταγῆς ἐλέγχειν ἐπιτάττει. Ἔστι γὰρ τῶν ἁμαρτημάτων, ἃ καὶ ἐπιτάγμασιν ἀπείργειν χρή· οἷον, τὸ μὲν χρημάτων καταφρονεῖν παραινοῦντας δεῖ πείθειν καὶ τὸ ἐπιεικεῖς εἶναι καὶ ὅσα τοιαῦτα, τὸν δὲ μοιχόν, τὸν πόρνον, τὸν πλεονέκτην μετ' ἐπιταγῆς ἐπὶ τὸ βέλτιον δεῖ ἐπάγειν· τὸν οἰωνιζόμενον, τὸν κληδονιζόμενον, τὸν ἄλλα τοιαῦτα πράττοντα, οὐδὲ ἁπλῶς ἐπιταγῆς, ἀλλὰ μετὰ πάσης ἐπιταγῆς. Ὁρᾷς πῶς βούλεται καὶ μετὰ αὐθεντίας καὶ μετὰ ἐξουσίας πολλῆς ταῦτα αὐτὸν ἐπιτάττειν;

«Μηδείς σου περιφρονείτω», ἀλλά, «ὑπομίμνησκε αὐτοὺς ἀρχαῖς καὶ ἐξουσίαις ὑποτάσσεσθαι, πειθαρχεῖν, πρὸς πᾶν ἔργον ἀγαθὸν ἑτοίμους εἶναι, μηδένα βλασφημεῖν, ἀμάχους εἶναι». Τί οὖν; μηδὲ τοὺς κακῶς πράττοντας, μηδὲ ἐκείνοις λοιδορεῖσθαι; «Ἀλλὰ πρὸς πᾶν ἔργον ἀγαθὸν ἑτοίμους εἶναι, μηδένα βλασφημεῖν». Ἀκούσωμεν τῆς παραινέσεως· «μηδένα» φησὶ «βλασφη-

6. Β' Τιμ. 4,2.

μεγάλος πρὸς κάτι. Ἂν ὅμως εἶναι πρὸς κάτι, εἶναι σὲ σύγκριση μεγάλος καὶ ὄχι ἀπὸ τὴ φύση του· τώρα ὅμως εἶναι ἀσυγκρίτως μεγάλος.

«Ὁ ὁποῖος ἔδωσε τὸν ἑαυτό του γιὰ μᾶς», λέγει, «γιὰ νὰ μᾶς λυτρώσει ἀπὸ κάθε ἀνομία καὶ νὰ καθαρίσει γιὰ τὸν ἑαυτό του ἕνα λαὸ περιούσιο», δηλαδή, ἐκλεκτό, ποὺ δὲν ἔχει κανένα κοινὸ πρὸς τοὺς ὑπόλοιπους. «Ζηλωτὴ καλῶν ἔργων». Βλέπεις ὅτι χρειάζεται καὶ τὰ δικά μας ἔργα; Δὲν εἶπε ἁπλῶς «ἔργων», ἀλλὰ «ζηλωτή», δηλαδή, νὰ φθάνει στὴν ἴδια τὴν ἀρετὴ μὲ πολλὴ προθυμία, μὲ τὴν ἁρμόζουσα ὁρμητικότητα. Τὸ ν' ἀπαλλάξει λοιπὸν ἐκείνους ποὺ ὑπέφεραν ἀπὸ τὸ βάρος τῶν κακῶν καὶ ἦταν ἀνίατα ἄρρωστοι, ἦταν ἔργο τῆς δικῆς του φιλανθρωπίας· αὐτὰ ὅμως ποὺ ἀκολουθοῦν ὕστερα εἶναι καὶ δικά μας καὶ δικά του. «Αὐτὰ νὰ διδάσκεις καὶ αὐτὰ νὰ συμβουλεύεις, καὶ νὰ ἐλέγχεις μὲ κάθε ἐξουσία. Αὐτὰ νὰ διδάσκεις καὶ αὐτὰ νὰ συμβουλεύεις».

3. Βλέπεις πῶς στὸν Τιμόθεο προστάζει καὶ λέγει, «ἔλεγξε, ἐπίπληξε, συμβούλεψε»[6], ἐνῶ ἐδῶ, «αὐτὰ νὰ διδάσκεις καὶ αὐτὰ νὰ συμβουλεύεις, καὶ νὰ ἐλέγχεις μὲ κάθε ἐξουσία»; Ἐπειδὴ τὰ ἤθη τους ἦταν ἀγριότερα, γι' αὐτὸ καὶ προστάζει νὰ ἐλέγχει αὐστηρὰ καὶ μὲ ὅλη του τὴν ἐξουσία. Γιατὶ ὑπάρχουν ἁμαρτήματα ποὺ πρέπει νὰ τὰ ἐμποδίζουμε καὶ μὲ προσταγές· ὅπως τὸ νὰ περιφρονοῦν τὰ χρήματα πρέπει νὰ πείθουμε συμβουλεύοντας, καὶ τὸ νὰ εἶναι πράοι καὶ ὅλα τὰ παρόμοια· ὅμως τὸν μοιχό, τὸν πόρνο, τὸν πλεονέκτη πρέπει νὰ τὸν ἐπαναφέρουμε στὸ καλύτερο μὲ ἐξουσία· αὐτὸν ποὺ παρατηρεῖ τοὺς οἰωνούς, αὐτὸν ποὺ καταφεύγει στὴ μαντική, αὐτὸν ποὺ πράττει ἄλλα παρόμοια, ὄχι μόνο μὲ ἐξουσία, ἀλλὰ μὲ κάθε ἐξουσία. Βλέπεις πῶς θέλει νὰ τὰ προστάζει ὁ Τίτος αὐτὰ καὶ μὲ κύρος καὶ μὲ πολλὴ ἐξουσία;

«Μὴν ἀφήνεις κανέναν νὰ σὲ περιφρονεῖ», ἀλλά, «νὰ τοὺς ὑπενθυμίζεις νὰ ὑποτάσσονται στοὺς ἄρχοντες καὶ σ' αὐτοὺς ποὺ ἀσκοῦν ἐξουσίες, νὰ πειθαρχοῦν, νὰ εἶναι ἕτοιμοι γιὰ κάθε καλὸ ἔργο, νὰ μὴν κακολογοῦν κανέναν, νὰ εἶναι εἰρηνικοί». Τί λοιπόν; οὔτε ἐκείνους ποὺ ἐνεργοῦν κακῶς, οὔτε ἐκείνους ἐπιτρέπεται νὰ τοὺς κατηγοροῦν; Ἀλλὰ πρέπει νὰ εἶναι ἕτοιμοι γιὰ κάθε καλὸ ἔργο, νὰ μὴν κακολογοῦν κανέναν. Ἂς ἀκούσουμε τὴ συμ-

μεῖν». Καθαρὸν εἶναι δεῖ ἡμῖν τὸ στόμα ἀπὸ λοιδορίας. Εἴτε γὰρ ἀληθεῖς εἰσιν αἱ λοιδορίαι, οὐχ ἡμῶν ταῦτα λέγειν, ἀλλὰ τοῦ κριτοῦ ἐξετάζειν («σὺ γάρ», φησί, «τί κρίνεις τὸν ἀδελφόν σου;»)· εἴτε οὐκ ἀληθεῖς, ὅρα ὅσον τὸ πῦρ· ἄκουσον τοῦ λῃστοῦ λέγοντος 5 πρὸς τὸν ἕτερον λῃστήν· «καὶ γὰρ καὶ αὐτοὶ ἐν τῷ αὐτῷ κρίματί ἐσμεν», τὸν αὐτὸν ἀγῶνα τρέχομεν. Ἐὰν ὀνειδίζῃς ἑτέροις, ταχέως καὶ αὐτὸς τοῖς αὐτοῖς περιπεσῇ. Διὰ τοῦτο παραινεῖ ὁ μακάριος οὗτος λέγων· «ὁ δοκῶν ἑστάναι, βλεπέτω μὴ πέσῃ».

«Ἀμάχους εἶναι», φησίν. «Ἐπιεικεῖς, πᾶσαν ἐνδεικνυμέ-10 νους πρᾳότητα πρὸς πάντας ἀνθρώπους», καὶ Ἕλληνας καὶ Ἰουδαίους, καὶ μοχθηροὺς καὶ πονηρούς. Ἐκεῖ μὲν γὰρ ἀπὸ τῶν μελλόντων φοβεῖ λέγων, «ὥστε ὁ δοκῶν ἑστάναι, βλεπέτω μὴ πέσῃ», ἐνταῦθα δὲ οὐκ ἀπὸ τῶν μελλόντων, ἀλλ' ἀπὸ τῶν παρελθόντων ἐντρέπει, τὸ αὐτὸ ποιῶν, δι' ὧν ἐπάγει· «ἦμεν γάρ 15 ποτε καὶ ἡμεῖς ἀνόητοι»· ὅπερ ἐν τῇ πρὸς Γαλάτας ποιεῖ γράφων, «ὅτε ἦμεν νήπιοι, ὑπὸ τὰ στοιχεῖα τοῦ κόσμου ἦμεν δεδουλωμένοι». Οὐκοῦν μηδενὶ ὀνειδίσῃς, φησί· τοιοῦτος γὰρ ἦς καὶ σύ. «Ἦμεν γάρ», φησί, «ποτὲ καὶ ἡμεῖς ἀνόητοι, ἀπειθεῖς, πλανώμενοι, δουλεύοντες ἐπιθυμίαις καὶ ἡδοναῖς ποικίλαις, ἐν 20 κακίᾳ καὶ φθόνῳ διάγοντες, στυγητοί, μισοῦντες ἀλλήλους». Ὥστε πρὸς πάντας τοιούτους εἶναι δεῖ, ἡμέρως ἔχειν.

Ὁ γὰρ τοιοῦτος ὢν πρότερον καὶ ἀπαλλαγείς, οὐκ ὀνειδίζειν ὀφείλει πρὸς τοιούτους, ἀλλ' εὔχεσθαι καὶ χάριτας ἔχειν τῷ καὶ αὐτῷ κἀκείνοις δόντι τὴν ἀπαλλαγὴν τῶν προτέρων κακῶν. 25 Μηδεὶς καυχάσθω· πάντες γὰρ ἥμαρτον. Ὅταν οὖν ἐθέλῃς ὀνειδίσαι τινὰ κατορθῶν αὐτός, καὶ τὸν πρότερόν σου ἐννοῶν βίον καὶ τὸ τοῦ μέλλοντος ἄδηλον τὴν ὀργὴν ἀναχαίτιζε. Εἰ γὰρ καὶ ἐκ

---

7. Ρωμ. 14,10.
8. Λουκᾶ 23,40.

βουλή· «κανέναν», λέγει, «νὰ μὴν κακολογοῦν». Καθαρὸ πρέπει νὰ εἶναι τὸ στόμα μας ἀπὸ κακόλογα. Γιατί, εἴτε εἶναι ἀληθινὲς οἱ κακολογίες, δὲν εἶναι στὴ δική μας δικαιοδοσία νὰ τὰ λέμε αὐτά, ἀλλὰ νὰ τὰ ἐξετάζει ὁ κριτὴς (γιατὶ λέγει· «ἐσὺ ὅμως γιατί κρίνεις τὸν ἀδελφό σου;»[7]), εἴτε δὲν εἶναι ἀληθινὲς πρόσεχε πόση εἶναι ἡ φωτιά. Ἄκουσε τὸ ληστὴ ποὺ λέγει στὸν ἄλλο ληστή· «γιατὶ καὶ ἐμεῖς βρισκόμαστε στὴν ἴδια καταδίκη»[8], τὸν ἴδιο ἀγώνα τρέχουμε. Ἂν ἐπικρίνεις ἄλλους, γρήγορα καὶ σὺ θὰ πέσεις στὰ ἴδια. Γι' αὐτὸ συμβουλεύει ὁ μακάριος αὐτὸς λέγοντας· «ὅποιος νομίζει ὅτι στέκεται, ἂς προσέξει μήπως πέσει»[9].

«Νὰ εἶναι εἰρηνικοί», λέγει. «Νὰ εἶναι ἐπιεικεῖς καὶ νὰ δείχνουν κάθε πραότητα πρὸς ὅλους τοὺς ἀνθρώπους», καὶ ἐθνικοὺς καὶ Ἰουδαίους, καὶ μοχθηροὺς καὶ κακούς. Ἐκεῖ δηλαδὴ τοὺς φοβίζει ἀπὸ τὰ μελλοντικὰ λέγοντας, «ἑπομένως ὅποιος νομίζει ὅτι στέκεται, ἂς προσέξει μήπως πέσει», ἐδῶ ὅμως ὄχι ἀπὸ τὰ μελλοντικά, ἀλλὰ ἀπὸ τὰ περασμένα τοὺς ἐλέγχει, κάνοντας τὸ ἴδιο μὲ ὅσα προσθέτει· «γιατὶ κάποτε ἤμασταν καὶ ἐμεῖς ἀνόητοι», πράγμα ποὺ κάνει στὴν ἐπιστολή του πρὸς τοὺς Γαλάτες γράφοντας· «ὅταν ἤμασταν ἀνήλικοι, ἤμασταν ὑπόδουλοι στὰ στοιχεῖα τοῦ κόσμου»[10]. Λοιπὸν νὰ μὴ κακολογήσεις κανέναν, λέγει, γιατὶ καὶ σὺ ἤσουν τέτοιος. «Γιατὶ κάποτε», λέγει, «ἤμασταν καὶ ἐμεῖς ἀνόητοι, ἀπείθαρχοι, πλανημένοι, δοῦλοι σὲ διάφορες ἐπιθυμίες καὶ ἡδονές· ζούσαμε μέσα στὴν κακία καὶ στὸ φθόνο, ἤμασταν μισητοὶ καὶ μισούσαμε ὁ ἕνας τὸν ἄλλον». Ὥστε, πρὸς ὅλους πρέπει νὰ εἴμαστε τέτοιοι, νὰ φερόμαστε δηλαδὴ μὲ πραότητα.

Γιατὶ αὐτὸς ποὺ πρῶτα ἦταν τέτοιος καὶ ὕστερα ἀπαλλάχθηκε, ὀφείλει νὰ μὴν ἐπικρίνει τοὺς ὁμοίους του, ἀλλὰ νὰ προσεύχεται καὶ νὰ εὐγνωμονεῖ ἐκεῖνον ποὺ ἔδωσε καὶ στὸν ἴδιο καὶ σ' ἐκείνους τὴ συγχώρηση τῶν προηγουμένων κακῶν. Κανεὶς ἂς μὴν καυχιέται, «γιατὶ ὅλοι ἁμάρτησαν». Ὅταν λοιπὸν θέλεις νὰ ἐπικρίνεις κάποιον, πράττοντας ἐσὺ σωστά, ἔχοντας στὸ νοῦ σου

9. Α΄ Κορ. 10,12.
10. Γαλ. 4,3.

*πρώτης ἡλικίας ἐναρέτως ἔζησας, ἀλλ' ὅμως ἔχοις ἂν ἁμαρτήματα πολλά· εἰ δὲ οὐκ ἔχεις, ὡς νομίζεις, ἐννόησον ὅτι οὐ τῆς σῆς ἀρετῆς τοῦτο γέγονεν, ἀλλὰ τῆς τοῦ Θεοῦ χάριτος· εἰ γὰρ μὴ τοὺς προγόνους ἐκάλεσε τοὺς σούς, καὶ αὐτὸς ἂν ᾖς ἀπειθής.
5 Ὅρα πῶς πᾶσαν κακίαν διεξῆλθεν. Οὐχὶ μυρία διὰ προφητῶν, διὰ πάντων ὁ Θεὸς ᾠκονόμει; μὴ ἠκούσαμεν;*

*«Ἦμεν γάρ ποτε», φησί, καὶ ἡμεῖς πλανώμενοι· ὅτε δὲ ἡ χρηστότης καὶ ἡ φιλανθρωπία ἐπεφάνη τοῦ Σωτῆρος ἡμῶν Θεοῦ». Πῶς; «Οὐκ ἐξ ἔργων τῶν ἐν δικαιοσύνῃ, ὧν ἐποιήσα-
10 μεν ἡμεῖς, ἀλλὰ κατὰ τὸν αὐτοῦ ἔλεον ἔσωσεν ἡμᾶς διὰ λουτροῦ παλιγγενεσίας καὶ ἀνακαινώσεως Πνεύματος ἁγίου». Βαβαί, πῶς ἦμεν ἐν τῇ κακίᾳ βεβαπτισμένοι, ὡς μὴ δύνασθαι καθαρθῆναι, ἀλλ' ἀναγεννήσεως δεηθῆναι; τοῦτο γάρ ἐστι παλιγγενεσία. Καθάπερ γὰρ ἐπὶ οἰκίας σαθρῶς διακειμένης, οὐδεὶς ὑποστήρι-
15 γμα τίθησιν, οὐδὲ συρράπτει ταῖς παλαιαῖς οἰκοδομαῖς, ἀλλὰ μέχρι τῶν θεμελίων αὐτὴν καταλύσας, οὕτως ἄνωθεν ἀνίστησι καὶ ἀνακαινίζει, οὕτω καὶ αὐτὸς ἐποίησεν· οὐκ ἐπεσκεύασεν ἡμᾶς, ἀλλ' ἄνωθεν κατεσκεύασε· τοῦτο γάρ ἐστι, «καὶ ἀνακαινώσεως Πνεύματος ἁγίου»· ἄνωθεν ἐποίησε καινούς. Πῶς; διὰ τοῦ
20 Πνεύματος. Καὶ πάλιν, ἑτέρως τοῦτο δεικνύς, ἐπάγει· «οὗ ἐξέχεεν ἐφ' ἡμᾶς πλουσίως διὰ Ἰησοῦ Χριστοῦ τοῦ Σωτῆρος ἡμῶν». Οὕτω πολλοῦ δεῖ ἡμῖν τοῦ ἐλέους.*

*«Ἵνα δικαιωθέντες τῇ ἐκείνου χάριτι». Πάλιν χάριτι, οὐκ ὀφειλῇ. «Κληρονόμοι γενηθῶμεν κατ' ἐλπίδα ζωῆς αἰωνίου».
25 Ἅμα καὶ προτροπὴ εἰς ταπεινοφροσύνην ἐστί, καὶ ἐλπὶς ὑπὲρ τῶν μελλόντων. Εἰ γὰρ οὕτως ἀπεγνωσμένους, ὡς ἄνωθεν γεννηθῆναι, ὡς χάριτι σωθῆναι, ὡς μηδὲν ἔχειν ἀγαθόν, ἔσωσε, πολλῷ μᾶλλον ἐν τῷ μέλλοντι τοῦτο ἐργάσεται.*

4. Οὐδὲν γὰρ τῆς ἀνθρωπίνης θηριωδίας χεῖρον ἦν πρὸ τῆς τοῦ

τὴν προηγούμενη ζωη σου καὶ τὸ ἀβέβαιο τοῦ μέλλοντος, νὰ συγκρατεῖς τὴν ὀργή. Γιατί, καὶ ἂν ἀκόμη ἀπὸ τὴν πρώτη ἡλικία ἔζησες ἐνάρετα, μπορεῖ ὅμως νὰ ἔχεις πολλὰ ἁμαρτήματα· καὶ ἂν δὲν ἔχεις, ὅπως νομίζεις, σκέψου ὅτι αὐτὸ δὲν ἔγινε ἀπὸ τὴ δική σου ἀρετή, ἀλλὰ ἀπὸ τὴ χάρη τοῦ Θεοῦ. Γιατί, ἂν δὲν καλοῦσε τοὺς δικούς σου προγόνους, και σὺ μπορεῖ νὰ ἦσουν ἀπείθαρχος. Πρόσεχε πῶς ἀνέφερε κάθε κακία. Δὲν οἰκονομοῦσε ἄπειρα ὁ Θεὸς μὲ τοὺς προφῆτες, μὲ ὅλους; μήπως τοὺς ἀκούσαμε;

«Γιατὶ κάποτε», λέγει, «ἤμασταν καὶ ἐμεῖς πλανώμενοι. Ὅταν ὅμως ἐμφανίσθηκε ἡ χρηστότητα καὶ ἡ φιλανθρωπία τοῦ Σωτήρα μας Θεοῦ». Πῶς; «Ὄχι ἀπὸ ἔργα δικαιοσύνης ποὺ κάναμε, ἀλλὰ σύμφωνα μὲ τὴν εὐσπλαχνία του μᾶς ἔσωσε μὲ τὸ βάπτισμα τῆς ἀναγέννησης καὶ ἀνακαίνισης ποὺ χαρίζει τὸ ἅγιο Πνεῦμα». Πώ, πώ! Πόσο ἤμασταν βυθισμένοι μέσα στὴν κακία, ὥστε νὰ μὴν μποροῦμε νὰ καθαρισθοῦμε, ἀλλὰ νὰ χρειασθοῦμε ἀναγέννηση! γιατὶ αὐτὸ σημαίνει παλιγγενεσία. Ὅπως δηλαδὴ σ' ἕνα σπίτι ποὺ εἶναι ἑτοιμόρροπο κανεὶς δὲ βάζει ὑποστήριγμα οὔτε τὸ ἑνώνει μὲ τὶς παλαιὲς οἰκοδομές, ἀλλὰ ἀφοῦ τὸ γκρεμίσει μέχρι τὰ θεμέλια, ἔτσι ἀπὸ τὴν ἀρχὴ τὸ κατασκευάζει καὶ τὸ ἀνακαινίζει, τὸ ἴδιο καὶ αὐτὸς ἔκαμε. Δὲ μᾶς ἐπισκεύασε, ἀλλὰ ἀπὸ τὴν ἀρχὴ μᾶς κατασκεύασε. Γιατὶ αὐτὸ σημαίνει τὸ «μὲ τὴν ἀνακαίνιση ποὺ χαρίζει τὸ ἅγιο Πνεῦμα»· ἀπὸ τὴν ἀρχὴ μᾶς ἔκαμε καινούριους. Πῶς; Μὲ τὸ Πνεῦμα. Καὶ πάλι, δείχνοντας αὐτὸ μὲ ἄλλον τρόπο, προσθέτει· «τὸ ὁποῖο σκόρπισε πλούσια πάνω μας διὰ τοῦ Ἰησοῦ Χριστοῦ τοῦ Σωτήρα μας». Τόσο πολὺ μᾶς χρειάζεται ἡ εὐσπλαχνία τοῦ Θεοῦ.

«Γιὰ νὰ δικαιωθοῦμε μὲ τὴ δική του χάρη». Πάλι μὲ τὴ χάρη του ὄχι ἀπὸ χρέος του. «Καὶ νὰ γίνουμε κληρονόμοι τῆς αἰώνιας ζωῆς, ποὺ ἐλπίζουμε». Συγχρόνως εἶναι προτροπὴ γιὰ ταπεινοφροσύνη καὶ ἐλπίδα γιὰ τὰ μελλοντικά. Γιατί, ἂν ὅταν ἤμασταν τόσο ἀπελπισμένοι, ὥστε νὰ χρειασθεῖ νὰ γεννηθοῦμε ἀπὸ τὴν ἀρχὴ καὶ νὰ σωθοῦμε μὲ τὴ χάρη του, μᾶς ἔσωσε χωρὶς νὰ ἔχουμε κανένα καλό, πολὺ περισσότερο θὰ τὸ κάνει αὐτὸ στὸ μέλλον.

4. Τίποτε δὲν ἦταν χειρότερο ἀπὸ τὴν ἀνθρώπινη θηριωδία

Χριστοῦ παρουσίας· ὥσπερ γὰρ ἐχθροὶ καὶ πολέμιοι πάντες διέκειντο πρὸς ἀλλήλους· τοὺς παῖδας ἔσφαζον τοὺς ἑαυτῶν πατέρες, καὶ μητέρες παισὶν ἐπεμαίνοντο· οὐδὲν ἦν ἑστηκός, οὐ φυσικός, οὐ γραπτὸς νόμος, ἀλλὰ ἀνατέτραπτο ἅπαντα· μοιχεῖαι διη- 5 *νεκεῖς, φόνοι, καὶ εἴ τι φόνων χαλεπώτερον, κλοπαὶ (φησὶ δέ τις τῶν ἔξωθεν, ὅτι καὶ ἀρετῆς τὸ πρᾶγμα ἐδόκει εἶναι· καὶ εἰκότως, ὅπου γε καὶ θεὸν τοιοῦτον ἔσεβον), χρησμοὶ συνεχεῖς τὸν δεῖνα ἀναιρεῖσθαι καὶ τὸν δεῖνα κελεύοντες.*

Εἴπω τι τῶν κατ' ἐκεῖνον τὸν χρόνον; Ἀνδρόγεώς τις τοῦ 10 *Μίνωος υἱὸς ἐλθὼν εἰς Ἀθήνας καὶ πάλην νικήσας, δίκην ἐδίδου, καὶ ἀνῃρέθη. Ὁ οὖν Ἀπόλλων κακῷ τὸ κακὸν ἰώμενος, ἐκέλευσε δὶς ἑπτὰ παῖδας ἀπάγεσθαι ὑπὲρ τούτου. Τί ταύτης τῆς τυραννίδος ὠμότερον; Καὶ τοῦτο ἐγένετο, καὶ ἄνθρωπος τοῦ δαίμονος τὴν μανίαν λῦσαι ἐπελθών, ἔσφαξε τοὺς παῖδας ἐκείνους,* 15 *ὅτι παρ' αὐτοῖς ἡ ἀπάτη ἴσχυεν· ἐπειδὴ δὲ διανέστησαν καὶ ἤμυναν ἑαυτοῖς, οὐκέτι. Εἰ μὲν οὖν δικαίως τὸ πρᾶγμα ἐγίνετο, οὐκ ἐχρῆν κωλυθῆναι· εἰ δὲ ἀδίκως, ὥσπερ οὖν καὶ ἀδίκως, οὐδὲ παρὰ τὴν ἀρχὴν ἐπιταγῆναι.*

Πύκτας προσεκύνουν καὶ παλαιστάς. Πόλεμοι συνεχεῖς 20 *καὶ ἐπάλληλοι, κατὰ πόλιν, κατὰ κώμην, κατὰ οἰκίαν. Ἐπαιδεράστουν· καὶ παρ' αὐτοῖς φιλόσοφός τις ἐνομοθέτει, δούλῳ ἐξεῖναι μήτε παιδεραστεῖν, μήτε ξηραλοιφεῖν, ὡς ἐναρέτου τοῦ πράγματος ὄντος καὶ πολλὴν ἔχοντος τιμήν. Διὰ τοῦτο καὶ ἐπ' οἰκήματος εἱστήκεισαν φανερῶς τοῦτο ποιοῦντες. Καὶ εἰ πάντα τις* 25 *ἐπέλθοι τὰ κατ' αὐτούς, εὑρήσει φανερῶς ὅτι καὶ εἰς τὴν φύσιν αὐτὴν ἐνύβριζον, καὶ οὐδεὶς ὁ κωλύων ἦν· ἀλλὰ τὰ δράματα αὐτοῖς πάντα τούτων γέμει, μοιχείας, ἀσελγείας, διαφθορᾶς. Παννυχίδες ἐγίνοντο μιαραί, καὶ γυναῖκες ἐκαλοῦντο ἐπὶ τὴν θέαν. Ὢ τῆς μιαρίας· ἐν νυκτί, ἐν θεάτρῳ παννυχὶς ἦν, καὶ παρθένος* 30 *ἐκάθητο μεταξὺ νέων μεμηνότων καὶ μεθύοντος ὄχλου. Τὸ σκό-*

---

11. Ἀναφέρεται στὸ γνωστὸ μύθο τοῦ Μινώταυρου καὶ στὸ φρικτὸ φόρο αἵματος ποὺ πλήρωναν οἱ Ἀθηναῖοι. Ἀπὸ τὸ φόρο αὐτὸ ἀπάλλαξε τοὺς Ἀθηναίους ὁ Θησέας.

12. Πρόκειται γιὰ τὸ Σόλωμα.

πρὶν ἀπὸ τὸν ἐρχομὸ τοῦ Χριστοῦ. Γιατὶ σὰν ἐχθροὶ καὶ ἀντίπαλοι συμπεριφέρονταν ὅλοι μεταξύ τους. Οἱ πατέρες ἔσφαζαν τὰ παιδιά τους καὶ οἱ μητέρες ἐρωτεύονταν τὰ παιδιά τους. Τίποτε δὲν ἦταν ὄρθιο, οὔτε ὁ φυσικὸς οὔτε ὁ γραπτὸς νόμος, ἀλλὰ ὅλα εἶχαν ἀνατραπεῖ· μοιχεῖες διαρκεῖς, φόνοι καὶ ὁτιδήποτε ἄλλο ὑπάρχει φοβερότερο ἀπὸ τοὺς φόνους, κλοπὲς (καὶ λέγει κάποιος ἀπὸ τοὺς ἐθνικοὺς ὅτι τὸ πράγμα φαινόταν πὼς εἶναι ἔργο τῆς ἀρετῆς· καὶ φυσικά, ἀφοῦ καὶ θεὸ τέτοιο λάτρευαν), χρησμοὶ συνεχεῖς ποὺ πρόσταζαν νὰ φονεύεται ὁ τάδε καὶ ὁ τάδε.

Νὰ πῶ κάτι ἀπὸ ἐκεῖνα ποὺ συνέβαιναν ἐκεῖνα τὰ χρόνια; Κάποιος Ἀνδρόγεως, υἱὸς τοῦ Μίνωα, ἦρθε στὴν Ἀθήνα καὶ νίκησε στὴν πάλη, ἔπειτα ὅμως τιμωρήθηκε καὶ θανατώθηκε. Ὁ Ἀπόλλων λοιπὸν θεραπεύοντας τὸ κακὸ μὲ κακὸ πρόσταξε νὰ παίρνουν καὶ νὰ θανατώνουν γι' αὐτό[11] δεκατέσσερις νέους. Τί ὑπάρχει σκληρότερο ἀπ' αὐτὴ τὴν τυραννία; Καὶ αὐτὸ ἔγινε, καὶ ἕνας ἄνθρωπος ἦρθε γιὰ νὰ λύσει τὴ μανία τοῦ Θεοῦ καὶ ἔσφαξε τοὺς νέους ἐκείνους, γιατὶ σ' αὐτοὺς ἴσχυε ἡ ἀπάτη. Ὅταν ὅμως ξεσηκώθηκαν καὶ ὑπερασπίσθηκαν τὸν ἑαυτό τους, δὲν ἴσχυε πιὰ ἡ ἀπάτη. Ἂν βέβαια τὸ πράγμα γινόταν δίκαια, δὲν ἔπρεπε νὰ ἐμποδισθεῖ· ἂν ὅμως ἄδικα, ὅπως ἀσφαλῶς καὶ γινόταν ἄδικα, οὔτε ἀπὸ τὴν ἀρχὴ ἔπρεπε νὰ διαταχθεῖ.

Προσκυνοῦσαν πυγμάχους καὶ παλαιστές. Πόλεμοι γίνονταν συνεχεῖς καὶ ἀλλεπάλληλοι σὲ κάθε πόλη καὶ κωμόπολη καὶ σπίτι. Ἦταν παιδεραστές, καὶ κάποιος σοφὸς[12] αὐτῶν νομοθετοῦσε ὅτι δὲν ἐπιτρέπεται σὲ δοῦλο οὔτε νὰ εἶναι παιδεραστὴς οὔτε ν' ἀσχολεῖται μὲ τὸν ἀθλητισμό, ἐπειδὴ τὸ πράγμα ἦταν ἐνάρετο καὶ περιεῖχε πολλὴ τιμή. Γι' αὐτὸ καὶ σὲ σπίτια ἔμεναν καὶ τὸ ἔκαναν φανερὰ αὐτό. Καὶ ἂν ἐξετάσει κανεὶς ὅλα τὰ δικά τους, θὰ βρεῖ ὅτι καὶ στὴν ἴδια τὴ φύση φέρονταν φανερὰ μὲ ὑβριστικὸ τρόπο καὶ κανεὶς δὲν τοὺς ἐμπόδιζε, ἀλλὰ ὅλα τὰ δράματά τους ἦταν γεμάτα ἀπ' αὐτά, δηλαδὴ ἀπὸ μοιχεῖες, ἀσέλγειες καὶ ἀνηθικότητες. Παννυχίδες γίνονταν μιαρὲς καὶ γυναῖκες προσκαλοῦνταν νὰ τὶς δοῦν. Πὼ πὼ αἰσχρὸ πράγμα! Τὴ νύχτα γινόταν παννυχίδα σὲ θέατρο καὶ παρθένος καθόταν ἀνάμεσα σὲ παράφρονες νέους τοῦ μεθυσμένου ὄχλου. Τὸ σκοτάδι

τος ἦν ἡ πανήγυρις, καὶ τὰ μυσαρὰ ἔργα τὰ ὑπ' αὐτῶν τελούμενα. Διὰ τοῦτό φησιν· «ἦμέν ποτε καὶ ἡμεῖς ἀνόητοι, ἀπειθεῖς, πλανώμενοι, δουλεύοντες ἐπιθυμίαις καὶ ἡδοναῖς ποικίλαις». Ὁ δεῖνα τῆς μητρυιᾶς ἠράσθη, φησί, καὶ ἡ δεῖνα τοῦ προγόνου, καὶ 5 ἀπήγξατο. Τοὺς γὰρ τῶν παίδων ἔρωτας, οὕσπερ αὐτοῖς «παιδικὰ» καλεῖν ἔθος ἐστίν, οὐδὲ εἰπεῖν ἔνι.

Ἀλλὰ τί; βούλει μητρογαμίας ἰδεῖν; Ἔστι καὶ τοῦτο παρ' αὐτοῖς, καὶ τὸ δὴ δεινόν, ὑπὸ ἀγνοίας τὸ πρᾶγμα ἐγίνετο, καὶ οὐκ ἐκώλυεν ὁ θεὸς ὁ παρ' αὐτοῖς, ἀλλὰ περιεώρα τὴν φύσιν ὑβριζο- 10 μένην, καὶ ταῦτα τῶν ἐπισήμων οὖσαν. Εἰ δὲ οὓς εἰκός, εἰ καὶ μὴ δι' ἕτερόν τι, διὰ γοῦν τὴν τῶν πολλῶν δόξαν ἀντέχεσθαι τῆς ἀρετῆς, οὗτοι δὲ οὕτω πρηνεῖς κατὰ τῆς κακίας ἐφέροντο, τί εἰκὸς τοὺς πολλοὺς καὶ λανθανόντως βιοῦντας διαπράττεσθαι; τί ποικιλώτερον ταύτης τῆς ἡδονῆς; Ἠράσθη ἡ δεῖνα τοῦ δεῖνος· 15 ἐπανελθόντα τὸν ἄνδρα ἔσφαξε διὰ τοῦ μοιχοῦ. Τάχα ἴστε τὸ διήγημα οἱ πολλοί. Τὸν μοιχὸν ἀνεῖλεν ὁ παῖς τοῦ φονευθέντος, κἀκείνην ἐπέθυσε· μετὰ ταῦτα ἐμάνη καὶ αὐτός, καὶ ταῖς ἐριννύσιν ἠλαύνετο· εἶτα αὐτὸς οὕτως ὁ μανεὶς ἀπελθὼν ἔσφαξεν ἕτερον, καὶ τὴν ἐκείνου γυναῖκα λαμβάνει. Τί τούτων χεῖρον τῶν συμφο- 20 ρῶν; Τούτου χάριν ταῦτα λέγω ἀπὸ τῶν ἔξωθεν, ἵνα τοὺς Ἕλληνας πείσω, πόσα κατεῖχε τὴν οἰκουμένην κακά.

Ἀλλ', εἰ βούλεσθε, καὶ ἀπὸ τῶν ἡμετέρων δεικνύωμεν. «Ἔθυσαν», φησί, «τοὺς υἱοὺς αὐτῶν καὶ τὰς θυγατέρας αὐτῶν τοῖς δαιμονίοις». Καὶ πάλιν οἱ τὰ Σόδομα οἰκοῦντες δι' οὐδὲν 25 ἕτερον ἀπώλοντο, ἢ ὅτι παισὶν ἐπεμαίνοντο. Ἀλλὰ πάλιν ἐν προοιμίοις τῆς τοῦ Χριστοῦ παρουσίας οὐχὶ ἡ τοῦ βασιλέως θυγάτηρ ἐν μέσοις ὠρχεῖτο τοῖς συμποσίοις ἐν ἀνθρώποις μεθύουσιν; οὐχὶ φόνον ᾔτει, καὶ ὀρχήσεως τιμὴν τὴν κεφαλὴν τοῦ προφήτου;

---

13. Ἀναφέρεται στὸ Φοίνικα, τὸν υἱὸ τοῦ Ἀμύντορα καὶ παιδαγωγὸ τοῦ Ἀχιλλέα (Ὁμήρου *Ἰλιάδα* Ι), καὶ στὴ Φαίδρα, τὴ σύζυγο τοῦ Θησέα.

14. Ἀναφέρεται στὸν Οἰδίποδα καὶ τὴν Ἰοκάστη.

15. Ὁ λόγος εἶναι γιὰ τὴν Κλυταιμήστρα, τὸν Ἀγαμέμνονα, τὸν Αἴγισθο καὶ στὸν Ὀρέστη καὶ γιὰ τὶς γνωστὲς συμφορὲς τῆς οἰκογένειας τῶν Ἀτρειδῶν.

ἦταν ἡ πανήγυρη καὶ τὰ μυσαρὰ ἔργα ποὺ τελοῦνταν ἀπ' αὐτούς. Γι' αὐτὸ λέγει· «ἤμασταν καὶ ἐμεῖς κάποτε ἀνόητοι, ἀπείθαρχοι, πλανώμενοι, δοῦλοι σὲ διάφορες ἐπιθυμίες καὶ ἡδονές». Ὁ τάδε ἀγάπησε τὴ μητρυιά του, λέγει, καὶ ἡ τάδε τὸν πρόγονό της, καὶ κραμάστηκε[13]. Τοὺς παιδικοὺς ἔρωτες, τοὺς ὁποίους αὐτοὶ συνηθίζουν νὰ τοὺς ὀνομάζουν παιδικά, οὔτε νὰ τοὺς ποῦμε εἶναι δυνατό.

Ἀλλὰ τί; Θέλεις νὰ δοῦμε καὶ γάμους μὲ τὶς μητέρες; Ὑπάρχει καὶ αὐτὸ σ' αὐτούς, καὶ τὸ πιὸ φοβερό, τὸ πράγμα γινόταν ἀπὸ ἄγνοια καὶ ὁ θεός τους δὲν τὸ ἐμπόδιζε, ἀλλὰ ἀνεχόταν νὰ ὑβρίζεται ἡ φύση· καὶ αὐτὸ γινόταν ἂν καὶ ἦταν ἀπὸ τὶς ἐπίσημες[14]. Καὶ ἂν αὐτοί, ποὺ ἦταν φυσικό, ἂν μὴ γιὰ τίποτε ἄλλο τουλάχιστο γιὰ τὴ δόξα ἀπὸ τοὺς πολλούς, νὰ ἐπιδίδονται στὴν ἀρετή, φέρονταν τόσο εὔκολα πρὸς τὴν κακία, τί ἦταν φυσικὸ νὰ πράττουν οἱ πολλοὶ ποὺ ζοῦσαν στὰ κρυφά; Τί πιὸ περίπλοκο ἀπὸ τὴν ἡδονὴ αὐτή; Ἀγάπησε ἡ τάδε τὸν τάδε· ὅταν ἐπέστρεψε ὁ ἄνδρας της τὸν ἔσφαξε μὲ τὴ βοήθεια τοῦ μοιχοῦ[15]. Ἴσως οἱ πολλοὶ γνωρίζετε τὴν ἱστορία. Τὸ μοιχὸ σκότωσε ὁ γιὸς τοῦ σκοτωμένου καὶ ἐκείνην τὴν ἔσφαξε. Στὴ συνέχεια τρελλάθηκε καὶ ὁ ἴδιος καὶ καταδιωκόταν ἀπὸ τὶς ἐρινύες. Ἔπειτα αὐτὸς ποὺ κυριεύθηκε ἀπὸ τόση τρέλλα ἔφυγε καὶ ἔσφαξε ἄλλον, καὶ παίρνει τὴ γυναίκα του. Τί ὑπάρχει χειρότερο ἀπὸ τὶς συμφορὲς αὐτές; Γι' αὐτὸ τὰ λέγω αὐτὰ παρμένα ἀπὸ τοὺς μὴ Χριστιανούς, γιὰ νὰ πείσω τοὺς ἐθνικοὺς πόσα κακὰ κατεῖχαν τὴν οἰκουμένη.

Ἀλλά, ἂν θέλετε, ἂς τὸ ἀποδείξω καὶ ἀπὸ τὰ δικά μας. «Θυσίασαν», λέγει, «τοὺς υἱοὺς καὶ τὶς θυγατέρες τους στὰ εἴδωλα»[16]. Καὶ πάλι οἱ κάτοικοι τῶν Σοδόμων δὲν καταστράφηκαν γιὰ τίποτε ἄλλο, παρὰ μόνο ἐπειδὴ ἐρωτεύονταν παιδιά[17]. Ἀλλὰ πάλι στὴν ἀρχὴ τῆς παρουσίας τοῦ Χριστοῦ δὲ χόρευε ἡ θυγατέρα τοῦ βασιλιᾶ στὴ διάρκεια τοῦ συμποσίου ἀνάμεσα σὲ μεθυσμένους ἀνθρώπους; Δὲ ζητοῦσε φόνο καὶ βραβεῖο γιὰ τὸ χορὸ

16. Ψαλμ. 105,37.
17. Βλ. Γεν. 19,4–30.

«Τίς λαλήσει τὰς δυναστείας τοῦ Κυρίου;» «Στυγητοί», φησί, «μισοῦντες ἀλλήλους». Ἀνάγκη γὰρ πάντως, ὅταν πάσας τῇ ψυχῇ ἐπαφῶμεν τὰς ἡδονάς, πολὺ τὸ μῖσος γίνεσθαι. Διὰ τί; Ὅτι οὐ μετὰ ἀρετῆς ἡ ἀγάπη, οὐδεὶς οὐδένα πλεονεκτεῖ. Ὅρα καὶ ὁ
5 *Παῦλος τί φησι· «μὴ πλανᾶσθε· οὔτε πόρνοι, οὔτε εἰδωλολάτραι, οὔτε μοιχοί, οὔτε μαλακοί, οὔτε ἀρσενοκοῖται, οὔτε πλεονέκται, οὐ λοίδοροι, οὐ μέθυσοι βασιλείαν Θεοῦ κληρονομήσουσι. Καὶ ταῦτά τινες ἦτε». Ὁρᾷς πῶς πᾶν κακίας εἶδος ἐπεπόλαζε, καὶ πολλή τις ἦν ἡ ἀχλύς, καὶ τὸ δίκαιον διεφθείρετο; Εἰ γὰρ οἱ προ-*
10 *φητείας ἀπολαύοντες, καὶ τοσαῦτα ὁρῶντες γενόμενα κακὰ καὶ ἐν τοῖς πολεμίοις καὶ ἐν ἑαυτοῖς, ὅμως οὐκ ἠνείχοντο, ἀλλὰ μυρία καινὰ εἰργάζοντο, τί ἂν οἱ ἄλλοι;*

Ἀλλά τις πάλιν παρ' αὐτοῖς παρθένους γυμνὰς ἐκέλευε παλαίειν ἐπ' ὄψεσιν ἀνθρώπων. Πολλὰ ὑμῖν γένοιτο ἀγαθά, ὅτι
15 *οὐδὲ τὸ ῥῆμα ἀκοῦσαι φέρετε· αὐτὸ δὲ τὸ πρᾶγμα οἱ φιλόσοφοι οὐκ ᾐσχύνοντο. Ἕτερος δέ τις φιλόσοφος, ὁ κορυφαῖος αὐτῶν, καὶ εἰς πολέμους αὐτὰς ἐξάγει καὶ κοινὰς εἶναι κελεύει, ὡς μαστροπός τις ὢν καὶ προαγωγός. «Ἐν κακίᾳ καὶ φθόνῳ διάγοντες», φησίν. Εἰ γὰρ οἱ φιλοσοφοῦντες παρ' αὐτοῖς τοιαῦτα ἐνομο-*
20 *θέτουν, τί ἂν εἴποιμεν περὶ τῶν μὴ φιλοσοφησάντων; εἰ οἱ τὸ γένειον ἔχοντες βαθὺ καὶ τὸν τρίβωνα ἀναβεβλημένοι τοιαῦτα λέγουσι, τί ἂν εἴποιμεν περὶ ἑτέρων; Οὐ διὰ τοῦτο γέγονεν ἡ γυνή, ἄνθρωπε, ὥστε κοινῇ πᾶσι προκεῖσθαι.*

Ὦ πάντα ἀνατρέποντες ὑμεῖς· οἱ τοῖς μὲν ἄρρεσιν ὡς θη-
25 *λείαις μιγνύμενοι, τὰς δὲ θηλείας ὡς ἄνδρας εἰς πόλεμον ἐξάγοντες· τοῦτο γὰρ ἔργον τοῦ διαβόλου, τὸ πάντα συγχέειν καὶ ἀνατρέπειν, καὶ τὰ ἐξ ἀρχῆς τεθέντα ὅρια διασαλεύειν καὶ μεταίρειν ἃ Θεὸς ἔθετο τῇ φύσει. Τῇ μὲν γὰρ γυναικὶ τὸ οἰκουρεῖν μόνον ἔδωκεν ὁ Θεός, τῷ δὲ ἀνδρὶ τὰ δημόσια πράττειν· σὺ δὲ τὴν κε-*

---

18. Βλ. Ματθ. 14,1-12.
19. Ψαλμ. 105,2.
20. Α' Κορ. 6,9.
21. Πρόκειται γιὰ τὸ Λυκοῦργο, τὸν γνωστὸ νομοθέτη τῆς Σπάρτης.
22. Πρόκειται γιὰ τὸν Πλάτωνα.

τὸ κεφάλι τοῦ προφήτη[18]; «Ποιός θὰ διηγηθεῖ τὴ δύναμη τοῦ Κυρίου;»[19]. «Ἤμασταν μισητοί», λέγει, «καὶ μισούσαμε ὁ ἕνας τὸν ἄλλον». Γιατὶ ὁπωσδήποτε, ὅταν ἀφήσουμε στὴν ψυχὴ ὅλες τὶς ἡδονές, αὐξάνεται ἀναγκαστικὰ τὸ μίσος. Γιατί; Ἐπειδὴ ὅπου ἡ ἀγάπη εἶναι μαζὶ μὲ τὴν ἀρετή, κανεὶς δὲν ξεπερνάει κανέναν. Πρόσεχε καὶ ὁ Παῦλος τί λέγει· «μὴν πλανιέστε· οὔτε πόρνοι οὔτε εἰδωλολάτρες οὔτε μοιχοὶ οὔτε θηλυπρεπεῖς οὔτε παιδεραστὲς οὔτε πλεονέκτες οὔτε ὑβριστὲς οὔτε μέθυσοι θὰ κληρονομήσουν τὴ βασιλεία τοῦ Θεοῦ. Καὶ τέτοιοι ἤσασταν κάποτε μερικοί»[20]. Βλέπεις πῶς ἐπικρατοῦσε κάθε εἶδος κακίας καὶ ἦταν πολλὴ ἡ ὁμίχλη καὶ διαφθειρόταν τὸ δίκαιο; Γιατί, ἂν ἐκεῖνοι ποὺ ἄκουαν τὶς προφητεῖες καὶ ἔβλεπαν νὰ γίνονται τόσα κακὰ καὶ στοὺς ἐχθροὺς καὶ στὸν ἑαυτό τους δὲ συγκρατοῦνταν, ἀλλὰ ἔκαναν ἄπειρα καινούρια πράγματα, τί θὰ ἔκαναν οἱ ἄλλοι;

Ἕνας ἄλλος πάλι ἀπ' αὐτοὺς πρόσταζε τὶς παρεθένες νὰ παλεύουν γυμνὲς μπροστὰ στοὺς ἄνδρες[21]. Εἴθε νὰ συμβοῦν σὲ σᾶς πολλὰ ἀγαθά, γιατὶ οὔτε τὸ λόγο ἀντέχετε ν' ἀκούσετε. Αὐτὸ ὅμως τὸ πράγμα οἱ φιλόσοφοι δὲν τὸ ντρέπονταν. Καὶ κάποιος ἄλλος, φιλόσοφος, ὁ κορυφαῖος ἀπ' αὐτούς, τὶς βγάζει ἀκόμη καὶ σὲ πολέμους καὶ προστάζει νὰ εἶναι κοινές, σὰν νὰ ἦταν κάποιος μαστροπὸς καὶ προαγωγός[22]. «Ζούσαμε μέσα στὴν κακία καὶ στὸ φθόνο», λέγει. Ἂν λοιπὸν οἱ φιλόσοφοί τους νομοθετοῦσαν αὐτά, τί θὰ μπορούσαμε νὰ ποῦμε γιὰ τοὺς μὴ φιλοσόφους; Ἂν αὐτοὶ ποὺ ἔχουν τὴ βαθειὰ γενειάδα καὶ φοροῦν τὸν τρίβωνα λέγουν τέτοια πράγματα, τί θὰ λέγαμε γιὰ τοὺς ἄλλους; Δὲν ἔγινε γι' αὐτὸ ἡ γυναίκα, ἄνθρωπε, ὥστε νὰ ἐκτίθεται δημόσια σὲ ὅλους.

Ὢ σεῖς, ποὺ τὰ πάντα ἀντιστρέφετε! ποὺ ἔρχεσθε σὲ μίξη μὲ τοὺς ἄνδρες σὰν νὰ εἶναι γυναῖκες καὶ ὁδηγεῖτε τὶς γυναῖκες σὰν νὰ εἶναι ἄνδρες στὸν πόλεμο. Γιατὶ αὐτὸ εἶναι τὸ ἔργο τοῦ διαβόλου, τὸ νὰ συγχέει καὶ νὰ ἀντιστρέφει τὰ πάντα καὶ νὰ διασαλεύει καὶ νὰ μετακινεῖ τὰ ὅρια ποὺ ἀπὸ τὴν ἀρχὴ τέθηκαν καὶ ἐκεῖνα ποὺ ἔθεσε ὁ Θεὸς στὴ φύση. Γιατὶ στὴ γυναίκα ὁ Θεὸς ἔδωσε μόνο νὰ φροντίζει τὸ σπίτι, ἐνῶ στὸν ἄνδρα νὰ ἀσχολεῖται μὲ τὰ δημόσια πράγματα. Ἐσὺ ὅμως κατεβάζεις τὴν κεφαλὴ

φαλὴν εἰς τοὺς πόδας κατάγεις, καὶ τοὺς πόδας εἰς τὴν κεφαλὴν
ἀνάγεις. Γυναῖκας ὁπλίζεις, καὶ οὐκ αἰσχύνῃ; Τί δὲ ταῦτα λέγω;
εἰσάγουσί τινα παρ' αὐτοῖς γυναῖκα καὶ παῖδας ἀνελοῦσαν, καὶ
οὐκ αἰσχύνονται οὐδὲ ἐντρέπονται τοιαῦτα μυσαρὰ διηγήματα εἰς
5 τὰς τῶν ἀνθρώπων ἀκοὰς ἐμβάλλοντες.

«Ὅτε δὲ ἡ χρηστότης», φησί, «καὶ ἡ φιλανθρωπία ἐπεφά-
νη τοῦ Σωτῆρος ἡμῶν Θεοῦ, οὐκ ἐξ ἔργων τῶν ἐν δικαιοσύνῃ,
ὧν ἐποιήσαμεν ἡμεῖς, ἀλλὰ κατὰ τὸν αὐτοῦ ἔλεον, ἔσωσεν ἡμᾶς
διὰ λουτροῦ παλιγγενεσίας καὶ ἀνακαινώσεως Πνεύματος ἁγίου,
10 οὗ ἐξέχεεν ἐφ' ἡμᾶς πλουσίως διὰ Ἰησοῦ Χριστοῦ τοῦ Σωτῆρος
ἡμῶν, ἵνα, δικαιωθέντες τῇ ἐκείνου χάριτι, κληρονόμοι γενηθῶ-
μεν κατ' ἐλπίδα ζωῆς αἰωνίου». Τί ἔστι, «κατ' ἐλπίδα»; Τουτέ-
στι, καθὼς ἠλπίσαμεν, οὕτως ἀπολαύσομεν· ἢ ὅτι ἤδη καὶ
κληρονόμοι ἐστέ. «Πιστὸς ὁ λόγος». Ἐπειδὴ γὰρ περὶ μελλόν-
15 των διελέχθη καὶ οὔπω παρόντων, ἐπήγαγε τὸ ἀξιόπιστον.
Ἀληθῆ ταῦτά ἐστι, φησί, καὶ δῆλον ἐκ τῶν φθασάντων. Ὁ γὰρ
τοσαύτης ἡμᾶς ἀνομίας ἀπαλλάξας καὶ τοσούτων κακῶν, εὔδη-
λον ὅτι καὶ τῶν μελλόντων ἡμῖν μεταδώσει πάντως ἐπιμείνασι
τῇ χάριτι· ἀπὸ γὰρ τῆς αὐτῆς κηδεμονίας ἅπαντα γίνεται.

20 5. Εὐχαριστῶμεν οὖν τῷ Θεῷ καὶ μηδὲν τοῖς ἄλλοις ὀνειδίζω-
μεν, μηδὲν ἐγκαλῶμεν, ἀλλὰ παρακαλῶμεν μᾶλλον, εὐχώμεθα
ὑπὲρ αὐτῶν, συμβουλεύωμεν, παραινῶμεν, κἂν ὑβρίζωσι, κἂν
λακτίζωσι· τοιοῦτοι γάρ εἰσιν οἱ νοσοῦντες. Ἀλλ' οἱ πρὸς τὴν
ὑγείαν ἐκείνων σπεύδοντες, πάντα φέρουσι, πάντα πράττουσι,
25 κἂν μηδὲν ἀνύωσιν, ἵνα μὴ ἑαυτοῖς ἐγκαλῶσιν ὥσπερ ἠμεληκό-
σιν. Ἢ οὐκ ἴστε ὅτι πολλάκις ἰατροῦ ἀπογνόντος τοῦ κάμνοντος,
ἕτερός τίς φησι τῶν προσηκόντων πρὸς αὐτόν· θεραπείαν πάλιν
πρόσαγε, καὶ μηδὲν ἐλλίπῃς, ἵνα μηδὲν ἐμαυτῷ ἐγκαλῶ, ἵνα
μηδὲν μέμφωμαι, ἵνα μὴ κατηγορεῖν ἔχω ἐμαυτοῦ; Οὐχ ὁρᾶτε
30 πόσην οἱ προσήκοντες περὶ τοὺς ἐπιτηδείους ποιοῦνται τὴν πρό-

στὰ πόδια, καὶ ἀνεβάζεις τὰ πόδια στὴν κεφαλή. Ὁπλίζεις τὶς γυναῖκες, καὶ δὲν ντρέπεσαι; Καὶ τί λέγω αὐτά; Παρουσιάζουν καὶ κάποια γυναίκα τους ποὺ σκότωσε ἀκόμη καὶ τὰ παιδιά της, καὶ δὲν αἰσχύνονται οὔτε ντρέπονται βάζοντας τέτοιες μυσαρὲς ἱστορίες στὶς ἀκοὲς τῶν ἀνθρώπων.

«Ὅταν ὅμως», λέγει, «ἐμφανίσθηκε ἡ καλωσύνη καὶ ἡ φιλανθρωπία τοῦ Σωτήρα μας Θεοῦ, ὄχι ἀπὸ ἔργα δικαιοσύνης ποὺ κάναμε, ἀλλὰ σύμφωνα μὲ τὴν εὐσπλαχνία του μᾶς ἔσωσε μὲ τὸ βάπτισμα τῆς ἀναγέννησης καὶ ἀνακαίνισης ποὺ χαρίζει τὸ ἅγιο Πνεῦμα, τὸ ὁποῖο ἐξέχυσε πλούσια πάνω μας διὰ τοῦ Ἰησοῦ Χριστοῦ τοῦ Σωτήρα μας, γιὰ νὰ δικαιωθοῦμε μὲ τὴ δική του χάρη καὶ νὰ γίνουμε, σύμφωνα μὲ τὴν ἐλπίδα μας, κληρονόμοι τῆς αἰώνιας ζωῆς». Τί σημαίνει, «σύμφωνα μὲ τὴν ἐλπίδα μας»; Δηλαδή, ὅπως ἐλπίσαμε ἔτσι θ' ἀπολαύσουμε· ἢ ὅτι ἤδη εἶστε καὶ κληρονόμοι. «Εἶναι ἀξιόπιστα αὐτὰ τὰ λόγια». Ἐπειδὴ λοιπὸν μίλησε γιὰ πράγματα μελλοντικὰ καὶ ὄχι ἀκόμη παρόντα, πρόσθεσε τὸ ἀξιόπιστο. Εἶναι ἀληθινὰ αὐτά, λέγει, καὶ αὐτὸ φαίνεται ἀπ' αὐτὰ ποὺ προηγήθηκαν. Γιατὶ ἐκεῖνος ποὺ μᾶς ἀπάλλαξε ἀπὸ τόση μεγάλη ἀνομία καὶ ἀπὸ τόσο πολλὰ κακά, εἶναι ὁλοφάνερο πὼς θὰ δώσει ὁπωσδήποτε καὶ τὰ μελλοντικὰ σὲ μᾶς ποὺ παραμείναμε στὴ χάρη του· γιατὶ ἀπὸ τὴν ἴδια πρόνοια γίνονται ὅλα.

5. Ἂς εὐχαριστοῦμε λοιπὸν τὸ Θεὸ καὶ ἂς μὴν ψέγουμε καθόλου τοὺς ἄλλους, καθόλου ἂς μὴν τοὺς κατηγοροῦμε, ἀλλὰ μᾶλλον ἂς τοὺς προτρέπουμε, ἂς προσευχόμαστε γι' αὐτούς, ἂς τοὺς συμβουλεύουμε, ἂς τοὺς παραινοῦμε, εἴτε μᾶς ὑβρίζουν εἴτε μᾶς χλευάζουν, γιατὶ τέτοιοι εἶναι οἱ ἀσθενεῖς. Ὅσοι ὅμως τρέχουν γιὰ τὴν ὑγεία τῶν ἀσθενῶν ὑποφέρουν καὶ κάνουν τὰ πάντα, ἀκόμη κι ἂν δὲν κατορθώνουν τίποτε, γιὰ νὰ μὴν κατηγοροῦν τὸν ἑαυτό τους γιὰ ἀδιαφορία. Ἢ δὲ γνωρίζετε ὅτι πολλὲς φορὲς ὅταν ἕνας γιατρὸς παραιτεῖται ἀπὸ τὸν ἀσθενὴ κάποιος ἄλλος συγγενὴς τοῦ λέγει, 'συνέχισε τὴ θεραπεία καὶ μὴ σταματήσεις καθόλου, γιὰ νὰ μὴν κατηγορῶ τὸν ἑαυτό μου, γιὰ νὰ μὴ τὸν μέμφομαι, γιὰ νὰ μὴν μπορῶ νὰ πῶ τίποτε ἐναντίον μου'; Δὲ βλέπετε πόσο φροντίζουν οἱ συγγενεῖς γιὰ τοὺς δικούς τους; Πόσα κά-

νοιαν; πόσα ὑπὲρ τούτου πράττουσι, καὶ ἰατροὺς παρακαλοῦντες καὶ προσεδρεύοντες διαπαντός; Κἂν τούτους μιμώμεθα· καίτοι γε οὐχ ὑπὲρ τῶν ἴσων ἡ φροντίς.

Νῦν δὲ τὸ μὲν σῶμα κάμνοντος τοῦ παιδὸς οὐκ ἂν παραι-
5 *τήσαιτό τις καὶ μακρὰν ἀποδημίαν στείλασθαι, ὥστε λῦσαι τὴν νόσον, τῆς δὲ ψυχῆς κακῶς ἐχούσης, οὐδεὶς οὐδένα ποιεῖται λόγον, ἀλλὰ πάντες ἀναπεπτώκαμεν, πάντες ῥαθυμοῦμεν, πάντες ὀλιγωροῦμεν, καὶ παῖδας καὶ γυναῖκας καὶ ἡμᾶς αὐτοὺς περιορῶντες ἁλισκομένους ἀπὸ τῆς νόσου ταύτης τῆς χαλεπῆς. Ἀλλ'*
10 *ὕστερον λαμβάνομεν τὴν αἴσθησιν. Ἐννοήσατε ὡς αἰσχρὸν καὶ σφόδρα καταγέλαστον ὕστερον λέγειν, οὐ προσεδοκῶμεν, οὐκ ἠλπίζομεν τοῦτο ἔσεσθαι· οὐκ αἰσχρὸν δὲ μόνον, ἀλλὰ καὶ ἐπικίνδυνον. Εἰ γὰρ ἐν τῷ παρόντι βίῳ τῶν ἀνοήτων ἐστι τὸ τὰ μέλλοντα μὴ προορᾶν, πολλῷ μᾶλλον ἐν τῷ μέλλοντι, ὅτε καὶ*
15 *ἀκούομεν νῦν πολλῶν συμβουλευόντων καὶ λεγόντων τὰ πρακτέα καὶ τὰ μὴ πρακτέα. Ἀντεχώμεθα τοίνυν τῆς ἐλπίδος ἐκείνης, φροντίζωμεν τῆς σωτηρίας τῆς ἡμετέρας, τὸν Θεὸν ἐπὶ πᾶσι παρακαλῶμεν, ὥστε χεῖρα ὀρέξαι. Μέχρι τίνος ῥάθυμοι; μέχρι τίνος ἀμελεῖς; μέχρι τίνος καταφρονοῦμεν ἑαυτῶν καὶ τῶν ὁμο-*
20 *δούλων ἡμῶν; αὐτὸς πλουσίως ἐξέχεεν εἰς ἡμᾶς τὴν τοῦ Πνεύματος χάριν.*

Ἐννοήσωμεν τοίνυν ὅσην χάριν περὶ ἡμᾶς ἐνεδείξατο, καὶ τοσαύτην καὶ ἡμεῖς σπουδὴν ἐπιδειξώμεθα· μᾶλλον δὲ τοσαύτην μὲν οὐ δυνατόν, κἂν γοῦν ἐλάττονα. Ἂν γὰρ καὶ μετὰ τὴν χάριν
25 *ταύτην ὦμεν ἀναίσθητοι, μείζων ἡμῖν ἔσται ἡ κόλασις. «Εἰ μὴ ἦλθον», γάρ, φησί, «καὶ ἐλάλησα αὐτοῖς ἁμαρτίαν οὐκ εἶχον· νῦν δὲ πρόφασιν οὐκ ἔχουσιν». Ἀλλὰ μὴ γένοιτο ταῦτα περὶ ἡμῶν εἰπεῖν, ἀλλὰ γένοιτο πάντας ἡμᾶς ἀξιωθῆναι τῶν ἐπηγγελμένων ἀγαθῶν τοῖς ἠγαπηκόσιν αὐτὸν ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ*
30 *ἡμῶν, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.*

---

23. Ἰω. 15,22.

νουν γι' αὐτό, καὶ γιατροὺς παρακαλοῦν καὶ κάθονται κοντά τους διαρκῶς; Τουλάχιστον αὐτοὺς ἂς μιμούμαστε, ἂν καὶ βέβαια ἡ φροντίδα δὲν εἶναι γιὰ ἴδια πράγματα.

Τώρα ὅμως, ὅταν τὸ παιδὶ εἶναι ἄρρωστο στὸ σῶμα δὲ θὰ ἀρνηθεῖ κανεὶς νὰ τὸ στείλει σὲ μακρινὸ ταξίδι γιὰ νὰ θεραπεύσει τὴν ἀρρώστια του. Ὅταν ὅμως πάσχει ἡ ψυχή, κανεὶς δὲ φροντίζει καθόλου γι' αὐτήν, ἀλλὰ ὅλοι χάνουμε τὸ θάρρος, ὅλοι ἀδιαφοροῦμε, ὅλοι ὀλιγωροῦμε, ἂν καὶ βλέπουμε τὰ παιδιά, τὶς γυναῖκες καὶ μᾶς τοὺς ἴδιους νὰ κυριευόμαστε ἀπὸ τὴ φοβερὴ αὐτὴ ἀρρώστια. Ἀλλὰ ἀργότερα αἰσθανόμαστε τὸ πράγμα. Σκεφθεῖτε πόσο αἰσχρὸ καὶ πόσο πολὺ καταγέλαστο εἶναι νὰ λέμε ἀργότερα, 'δὲν περιμέναμε, δὲν ἐλπίζαμε νὰ συμβεῖ αὐτό'. Καὶ δὲν εἶναι μόνο αἰσχρὸ ἀλλὰ καὶ ἐπικίνδυνο. Γιατί, ἂν στὴν παρούσα ζωὴ εἶναι γνώρισμα τῶν ἀνόητων ἀνθρώπων τὸ νὰ μὴν προβλέπουν τὰ μελλοντικά, πολὺ περισσότερο θὰ συμβεῖ αὐτὸ στὴ μέλλουσα ζωή, τὴ στιγμὴ ποὺ ἀκοῦμε τώρα πολλοὺς νὰ μᾶς συμβουλεύουν καὶ νὰ λένε αὐτὰ ποὺ πρέπει καὶ αὐτὰ ποὺ δὲν πρέπει νὰ κάνουμε. Ἂς εἴμαστε λοιπὸν κυριευμένοι ἀπὸ τὴν ἐλπίδα αὐτή, ἂς φροντίζουμε γιὰ τὴ σωτηρία μας, ἂς παρακαλοῦμε γιὰ ὅλα τὸ Θεό, ὥστε νὰ μᾶς βοηθήσει. Μέχρι πότε θὰ εἴμαστε ράθυμοι; μέχρι πότε ἀδιάφοροι, μέχρι πότε θὰ περιφρονοῦμε τὸν ἑαυτό μας καὶ τοὺς συνανθρώπους μας; Αὐτὸς σκόρπισε πλούσια πάνω μας τὴ χάρη τοῦ ἁγίου Πνεύματος.

Ἂς κατανοήσουμε λοιπὸν πόση χάρη φανέρωσε γιὰ μᾶς καὶ ἂς δείξουμε καὶ ἐμεῖς τόσο ἐνδιαφέρον· ἢ καλύτερα τόσο δὲν εἶναι δυνατό, τουλάχιστο μικρότερο. Γιατί, ἂν καὶ μετὰ τὴ χάρη αὐτὴ παραμείνουμε ἀναίσθητοι, θὰ εἶναι μεγαλύτερη ἡ τιμωρία μας. «Ἂν δὲν εἶχα ἔρθει», λέγει, «καὶ ἂν δὲν τοὺς εἶχα μιλήσει, δὲ θὰ εἶχαν ἁμαρτία· τώρα ὅμως δὲν ἔχουν καμμιὰ δικαιολογία»[23]. Εἴθε ὅμως νὰ μὴ γίνει νὰ πεῖ αὐτὰ γιὰ μᾶς, ἀλλ' εὔχομαι ν' ἀξιωθοῦμε ἐμεῖς τὰ ἀγαθὰ ποὺ ἔχει ὑποσχεθεῖ γιὰ ἐκείνους ποὺ τὸν ἀγαποῦν μὲ τὴ βοήθεια τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μαζὶ μὲ τὸν ὁποῖο στὸν Πατέρα καὶ συγχρόνως στὸ ἅγιο Πνεῦμα ἀνήκει ἡ δόξα, ἡ δύναμη καὶ ἡ τιμή, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

Ο Μ Ι Λ Ι Α Ϛ'

(Τίτ. 3,8–15)

«Καὶ περὶ τούτων βούλομαί σε διαβεβαιοῦσθαι, ἵνα φροντίζωσι καλῶν ἔργων προΐστασθαι οἱ πεπιστευκότες τῷ Θεῷ. Ταῦτά ἐστι καλὰ καὶ ὠφέλιμα τοῖς ἀνθρώποις. Μωρὰς δὲ ζητήσεις καὶ γενεαλογίας καὶ ἔρεις καὶ μάχας
5 *νομικὰς περιίστασο· εἰσὶ γὰρ ἀνωφελεῖς καὶ μάταιοι. Αἱρετικὸν ἄνθρωπον μετὰ μίαν νουθεσίαν καὶ δευτέραν παραιτοῦ· εἰδὼς ὅτι ἐξέστραπται ὁ τοιοῦτος καὶ ἁμαρτάνει, ὢν αὐτοκατάκριτος»*

1. Εἰπὼν περὶ τῆς τοῦ Θεοῦ φιλανθρωπίας καὶ περὶ τῆς ἀφά-
10 του αὐτοῦ περὶ ἡμᾶς κηδεμονίας, καὶ τίνας ὄντας ἡμᾶς, τίνας εἰργάσατο, ἐπήγαγε καί φησι· «καὶ περὶ τούτων βούλομαί σε διαβεβαιοῦσθαι, ἵνα φροντίζωσι καλῶν ἔργων προΐστασθαι οἱ πεπιστευκότες τῷ Θεῷ»· τουτέστι, ταῦτα διαλέγεσθαι καὶ ἀπὸ τούτων προτρέπειν ἐπὶ ἐλεημοσύνην. Οὐ γὰρ μόνον πρὸς ταπεινο-
15 φροσύνην ἡμῖν τὰ εἰρημένα ἁρμόσει καὶ πρὸς τὸ μὴ ἐπαίρεσθαι καὶ ὀνειδίζειν ἑτέροις, ἀλλὰ καὶ πρὸς πᾶσαν τὴν ἄλλην ἀρετήν. Οὕτω γοῦν καὶ πρὸς Κορινθίους διαλεγόμενός φησι· «γινώσκετε ὅτι ὁ Κύριος ἐπτώχευσε πλούσιος ὤν, ἵνα ἡμεῖς τῇ ἐκείνου πτωχείᾳ πλουτήσωμεν». Ἐννοήσας τοῦ Θεοῦ τὴν κηδεμονίαν
20 καὶ τὴν ὑπερβάλλουσαν αὐτοῦ φιλανθρωπίαν, ἐπὶ τὴν ἐλεημοσύνην αὐτοὺς προτρέπει, οὐχ ἁπλῶς οὐδὲ παρέργως· ἀλλὰ τί; «Ἵνα φροντίζωσι», φησί, «καλῶν ἔργων προΐστασθαι»· τουτέστι, καὶ ἀδικουμένοις βοηθεῖν, μὴ χρήμασι μόνον, ἀλλὰ καὶ προστασίαις, καὶ χήραις ἐπαμύνειν καὶ ὀρφανοῖς, καὶ πάντας τοὺς
25 κακῶς πάσχοντας ἐν ἀσφαλείᾳ καθιστᾶν· τοῦτο γάρ ἐστι, «κα-

---

1. Β' Κορ. 8,9.

Ο Μ Ι Λ Ι Α Ϛ΄

(Τίτ. 3, 8–15)

«Καὶ αὐτὰ τὰ λόγια θέλω νὰ διαβεβαιώνεις, ὥστε ὅσοι ἔχουν πιστέψει στὸ Θεὸ νὰ φροντίζουν νὰ πρωτοστατοῦν σὲ καλὰ ἔργα. Αὐτὰ εἶναι τὰ καλὰ καὶ τὰ ὠφέλημα στοὺς ἀνθρώπους. Καὶ νὰ ἀποφεύγεις τὶς ἀνόητες ἀναζητήσεις καὶ τὶς γενεαλογίες καὶ τὶς φιλονεικίες καὶ τὶς διαμάχες γιὰ τὸ νόμο, γιατὶ εἶναι ἀνωφελεῖς καὶ μάταιες. Τὸν αἱρετικὸ ἄνθρωπο μετὰ τὴν πρώτη καὶ τὴ δεύτερη νουθεσία νὰ τὸν ἀφήνεις, γνωρίζοντας ὅτι αὐτὸς ἔχει διαστραφεῖ καὶ ἁμαρτάνει, καταδικάζοντας ἔτσι ὁ ἴδιος τὸν ἑαυτό του».

1. Ἀφοῦ μίλησε γιὰ τὴ φιλανθρωπία τοῦ Θεοῦ καὶ γιὰ τὴν ἀνέκφραστη πρόνοιά του γιὰ μᾶς, καὶ ἀφοῦ εἶπε ποιοί ἤμασταν ἐμεῖς καὶ ποιούς μᾶς ἔκανε, προσθέτει καὶ λέγει· «καὶ αὐτὰ τὰ λόγια θέλω νὰ διαβεβαιώνεις ἐσύ, ὥστε ὅσοι ἔχουν πιστέψει στὸ Θεὸ νὰ φροντίζουν νὰ πρωτοστατοῦν σὲ καλὰ ἔργα». Δηλαδή, αὐτὰ πρέπει νὰ λέγεις καὶ ἀπ᾽ αὐτὰ νὰ τοὺς προτρέπεις γιὰ ἐλεημοσύνη. Γιατὶ τὰ λόγια αὐτὰ δὲν εἶναι κατάλληλα μόνο γιὰ ἐλεημοσύνη καὶ νὰ μὴν ὑπερηφανευόμαστε καὶ νὰ μὴν κακολογοῦμε τοὺς ἄλλους, ἀλλὰ καὶ γιὰ κάθε ἄλλη ἀρετή. Ἔτσι λοιπὸν μιλώντας καὶ στοὺς Κορινθίους λέγει· «γνωρίζετε, ὅτι ὁ Κύριος ἦταν πλούσιος καὶ ἔγινε φτωχός, γιὰ νὰ πλουτίσουμε ἐμεῖς μὲ τὴ δική τρυ φτώχεια»[1]. Ἀφοῦ θυμήθηκε τὴν πρόνοια τοῦ Θεοῦ καὶ τὴν ὑπερβολικὴ φιλανθρωπία του, τοὺς προτρέπει νὰ κάνουν τὴν ἐλεημοσύνη, ὄχι ἔτσι ἁπλῶς καὶ σὰν πάρεργο, ἀλλὰ τί; «Γιὰ νὰ φροντίζουν», λέγει, «νὰ πρωτοστατοῦν σὲ καλὰ ἔργα». Δηλαδή, καὶ τοὺς ἀδικημένους νὰ βοηθοῦν ὄχι μόνο μὲ χρήματα, ἀλλὰ καὶ μὲ προστασία, καὶ τὶς χῆρες καὶ τὰ ὀρφανὰ νὰ βοηθοῦν, καὶ ὅλους ὅσους ὑποφέρουν νὰ προστατεύουν, γιατὶ αὐτὸ σημαίνει

λῶν ἔργων προΐστασθαι». «Ταῦτα γάρ ἐστι», φησί, «καλὰ καὶ ὠφέλιμα τοῖς ἀνθρώποις».

«Μωρὰς δὲ ζητήσεις καὶ γενεαλογίας καὶ ἔρεις καὶ μάχας νομικὰς περιίστασο· εἰσὶ γὰρ ἀνωφελεῖς καὶ μάταιοι». Τί ποτε
5 *βούλονται αἱ γενεαλογίαι; καὶ γὰρ καὶ ἐν τῇ πρὸς Τιμόθεον ἐπιστολῇ τίθησι τοῦτο λέγων· «μύθους καὶ γενεαλογίας ἀπεράντους». Τάχα καὶ ἐνταῦθα καὶ ἐκεῖ αἰνιττόμενος Ἰουδαίους, οἳ μέγα φρονοῦντες ἐπὶ τῷ πρόγονον ἔχειν τὸν Ἀβραάμ, τῶν καθ' ἑαυτοὺς ἠμέλουν. Διὰ τοῦτο καὶ «μωρὰς» αὐτὰς καλεῖ καὶ «ἀνω-*
10 *φελεῖς»· μωρίας γὰρ ἐπὶ ἀνωφελέσι πράγμασι τὸ θαρρεῖν.*

Ἔρεις δέ, φησί, τὰς πρὸς τοὺς αἱρετικούς, ἵνα μὴ κάμνωμεν εἰκῇ, ὅταν μηδὲν ᾖ κέρδος· τὸ γὰρ τέλος αὐτῶν οὐδέν. Ὅταν γὰρ ᾖ τις διεστραμμένος, καὶ μηδ', ἂν ὁτιοῦν γένηται, προῃρημένος μεταθέσθαι τὴν γνώμην, τίνος ἕνεκεν εἰκῇ κάμνεις κατὰ πε-
15 *τρῶν σπείρων, δέον πονεῖν τὸν καλὸν τοῦτον πόνον εἰς τοὺς σούς, τὰ περὶ ἐλεημοσύνης αὐτοῖς διαλεγόμενος καὶ τῆς ἄλλης ἀρετῆς; Πῶς οὖν ἑτέρωθί φησι, «μή ποτε δῷ αὐτοῖς ὁ Θεὸς μετάνοιαν», ἐνταῦθα δέ, «αἱρετικὸν ἄνθρωπον μετὰ μίαν νουθεσίαν καὶ δευτέραν παραιτοῦ, εἰδὼς ὅτι ἐξέστραπται ὁ τοιοῦτος*
20 *καὶ ἁμαρτάνει ὢν αὐτοκατάκριτος»; Ἐκεῖ μὲν περὶ τῆς τῶν ἐλπίδα ἐχόντων διορθώσεώς φησι, καὶ περὶ τῶν ἀντιδιατιθεμένων ἁπλῶς· ὅταν δὲ δῆλος ᾖ πᾶσι καὶ φανερός, τίνος ἕνεκεν πυκτεύεις εἰκῇ; τί τὸν ἀέρα δέρεις; Τί ἐστιν, «ὢν αὐτοκατάκριτος»; Οὐ γὰρ ἔχει εἰπεῖν, ὅτι οὐδεὶς εἶπεν, οὐδεὶς ἐνουθέτησεν. Ὅταν οὖν*
25 *μετὰ τὴν παραίνεσιν ὁ αὐτὸς ἐπιμένῃ, αὐτοκατάκριτος γίνεται.*

«Ὅταν πέμψω Ἀρτεμᾶν πρὸς σὲ ἢ Τυχικόν, σπούδασον ἐλθεῖν πρός με εἰς Νικόπολιν». Τί λέγεις; ἐπιστήσας αὐτὸν τῇ Κρήτῃ, πάλιν καλεῖς πρὸς σεαυτόν; Οὐκ ἀπάγων αὐτὸν τῆς σχολῆς ἐκείνης, ἀλλὰ πλέον ῥυθμίζων. Ὅτι γὰρ οὐχ ὥστε περιάγειν

---

2. Α' Τιμ. 1,4.
3. Β' Τιμ. 2,25.

τό, «νὰ πρωτοστατοῦν σὲ καλὰ ἔργα». «Αὐτά», λέγει, εἶναι «τὰ καλὰ καὶ τὰ ὠφέλιμα στοὺς ἀνθρώπους».

«Καὶ ν' ἀποφεύγεις τὶς ἀνόητες ἀναζητήσεις καὶ τὶς γενεαλογίες καὶ τὶς φιλονεικίες καὶ τὶς διαμάχες γιὰ τὸ νόμο, γιατὶ εἶναι ἀνωφελεῖς καὶ μάταιες». Τί δηλαδὴ θέλουν οἱ γενεαλογίες; Γιατὶ καὶ στὴν ἐπιστολή του πρὸς τὸν Τιμόθεο τὸ ἀναφέρει αὐτὸ λέγοντας· «μύθους καὶ ἀπέραντες γενεαλογίες»[2]. Ἴσως καὶ ἐδῶ καὶ ἐκεῖ νὰ ἐννοεῖ τοὺς Ἰουδαίους, ποὺ ὑπερηφανεύονταν γιὰ τὸ ὅτι εἶχαν πρόγονό τους τὸν Ἀβραὰμ καὶ ἀδιαφοροῦσαν γιὰ τὰ δικά τους. Γι' αὐτὸ τὶς ὀνομάζει καὶ «ἀνόητες» καὶ «ἀνωφελεῖς»· γιατὶ τὸ νὰ πιστεύει κανεὶς σὲ πράγματα ποὺ δὲν ὠφελοῦν εἶναι ἀπόδειξη ἀνοησίας.

Φιλονεικίες ἐννοεῖ αὐτὲς μὲ τοὺς αἱρετικούς, γιὰ νὰ μὴν κουραζόμαστε στὰ χαμένα, ὅταν δὲν ὑπάρχει κανένα κέρδος, ἀφοῦ τὸ τέλος τους εἶναι τὸ τίποτε. Γιατί, ὅταν κάποιος εἶναι διεστραμμένος καὶ προδιατεθειμένος, νὰ μὴν ἀλλάξει καθόλου τὴ γνώμη του, ὅ,τι καὶ ἂν γίνει, γιὰ ποιό λόγο κουράζεσαι ἄσκοπα σπέρνοντας ἐπάνω σὲ πέτρες, ἐνῶ ἔπρεπε νὰ διαθέτεις τὸν καλὸ αὐτὸν κόπο στοὺς δικούς σου, μιλώντας σ' αὐτοὺς γιὰ τὴν ἐλεημοσύνη καὶ τὶς ἄλλες ἀρετές; Πῶς λοιπὸν λέγει ἀλλοῦ, «μήπως τοὺς δώσει κάποτε ὁ Θεὸς μετάνοια»[3], καὶ ἐδῶ, «τὸν αἱρετικὸ ἄνθρωπο μετὰ τὴν πρώτη καὶ τὴ δεύτερη νουθεσία ἄφηνέ τον, γνωρίζοντας ὅτι ἔχει διαστραφεῖ αὐτὸς καὶ ἁμαρτάνει, καταδικάζοντας ἔτσι ὁ ἴδιος τὸν ἑαυτό του»; Ἐκεῖ μιλάει γι' αὐτοὺς ποὺ ἔχουν κάποια ἐλπίδα γιὰ διόρθωση καὶ γι' αὐτοὺς ποὺ ἁπλῶς ἔχουν ἀντίθετη γνώμη. Ὅταν ὅμως εἶναι φανερὸς καὶ γνωστὸς σὲ ὅλους, γιὰ ποιό λόγο ἀγωνίζεσαι ἄδικα; γιατί χτυπᾶς τὸν ἀέρα; Τί σημαίνει, «καταδικάζοντας ὁ ἴδιος τὸν ἑαυτό του»; Δὲν μπορεῖ δηλαδὴ νὰ πεῖ, 'κανεὶς δὲ μοῦ μίλησε, κανεὶς δὲ μὲ συμβούλευσε'. Ὅταν λοιπὸν μετὰ τὴ συμβουλὴ ὁ ἴδιος ἐπιμένει, τότε καταδικάζει ὁ ἴδιος τὸν ἑαυτό του.

«Ὅταν σοῦ στείλω τὸν Ἀρτεμᾶ ἢ τὸν Τυχικό, φρόντισε νὰ μὲ συναντήσεις στὴ Νικόπολη». Τί λέγεις; Τὸν ἐγκατέστησες στὴν Κρήτη καὶ τὸν καλεῖς πάλι κοντά σου; Ὄχι γιὰ νὰ τὸν απομακρύνει ἀπὸ τὸ ἔργο ἐκεῖνο, ἀλλὰ γιὰ νὰ τὸν συμβουλέψει πε-

αὐτὸν καὶ πανταχοῦ ἔχειν ἀκολουθοῦντα καλεῖ πρὸς ἑαυτόν, ἄκουσον τί φησιν· «ὅτι ἐκεῖ κέκρικα παραχειμάσαι». Ἡ δὲ Νικόπολις τῆς Θρᾴκης ἐστί. «Ζηνᾶν τὸν νομικὸν καὶ Ἀπολλὼ σπουδαίως πρόπεμψον, ἵνα μηδὲν αὐτοῖς λείπῃ»· αὐτοὶ δὲ οὐδέπω
5 *τῶν ἐγχειρισθέντων ἦσαν, ἀλλὰ τῶν συνόντων αὐτῷ· σφοδρότερος δὲ ἦν ὁ Ἀπολλώς, δυνατὸς ὢν ἐν ταῖς Γραφαῖς, καὶ ἀνὴρ λόγιος. Εἰ τοίνυν νομικὸς ἦν ἐκεῖνος, οὐκ ἔδει παρ' ἑτέρων αὐτόν, φησί, τρέφεσθαι. Ἀλλὰ νομικὸν ἐνταῦθά φησι τὸν τῶν ἰουδαϊκῶν νόμων ἔμπειρον· ὡσεὶ ἔλεγεν, ἐν πάσῃ ἀφθονίᾳ αὐτοὺς κα-*
10 *τάστησον, ἵνα μηδὲν αὐτοῖς λείπῃ. «Μανθανέτωσαν δὲ καὶ οἱ ἡμέτεροι καλῶν ἔργων προΐστασθαι εἰς τὰς ἀναγκαίας χρείας, ἵνα μὴ ὦσιν ἄκαρποι. Ἀσπάζονταί σε οἱ μετ' ἐμοῦ πάντες· ἄσπασαι τοὺς φιλοῦντας ἡμᾶς ἐν πίστει». Ἤτοι τοὺς αὐτὸν φιλοῦντάς φησιν, ἢ τοὺς πιστοὺς ἄνδρας. «Ἡ χάρις μετὰ πάν-*
15 *των ὑμῶν. Ἀμήν».*

2. Πῶς οὖν αὐτῷ κελεύεις τοὺς ἀντιλέγοντας ἐπιστομίζειν, εἰ περιιστάναι τούτους δεῖ, ὅταν ἐπὶ λύμῃ πάντα ποιῶσιν ἑαυτῶν; Φησὶ δὲ προηγουμένως ἐπὶ τῷ ἐκείνων κέρδει μηδέποτε τοῦτο ποιεῖν· οὐδὲ γὰρ ἂν κερδάνειάν ποτε, ἅπαξ διεστραμμένοι τὴν
20 *γνώμην. Εἰ μὲν γὰρ ἑτέροις λυμαίνοιντο, διεστάναι χρὴ καὶ μάχεσθαι καὶ μετὰ πολλῆς τῆς ἀνδρείας περιίστασθαι· εἰ δὲ εἰς ἀνάγκην κατασταίης, ὁρῶν ἑτέρους διαφθειρομένους, μὴ σίγα, ἀλλ' ἐπιστόμιζε, τῶν μελλόντων ἀπόλλυσθαι κηδόμενος. Ὅλως δὲ οὐκ ἔστι τὸν σπουδὴν ἔχοντα καὶ βίον ὀρθόν, μάχης ἀ-*
25 *νέχεσθαι. Πλήν, ὡς εἶπον, οὕτω ποίει· ἀπὸ γὰρ ἀργίας καὶ τῆς περιττῆς φιλοσοφίας τὸ πρᾶγμα γίνεται, τὸ περὶ τὰ ῥήματα ἠσχολῆσθαι μόνον. Καὶ γὰρ περιττὰ φθέγγεσθαι πολλὴ ζημία, δέον ἢ διδάσκειν ἢ εὔχεσθαι ἢ εὐχαριστεῖν. Οὐδὲ γὰρ χρημάτων μὲν*

---

4. Νικόπολη· ἡ πόλι βρίσκεται στὴν Ἤπειρο καὶ ὄχι στὴ Θράκη.
5. Βλ. Πράξ. 18,24.
6. Τίτ. 1,11.

ρισσότερο. Ὅτι δὲν τὸν καλεῖ κοντά του γιὰ νὰ τὸν ἔχει παντοῦ ὅπου πηγαίνει ἀκόλουθό του, ἄκουσε τί λέγει· «γιατὶ ἐκεῖ ἀποφάσισα νὰ περάσω τὸ χειμώνα». Ἡ Νικόπολη ὅμως βρίσκεται στὴ Θράκη[4]. «Τὸν Ζηνᾶ τὸν νομικὸ καὶ τὸν Ἀπολλὼ νὰ τοὺς κατευοδώσεις μὲ κάθε φροντίδα, γιὰ νὰ μὴν τοὺς λείψει τίποτε στὸ ταξίδι τους». Αὐτοὶ δὲν εἶχαν ἀναλάβει ἀκόμη ἐκκλησίες, ἀλλ' ἦταν ἀπὸ τοὺς συντρόφους τοῦ Παύλου· περισσότερο δραστήριος ἦταν ὁ Ἀπολλώς, ἀφοῦ ἦταν δυνατὸς στὶς Γραφὲς καὶ καλὸς ρήτορας[5]. Ἂν λοιπὸν ἐκεῖνος ἦταν νομικός, δὲν ἔπρεπε, λέγει, νὰ τρέφεται ἀπὸ ἄλλους. Νομικὸ ὅμως ἐδῶ ἐννοεῖ τὸ γνώστη τῶν ἰουδαϊκῶν νόμων. Εἶναι σὰν νὰ ἔλεγε· νὰ τοὺς ἐφοδιάσεις πλουσιοπάροχα, ὥστε νὰ μὴν τοὺς λείψει τίποτε. «Ἂς μαθαίνουν καὶ οἱ δικοί μας νὰ πρωτοστατοῦν σὲ καλὰ ἔργα στὶς ἐπείγουσες ἀνάγκες, γιὰ νὰ μὴν εἶναι ἄκαρποι. Σὲ χαιρετοῦν ὅλοι ὅσοι εἶναι μαζί μου. Χαιρέτησε τοὺς πιστοὺς ποὺ μᾶς ἀγαποῦν». Ἐννοεῖ αὐτοὺς ποὺ τὸν ἀγαποῦν ἢ τοὺς πιστούς. «Ἡ χάρη νὰ εἶναι μαζὶ μὲ ὅλους σας. Ἀμήν».

2. Πῶς λοιπὸν τὸν προστάζεις νὰ κλείνει τὸ στόμα ἐκείνων ποὺ ἀντιλέγουν[6], ἂν πρέπει νὰ τοὺς ἀποφεύγει αὐτούς, ὅταν τὰ κάνουν ὅλα γιὰ τὴν καταστροφή τους; Λέγει ὅμως προηγουμένως, ὅτι δὲν πρέπει νὰ τὸ κάνει αὐτὸ ἀποβλέποντας σὲ δικό τους κέρδος· γιατὶ δὲ θὰ κέρδιζαν ποτέ, ἀφοῦ εἶναι μιὰ γιὰ πάντα διεστραμμένοι στὴ γνώμη. Ἂν ὅμως καταστρέφουν ἄλλους, πρέπει νὰ διαφωνεῖς καὶ νὰ τοὺς πολεμεῖς καὶ ν' ἀντιστέκεσαι πρὸς αὐτοὺς μὲ πολλὴ δύναμη· καὶ ἂν βρεθεῖς σὲ ἀνάγκη, βλέποντας ἄλλους νὰ διαφθείρονται, νὰ μὴ σιωπᾶς, ἀλλὰ νὰ τοὺς ἀποστομώνεις, φροντίζοντας ἔτσι γιὰ ἐκείνους ποὺ πρόκειται νὰ καταστραφοῦν. Καὶ γενικὰ δὲν εἶναι δυνατὸ ν' ἀνέχεται τὶς διαμάχες ἐκεῖνος ποὺ δείχνει πολλὴ φροντίδα καὶ ἔχει σωστὸ τρόπο ζωῆς. Ἀλλά, ὅπως εἶπα, ἔτσι νὰ κάνεις· γιατὶ ἀπὸ τὴν ἀργία καὶ τὴν περιττὴ φιλοσοφία φθάνει κανεὶς ν' ἀσχολεῖται μόνο μὲ τὰ ὀνόματα. Γιατὶ πραγματικὰ τὰ περιττὰ λόγια εἶναι μεγάλη ζημία, ἐνῶ πρέπει ἢ νὰ διδάσκουμε ἢ νὰ προσευχόμαστε ἢ νὰ εὐχαριστοῦμε. Οὔτε πρέπει ν' ἀποφεύγουμε βέβαια τὰ χρήματα, ὄχι ὅμως

φείδεσθαι ὀφείλομεν, ρημάτων δὲ οὔ· ἀλλὰ μάλιστα τούτων ἢ ἐκείνων, καὶ μὴ ἁπλῶς πᾶσιν ἑαυτοὺς ἐκδιδόναι.

Τί ἐστιν, «ἵνα φροντίζωσι καλῶν ἔργων προΐστασθαι»; Ἵνα μὴ περιμένωσι τοὺς δεομένους ἐλθεῖν πρὸς αὐτούς, ἀλλὰ
5 *καὶ αὐτοὶ περιεργάζωνται τοὺς δεομένους τῆς αὐτῶν βοηθείας· ὁ γὰρ φροντίζων, οὕτω φροντίζει· οὕτω γὰρ μάλιστα καὶ μετὰ πολλῆς τῆς σπουδῆς τοῦτο ἐργάσεται. Καὶ γὰρ ἐν οἷς εὖ ποιοῦσι πρόσοδον καὶ κέρδος φέρει τὸ γινόμενον· παρρησίαν γὰρ δίδωσιν αὐτοῖς πρὸς τὸν Θεόν. Ἐκεῖ δὲ τῆς μάχης τέλος οὐδέν. Τὸν*
10 *ἀδιόρθωτον οὖν λέγει αἱρετικόν. Ὥσπερ γὰρ τὸ τοὺς ἐλπίδας ἔχοντας μεταβολῆς παρορᾶν, νωθείας, οὕτω τὸ τοὺς ἀνίατα νοσοῦντας θεραπεύειν, ἀνοίας καὶ τῆς ἐσχάτης παραπληξίας· θρασυτέρους γὰρ ἐργαζόμεθα ἐκείνους. «Μανθανέτωσαν δέ», φησί, «καὶ οἱ ἡμέτεροι καλῶν ἔργων προΐστασθαι εἰς τὰς ἀναγκαίας*
15 *χρείας, ἵνα μὴ ὦσιν ἄκαρποι».*

Ὁρᾷς ὅτι αὐτῶν φροντίζει μᾶλλον ἢ τῶν λαμβανόντων; Ἐνῆν γὰρ ἴσως πολλαχόθεν τούτους προπέμψαι, ἀλλὰ τῶν ἡμετέρων, φησί, φροντίζω. Τί γὰρ ὄφελος, εἰπέ μοι; Εἰ γὰρ θησαυροὺς ἀνορύττοντες ἔτρεφον τοὺς διδασκάλους ἕτεροι, τούτοις οὐ-
20 *δὲν οὐδέπω κέρδος ἦν· ἄκαρποι γὰρ ἔμενον. Τί οὖν, εἰπέ μοι; οὐκ ἠδύνατο ὁ Χριστὸς ὁ ἀπὸ πέντε ἄρτων πεντακισχιλίους, καὶ ἀπὸ ἑπτὰ τετρακισχιλίους θρέψας, θρέψαι ἑαυτὸν καὶ τοὺς συνόντας αὐτῷ; τίνος οὖν ἕνεκεν ὑπὸ γυναικῶν ἐτρέφετο («ἠκολούθουν γὰρ αὐτῷ», φησί, «γυναῖκες, αἵτινες διηκόνουν αὐτῷ»);*
25 *Διδάσκων ἡμᾶς ἄνωθεν, ὅτι τῶν εὖ ποιούντων φροντίζει.*

Οὐκ ἠδύνατο ὁ Παῦλος ὁ καὶ ἑτέροις ἐπαρκῶν διὰ τῶν ἑαυτοῦ χειρῶν, μηδαμόθεν λαμβάνειν; Ἀλλ' ὁρᾷς αὐτὸν καὶ λαμβάνοντα καὶ αἰτοῦντα· καὶ ἄκουσον, διὰ τί· «ζητῶ» γάρ, φησίν, «οὐ τὸ δόμα, ἀλλὰ τὸν καρπὸν τὸν πλεονάζοντα εἰς λόγον
30 *ὑμῶν». Καὶ παρὰ τὴν ἀρχὴν δέ, ὅτε τὰ αὐτῶν ἅπαντα πιπρά-*

---

7. Μάρκ. 15,41. 8. Φιλιπ. 4,17.

καὶ τὰ λόγια, ἀλλὰ περισσότερο τὰ λόγια ἀπὸ τὰ χρήματα, καὶ νὰ μὴν παραδίδουμε χωρὶς λόγο τὸν ἑαυτό μας σὲ ὅλους.

Τί σημαίνει, «γιὰ νὰ φροντίζουν νὰ πρωτοστατοῦν σὲ καλὰ ἔργα»; Νὰ μὴν περιμένουν ὅσους ἔχουν ἀνάγκη νὰ ἔρθουν σ' αὐτούς, ἀλλὰ καὶ οἱ ἴδιοι νὰ ἐνδιαφέρονται γιὰ ἐκείνους ποὺ χρειάζονται τὴ βοήθειά τους. Γιατὶ αὐτὸς ποὺ φροντίζει, ἔτσι φροντίζει· καὶ ἔτσι μάλιστα θὰ κάμει αὐτὸ τὸ πράγμα μὲ πολὺ ἐνδιαφέρον. Γιατὶ πραγματικὰ μὲ ὅσα εὐεργετεῖ δὲν ὠφελεῖ καὶ δὲν παρέχει κέρδος σ' ἐκείνους ποὺ εὐεργετοῦνται τόσο, ὅσο σ' αὐτοὺς ποὺ εὐεργετοῦν· γιατὶ τοὺς δίνει παρρησία ἐνώπιον τοῦ Θεοῦ. Ἐκεῖ ὅμως δὲν ὑπάρχει κανένα τέλος τῆς μάχης. Τὸν ἀδιόρθωτο λοιπὸν ὀνομάζει αἱρετικό. Ὅπως δηλαδὴ τὸ νὰ παραβλέπουμε ὅσους ἔχουν ἐλπίδα γιὰ κάποια μεταβολὴ εἶναι ἀπόδειξη ὀκνηρίας, ἔτσι τὸ νὰ θεραπεύουμε ὅσους πάσχουν ἀπὸ ἀνίατες ἀσθένειες εἶναι ἀπόδειξη ἀνοησίας καὶ τῆς χειρότερης παραφροσύνης. Γιατὶ ἔτσι τοὺς κάνουμε θρασύτερους. «Καὶ ἂς μαθαίνουν», λέγει, «καὶ οἱ δικοί μας νὰ πρωτοστατοῦν σὲ καλὰ ἔργα στὶς ἀναγκεῖες περιπτώσεις, γιὰ νὰ μὴν εἶναι ἄκαρποι».

Βλέπεις ὅτι φροντίζει περισσότερο γι' αὐτοὺς παρὰ γιὰ ἐκείνους ποὺ παίρνουν; Γιατὶ μποροῦσε ἴσως νὰ τοὺς στείλει ἀπὸ πολλοὺς ἄλλους· ἀλλὰ γιὰ νὰ τοὺς δικούς μας, λέγει, φροντίζω. Ποιό λοιπόν, πές μου, εἶναι τὸ ὄφελος; Ἂν δηλαδὴ ἄλλοι βγάζοντας θησαυροὺς ἔτρεφαν τοὺς διδασκάλους, αὐτοὶ δὲν εἶχαν κανένα κέρδος, γιατὶ ἔμεναν ἄκαρποι. Τί λοιπόν, πές μου, δὲν μποροῦσε ὁ Χριστός, ποὺ ἔθρεψε ἀπὸ πέντε ἄρτους πέντε χιλιάδες ἀνθρώπους καὶ ἀπὸ ἑπτὰ τέσσερις χιλιάδες, νὰ θρέψει τὸν ἑαυτό του καὶ ὅσους ἦταν μαζί του; Γιὰ ποιό λόγο λοιπὸν τρεφόταν ἀπὸ γυναῖκες; (γιατὶ λέγει, «τὸν ἀκολουθοῦσαν γυναῖκες, ποὺ τὸν ὑπηρετοῦσαν»[7]). Γιὰ νὰ μᾶς διδάξει ἀπὸ τὴν ἀρχὴ ὅτι φροντίζει γι' αὐτοὺς ποὺ εὐεργετοῦν.

Δὲν μποροῦσε ὁ Παῦλος, ποὺ μὲ τὰ δικά του χέρια ἱκανοποιοῦσε πλήρως καὶ τὶς ἀνάγκες ἄλλων, νὰ μὴ παίρνει ἀπὸ πουθενά; Τὸν βλέπεις ὅμως καὶ νὰ παίρνει καὶ νὰ ζητάει. Καὶ ἄκουσε τὸ γιατί· «δὲν ἐπιζητῶ», λέγει, «τὰ δῶρα, ἀλλὰ τοὺς καρποὺς ποὺ πληθαίνουν γιὰ λογαριασμό σας»[8]. Και στὴν ἀρχὴ τοῦ

σκοντες ἐτίθεσαν παρὰ τοὺς πόδας τῶν ἀποστόλων, ὁρᾷς τοὺς ἀποστόλους αὐτῶν φροντίζοντας μᾶλλον, ἢ τῶν λαμβανόντων. Εἰ γὰρ ὁπωσδήποτε μόνον τῶν πενήτων ἐφρόντιζον, οὐδένα ἂν λόγον ὑπὲρ τῆς Σαπφείρας καὶ τοῦ Ἀνανία ἐποιήσαντο, ἡνίκα 5 ἐνοσφίσαντο τὰ χρήματα, οὐκ ἂν διετάξατο Παῦλος λέγων· «μὴ ἐκ λύπης, ἢ ἐξ ἀνάγκης». Τί λέγεις, Παῦλε; ἐμποδίζεις τοῖς πένησιν; Οὔ, φησίν· οὐ γὰρ τὸ ἐκείνων ὁρῶ, ἀλλὰ τὸ τῶν διδόντων.

Ὅρα δὲ καὶ τὸν προφήτην, ἡνίκα τῷ Ναβουχοδονόσορ 10 συνεβούλευε τὴν ἀρίστην ἐκείνην γνώμην, οὐχὶ τῶν πενήτων μόνον φροντίζοντα· οὐ γὰρ εἶπε, 'δὸς τοῖς πένησιν' ἁπλῶς, ἀλλὰ τί; «Τὰς ἁμαρτίας σου ἐν ἐλεημοσύναις λύτρωσαι καὶ τὰς ἀδικίας σου ἐν οἰκτιρμοῖς πενήτων». Κένωσον τὰ χρήματα, φησίν, οὐχ ἵνα ἕτεροι τραφῶσι μόνον, ἀλλ' ἵνα ἀπαλλαγῇς αὐτὸς τῆς τι- 15 μωρίας. Καὶ πάλιν ὁ Χριστός· «πώλησόν σου τὰ ὑπάρχοντα, καὶ δὸς πτωχοῖς, καὶ δεῦρο ἀκολούθει μοι». Ὁρᾷς ὅτι κἀκεῖ διὰ τὴν ἀκολούθησιν τοῦτο ἐπετάγη; Ἐπειδὴ γὰρ ἐμπόδιόν ἐστι τὰ χρήματα, διὰ τοῦτο διδόναι πένησιν ἐπέταξε, παιδεύων τὴν ψυχὴν ἐλεήμονα εἶναι καὶ οἰκτίρμονα, παιδεύων χρημάτων κατα- 20 φρονεῖν, παιδεύων πλεονεξίας ἀφίστασθαι. Ὁ γὰρ παιδευόμενος τῷ μὴ ἔχοντι δοῦναι παιδευθήσεται τῷ χρόνῳ καὶ μὴ λαμβάνειν ἀπὸ τῶν ἐχόντων. Τοῦτο ὁμοίους ποιεῖ τῷ Θεῷ.

Καίτοι γε ἡ παρθενία χαλεπώτερον αὐτῆς πόνον ἔχει, καὶ ἡ νηστεία καὶ τὸ χαμευνεῖν· ἀλλ' οὐδὲν οὕτως ἰσχυρὸν καὶ δυνατὸν 25 πρὸς τὸ σβέσαι τῶν ἁμαρτημάτων ἡμῶν τὴν πυράν, ὡς ἡ ἐλεημοσύνη· πάντων αὕτη μείζων ἐστί, παρ' αὐτὸν ἵστησι τὸν βασιλέα τοὺς αὐτῆς ἐραστάς· καὶ μάλα εἰκότως. Παρθενία μὲν γὰρ καὶ νηστεία καὶ χαμευνία περὶ τὸν ποιοῦντα ἵσταται μόνον, ἕτερον δὲ ἔσωσεν οὐδένα· ἡ δὲ ἐλεημοσύνη εἰς πάντας ἐκτείνεται, 30 καὶ τὰ μέλη περιπλέκεται τοῦ Χριστοῦ· πολὺ δὲ τῶν εἰς τὸν ἕνα

---

9. Βλ. Πράξ. 5,1–11. 10. Β' Κορ. 9,7.
11. Δαν. 4,24. 12. Ματθ. 19,21.

κηρύγματος ὅταν οἱ πιστοὶ πωλοῦσαν ὅλα τὰ ὑπάρχοντά τους καὶ κατέθεταν τὰ χρήματα στὰ πόδια τῶν ἀποστόλων, βλέπεις τοὺς ἀποστόλους νὰ φροντίζουν περισσότερο γι' αὐτούς, παρὰ γιὰ ἐκείνους ποὺ ἔπαιρναν. Γιατί, ἂν φρόντιζαν ἀποκλειστικὰ μόνο γιὰ τοὺς φτωχούς, δὲν θὰ ἔκαναν κανένα λόγο γιὰ τὴ Σαπφείρα καὶ τὸν Ἀνανία, ὅταν κράτησαν ἕνα μέρος ἀπὸ τὰ χρήματα γιὰ τὸν ἑαυτό τους[9], οὔτε θὰ διέτασσε ὁ Παῦλος λέγοντας· «ὄχι μὲ στενοχώρια ἢ ἀναγκαστικά»[10]. Τί λέγεις, Παῦλε; Φέρνεις ἐμπόδια στοὺς φτωχούς; Ὄχι, λέγει· γιατὶ δὲ βλέπω τὸ δικό τους συμφέρον, ἀλλὰ τὸ συμφέρον ἐκείνων ποὺ δίνουν.

Πρόσεχε ὅμως καὶ τὸν προφήτη ποὺ ὅταν ἔδινε στὸν Ναβουχοδονόσορ τὴν ἄριστη ἐκείνη συμβουλή, δὲ φρόντιζε μόνο γιὰ τοὺς φτωχούς. Γιατὶ δὲν εἶπε, 'δῶσε στοὺς φτωχοὺς μόνο', ἀλλὰ τί; «Ἐξάλειψε τὶς ἁμαρτίες σου μὲ ἐλεημοσύνες καὶ τὶς ἀδικίες σου μὲ φιλανθρωπία πρὸς τοὺς φτωχούς»[11]. Δῶσε ὅλα τὰ χρήματα, λέγει, ὄχι μόνο γιὰ νὰ τραφοῦν ἄλλοι, ἀλλὰ γιὰ ν' ἀπαλλαγεῖς καὶ ὁ ἴδιος ἀπὸ τὴν τιμωρία. Καὶ πάλι ὁ Χριστὸς λέγει· «πούλησε τὰ ὑπάρχοντά σου καὶ δῶσε τὰ χρήματα στοὺς φτωχοὺς καὶ ἔλα νὰ μὲ ἀκολουθήσεις»[12]. Βλέπεις ὅτι καὶ ἐκεῖ τὸ διέταξε αὐτὸ γιὰ ἐκείνους ποὺ θὰ τὸν ἀκολουθοῦσαν; Ἐπειδὴ λοιπὸν τὰ χρήματα εἶναι ἐμπόδιο, γι' αὐτὸ πρόσταξε νὰ τὰ δίνουμε στοὺς φτωχούς, διδάσκοντας ἔτσι τὴν ψυχὴ νὰ εἶναι φιλεύσπλαχνη καὶ συμπονετική, νὰ περιφρονεῖ τὰ χρήματα, νὰ ἀποφεύγει τὴν πλεονεξία. Γιατί, ὅποιος μαθαίνει νὰ δίνει σ' ὅποιον δὲν ἔχει, θὰ συνηθίσει μὲ τὸ πέρασμα τοῦ χρόνου καὶ νὰ μὴ παίρνει ἀπὸ ἐκείνους ποὺ ἔχουν. Αὐτὸ μᾶς κάνει ὅμοιους μὲ τὸ Θεό.

Παρ' ὅλο ποὺ ἡ παρθενία, ἡ νηστεία καὶ τὸ νὰ κοιμᾶται κανεὶς στὸ χῶμα ἔχουν πιὸ δύσκολο κόπο ἀπ' αὐτή, ὅμως τίποτε δὲν εἶναι τόσο ἰσχυρὸ καὶ δυνατὸ στὸ νὰ σβήνει τὴ φωτιὰ τῶν ἁμαρτημάτων μας, ὅσο ἡ ἐλεημοσύνη. Αὐτὴ εἶναι ἀνώτερη ἀπ' ὅλα, στήνει τοὺς ἐραστές της κοντὰ στὸν ἴδιο τὸ βασιλιά. Καὶ πολὺ σωστά. Γιατὶ ἡ παρθενία, ἡ νηστεία καὶ τὸ νὰ κοιμᾶται κανεὶς στὸ χῶμα σταματάει μόνο γύρω ἀπ' αὐτὸν ποὺ τὴν ἀσκεῖ καὶ δὲν ἔσωσε κανέναν ἄλλο· ἡ ἐλεημοσύνη ὅμως ἁπλώνεται σὲ ὅλους καὶ ἀγκαλιάζει τὰ μέλη τοῦ Χριστοῦ. Ἄλλωστε τὰ κατορ-

περιισταμένων τὰ πρὸς πολλοὺς ἐκτεινόμενα κατορθώματα μείζονα.

3. Αὕτη γὰρ μήτηρ ἀγάπης ἐστίν, ἀγάπης τῆς τὸν Χριστιανισμὸν χαρακτηριζούσης, τῆς τῶν σημείων ἁπάντων μείζονος, δι' 5 ἧς οἱ μαθηταὶ φαίνονται τοῦ Χριστοῦ· αὕτη φάρμακόν ἐστι τῶν ἡμετέρων ἁμαρτημάτων, σμῆγμα τοῦ ῥύπου τῆς ἡμετέρας ψυχῆς, κλῖμαξ εἰς τὸν οὐρανὸν ἐστηριγμένη· αὕτη τοῦ Χριστοῦ τὸ σῶμα συνδεῖ. Βούλεσθε μαθεῖν ὅσον ἀγαθὸν αὕτη ἐστίν; Ἐπὶ τῶν ἀποστόλων πάντες τὰ ἑαυτῶν πωλοῦντες ἔφερον πρὸς αὐ-10 τούς, ἃ καὶ διεδίδοτο· «διεδίδοσαν» γάρ, φησίν, «ἑκάστῳ, καθότι ἄν τις χρείαν εἶχεν». Εἰπὲ γάρ μοι, καὶ χωρὶς τῶν μελλόντων (μήπω γὰρ περὶ τῆς βασιλείας νῦν κινήσωμεν, ἀλλ' ἐν τῷ παρόντι ἴδωμεν), τίνες κερδαίνουσιν, οἱ λαμβάνοντες ἢ οἱ δόντες; Ἐκεῖνοι μὲν γὰρ ἐγόγγυζον καὶ διεπληκτίζοντο πρὸς ἀλλήλους, 15 οὗτοι δὲ εἶχον ψυχὴν μίαν· «ἦν γάρ», φησίν, «ἁπάντων ἡ καρδία καὶ ἡ ψυχὴ μία», καὶ χάρις ἦν ἐπὶ πάντας αὐτούς, καὶ μετὰ πολλῆς ὠφελείας διῆγον.

Ὁρᾷς ὅτι καὶ ἐντεῦθεν ἐκεῖνοι ἐκέρδαινον; Εἰπὲ δή μοι, τίνων ἂν ἠθέλησας εἶναι, τῶν τὰ αὐτῶν ῥιπτούντων καὶ οὐδὲν 20 ἐχόντων, ἢ τῶν καὶ τὰ ἑτέρων λαμβανόντων; Ὅρα τὸν καρπὸν τῆς ἐλεημοσύνης· τὰ διαφράγματα καὶ τὰ κωλύματα ἀνῃρέθη, καὶ εὐθέως συνήφθησαν αὐτῶν αἱ ψυχαί· «πάντων ἦν ἡ καρδία καὶ ἡ ψυχὴ μία». Ὥστε καὶ χωρὶς τῆς ἐλεημοσύνης τὸ τὰ χρήματα κενοῦν πολὺ ἔχει τὸ κέρδος. Ταῦτα δέ μοι εἴρηται, ἵνα 25 οἱ κλῆρον παρὰ προγόνων μὴ διαδεξάμενοι, μὴ ἀλγῶσι μηδὲ κατηφιῶσιν, ὡς ἔλαττον τῶν πλουτούντων ἔχοντες· μείζονα γὰρ ἔχουσιν, ἂν ἐθέλωσι. Καὶ γὰρ καὶ πρὸς ἐλεημοσύνην μετὰ πλείονος ἥξουσι τῆς εὐκολίας, καθάπερ ἡ χήρα, καὶ τῆς πρὸς τὸν πλησίον ἔχθρας οὐδεμίαν ἕξουσι ἀφορμήν, καὶ πάντων ἔσονται 30 ἐλευθερώτεροι· οὐδεὶς ἀπειλῆσαι δυνήσεται τῷ τοιούτῳ δήμευσιν, ἀλλ' ἔστιν ἀνώτερος τοῦ παθεῖν κακῶς.

---

13. Πράξ. 4,35. 14. Πράξ. 4,32.

θώματα ἐκεῖνα ποὺ ἁπλώνονται σὲ πολλοὺς εἶναι πολὺ μεγαλύτερα ἀπ' αὐτὰ ποὺ σταματοῦν γύρω ἀπὸ ἕναν.

3. Ἡ ἐλεημοσύνη εἶναι ἡ μητέρα τῆς ἀγάπης, τῆς ἀγάπης ποὺ χαρακτηρίζει τὸ Χριστιανισμό, ποὺ εἶναι μεγαλύτερη ἀπ' ὅλα τὰ θαύματα, μὲ τὴν ὁποία φαίνονται οἱ μαθητὲς τοῦ Χριστοῦ. Αὐτὴ εἶναι φάρμακο γιὰ τὰ δικά μας ἁμαρτήματα, σαπούνι γιὰ τὴν ἀκαθαρσία τῆς ψυχῆς μας, σκάλα στηριγμένη στὸν οὐρανό· αὐτὴ συνδέει τὸ σῶμα τοῦ Χριστοῦ. Θέλετε νὰ μάθετε πόσο μεγάλο ἀγαθὸ εἶναι αὐτή; Στὴν ἐποχὴ τῶν ἀποστόλων ὅλοι πουλοῦσαν τὰ ὑπάρχοντά τους καὶ ἔφερναν σ' αὐτοὺς τὰ χρήματα, τὰ ὁποῖα καὶ μοιράζονταν. «Τὰ μοίραζαν», λέγει, «στὸν καθένα ἀνάλογα μὲ τὶς ἀνάγκες ποὺ εἶχε»[13]. Πές μου λοιπόν, καὶ χωρὶς νὰ ἀναφέρω τὰ μελλοντικὰ (ἂς μὴν κάνουμε λόγο τώρα γιὰ τὴ βασιλεία τῶν οὐρανῶν, ἀλλὰ ἂς δοῦμε μόνο στὸ παρόν), ποιοί κερδίζουν, ὅσοι παίρνουν ἢ ὅσοι δίνουν; Γιατὶ ἐκεῖνοι παραπονοῦνταν καὶ διαπληκτίζονταν μεταξύ τους, ἐνῶ αὐτοὶ εἶχαν μία ψυχή. «Ὅλοι», λέγει, «εἶχαν μία καρδιὰ καὶ μία ψυχή»[14], καὶ ἡ χάρη τοῦ Θεοῦ ἦταν ἐπάνω σὲ ὅλους αὐτοὺς καὶ ζοῦσαν μὲ πολὺ ὄφελος.

Βλέπεις ὅτι καὶ ἀπὸ ἐδῶ κέρδιζαν ἐκεῖνοι; Πές μου λοιπὸν ἀπὸ ποιούς θὰ ἤθελες νὰ εἶσαι, ἀπ' αὐτοὺς ποὺ κατέθεταν ὅλα τὰ ὑπάρχοντά τους καὶ δὲν εἶχαν τίποτε, ἢ ἀπὸ ἐκείνους ποὺ ἔπαιρναν καὶ τὰ πράγματα τῶν ἄλλων; Πρόσεχε τὸν καρπὸ τῆς ἐλεημοσύνης. Τὰ διαφράγματα καὶ τὰ ἐμπόδια ἐξαλείφθηκαν καὶ ἀμέσως ἑνώθηκαν οἱ ψυχές τους· «ὅλοι εἶχαν μία καρδιὰ καὶ μία ψυχή». Ὥστε καὶ χωρὶς ἐλεημοσύνη τὸ νὰ προσφέρει κανεὶς ὅλα τὰ χρήματά του ἔχει μεγάλο κέρδος. Αὐτὰ ὅμως τὰ εἶπα γιὰ νὰ μὴ λυποῦνται ὅσοι δὲν ἔλαβαν κληρονομία ἀπὸ τοὺς προγόνους τους οὔτε νὰ στενοχωροῦνται, ἐπειδὴ ἔχουν λιγότερα ἀπὸ τοὺς πλουσίους· γιατί, ἂν θέλουν, ἔχουν μεγαλύτερα. Καὶ πραγματικὰ καὶ ἐλεημοσύνη θὰ κάνουν μὲ περισσότερη εὐκολία, ὅπως ἡ χήρα, καὶ δὲ θὰ δώσουν καμμιὰ ἀφορμὴ γιὰ ἔχθρα πρὸς τὸν πλησίον, καὶ ἀπ' ὅλους θὰ εἶναι πιὸ ἐλεύθεροι. Κανεὶς δὲ θὰ μπορέσει νὰ τὸν ἀπειλήσει αὐτὸν μὲ δήμευση, ἀλλὰ βρίσκεται πάνω ἀπὸ ὅλα τὰ κακά.

Καὶ καθάπερ τοὺς γυμνοὺς φεύγοντας οὐδεὶς ἂν ταχέως κατάσχοι, τῶν δὲ πολλὰ περιβεβλημένων καὶ ἐπισυρομένων ῥᾳδίως ἄν τις ἐπιλάβοιτο, οὕτω καὶ ὁ πλούσιος καὶ ὁ πένης ἐστίν. Ὁ μὲν γάρ, κἂν ἁλῷ, εὐκόλως διαδρᾶναι δυνήσεται, ὁ δέ, 5 κἂν μὴ κατασχεθῇ, τοῖς ἑαυτοῦ σχοινίοις συμποδίζεται, φροντίσι μυρίαις, ἀθυμίαις, ὀργαῖς, παροξυσμοῖς. Ταῦτα πάντα καταχωννύει τὴν ψυχήν· καὶ οὐ ταῦτα μόνα, ἀλλὰ καὶ ἄλλα πολλά, ἅπερ ἀπὸ τοῦ πλούτου ἐπισυρόμεθα. Καὶ γὰρ μετριάζειν δυσκολώτερον τὸν πλούσιον ἢ τὸν πένητα, καὶ ἐν εὐτελείᾳ ζῆν, καὶ θυμοῦ 10 ἀπηλλάχθαι δυσκολώτερον τοῦτον ἢ ἐκεῖνον. Οὐκοῦν πλείονα, φησίν, ἕξει μισθόν; Οὐδαμῶς. Διὰ τί, εἴ γε τὰ δύσκολα κατορθοῖ; Ὅτι αὐτὸς ἑαυτῷ τὰς δυσκολίας ἐπενόησεν· οὐ γὰρ ἐπιτέτακται πλουτεῖν, ἀλλὰ καὶ τοὐναντίον· ἑαυτῷ δὲ μυρία σκάνδαλα καὶ κωλύματα κατασκευάζει.

15 *Ἄλλοι δὲ οὐ μόνον τὰ χρήματα ἀποτίθενται, ἀλλὰ καὶ τοῦ σώματος τὸ πλέον κατατήκουσιν, ὡς στενὴν ὁδεύοντες ὁδόν· σὺ δὲ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ αὔξεις τὴν κάμινον τῶν παθῶν, καὶ ἕτερα περιβάλλεις. Οὐκοῦν εἰς τὴν εὐρύχωρον ἄπιθι· ἐκείνη γάρ ἐστιν ἡ τοὺς τοιούτους δεχομένη· ἡ δὲ στενὴ τοὺς θλιβομένους, 20 τοὺς ἐστενωμένους, τοὺς οὐδὲν βαστάζοντας, ἀλλ' ἢ ταῦτα τὰ φορτία, ἃ δι' αὐτῆς κομίζεσθαι δυνατόν, ἐλεημοσύνην, φιλανθρωπίαν, χρηστότητα, ἐπιείκειαν. Ἂν ταῦτα βαστάζῃς, εὐκόλως δυνήσῃ εἰσελθεῖν· ἂν δὲ ἀπόνοιαν καὶ φλεγμονὴν ψυχῆς καὶ τὸ τῶν ἀκανθῶν φορτίον, τὸν πλοῦτον, πολλῆς σοι δεῖ τῆς εὐρυ- 25 χωρίας. Οὐδὲ γὰρ εἰς τὸν ὄχλον ἐμβῆναί σοι δυνατόν, ὥστε μὴ ἑτέρους πλήττειν ἄνωθεν ἐπιφερόμενον, ἀλλ' ἔδει πολλῆς διαστάσεως ἐνταῦθα. Ὁ μέντοι ἀποφέρων χρυσίον καὶ ἀργύριον, τὰ τῆς ἀρετῆς λέγω κατορθώματα, οὐ μόνον φεύγοντας οὐκ ἔχει τοὺς πλησίον, ἀλλὰ καὶ πλησίον γινομένους καὶ συνδυάζοντας.*

30 *Πλὴν εἰ ὁ πλοῦτος αὐτὸς ἄκανθά ἐστι, τί ἡ πλεονεξία; τί-*

Καὶ ὅπως τοὺς γυμνοὺς ὅταν φεύγουν κανεὶς δὲ θὰ μποροῦσε νὰ τοὺς πιάσει γρήγορα, ἐνῶ αὐτοὺς ποὺ φοροῦν καὶ σύρουν μαζί τους πολλά, εὔκολα μπορεῖ νὰ τοὺς συλλάβει κανείς, ἔτσι εἶναι καὶ ὁ πλούσιος καὶ ὁ φτωχός. Γιατὶ αὐτός, καὶ ἂν ἀκόμη συλληφθεῖ, εὔκολα θὰ μπορέσει νὰ δραπετεύσει· ἐκεῖνος ὅμως, ἔστω καὶ ἂν δὲν πιασθεῖ, ἐμποδίζεται ἀπὸ τὰ δικά του σχοινιά, τὶς ἄπειρες φροντίδες, τὶς στενοχώριες, τὴν ὀργή, τοὺς ἐρεθισμούς του. Ὅλα αὐτὰ παραχώνουν τὴν ψυχή. Καὶ ὄχι μόνο αὐτά, ἀλλὰ καὶ πολλὰ ἄλλα, τὰ ὁποῖα μᾶς ἀκολουθοῦν ἀπὸ τὸν πλοῦτο. Γιατὶ εἶναι πιὸ δύσκολο νὰ σωφρονισθεῖ ὁ πλούσιος παρὰ ὁ φτωχός, καὶ να ζεῖ μὲ λιτότητα, καὶ εἶναι πιὸ δύσκολο ν' ἀπαλλαγεῖ ἀπὸ τὸ θυμὸ αὐτὸς παρὰ ἐκεῖνος. Λοιπόν, λέγει, θὰ ἔχει περισσότερο μισθό; Καθόλου. Γιὰ ποιό λόγο, ἀφοῦ κατορθώνει τὰ δύσκολα; Γιατὶ ὁ ἴδιος ἐπινόησε γιὰ τὸν ἑαυτό του τὶς δυσκολίες. Δὲν πῆρε ἐντολὴ νὰ πλουτίζει, ἀλλ' ἀκριβῶς τὸ ἀντίθετο· αὐτὸς ὅμως δημιουργεῖ ἄπειρα σκάνδαλα καὶ ἐμπόδια.

Ἄλλοι ὅμως ὄχι μόνο τὰ χρήματα ἀποθέτουν, ἀλλὰ καὶ τὸ περίσσιο τοῦ σώματος καταλειώνουν, σὰν νὰ βαδίζουν στενὸ δρόμο, ἐνῶ ἐσὺ ὄχι μόνο δὲν κάνεις αὐτό, ἀλλ' αὐξάνεις τὸ καμίνι τῶν παθῶν καὶ περβάλλεσαι μὲ ἄλλα. Πήγαινε λοιπὸν στὸν εὐρύχωρο δρόμο, γιατὶ ἐκεῖνος δέχεται τέτοιους ἀνθρώπους. Ὁ στενὸς ὅμως δέχεται αὐτοὺς ποὺ θλίβονται, ποὺ στενάζουν, ποὺ δὲ βαστάζουν τίποτε, παρὰ αὐτὰ μόνο τὰ φορτία ποὺ μέσω τοῦ δρόμου αὐτοῦ εἶναι δυνατὸν νὰ μεταφερθοῦν, τὴν ἐλεημοσύνη, τὴ φιλανθρωπία, τὴν καλωσύνη, τὴν ἐπιείκεια. Ἂν βαστάζεις αὐτά, εὔκολα θὰ μπορέσεις νὰ περάσεις· ἂν ὅμως φέρεις τὴν ἀλαζονεία καὶ τὰ πάθη τῆς ψυχῆς καὶ τὸ φορτίο τῶν φροντίδων, τὸν πλοῦτο, θὰ χρειασθεῖς πολλὴ εὐρυχωρία. Οὔτε βέβαια μέσα στὸν ὄχλο θὰ μπορέσεις νὰ μπεῖς, ὥστε νὰ μὴν χτυπήσεις ἄλλους ἀνεβαίνοντας ψηλά, ἀλλὰ θὰ ἔπρεπε ἐδῶ νὰ ὑπάρχει μεγάλη διάσταση. Ὅποιος ὅμως μεταφέρει χρυσάφι καὶ ἀσήμι, τὰ κατορθώματα δηλαδὴ τῆς ἀρετῆς, ὄχι μόνο δὲν τὸν ἀποφεύγουν οἱ συνάνθρωποί του, ἀλλὰ τὸν πλησιάζουν καὶ ἑνώνονται μαζί του.

Ἀλλά, ἂν ὁ πλοῦτος αὐτὸς εἶναι ἀγκάθι, τί εἶναι ἡ πλεονε-

νος ἕνεκεν ταύτην ἀπάγεις ἐκεῖ; ἵνα μείζονα τὴν φλόγα ἐργάσῃ, φορτία ὑποτιθεὶς τῷ πυρί; οὐ γὰρ ἀρκεῖ τὸ τῆς γεέννης πῦρ; Ἐννόησον οἱ τρεῖς παῖδες πῶς περιεγένοντο τῆς καμίνου· ἐκείνην νόμισον γέενναν εἶναι· μετὰ θλίψεως ἐνέπεσον εἰς αὐτὴν δεδεμέ- 5 *νοι καὶ συμπεπεδημένοι· ἀλλὰ πολλὴν εὗρον ἔνδον τὴν εὐρυχωρίαν· ἀλλ' οὐχ οἱ ἔξωθεν περιεστῶτες.*

4. Τοιοῦτόν τι ἔσται καὶ νῦν, ἐὰν βουλώμεθα γενναίως καὶ ἀνδρείως ἵστασθαι πρὸς τοὺς ἐπαγομένους πειρασμούς· ἂν εἰς τὸν Θεὸν ἔχωμεν τὰς ἐλπίδας, ἐσόμεθα μὲν ἡμεῖς ἐν ἀσφαλείᾳ καὶ 10 *εὐρυχωρίᾳ, οἱ δὲ ἐμβάλλοντες ἡμᾶς ἀπολοῦνται· «ὁ γὰρ ὀρύσσων βόθρον», φησίν, «ἐμπεσεῖται εἰς αὐτόν». Κἂν τὰς χεῖρας δήσωσι, κἂν τοὺς πόδας, ἡ θλῖψις λῦσαι δυνήσεται. Ὅρα γὰρ τὸ θαυμαστόν· οὓς ἔδησαν ἄνθρωποι, τούτους ἔλυσε τὸ πῦρ. Καθάπερ γὰρ εἴ τις παραδοίη τινὰς τοῖς οἰκέταις τῶν φίλων, οὗτοι δὲ* 15 *τὴν φιλίαν αἰδούμενοι τοῦ δεσπότου, οὐ μόνον αὐτοῖς οὐ λυμαίνονται, ἀλλὰ καὶ πολλῆς μεταδιδόασι τιμῆς· οὕτω καὶ τὸ πῦρ, ἐπειδὴ ἐπέγνω ὅτι φίλοι τοῦ Δεσπότου αὐτοῦ εἰσὶν οἱ παῖδες ἐκεῖνοι, καὶ διέρρηξεν αὐτῶν τὰ δεσμὰ καὶ ἔλυσεν αὐτοὺς καὶ ἀφῆκε, καὶ ἔδαφος αὐτοῖς ἐγίνετο καὶ κατεπατεῖτο ὑπ' αὐτῶν· εἰ-* 20 *κότως· ὑπὲρ γὰρ τῆς δόξης ἐνεβέβληντο τοῦ Θεοῦ. «Ὅσοι ἐν θλίψεσίν ἐσμεν, ταῦτα κατέχωμεν τὰ ὑποδείγματα.*

Ἀλλ' ἰδού, φησίν, ἐκεῖνοι ἀπηλλάγησαν τῆς θλίψεως, ἡμεῖς δὲ οὔ. Καὶ εἰκότως, ἐπειδὴ οὐχ οὕτως ἐνέβησαν εἰς τὴν κάμινον ἐκεῖνοι, ὡς ἀπαλλαγησόμενοι, ἀλλ' ὡς τεθνηξόμενοι τέ- 25 *λεον· ἄκουε γὰρ αὐτῶν λεγόντων· «ἔστι Θεὸς ἐν οὐρανοῖς, ὃς ῥύσεται ἡμᾶς· καὶ ἐὰν μή, γνωστὸν ἔστω σοι, βασιλεῦ, ὅτι τοῖς θεοῖς σου οὐ λατρεύομεν». Ἡμεῖς δὲ ὡς πραγματευόμενοι τοῦ Θεοῦ τὰς παιδείας, καὶ χρόνον ὁρίζομεν λέγοντες· 'ἐὰν μέχρι τοσοῦδε μὴ ἐλεήσῃ'. Διὰ τοῦτο οὐκ ἀπαλλαττόμεθα. Ἐπεὶ καὶ ὁ* 30 *Ἀβραὰμ οὐχ ὡς σῶον ληψόμενος τὸν υἱόν, οὕτως ἀπήρχετο, ἀλλ' ὡς σφαγιάσων· καὶ παρὰ προσδοκίαν σῶον ἔλαβε. Κάὶ σὺ ὅταν ἐμπέσῃς εἰς θλῖψιν, μὴ ταχύνῃς, μὴ σπεύσῃς ἀπαλλαγῆναι,*

---

15. Βλ. Δαν. 3,19–33. 16. Σοφ. Σειρ. 27,26.
17. Δαν. 3,17.18.

ξία; Γιὰ ποιό λόγο τὴ φέρεις ἐκεῖ; Γιὰ νὰ κάνεις μεγαλύτερη τὴ φλόγα, ρίχνοντας φορτία στὴ φωτιά; Δὲ φθάνει δηλαδὴ ἡ φωτιὰ τῆς κόλασης; Σκέψου πῶς διασώθηκαν στὸ καμίνι οἱ τρεῖς νέοι[15]. Θεώρησέ το ὅτι ἦταν κόλαση. Θλιμμένοι ἔπεσαν μέσα σ' αὐτό, δεμένοι στὰ χέρια καὶ στὰ πόδια ὅλοι μαζί, ἀλλὰ μέσα βρῆκαν πολλὴ εὐρυχωρία· ὄχι ὅμως καὶ ὅσοι τοὺς περιστοίχιζαν ἀπὸ ἔξω.

4. Κάτι τέτοιο θὰ γίνει καὶ τώρα, ἂν θέλουμε νὰ στεκόμαστε μὲ γενναιότητα καὶ ἀνδρεία στοὺς ἐπερχόμενους πειρασμούς. Ἂν στηρίζουμε τὶς ἐλπίδες μας στὸ Θεὸ θὰ βρεθοῦμε ἐμεῖς σὲ ἀσφαλὴ καὶ εὐρύχωρο τόπο, ἐνῶ αὐτοὶ ποὺ μᾶς ὠθοῦν θὰ χαθοῦν, γιατὶ «ὅποιος ἀνοίγει λάκκο», λέγει, «θὰ πέσει ὁ ἴδιος μέσα»[16]. Καὶ ἂν μᾶς δέσουν τὰ χέρια καὶ τὰ πόδια ἡ θλίψη θὰ μπορέσει νὰ τὰ λύσει. Γιατὶ πρόσεχε τὸ θαυμαστό· αὐτοὺς ποὺ ἔδεσαν ἄνθρωποι, αὐτοὺς ἔλυσε ἡ φωτιά. Ὅπως δηλαδὴ ἂν κάποιος παραδώσει μερικοὺς φίλους στοὺς ὑπηρέτες, καὶ αὐτοὶ σεβόμενοι τὴ φιλία τοῦ κυρίου ὄχι μόνο δὲν τοὺς βλάπτουν ἀλλὰ καὶ τοὺς ἀποδίδουν πολλὴ τιμή, αὐτὸ ἔκανε καὶ ἡ φωτιά· ἐπειδὴ γνώρισε ὅτι οἱ νέοι ἐκεῖνοι εἶναι φίλοι τοῦ Κυρίου τους, ἔσπασε τὰ δεσμά τους, τοὺς ἔλυσε καὶ τοὺς ἄφησε ἐλεύθερους, καὶ γινόταν ἔδαφος γι' αὐτοὺς καὶ τὸ πατοῦσαν· καὶ σωστά· γιατὶ εἶχαν ριφθεῖ γιὰ τὴ δόξα τοῦ Θεοῦ. Ὅσοι βρισκόμαστε σὲ θλίψεις ἂς ἔχουμε αὐτὰ τὰ παραδείγματα.

Ἀλλὰ νά, λέγει, ἐκεῖνοι ἀπαλλάχθηκαν ἀπὸ τὴ θλίψη, ἐμεῖς ὅμως ὄχι. Καὶ σωστά, γιατὶ δὲν μπῆκαν ἔτσι στὸ καμίνι, γιὰ ν' ἀπαλλαγοῦν, ἀλλὰ γιὰ νὰ πεθάνουν πραγματικά. Ἄκουσέ τους ποὺ λέγουν· «ὑπάρχει Θεὸς στοὺς οὐρανοὺς ποὺ θὰ μᾶς γλυτώσει. Καὶ ἂν αὐτὸ δὲ γίνει, μάθε, βασιλιά, ὅτι τοὺς θεούς σου δὲ τοὺς λατρεύουμε καὶ τὸ ἄγαλμα ποὺ ἐσὺ ἔστησες δὲν τὸ προσκυνοῦμε»[17]. Ἐμεῖς ὅμως, σὰν νὰ διαπραγματευόμαστε τὶς τιμωρίες τοῦ Θεοῦ, ὁρίζουμε καὶ χρόνο λέγοντας, 'ἂν μέχρι τότε δὲ μᾶς ἐλεήσει'. Γι' αὐτὸ καὶ δὲν ἀπαλλαγόμαστε. Ἄλλωστε καὶ ὁ Ἀβραὰμ δὲν πήγαινε μὲ σκοπὸ νὰ λάβει σῶο τὸν υἱό του, ἀλλὰ γιὰ νὰ τὸν θυσιάσει· καὶ ἐντελῶς ἀπροσδόκητα τὸν ἔλαβε σῶο. Καὶ σὺ ὅταν πέσεις σὲ θλίψη, μὴν ἐνεργήσεις γρήγορα, μὴν βιά-

παρασκεύασον τὴν διάνοιάν σου πρὸς πᾶσαν ὑπομονήν, καὶ ἀπαλλαγήσῃ ταχέως τῆς θλίψεως· διὰ γὰρ τοῦτο καὶ ἐπάγει αὐτὴν ὁ Θεός, ἵνα παιδεύσῃ. Ὅταν οὖν ἐκ προοιμίων παιδευθῶμεν φέρειν, καὶ μὴ ἀλύωμεν, ἀνίησι λοιπόν, ὡς τοῦ παντὸς κατωρ-
5 *θωμένου.*

Βούλομαί τι διήγημα πρὸς ὑμᾶς εἰπεῖν χρήσιμον καὶ πολλὴν ἔχον τὴν ὠφέλειαν. Τί δὲ τοῦτό ἐστι; Διωγμοῦ ποτε κατειληφότος καὶ πολέμου σφοδροῦ κατὰ τῆς Ἐκκλησίας ἀναρριπισθέντος, δύο τινὲς συνελήφθησαν ἄνδρες· καὶ ὁ μὲν ἕτοιμος ἦν πᾶν
10 *ὁτιοῦν παθεῖν, ὁ δὲ πρὸς μὲν τὸ ἀποτμηθῆναι τὴν κεφαλὴν καὶ αὐτὸς ἕτοιμος καὶ γενναῖος, πρὸς δὲ τὰς ἄλλας βασάνους δεδοικὼς καὶ τρέμων. Ὅρα τοίνυν τὴν οἰκονομίαν· ἐπειδὴ ἐκάθισεν ὁ δικαστής, τὸν μὲν ἕτοιμον ὄντα πᾶν ὁτιοῦν παθεῖν, ἐκέλευσεν ἀποτμηθῆναι τὴν κεφαλήν, ἐκεῖνον δὲ ἀναρτήσας κατέξαινε, καὶ*
15 *οὐχ ἅπαξ οὐδὲ δεύτερον, ἀλλὰ πάσας περιάγων τὰς πόλεις. Τί δήποτε τοῦτο συνεχωρήθη; Ἵνα τὸ ἠμελημένον αὐτοῦ τῆς διανοίας ἀνακτήσηται διὰ τῶν βασάνων, ἵνα τὴν δειλίαν πᾶσαν ἐκβάλῃ, ἵνα μηκέτι ᾖ δεδοικὼς μηδὲ ὀκνῶν μηδὲ τρέμων πρὸς τὸ πρᾶγμα. Καὶ Ἰωσὴφ δὲ ὅτε μάλιστα ἠπείγετο ἐξελθεῖν, τότε μά-*
20 *λιστα ἐναπέμεινεν· ἄκουε γὰρ αὐτοῦ λέγοντος, «κλοπῇ ἐκλάπην ἐκ γῆς Ἑβραίων»· καί, «μνήσθητί μου», φησί, «πρὸς τὸν βασιλέα». Διὰ τοῦτο ἐναπέμεινεν, ἵνα μάθῃ ὅτι οὐ χρὴ θαρρεῖν, οὐδὲ ἐπελπίζειν ἀνδράσιν, ἀλλὰ τὸ πᾶν ἐπὶ τὸν Θεὸν ῥίπτειν.*

Ταῦτα οὖν εἰδότες, χάριν ὁμολογῶμεν τῷ Θεῷ καὶ πάντα
25 *πράττωμεν τὰ πρὸς τὸ συμφέρον, ἵνα τῶν μελλόντων ἀγαθῶν ἐπιτύχωμεν, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν μεθ' οὗ τῷ Πατρὶ ἡ δόξα, σὺν τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.*

---

18. Γεν. 40,15.14.

ζεσαι ν' ἀπαλλαγεῖς, ὅπλισε τὴν ψυχή σου μὲ κάθε ὑπομονή, καὶ τότε θ' ἀπαλλαγεῖς γρήγορα ἀπὸ τὴ θλίψη· γιατὶ γι' αὐτὸ τὴ στέλνει ὁ Θεός, γιὰ νὰ σὲ διδάξει. Ὅταν λοιπὸν ἀπὸ τὴν ἀρχὴ μάθουμε νὰ ὑποφέρουμε τὴ θλίψη καὶ νὰ μὴ χάνουμε τὸ θάρρος, μᾶς ἐλευθερώνει στὴ συνέχεια, σὰν νὰ ἔχουμε κατορθώσει τὸ πᾶν.

Θέλω νὰ σᾶς διηγηθῶ μία ἱστορία χρήσιμη καὶ πολλὴ ὠφέλιμη. Καὶ ποιά εἶναι αὐτή; Ὅταν κάποτε ἔπεσε διωγμὸς καὶ ἄναψε σφοδρὸς πόλεμος ἐναντίον τῆς Ἐκκλησίας, συνελήφθηκαν δύο ἄνδρες. Καὶ ὁ ἕνας ἦταν ἕτοιμος νὰ πάθει ὁτιδήποτε, ἐνῶ ὁ ἄλλος ἦταν καὶ αὐτὸς ἕτοιμος καὶ γενναῖος στὸ νὰ τὸν ἀποκεφαλίσουν, ἀλλὰ φοβόταν καὶ ἔτρεμε τὰ ἄλλα βασανιστήρια. Πρόσεχε λοιπὸν τὴν οἰκονομία τοῦ Θεοῦ· ὅταν κάθισε ὁ δικαστὴς διέταξε ν' ἀποκεφαλίσουν ἐκεῖνον ποὺ ἦταν ἕτοιμος νὰ πάθει ὁτιδήποτε, τὸν ἄλλον ὅμως, ἀφοῦ τὸν κρέμασε, τὸν ἔγδερνε, ὄχι μία καὶ δύο φορές, ἀλλὰ τὸν περιέφερε καὶ σ' ὅλες τὶς πόλεις. Γιατί λοιπὸν ἐπιτράπηκε αὐτό; Γιὰ νὰ θεραπεύσει μὲ τὰ βασανιστήρια τὴν ὀλιγωρία τῆς ψυχῆς του, γιὰ νὰ ἀπομακρύνει κάθε δειλία, γιὰ νὰ μὴ φοβᾶται ποτὲ πιὰ οὔτε νὰ διστάζει οὔτε νὰ τρέμει γιὰ τὸ πράγμα αὐτό. Καὶ ὁ Ἰωσήφ, ὅταν βιαζόταν πάρα πολὺ νὰ βγεῖ ἀπὸ τὴ φυλακή, τότε κυρίως αὐξανόταν ἡ παραμονή του σ' αὐτήν. Ἄκου αὐτὸν ποὺ λέγει· «μὲ ἔκλεψαν ἀπὸ τὴ χώρα τῶν Ἑβραίων», καί, «μὴ μὲ ξεχάσεις ἐνώπιον τοῦ βασιλιᾶ»[18]. Γι' αὐτὸ παρέμεινε, γιὰ νὰ μάθει, ὅτι δὲν πρέπει νὰ ἔχει ἐμπιστοσύνη οὔτε νὰ ἐλπίζει σὲ ἀνθρώπους, ἀλλὰ νὰ στηρίζει τὰ πάντα στὸ Θεό.

Γνωρίζοντας λοιπὸν αὐτά, ἂς εὐγνωμονοῦμε τὸ Θεὸ καὶ ἂς κάνουμε ὅλα ἐκεῖνα ποὺ μᾶς συμφέρουν, γιὰ νὰ ἐπιτύχουμε τὰ μελλοντικὰ ἀγαθὰ μὲ τὴ βοήθεια τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μαζὶ μὲ τὸν ὁποῖο στὸν Πατέρα καὶ συγχρόνως στὸ ἅγιο Πνεῦμα ἀνήκει ἡ δόξα, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

Υ Π Ο Μ Ν Η Μ Α

ΣΤΗΝ ΠΡΟΣ ΦΙΛΗΜΟΝΑ ΕΠΙΣΤΟΛΗ

ΥΠΟΘΕΣΙΣ

1. Πρῶτον ἀναγαῖον τὴν ὑπόθεσιν εἰπεῖν τῆς ἐπιστολῆς, εἶτα καὶ τὰ ζητούμενα. Τίς οὖν ἡ ὑπόθεσις; Φιλήμων ἀνήρ τις τῶν θαυμαστῶν καὶ γενναίων (ὅτι γὰρ θαυμαστὸς ἦν, δῆλον ἀπὸ τοῦ καὶ τὴν οἰκίαν αὐτοῦ πᾶσαν εἶναι πιστήν, καὶ οὕτω πιστήν, ὡς 5 καὶ ἐκκλησίαν αὐτὴν ὀνομάζεσθαι. Διὰ τοῦτο καὶ γράφων ἔλεγε· «καὶ τῇ κατ' οἶκόν σου ἐκκλησίᾳ». Μαρτυρεῖ δὲ αὐτῷ καὶ πολλὴν ὑπακοήν, καὶ ὅτι «τὰ σπλάγχνα τῶν ἁγίων» ἀνεπέπαυτο εἰς αὐτόν. Καὶ αὐτὸς δὲ γράφων ἐν ταύτῃ τῇ ἐπιστολῇ παρήγγειλεν αὐτῷ ἑτοιμάσαι ξενίαν. Οὕτω μοι δοκεῖ καταγώγιον εἶναι ἁγίων 10 ἡ οἰκία ἡ ἐκείνου πάντων ἕνεκεν). Οὗτος δὴ οὖν ὁ θαυμαστὸς ἀνὴρ παῖδά τινα εἶχεν Ὀνήσιμον. Ὁ τοίνυν Ὀνήσιμος οὗτος κλέψας τι παρὰ τοῦ δεσπότου, ἐδραπέτευσεν· ὅτι γὰρ ἔκλεψεν, ἄκουσον τί φησιν· «εἰ δέ τι ἠδίκησέ σε ἢ ὀφείλει, ἐγὼ ἀποτίσω». Ἐλθὼν τοίνυν πρὸς τὸν Παῦλον εἰς τὴν Ῥώμην, καὶ εὑρὼν αὐ- 15 τὸν ἐν τῷ δεσμωτηρίῳ, καὶ ἀπολαύσας τῆς παρ' αὐτοῦ διδασκαλίας, καὶ τοῦ βαπτίσματος ἔτυχεν ἐκεῖ. Ὅτι γὰρ ἐκεῖ ἔτυχε τῆς τοῦ βαπτίσματος δωρεᾶς, δῆλον ἐκ τοῦ εἰπεῖν· «ὃν ἐγέννησα ἐν τοῖς δεσμοῖς μου». Ὁ τοίνυν Παῦλος γράφει συνιστῶν αὐτὸν πρὸς τὸν δεσπότην, ὥστε πάντων ἕνεκεν λύσιν γενέσθαι, καὶ 20 προσίεσθαι αὐτὸν ὡς ἀναγεννηθέντα νῦν.

Ἀλλ' ἐπειδή τινές φασι, περιττὸν εἶναι τὸ καὶ ταύτην προσκεῖσθαι τὴν ἐπιστολήν, εἴ γε ὑπὲρ πράγματος μικροῦ ἠξίωσεν, ὑπὲρ ἑνὸς ἀνδρός, μαθέτωσαν ὅσοι ταῦτα ἐγκαλοῦσιν, ὅτι μυρίων εἰσὶν ἐγκλημάτων ἄξιοι. Οὐ μόνον γὰρ τὰς οὕτω μικρὰς 25 ἐπιστολὰς καὶ ὑπὲρ οὕτω πραγμάτων ἀναγκαίων ἐπεσταλμένας ἔδει ἐγγεγράφθαι, ἀλλ' εἴθε γὰρ ἐνῆν εὐπορῆσαι τοῦ τὴν ἱστορίαν

1. Φιλήμ. 2. 2. Φιλήμ. 7. 3. Φιλήμ. 22.
4. Φιλήμ. 18.19. 5. Φιλήμ. 10.

ΥΠΟΘΕΣΗ ΤΗΣ ΕΠΙΣΤΟΛΗΣ

Πρῶτα εἶναι ἀνάγκη νὰ πῶ τὴν ὑπόθεση τῆς ἐπιστολῆς καὶ ἔπειτα ἐκεῖνα ποὺ ζητοῦμε. Ποιά λοιπὸν εἶναι ἡ ὑπόθεση; Ὁ Φιλήμων ἦταν ἄνδρας θαυμαστὸς καὶ γενναῖος (τὸ ὅτι βέβαια ἦταν θαυμαστὸς φαίνεται ἀπὸ τὸ ὅτι ὁλόκληρο τὸ σπίτι του ἦταν πιστό, καὶ τόσο πιστό, ὥστε νὰ ὀνομάζεται ἀκόμη καὶ ἐκκλησία. Γι' αὐτὸ καὶ γράφοντας ἔλεγε· «καὶ στὴν ἐκκλησία τοῦ σπιτιοῦ σου»[1]. Τοῦ μαρτυρεῖ ἐπίσης καὶ πολλὴ ὑπακοὴ καὶ ὅτι «οἱ καρδιὲς τῶν πιστῶν ἀνακουφίσθηκαν ἀπ' αὐτόν»[2]. Καὶ ὁ ἴδιος γράφοντας σ' αὐτὴ τὴν ἐπιστολὴ τοῦ παράγγειλε νὰ ἑτοιμάζει φιλοξενία γι' αὐτόν[3]. Ἔτσι μοῦ φαίνεται πὼς τὸ σπίτι του ἦταν κατάλυμα γιὰ τοὺς πιστούς, ἐξυπηρετώντας αὐτοὺς μὲ κάθε τρόπο). Αὐτὸς λοιπὸν ὁ θαυμαστὸς ἄνδρας εἶχε κάποιο δοῦλο, τὸν Ὀνήσιμο. Αὐτὸς ὁ Ὀνήσιμος ἔκλεψε κάτι ἀπὸ τὸν κύριό του καὶ ὕστερα δραπέτευσε. Γιὰ τὸ ὅτι ἔκλεψε ἄκουσε τί λέγει· «ἂν σοῦ ἔκανε κανένα κακὸ ἢ σοῦ χρωστάει τίποτε, ἐγὼ θὰ τὸ πληρώσω»[4]. Ὅταν λοιπὸν πῆγε πρὸς τὸν Παῦλο στὴ Ρώμη καὶ τὸν συνάντησε στὴ φυλακὴ καὶ ἄκουσε τὴ διδασκαλία του ἔλαβε καὶ τὸ βάπτισμα ἐκεῖ. Ὅτι βέβαια ἔλαβε ἐκεῖ τὴ χάρη τοῦ βαπτίσματος φαίνεται ἀπὸ αὐτὸ ποὺ λέγει· «τὸν ὁποῖο γέννησα στὴ φυλακή μου»[5]. Ὁ Παῦλος λοιπὸν γράφει τὴν ἐπιστολὴ συνιστώντας τὸν Ὀνήσιμο στὸν κύριό του, ὥστε ἐξ αἰτίας ὅλων νὰ λάβει συγχώρηση καὶ νὰ τὸν δεχθεῖ ἐπειδὴ ἀναγεννήθηκε τώρα.

Ἀλλ' ἐπειδὴ μερικοὶ λένε ὅτι ἦταν περιττὸ τὸ νὰ γράψει αὐτὴ τὴν ἐπιστολή, ἀφοῦ ζήτησε ἕνα μικρὸ πράγμα, γιὰ ἕναν ἄνδρα, ἂς μάθουν ὅσοι κατηγοροῦν αὐτά, ὅτι οἱ ἴδιοι εἶναι ἄξιοι μυρίων κατηγοριῶν. Γιατὶ ὄχι μόνο οἱ τόσο μικρὲς ἐπιστολὲς καὶ σταλμένες γιὰ τόσο ἀναγκαῖα πράγματα ἔπρεπε νὰ εἶχαν γραφεῖ, ἀλλὰ μακάρι νὰ μποροῦσε κανεὶς νὰ ξεπεράσει στὴ

ἡμῖν παραδιδόντος τῶν ἀποστόλων, οὐ λέγω ὑπὲρ ὧν ἔγραψαν καὶ διελέχθησαν, ἀλλὰ καὶ τὴν ἄλλην αὐτῶν ἀναστροφήν, καὶ τί ἔφαγον καὶ πότε ἔφαγον, πότε ἐκάθισαν καὶ ποῦ ἐβάδισαν, καὶ τί καθ' ἑκάστην ἡμέραν διεπράξαντο, ἐν ποίοις μέρεσι γεγόνασι,
5 *καὶ εἰς ποίαν οἰκίαν εἰσῆλθον, καὶ ποῦ κατήχθησαν, καὶ μετὰ ἀκριβείας ἅπαντα διηγήσασθαι· οὕτω πάντα τὰ παρ' αὐτῶν γενόμενα πολλῆς ὠφελείας γέμει.*

Ἀλλ' ἐπειδὴ μὴ ἴσασιν οἱ πλείους τὸ κέρδος τὸ ἐντεῦθεν, διὰ τοῦτο μέμφεσθαι ἐπιχειροῦσιν. Εἰ γὰρ τόπους ὁρῶντες μό-
10 *νον, ἔνθα ἐκάθισαν ἢ ἐδέθησαν, τόπους ἀψύχους, πολλάκις ἐκεῖ παραπέμπομεν τὴν διάνοιαν καὶ φανταζόμεθα αὐτῶν τὴν ἀρετὴν καὶ διανιστάμεθα καὶ προθυμότεροι γινόμεθα, εἰ τὰ ρήματα καὶ τὰς ἑτέρας αὐτῶν πράξεις ἠκούσαμεν, πολλῷ μᾶλλον. Ἀλλὰ περὶ μὲν φίλου τις ἐρωτᾷ, ποῦ διάγει, τί πράττει, ποῦ πρόεισι,*
15 *περὶ δὲ τῶν κοινῶν τῆς οἰκουμένης διδασκάλων οὐκ ἔδει ταῦτα μαθεῖν, εἰπέ μοι; Ὅταν γάρ τις πνευματικῶς ζῇ, καὶ σχήματα καὶ βαδίσματα καὶ ρήματα καὶ πράγματα τοῦ τοιούτου καὶ πάντα ἁπλῶς τοὺς ἀκούοντας ὠφελεῖ καὶ οὐδὲν ἐμποδίζει οὐδὲ κώλυμα γίνεται.*

20 *Πλὴν ὅτι περὶ ἀναγκαίων ἡ ἐπιστολὴ διεπέμπετο, μαθεῖν ὑμᾶς χρήσιμον. Ὅρα τοίνυν πόσα κατορθοῦται ἐντεῦθεν. Ἓν μὲν καὶ πρῶτον, τὸ σπουδαῖόν τινα εἶναι περὶ πάντα. Εἰ γὰρ Παῦλος ὑπὲρ δραπέτου, ὑπὲρ λῃστοῦ καὶ κλέπτου τοσαύτην ποιεῖται πρόνοιαν, καὶ οὐ παραιτεῖται μετὰ τοσούτων αὐτὸν ἐγ-*
25 *κωμίων παραπέμψαι, οὐδὲ αἰσχύνεται, πολλῷ μᾶλλον οὐδὲ ἡμᾶς προσήκει ῥαθύμους εἶναι περὶ τὰ τοιαῦτα. Δεύτερον, ὅτι τὸ δουλικὸν γένος οὐ δεῖ ἀπογινώσκειν, κἂν εἰς ἐσχάτην ἐλάσῃ κακίαν. Εἰ γὰρ ὁ κλέπτης, ὁ δραπέτης οὕτως ἐγένετο ἐνάρετος, ὡς θέλειν τὸν Παῦλον κοινωνὸν αὐτὸν καταστῆσαι καὶ γράφων ἔλε-*
30 *γεν, «Ἵνα ὑπὲρ σοῦ διακονῇ μοι»*[6]*, πολλῷ μᾶλλον ἐλευθέρους ἀπογινώσκειν οὐ χρή. Τρίτον, ὅτι τοὺς δούλους ἀποσπᾶν τῶν δεσποτῶν οὐ προσήκει.*

---

6. Φιλήμ. 13.

γραφὴ ἐκεῖνον ποὺ μᾶς παρέδωσε τὴν ἱστορία τῶν ἀποστόλων, δὲν ἐννοῶ γιὰ ὅσα ἔγραψαν καὶ μίλησαν, ἀλλὰ καὶ τὴν ἄλλη συμπεριφορά τους, καὶ τί ἔφαγαν καὶ πότε ἔφαγαν, πότε κάθισαν καὶ ποῦ βάδισαν, καὶ τί ἔπραξαν κάθε ἡμέρα, σὲ ποιά μέρη πῆγαν καὶ σὲ ποιό σπίτι μπῆκαν καὶ ποῦ κατέπλευσαν, καὶ νὰ τὰ διηγηθεῖ ὅλα μὲ λεπτομέρεια. Τόσο πολὺ ὅλα ὅσα ἔκαναν ἐκεῖνοι εἶναι γεμάτα ἀπὸ πολλὴ ὠφέλεια.

Ἐπειδὴ ὅμως οἱ περισσότεροι δὲν γνωρίζουν τὸ κέρδος ποὺ προέρχεται ἀπὸ ἐδῶ, γι' αὐτὸ ἐπιχειροῦν νὰ κατηγοροῦν. Γιατί, ἂν βλέποντας μόνο τοὺς τόπους, ὅπου κάθισαν καὶ δέθηκαν, τόπους ἄψυχους, πολλὲς φορὲς ταξιδεύουμε ἐκεῖ μὲ τὸ νοῦ καὶ φανταζόμαστε τὴν ἀρετή τους καὶ διορθωνόμαστε καὶ γινόμαστε προθυμότεροι, πολὺ περισσότερο θὰ γινόταν αὐτό, ἂν ἀκούγαμε τὰ λόγια καὶ τὶς ἄλλες πράξεις τους. Ἀλλὰ γιὰ τὸ φίλο του ἐρωτᾶ κανείς, ποῦ ζεῖ, τί κάνει, ποῦ πηγαίνει, καὶ γιὰ τοὺς κοινοὺς διδασκάλους τῆς οἰκουμένης, πές μου, δὲν ἔπρεπε νὰ τὰ μάθει αὐτά; Γιατί, ὅταν κάποιος ζεῖ πνευματικά, καὶ τὸ ντύσιμο καὶ τὸ βάδισμα καὶ τὰ λόγια καὶ τὰ πράγματα καὶ ὅλα γενικὰ τοῦ ἀνθρώπου αὐτοῦ ὠφελοῦν τοὺς ἀκροατὲς καὶ τίποτε δὲν τοὺς ἐμποδίζει οὔτε τοὺς γίνεται κώλυμα.

Πλὴν ὅμως εἶναι χρήσιμο νὰ μάθετε ὅτι ἡ ἐπιστολὴ εἶχε γραφεῖ γιὰ πράγματα ἀναγκαῖα. Πρόσεχε λοιπὸν πόσα κατορθώνονται ἀπὸ ἐδῶ. Πρῶτο, τὸ νὰ φροντίζει κανεὶς γιὰ ὅλα. Γιατί, ἂν ὁ Παῦλος φροντίζει τόσο πολὺ γιὰ ἕνα δραπέτη, γιὰ ἕνα ληστὴ καὶ κλέφτη, καὶ δὲν ἀρνεῖται οὔτε ντρέπεται νὰ τὸν στείλει πίσω μὲ τόσους ἐπαίνους, πολὺ περισσότερο πρέπει ἐμεῖς νὰ μὴν εἴμαστε ἀδιάφοροι γιὰ τέτοια πράγματα. Δεύτερο, ὅτι τὸ γένος τῶν δούλων δὲν πρέπει ν' ἀπελπίζεται ἔστω καὶ ἂν φθάσει στὴ χειρότερη κακία. Ἂν λοιπὸν ὁ κλέφτης, ὁ δραπέτης ἔγινε τόσο ἐνάρετος, ὥστε νὰ θέλει ὁ Παῦλος νὰ τὸν κάνει φίλο του καὶ γράφοντας ἔλεγε, «νὰ μὲ ὑπηρετεῖ ἀντὶ γιὰ σένα»[6], πολὺ περισσότερο δὲν πρέπει ν' ἀπελπίζονται οἱ ἐλεύθεροι. Τρίτο, ὅτι δὲν πρέπει νὰ ἀποσπάει κανεὶς τοὺς δούλους ἀπὸ τοὺς κυρίους τους.

Εἰ γὰρ Παῦλος, ὁ οὕτω θαρρῶν τῷ Φιλήμονι, τὸν Ὀνήσιμον, τὸν οὕτως εὔχρηστον καὶ χρήσιμον αὐτῷ πρὸς διακονίαν, οὐκ ἠθέλησε κατασχεῖν παρὰ γνώμην τοῦ δεσπότου, πολλῷ μᾶλλον ἡμᾶς τοῦτο ποιεῖν οὐ χρή. Εἰ γὰρ θαυμαστός ἐστιν ὁ οἰ- 5 *κέτης, ταύτῃ μάλιστα μένειν αὐτὸν χρὴ ἐν τῇ δουλείᾳ καὶ τὴν δεσποτείαν ἐπιγινώσκειν, ἵνα αἴτιος πᾶσι τοῖς ἐν τῇ οἰκίᾳ ὠφελείας γένηται. Τί τὸν λύχνον ἀπὸ τῆς λυχνίας ἐπὶ τὸν μόδιον ἄγεις; Εἴθε τοὺς ἔξωθεν εἰς τὰς πόλεις εἰσωθεῖν ἐνῆν. Τί οὖν φησίν, ἂν καὶ αὐτὸς φαῦλος γένηται; Διὰ τί, εἰπέ μοι, παρακαλῶ; ὅτι πρὸς* 10 *πόλιν εἰσῆλθεν; Ἀλλ' ἐννόει, ὅτι καὶ ἔξω ὢν φαυλότερος ἔσται· ὁ γὰρ ἔνδον φαῦλος γενόμενος, πολλῷ μᾶλλον ἔξω ὤν· ἐνταῦθα μὲν γὰρ καὶ τῆς ἀναγκαίας φροντίδος ἀπήλλακται, τοῦ δεσπότου μεριμνῶντος, ἐκεῖ δὲ ἡ περὶ τούτων φροντὶς ἴσως ἀπάξει αὐτὸν καὶ τῶν ἀναγκαιοτέρων καὶ πνευματικωτέρων.*

15 *Διὰ τοῦτο καὶ ὁ μακάριος Παῦλος τὴν ἀρίστην αὐτοῖς εἰσάγων συμβουλὴν ἔλεγε· «δοῦλος ἐκλήθης; μή σοι μελέτω· ἀλλ' εἰ καὶ δύνασαι ἐλεύθερος γένεσθαι, μᾶλλον χρῆσαι»· τουτέστι, τῇ δουλείᾳ παράμενε. Τὸ δὲ πάντων ἀναγκαιότερον, ἵνα μὴ ὁ λόγος τοῦ Θεοῦ βλασφημῆται, καθὼς καὶ αὐτὸς γράφων ἔλεγεν· «ὅσοι* 20 *εἰσὶν ὑπὸ ζυγὸν δοῦλοι, τοὺς ἰδίους δεσπότας πάσης τιμῆς ἀξίους ἡγείσθωσαν, ἵνα μὴ τὸ ὄνομα τοῦ Θεοῦ καὶ ἡ διδασκαλία βλασφημῆται». Ἐροῦσι γὰρ καὶ Ἕλληνες, ὅτι δύναται καὶ δουλεύων εὐαρεστεῖν τῷ Θεῷ· ἐπεὶ εἰς ἀνάγκην καθίστανται πολλοὶ τοῦ βλασφημεῖν καὶ λέγειν, ἐπὶ ἀνατροπῇ τῶν πάντων ὁ Χριστιανι-* 25 *σμὸς εἰς τὸν βίον εἰσενήνεκται, τῶν δεσποτῶν ἀφαιρουμένων τοὺς οἰκέτας, καὶ βίας τὸ πρᾶγμά ἐστιν. Εἴπω τι καὶ ἕτερον; Διδάσκει ἡμᾶς μὴ ἐπαισχύνεσθαι τοὺς οἰκέτας, εἰ ἐνάρετοι εἶεν. Εἰ γὰρ Παῦλος, πάντων ἀνθρώπων θαυμασιώτερος, τοσαῦτα περὶ*

---

7. Ματθ. 5,15.
8. Α΄ Κορ. 7,21.
9. Α΄ Τιμ. 6,1.

Ἂν λοιπὸν ὁ Παῦλος, ποὺ εἶχε τόσο θάρρος πρὸς τὸ Φιλήμονα, δὲ θέλησε νὰ κρατήσει τὸν Ὀνήσιμο χωρὶς τὴ γνώμη τοῦ κυρίου του, ποὺ τοῦ ἦταν τόσο ὠφέλιμος καὶ χρήσιμος γιὰ ὑπηρεσία, πολὺ περισσότερο δὲν πρέπει νὰ τὸ κάνουμε ἐμεῖς αὐτό. Γιατί, ἂν ὁ ὑπηρέτης εἶναι θαυμαστός, γιὰ τὸ λόγο αὐτὸ κυρίως πρέπει νὰ παραμένει στὴ δουλεία καὶ ν' ἀναγνωρίζει τὴν ἐξουσία τοῦ κυρίου του, γιὰ νὰ γίνει αἴτιος ὠφέλειας σὲ ὅλους ἐκείνους ποὺ βρίσκονται στὸ σπίτι. Γιατί μετεφέρεις τὸ λυχνάρι ἀπὸ τὸ λυχνοστάτη στὸ μόδιο[7]; Μακάρι νὰ ἦταν δυνατὸ νὰ μποῦν μέσα στὶς πόλεις ἐκεῖνοι ποὺ βρίσκονται ἔξω. Τί λοιπόν, λέγει, ἂν καὶ αὐτὸς γίνει φαῦλος; Πές μου, παρακαλῶ, γιὰ ποιό λόγο; ἐπειδὴ μπῆκε σὲ πόλη; Ἀλλὰ σκέψου, ὅτι καὶ ἔξω ὅταν εἶναι θὰ γίνει φαυλότερος· γιατὶ ὅποιος ἔγινε μέσα φαῦλος, πολὺ περισσότερο θὰ γίνει βρισκόμενος ἔξω. Γιατὶ ἐδῶ ἔχει ἀπαλλαχθεῖ ἀπὸ τὴ φροντίδα γιὰ τὰ ἀναγκαῖα, ἀφοῦ μεριμνᾶ ὁ κύριός του, ἐνῶ ἐκεῖ ἡ φροντίδα γι' αὐτὰ ἴσως θὰ τὸν ἀπομακρύνει ἀπὸ τὰ περισσότερο ἀναγκαῖα καὶ πιὸ πνευματικά.

Γι' αὐτὸ καὶ ὁ μακάριος Παῦλος, δίνοντας τὴν ἄριστη σ' αὐτοὺς συμβουλή, ἔλεγε· «ἤσουν δοῦλος ὅταν σὲ κάλεσε; Μὴ σὲ μέλει γι' αὐτό. Καὶ ἂν ἀκόμη μπορεῖς νὰ γίνεις ἐλεύθερος, προτίμησε μᾶλλον αὐτὸ ποὺ εἶσαι»[8]· δηλαδή, νὰ παραμένεις στὴ δουλεία. Τὸ πιὸ ἀναγκαῖο ὅμως ἀπ' ὅλα εἶναι νὰ μὴ δυσφημεῖται ὁ λόγος τοῦ Θεοῦ, καθὼς καὶ ὁ ἴδιος γράφοντας ἔλεγε· «ὅσοι εἶναι δοῦλοι, νὰ θεωροῦν τοὺς κυρίους τους ἄξιους γιὰ κάθε σεβασμό, γιὰ νὰ μὴ δυσφημεῖται τὸ ὄνομα τοῦ Θεοῦ καὶ ἡ διδασκαλία του»[9]. Γιατὶ καὶ οἱ εἰδωλολάτρες θὰ ποῦν, ὅτι μπορεῖ καὶ ὁ δοῦλος νὰ εἶναι εὐάρεστος στὸ Θεό, ἐπειδὴ πολλοὶ βρίσκονται στὴν ἀνάγκη νὰ βλασφημοῦν καὶ νὰ λέγουν, 'ὁ Χριστιανισμὸς ἔχει εἰσαχθεῖ στὴ ζωὴ γιὰ νὰ ἀνατρέψει τὰ πάντα, ἀφοῦ οἱ κύριοι στεροῦνται τοὺς ὑπηρέτες, καὶ τὸ πράγμα αὐτὸ εἶναι ἀπόδειξη βίας'. Νὰ πῶ καὶ κάτι ἄλλο; Μᾶς διδάσκει νὰ μὴν ντρεπόμαστε τοὺς ὑπηρέτες, ἂν εἶναι ἐνάρετοι. Γιατί, ἂν ὁ Παῦλος, ὁ πιὸ θαυμάσιος ἀπ' ὅλους τοὺς ἀνθρώπους, λέγει τόσα πολλὰ γι' αὐτόν, πολὺ περισσότερο πρέπει νὰ λέμε ἐμεῖς

τούτου φησί, πολλῷ μᾶλλον ἡμεῖς περὶ τῶν ἡμετέρων. Τοσούτων οὖν ὄντων κατορθωμάτων, καίτοι οὔπω πάντα εἰρήκαμεν, περιττόν τις ἡγεῖται τὸ καὶ ταύτην τὴν ἐπιστολὴν ἐντετάχθαι; Καὶ πῶς οὐκ ἐσχάτης ἀνοίας ἂν εἴη;

5 *Προσέχωμεν τοίνυν, παρακαλῶ, τῇ παρὰ τοῦ ἀποστόλου γραφείσῃ ἐπιστολῇ· τοσαῦτα γὰρ ἤδη κερδάναντες, πλείονα κερδανοῦμεν ἀπὸ τῆς ὑφῆς.*

γιὰ τοὺς δικούς μας. Ἀφοῦ λοιπὸν τόσα εἶναι τὰ κατορθώματα τῆς ἐπιστολῆς, ἂν καὶ δὲν τὰ εἴπαμε ὅλα ἀκόμη, θεωρεῖ κανεὶς περιττὸ τὸ ὅτι ἔχει ἐνταχθεῖ στὸν κανόνα τῆς Γραφῆς καὶ ἡ ἐπιστολὴ αὐτή; Καὶ πῶς αὐτὸ δὲν θὰ ἦταν ἀπόδειξη τῆς χειρότερης ἀνοησίας;

Ἂς προσέχουμε λοιπόν, παρακαλῶ, στὴν ἐπιστολὴ ποὺ ἔγραψε ὁ ἀπόστολος. Γιατί, ἀφοῦ κερδίσαμε ἤδη τόσα, θὰ κερδίσουμε περισσότερα ἀπὸ τὴ συνέχεια.

Ο Μ Ι Λ Ι Α Α'

(Φιλημ. 1–3)

«Παῦλος δέσμιος Ἰησοῦ Χριστοῦ, καὶ Τιμόθεος ὁ ἀδελφός, Φιλήμονι τῷ ἀγαπητῷ καὶ συνεργῷ ἡμῶν, καὶ Ἀπφίᾳ τῇ ἀγαπητῇ, καὶ Ἀρχίππῳ τῷ συστρατιώτῃ ἡμῶν, καὶ τῇ κατ' οἶκόν σου ἐκκλησίᾳ· χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ
5 *Θεοῦ Πατρὸς ἡμῶν, καὶ Κυρίου Ἰησοῦ Χριστοῦ».*

1. Ὑπὲρ οἰκέτου πρὸς δεσπότην ἐστὶ ταῦτα. Εὐθέως ἀπὸ τοῦ προοιμίου τὸ φρόνημα αὐτοῦ κατέσπασεν, οὐκ ἀφῆκεν ἐπαισχυνθῆναι, τὸν θυμὸν ἔσβεσε, «δέσμιον» ἑαυτὸν καλῶν κατένυξε καὶ συνέστειλεν, οὐδὲν τὰ παρόντα ἐποίησε δοκεῖν εἶναι πρά-
5 *γματα. Εἰ γὰρ δεσμὸς οὐκ αἰσχύνη διὰ τὸν Χριστόν, ἀλλὰ καὶ καύχημα, πολλῷ μᾶλλον δουλεία οὐκ ἐπονείδιστον. Καὶ ταῦτα λέγει οὐκ ἐπαίρων ἑαυτόν, ἀλλὰ συμφερόντως τοῦτο ποιῶν, καὶ τὸ ἀξιόπιστον ἐντεῦθεν δεικνύς, οὐχ ἑαυτοῦ ἕνεκεν, ἀλλ' ὑπὲρ τοῦ τὴν χάριν ἑτοιμότερον λαβεῖν· ὡς ἂν εἰ ἔλεγε, 'δι' ὑμᾶς τὸν*
15 *δεσμὸν τοῦτον περίκειμαι'· ὥσπερ οὖν καὶ εἶπεν ἀλλαχοῦ, ἐκεῖ μὲν τὴν κηδεμονίαν δεικνύς, ἐνταῦθα δὲ τὸ ἀξιόπιστον. Οὐδὲν τοῦ καυχήματος τούτου μεῖζον τοῦ ἀκούειν, ὡς στιγματίας τοῦ Χριστοῦ· «ἐγὼ γὰρ τὰ στίγματα τοῦ Χριστοῦ», φησί, «βαστάζω».*[1]

20 *«Ὁ δέσμιος τοῦ Χριστοῦ». Διὰ γὰρ αὐτὸν δέδετο. Τίς οὐκ ἂν αἰδεσθείη, τίς οὐκ ἂν δυσωπηθείη, Χριστοῦ δεσμὰ ἀκούων; τίς οὐκ ἂν καὶ τὴν ψυχὴν πρόοιτο, μήτι γε οἰκέτην ἕνα; «Καὶ Τιμόθεος ὁ ἀδελφός». Συμπαραλαμβάνει καὶ ἕτερον μεθ' ἑαυτοῦ, ὥστε κἀκεῖνον ὑπὸ πολλῶν ἀξιούμενον μᾶλλον εἶξαι καὶ δοῦναι*

---

1. Γαλ. 6,17.

ΟΜΙΛΙΑ Α'

(Φιλήμ. στ. 123)

«Ὁ Παῦλος, ὁ φυλακισμένος γιὰ χάρη τοῦ Ἰησοῦ Χριστοῦ, καὶ ὁ Τιμόθεος ὁ ἀδελφός, πρὸς τὸν Φιλήμονα τὸν ἀγαπητὸ καὶ συνεργάτη μας καὶ πρὸς τὴν Ἀπφία τὴν ἀγαπητὴ καὶ πρὸς τὸν Ἄρχιππο τὸ συστρατιώτη μας καὶ πρὸς τὴν ἐκκλησία τοῦ σπιτιοῦ σου. Ἡ χάρη νὰ εἶναι σὲ σᾶς καὶ ἡ εἰρήνη ἀπὸ τὸ Θεὸ τὸν Πατέρα μας καὶ τὸν Κύριο Ἰησοῦ Χριστό».

1. Αὐτὰ εἶναι γραμμένα γιὰ ὑπηρέτη πρὸς τὸν κύριό του. Ἀμέσως ἀπὸ τὴν ἀρχὴ ἔσπασε τὸ φρόνημά του, δὲν τὸν ἄφησε νὰ ντραπεῖ, ἔσβησε τὸ θυμό του, ἀποκαλώντας τὸν ἑαυτό του φυλακισμένο τὸν συγκίνησε καὶ τὸν συγκράτησε καὶ τὸν ἔκανε νὰ μὴ θεωρεῖ τίποτε τὰ παρόντα πράγματα. Γιατί, ἂν ἡ φυλάκιση γιὰ χάρη τοῦ Χριστοῦ δὲν εἶναι ντροπὴ ἀλλὰ καὶ καύχημα, πολὺ περισσότερο ἡ δουλεία δὲν εἶναι πράγμα ἐπονείδιστο. Καὶ τὰ λέγει αὐτά, ὄχι ἐξυψώνοντας τὸν ἑαυτό του, ἀλλὰ κάνοντάς το αὐτὸ γιὰ τὸ συμφέρον καὶ δείχνοντας ἀπὸ ἐδῶ τὸ ἀξιόπιστο, ὄχι ἐξ αἰτίας τοῦ ἑαυτοῦ του, ἀλλὰ γιὰ νὰ λάβει εὐκολότερα τὴ χάρη. Σὰν νὰ ἔλεγε· 'Γιὰ σᾶς εἶμαι τώρα φυλακισμένος'. Ὅπως ἀκριβῶς εἶπε καὶ ἀλλοῦ, ἐκεῖ βέβαια δείχνοντας τὴ φροντίδα του, ἐνῶ ἐδῶ τὸ ἀξιόπιστο. Τίποτε δὲν εἶναι μεγαλύτερο ἀπὸ τὸ καύχημα αὐτό, ἀπὸ τὸ νὰ ὀνομάζεται δηλαδὴ ἄνθρωπος ποὺ φέρει στίγματα τοῦ Χριστοῦ· γιατὶ λέγει, «ἐγὼ φέρω τὰ στίγματα τοῦ Χριστοῦ»[1].

«Ὁ φυλακισμένος τοῦ Χριστοῦ». Γιὰ χάρη του δηλαδὴ εἶχε φυλακισθεῖ. Ποιός δὲ θὰ φοβηθεῖ, ποιός δὲ θὰ συγκινηθεῖ ἀκούοντας νὰ γίνεται λόγος γιὰ δεσμὰ τοῦ Χριστοῦ; Ποιός δὲ θὰ πρόσφερε καὶ τὴν ψυχή του καὶ ὄχι μόνο ἕναν ὑπηρέτη; «Καὶ ὁ Τιμόθεος ὁ ἀδελφός». Παίρνει μαζί του καὶ ἄλλον, ὥστε καὶ μὲ ἐκεῖνον, ποὺ ἀπολαμβάνει τιμὴ ἀπὸ τοὺς πολλούς, νὰ τὸν κάνει νὰ ὑποχωρήσει

τὴν χάριν. «Φιλήμονι τῷ ἀγαπητῷ καὶ συνεργῷ ἡμῶν». Εἰ ἀγαπητός, οὐ τόλμα τὸ θαρρεῖν οὐδὲ προπέτεια, ἀλλὰ πολλῆς φιλίας δεῖγμα· εἰ συνεργός, οὐ μόνον ἀξιοῦσθαι ὑπὲρ τῶν τοιούτων, ἀλλὰ καὶ χάριν εἰδέναι ὀφείλει· ἑαυτῷ γὰρ χαρίζεται, τὸ αὐτὸ ἔρ- 5 *γον οἰκοδομεῖται. Ὥστε καὶ χωρὶς ἀξιώσεως ἑτέραν ἀνάγκην, φησίν, ἔχεις τοῦ δοῦναι τὴν χάριν· εἰ γὰρ τῷ εὐαγγελίῳ ἐστὶ χρήσιμος, σὺ δὲ εἰς τὸ εὐαγγέλιον σπουδάζεις, ἄρα οὐκ ἀξιωθῆναι, ἀλλ' ἀξιῶσαι ὀφείλεις.*

«Καὶ Ἀπφίᾳ τῇ ἀγαπητῇ». Ἐμοὶ δοκεῖ σύμβιον εἶναι τού- 10 *του. Ὅρα Παύλου τὸ ταπεινόν· καὶ Τιμόθεον παραλαμβάνει πρὸς τὴν ἀξίωσιν, καὶ οὐ τὸν ἄνδρα μόνον ἀξιοῖ, ἀλλὰ καὶ τὴν γυναῖκα, καὶ ἕτερόν τινα ἴσως φίλον. «Καὶ Ἀρχίππῳ», φησί, «τῷ συστρατιώτῃ ἡμῶν». Οὐκ ἐξ ἐπιτάγματος βουλόμενος τὰ τοιαῦτα ἀνύειν, οὐδὲ ἀγανακτῶν, εἰ μὴ εὐθέως κελεύσαντι ὑπα-* 15 *κούει, ἀλλ' ἅπερ ἂν ἀνὴρ ἄγνωστος ἐποίει, ταῦτα ποιεῖν κἀκείνους ἀξιοῖ, ὥστε ἀντιλαβέσθαι τῆς δεήσεως. Οὐ γὰρ τὸ παρὰ πολλῶν ἀξιοῦσθαι μόνον, ἀλλὰ καὶ τὸ πρὸς πολλοὺς τὴν δέησιν γενέσθαι, φέρει τι εἰς τὸ ἀνυσθῆναι τὸ ἀξιούμενον. Διὰ τοῦτο ἔλεγε· «καὶ Ἀρχίππῳ τῷ συστρατιώτῃ ἡμῶν». Εἰ συστρατιώτης εἶ,* 20 *καὶ ἐν τούτοις κοινωνεῖν ὀφείλεις. Οὗτος δέ ἐστιν Ἄρχιππος, περὶ οὗ γράφων Κολοσσαεῦσιν ἔλεγεν· «εἴπατε Ἀρχίππῳ, βλέπε τὴν διακονίαν, ἣν παρέλαβες ἐν Κυρίῳ, ἵνα αὐτὴν πληροῖς». Δοκεῖ μοι οὗτος καὶ εἶναι τῶν ἐν κλήρῳ κατειλεγμένων· ὃν καὶ παραλαμβάνει εἰς τὴν ἀξίωσιν, καὶ συστρατιώτην καλεῖ, ὥστε* 25 *παντὶ τρόπῳ συνάρασθαι.*

«Καὶ τῇ κατ' οἶκόν σου ἐκκλησίᾳ». Οὐδὲ δούλους παρῆκεν ἐνταῦθα· οἶδε γὰρ πολλάκις καὶ ῥήματα δούλων ἀνατρέψαι δυνάμενα τὸν δεσπότην, καὶ μάλιστα ὅταν ὑπὲρ δούλου ἡ ἀξίωσις ᾖ· οἱ δὲ μάλιστα παροξύνοντες, ἴσως ἐκεῖνοι ἦσαν. Οὐ τοίνυν 30 *ἀφίησιν αὐτοὺς εἰς φθόνον ἐμπεσεῖν, τῇ προσηγορίᾳ τιμήσας μετὰ τῶν δεσποτῶν. Ἀλλ' οὐδὲ τὸν δεσπότην ἀγανακτῆσαι συγ-*

---

2. Κολ.4,17.

πιὸ εὔκολα καὶ νὰ δώσει τὴ χάρη. «Πρὸς τὸ Φιλήμονα τὸν ἀγαπητὸ καὶ συνεργάτη μας». Ἀφοῦ εἶναι ἀγαπητός, δὲν εἶναι τόλμη τὸ θάρρος οὔτε ἀπερισκεψία, ἀλλὰ δεῖγμα μεγάλης φιλίας. Ἀφοῦ εἶναι συνεργάτης, ὄχι μόνο πρέπει νὰ τιμᾶται γι' αὐτά, ἀλλὰ καὶ νὰ αἰσθάνεται εὐγνωμοσύνη. Γιατὶ στὸν ἑαυτό του κάνει χάρη, τὸ ἴδιο ἔργο οἰκοδομεῖται. Ὥστε καὶ χωρὶς ἀξίωση, λέγει, ἔχεις ἄλλη ὑποχρέωση νὰ μοῦ κάνεις τὴ χάρη. Γιατί, ἂν αὐτὸς εἶναι χρήσιμος στὸ εὐαγγέλιο, ἐσὺ ὅμως ἐργάζεσαι στὸ εὐαγγέλιο· ἄρα δὲν πρέπει νὰ ἔχεις τὴν ἀξίωση νὰ τιμηθεῖς, ἀλλὰ νὰ τιμήσεις.

«Καὶ στὴν Ἀπφία τὴν ἀγαπητή». Μοῦ φαίνεται πὼς αὐτὴ ἦταν σύζυγός του. Πρόσεχε τὴ σεμνότητα τοῦ Παύλου· καὶ τὸν Τιμόθεο συμπεριλαμβάνει γιὰ τὴν ἀπόδοση τιμῆς, καὶ ὄχι μόνο τὸν ἄνδρα τιμάει, ἀλλὰ καὶ τὴ γυναίκα του, καὶ ἴσως καὶ κάποιον ἄλλον φίλο. «Καὶ πρὸς τὸν Ἄρχιππο», λέγει, «τὸ συστρατιώτη μας». Δὲ θέλει νὰ φθάνει σὲ τέτοια ἔργα ὕστερα ἀπὸ διαταγή, οὔτε ἀγανακτώντας, ἂν δὲν ὑπακούει ἀμέσως σ' αὐτὸν ποὺ ἔδωσε τὴν ἐντολή, ἀλλ' ἐκεῖνα ποὺ θὰ ἔκανε ἕνας ἄγνωστος ἄνδρας, αὐτὰ ἔχει τὴν ἀξίωση νὰ κάνουν καὶ ἐκεῖνοι, ὥστε νὰ ἐκπληρώσει τὴν παράκληση. Γιατὶ ὄχι μόνο ἡ πρὸς πολλοὺς ἀπαίτηση, ἀλλὰ καὶ ἡ παράκληση πρὸς πολλοὺς συντελεῖ κάπως στὸ νὰ κατορθωθεῖ τὸ ζητούμενο. Γι' αὐτὸ ἔλεγε· «καὶ στὸν Ἄρχιππο τὸ συστρατιώτη μας». Ἀφοῦ εἶσαι συστρατιώτης, ὀφείλεις καὶ σ' αὐτὰ νὰ λάβεις μέρος. Καὶ αὐτὸς εἶναι ὁ Ἄρχιππος γιὰ τὸν ὁποῖο γράφοντας στοὺς Κολοσσαεῖς ἔλεγε· «νὰ πεῖτε στὸν Ἄρχιππο, 'πρόσεχε νὰ ἐκπληρώνεις τὴν ὑπηρεσία ποὺ σοῦ ἀνέθεσε ὁ Κύριος'»[2]. Μοῦ φαίνεται πὼς αὐτὸς ἦταν καὶ ἀπὸ ἐκείνους ποὺ εἶχαν ἐνταχθεῖ στὸν κλῆρο. Αὐτὸν συμπεριλαμβάνει στὴν ἀξίωση καὶ τὸν ὀνομάζει συστρατιώτη, ὥστε μὲ κάθε τρόπο νὰ βοηθήσει.

«Καὶ στὴν ἐκκλησία τοῦ σπιτιοῦ σου». Οὔτε τοὺς δούλους παραλείπει ἐδῶ. Γιατὶ ξέρει ὅτι πολλὲς φορὲς ἀκόμη καὶ τὰ λόγια τῶν δούλων μποροῦν νὰ μεταστρέψουν τὸν κύριο, καὶ μάλιστα ὅταν ἡ ἀξίωση γίνεται γιὰ χάρη δούλου· καὶ ἐκεῖνοι ποὺ τὸν ἐξόργιζαν ὑπερβολικὰ ἦταν ἴσως ἐκεῖνοι. Δὲν τοὺς ἀφήνει λοιπὸν νὰ πέσουν σὲ φθόνο, ἀφοῦ μὲ τὴν προσφώνηση τοὺς τίμησε μαζὶ μὲ τοὺς κυρίους. Ἀλλὰ οὔτε τὸν κύριο ἐπιτρέπει ν' ἀγανακτήσει. Γιατί, ἂν

χωρεῖ. Εἰ μὲν γὰρ ὀνομαστὶ εἶπεν, ἴσως ἂν ἠγανάκτησεν· εἰ δὲ μὴ ἐμνήσθη, κἂν ἐδυσχέρανεν. Ὅρα οὖν, πῶς συνετῶς εὗρε διὰ τοῦ μνησθῆναι καὶ τούτους τῇ μνήμῃ τιμῆσαι, κἀκεῖνον μὴ πλῆξαι. Τὸ γὰρ τῆς Ἐκκλησίας ὄνομα οὐκ ἀφίησι τοὺς δεσπότας ἀγανα- 5 *κτεῖν, εἴ γε συναριθμοῖντο τοῖς οἰκέταις. Καὶ γὰρ ἡ Ἐκκλησία οὐκ οἶδε δεσπότου, οὐκ οἶδεν οἰκέτου διαφοράν· ἀπὸ κατορθωμάτων καὶ ἁμαρτημάτων τοῦτον κἀκεῖνον ὁρίζει. Εἰ τοίνυν Ἐκκλησία ἐστί, μὴ ἀγανάκτει, ὅτι μετὰ σοῦ προσηγορεύθη ὁ δοῦλος· «ἐν γὰρ Χριστῷ Ἰησοῦ οὐ δοῦλος, οὐκ ἐλεύθερος».*

10 *«Χάρις ὑμῖν καὶ εἰρήνη». Εἰς ὑπόμνησιν αὐτὸν ἤνεγκε τῶν οἰκείων ἁμαρτημάτων, τῆς χάριτος ὑπομνήσας. Ἐννόησον, φησίν, ὅσα σοι συνεχώρησεν ὁ Θεός, πῶς χάριτι σὺ ἐσώθης· μίμησαι τὸν Δεσπότην. Ἐπεύχεται δὲ αὐτῷ τὴν εἰρήνην· εἰκότως. Τότε γὰρ παραγίνεται καὶ αὐτή, ὅταν μιμώμεθα αὐτόν, ὅταν ἐπι-* 15 *μένῃ ἡ χάρις· ἐπεὶ κἀκεῖνος ὁ δοῦλος ὁ περὶ τὸν σύνδουλον ἀνηλεὴς γεγονώς, ἕως ὅτε οὐκ ἀπῄτει τὰ ἑκατὸν δηνάρια, καὶ ἡ χάρις ἔμενεν ἡ δεσποτική· ἐπειδὴ δὲ ἀπῄτησεν, ἀφῃρέθη καὶ παρεδόθη τοῖς βασανισταῖς.*

2. Ταῦτα δὴ καὶ ἡμεῖς ἐννοοῦντες, οἰκτίρμονες ὦμεν, συγγνω- 20 *μονικοὶ καὶ περὶ τοὺς ἁμαρτάνοντας εἰς ἡμᾶς. Ἑκατὸν δηνάριά ἐστιν ἐνταῦθα τὰ εἰς ἡμᾶς ἁμαρτήματα, τὰ δὲ εἰς τὸν Θεὸν παρ᾽ ἡμῶν, μυρία τάλαντα. Ἴστε δέ, ὅτι καὶ τῇ ποιότητι τῶν προσώπων τὰ ἁμαρτήματα κρίνονται. Οἷόν τι λέγω· ὁ τὸν ἰδιώτην ὑβρίσας ἥμαρτεν, ἀλλ᾽ οὐχ ὁμοίως ὡς ὁ τὸν ἄρχοντα· καὶ μειζό-* 25 *νως τούτου ὁ τὸν μείζονα ἄρχοντα, ἀλλ᾽ οὐχ ὁμοίως ὁ τὸν ἐλάττονα· ὁ δὲ τὸν βασιλέα, πολλῷ πλέον· καὶ ἡ μὲν ὕβρις ἐστὶν ἡ αὐτή, τῇ δὲ ὑπεροχῇ τοῦ προσώπου μείζων γίνεται. Εἰ δὲ ὁ βασιλέα ὑβρίζων ἀφόρητον ἔχει τὴν τιμωρίαν διὰ τὴν τοῦ προσώπου ἀξιοπιστίαν, ὁ τὸν Θεὸν ὑβρίζων πόσων ἔσται ὑπεύθυνος ταλάν-* 30 *των; Ὥστε κἂν τὰ αὐτὰ εἰς τὸν Θεὸν ἁμαρτάνωμεν, ἅπερ εἰς*

---

3. Γαλ. 3,28. 4. Βλ. Ματθ. 18,21–35.

τοὺς ἀνέφερε ὀνομαστικά, ἴσως ν' ἀγανακτοῦσε· καὶ ἂν δὲ τοὺς θυμόταν, ἴσως θὰ τοὺς δυσανασχετοῦσε. Πρόσεχε λοιπὸν πῶς μὲ σύνεση κατόρθωσε μὲ τὸ νὰ θυμηθεῖ αὐτούς, καὶ αὐτοὺς νὰ τιμήσει μὲ τὸ νὰ τοὺς ἀναφέρει, καὶ ἐκεῖνον νὰ μὴν πληγώσει. Γιατὶ τὸ ὄνομα τῆς ἐκκλησίας δὲν ἀφήνει τοὺς κυρίους ν' ἀγανακτοῦν, ἐφόσον συναριθμοῦνται μὲ τοὺς ὑπηρέτες. Γιατὶ πραγματικὰ ἡ Ἐκκλησία δὲν ἀναγνωρίζει τὴ διαφορὰ κυρίου καὶ ὑπηρέτη· ἀπὸ τὰ κατορθώματα καὶ τὰ ἁμαρτήματα ὁρίζει καὶ τὸν ἕναν καὶ τὸν ἄλλον. Ἀφοῦ λοιπὸν εἶναι ἐκκλησία, νὰ μὴν ἀγανακτεῖς, ἐπειδὴ μαζὶ μὲ σένα προσφώνησε τὸ δοῦλο, γιατὶ «γιὰ τὸν Ἰησοῦ Χριστὸ δὲν ὑπάρχει δοῦλος καὶ ἐλεύθερος»[3].

«Ἡ χάρη νὰ εἶναι μαζί σας καὶ ἡ εἰρήνη». Τὸν ὁδήγησε στὴν ὑπενθύμιση τῶν ἁμαρτημάτων του, ὑπενθυμίζοντάς του τὴ χάρη. Σκέψου, λέγει, πόσα σοῦ συγχώρησε ὁ Θεός, πῶς ἐσὺ σώθηκες μὲ τὴ χάρη· μιμήσου τὸν Κύριο. Καὶ εὔχεται σ' αὐτὸν τὴν εἰρήνη. Καὶ πολὺ σωστά. Γιατὶ καὶ αὐτὴ τότε ἔρχεται, ὅταν μιμούμαστε τὸν Κύριο, ὅταν παραμένει ἡ χάρη. Ἐπειδὴ καὶ ἐκεῖνος ὁ δοῦλος ποὺ εἶχε γίνει σκληρὸς πρὸς τὸ σύνδουλό του, ὅσο δὲ ζητοῦσε τὰ ἑκατὸ δηνάρια, εἶχε καὶ τὴ χάρη τοῦ Κυρίου του, ὅταν ὅμως τὰ ζήτησε, τὴ στερήθηκε καὶ παραδόθηκε στοὺς βασανιστές[4].

2. Ἔχοντας λοιπὸν καὶ ἐμεῖς αὐτὰ στὸ νοῦ μας, ἂς εἴμαστε φιλεύσπλαχνοι καὶ ἂς δίνουμε συγγνώμη σ' ἐκείνους ποὺ ἁμαρτάνουν πρὸς ἐμᾶς. Τὰ ἑκατὸ δηνάρια σημαίνουν ἐδῶ τὰ ἁμαρτήματα πρὸς μᾶς, ἐνῶ τὰ μύρια τάλαντα τὰ ἁμαρτήματά μας πρὸς τὸ Θεό. Καὶ γνωρίζετε ὅτι τὰ ἁμαρτήματα κρίνονται καὶ σὲ σχέση μὲ τὰ πρόσωπα. Ἐννοῶ τὸ ἑξῆς μ' αὐτό· ἐκεῖνος ποὺ ἔβρισε τὸν ἰδιώτη ἁμάρτησε, ἀλλὰ ὄχι ὅμοια ὅπως ἐκεῖνος ποὺ ἔβρισε τὸν ἄρχοντα· καὶ περισσότερο ἀπ' αὐτὸν ἐκεῖνος ποὺ ἔβρισε τὸν μεγαλύτερο ἄρχοντα, ἀλλ' ὄχι ὅμοια ὅπως αὐτὸς ποὺ ἔβρισε τὸν κατώτερο· ἐνῶ ἐκεῖνος ποὺ ἔβρισε τὸ βασιλιὰ ἁμάρτησε πολὺ περισσότερο. Καὶ ἡ ὕβρη βέβαια εἶναι ἡ ἴδια, γίνεται ὅμως μεγαλύτερη ἀπὸ τὸ ἀξίωμα τοῦ προσώπου. Ἂν ὅμως ἐκεῖνος ποὺ βρίζει τὸ βασιλιὰ δέχεται ἀβάστακτη τιμωρία ἐξ αἰτίας τοῦ ἀξιώματος τοῦ προσώπου, αὐτὸς ποὺ βρίζει τὸ Θεὸ γιὰ πόσα τάλαντα (ἁμαρτήματα) θὰ εἶναι ὑπεύθυνος; Ὥστε, καὶ ἂν ἀκόμη κάνουμε στὸ Θεὸ τὰ ἴδια ἁμαρτήματα ποὺ κάνουμε

τοὺς ἀνθρώπους, οὐδὲ οὕτω τὸ ἴσον ἐστίν, ἀλλ' ὅσον μέσον Θεοῦ καὶ ἀνθρώπων, τοσοῦτον τῶν ἁμαρτημάτων ἐκείνων καὶ τούτων.

Νῦν δὲ καὶ πλείονα εὑρίσκω τὰ ἁμαρτήματα, οὐ τῇ ὑπε-
5 *ροχῇ τοῦ προσώπου μεγάλα μόνον γινόμενα, ἀλλὰ καὶ αὐτῇ τῇ φύσει· καὶ φρικτὸς μὲν ὁ λόγος, ὃν μέλλω λέγειν, καὶ φοβερὸς ὄντως, πλὴν ἀνάγκη λεχθῆναι, ἵνα κἂν οὕτως ἡμῶν τὴν διάνοιαν κατασείσῃ καὶ παρασαλεύσῃ, δεικνὺς ὅτι πολλῷ πλέον ἀνθρώπους φοβούμεθα ἢ τὸν Θεόν, καὶ τιμῶμεν ἀνθρώπους ἢ τὸν*
10 *Θεόν. Σκόπει γάρ· ὁ μοιχεύων οἶδεν, ὅτι Θεὸς αὐτὸν ὁρᾷ, καὶ τούτου μὲν καταφρονεῖ· ἂν δὲ ἄνθρωπος ἴδῃ, κατέχει τὴν ἐπιθυμίαν. Ὁ τοιοῦτος οὐχὶ προτιμᾷ ἀνθρώπους μόνον Θεοῦ, οὐχὶ μόνον ὑβρίζει τὸν Θεόν, ἀλλὰ καὶ τὸ πολλῷ χαλεπώτερον, ἐκείνους δεδοικώς, τούτου καταφρονεῖ. Ἂν μὲν γὰρ ἐκείνους ἴδῃ, κατέχει*
15 *τὴν φλόγα τῆς ἐπιθυμίας· μᾶλλον δὲ ποίαν φλόγα; οὐκ ἔστι φλόξ, ἀλλὰ ὕβρις. Εἰ μὲν γὰρ μὴ ἐξῆν γυναικὶ κεχρῆσθαι, εἰκότως φλὸξ τὸ πρᾶγμα ἦν, νυνὶ δὲ ὕβρις καὶ στρῆνος· ἂν μὲν γὰρ ἀνθρώπους ἴδῃ, ἵσταται τῆς μανίας, τῆς δὲ τοῦ Θεοῦ μακροθυμίας ἔλαττον φροντίζει.*

20 *Πάλιν ἕτερος, ὁ κλέπτων σύνοιδεν ὅτι ἁρπάζει, καὶ ἀνθρώπους μὲν πειρᾶται ἀπατῆσαι, καὶ ἀπολογεῖται πρὸς τοὺς ἐγκαλοῦντας, καὶ σχῆμα περιτίθησι τῇ ἀπολογίᾳ· τὸν δὲ Θεὸν μὴ δυνάμενος πεῖσαι, οὐ φροντίζει, οὐδὲ αἰδεῖται, οὐδὲ τιμᾷ. Κἂν μὲν ὁ βασιλεὺς κελεύσῃ ἀπέχεσθαι τῶν ἑτέρου χρημάτων, μᾶλ-*
25 *λον δὲ καὶ τὰ αὐτοῦ δοῦναι, πάντες ἑτοίμως εἰσφέρομεν· τοῦ δὲ Θεοῦ κελεύοντος μὴ ἁρπάζειν, μηδὲ τὰ ἑτέρων συνάγειν, οὐκ ἀνεχόμεθα. Ὁρᾷς, ὅτι προτιμῶμεν ἀνθρώπους τοῦ Θεοῦ; Φορτικὸν τὸ ῥῆμα καὶ ἐπαχθές· ἀλλὰ δείξατε ὅτι φορτικόν, φεύγετε τὸ ἔργον· εἰ δὲ τὸ ἔργον οὐ δεδοίκατε, πῶς ὑμῖν πιστεῦσαι δύναμαι*
30 *λέγουσιν, ὅτι τὰ ῥήματα δεδοίκαμεν, καὶ βαρεῖς ἡμᾶς; Ὑμεῖς ἑαυτοὺς τῷ ἔργῳ βαρεῖτε, καὶ οὐδεὶς λόγος· ἐγὼ δὲ ἂν τὰ ῥήματα*

πρὸς τοὺς ἀνθρώπους, δὲν εἶναι ἔτσι τὸ ἴδιο, ἀλλὰ ὅση διαφορὰ ὑπάρχει ἀνάμεσα στὸ Θεὸ καὶ στοὺς ἀνθρώπους, τόση ὑπάρχει καὶ ἀνάμεσα στὰ ἁμαρτήματα ἐκεῖνα καὶ σ' αὐτά.

Τώρα ὅμως βρίσκω περισσότερα τὰ ἁμαρτήματα, ποὺ εἶναι μεγάλα ὄχι μόνο ἐξαιτίας τοῦ ἀξιώματος τοῦ προσώπου, ἀλλὰ καὶ ἀπὸ τὴν ἴδια τὴ φύση τους. Καὶ εἶναι φρικτὸς ὁ λόγος ποὺ πρόκειται νὰ πῶ καὶ ἀληθινὰ φοβερός, ἀλλ' ὅμως εἶναι ἀνάγκη νὰ λεχθεῖ, ὥστε ἔστω καὶ ἔτσι νὰ συγκλονίσει καὶ νὰ παρασαλεύσει τὸ νοῦ μας, δείχνοντας ὅτι φοβούμαστε πολὺ περισσότερο τοὺς ἀνθρώπους παρὰ τὸ Θεό, καὶ ὅτι τιμᾶμε τοὺς ἀνθρώπους παρὰ τὸ Θεό. Πρόσεχε λοιπόν· ἐκεῖνος ποὺ διαπράττει μοιχεία γνωρίζει ὅτι τὸν βλέπει ὁ Θεὸς καὶ ὅμως τὸν περιφρονεῖ· ἂν τὸν δεῖ ἄνθρωπος, συγκρατεῖ τὴν ἐπιθυμία του. Αὐτὸς ὄχι μόνο προτιμάει τοὺς ἀνθρώπους ἀπὸ τὸ Θεό, ὄχι μόνο ὑβρίζει τὸ Θεό, ἀλλὰ καὶ τὸ πολὺ φοβερότερο, ἐνῶ φοβᾶται τοὺς ἀνθρώπους, περιφρονεῖ τὸ Θεό. Ἂν δεῖ τοὺς ἀνθρώπους, συγκρατεῖ τὴ φλόγα τῆς ἐπιθυμίας. Ἢ καλύτερα, ποιά φλόγα; Δὲν ὑπάρχει φλόγα, ἀλλὰ ὕβρη. Γιατί, ἂν δὲν τοῦ ἐπιτρεπόταν νὰ ἔχει γυναίκα, δικαιολογημένα τὸ πράγμα θὰ ἦταν φλόγα· τώρα ὅμως εἶναι ὕβρη καὶ ἀσέλγεια, γιατί, ὅταν δεῖ ἀνθρώπους, σταματάει τὴ μανία του, ἐνῶ ἐνδιαφέρεται λιγότερο γιὰ τὴ μακροθυμία τοῦ Θεοῦ.

Ἄλλος πάλι, ὁ κλέφτης, γνωρίζει ὅτι ἁρπάζει, καὶ τοὺς ἀνθρώπους βέβαια προσπαθεῖ νὰ τοὺς ἐξεπατήσει καὶ ἀπολογεῖται στοὺς κατηγόρους του καὶ περιβάλλει μὲ ρητορικὰ σχήματα τὴν ἀπολογία του, τὸ Θεὸ ὅμως, ποὺ δὲν μπορεῖ νὰ τὸν πείσει, δὲν τὸν φροντίζει οὔτε τὸν σέβεται οὔτε τὸν τιμάει. Καὶ ἂν βέβαια ὁ βασιλιὰς προστάξει, ν' ἀπέχει κανεὶς ἀπὸ τὰ χρήματα τοῦ ἄλλου, ἢ καλύτερα καὶ νὰ δώσει τὰ δικά του, ὅλοι τὰ προσφέρουμε μὲ προθυμία, ὅταν ὅμως ὁ Θεὸς προστάζει νὰ μὴν ἁρπάζουμε οὔτε νὰ μαζεύουμε τὰ πράγματα τῶν ἄλλων, δὲ δεχόμαστε. Βλέπεις ὅτι προτιμᾶμε τοὺς ἀνθρώπους ἀπὸ τὸ Θεό; Εἶναι βαρὺς ὁ λόγος καὶ δυσάρεστος. Ἀποδεῖξτε ὅμως ὅτι εἶναι βαρύς, ἀποφεύγετε αὐτὸ τὸ ἔργο. Ἂν ὅμως δὲ φοβᾶστε τὸ ἔργο, πῶς μπορῶ νὰ σᾶς πιστέψω ὅταν λέτε, 'φοβούμαστε τὰ λόγια, καὶ μᾶς στενοχωρεῖς'; Ἐσεῖς μόνοι σας στενοχωρεῖτε τὸν ἑαυτό σας μὲ τὸ ἔργο αὐτό, καὶ κανεὶς λόγος. Ἐγὼ

εἴπω, ὧν ὑμεῖς τὰ πράγματα πράττετε, ἀγανακτεῖτε· καὶ πῶς οὐκ ἄτοπον; Γένοιτο ψεῦδος εἶναι τὰ παρ' ἐμοῦ. Βούλομαι αὐτὸς λοιδορίας δόξαν λαβεῖν κατ' ἐκείνην τὴν ἡμέραν, ὡς εἰκῇ καὶ μάτην λοιδορησάμενος ὑμᾶς, ἢ ἰδεῖν ὑπὲρ τοιούτων ἐγκαλουμέ- 5 *νους.*

Οὐ μόνον δὲ αὐτοὶ ἀνθρώπους προτιμᾶτε τοῦ Θεοῦ, ἀλλὰ καὶ ἑτέρους ἀναγκάζετε. Πολλοὶ πολλοὺς οἰκέτας ἠνάγκασαν, καὶ παῖδας· οἱ μὲν εἰς γάμους εἵλκυσαν μὴ βουλομένους, οἱ δὲ ὑπηρετήσασθαι διακονίαις ἀτόποις, καὶ ἔρωτι μιαρῷ καὶ ἁρπα- 10 *γαῖς καὶ πλεονεξίαις καὶ βίαις· ὥστε διπλοῦν εἶναι τὸ ἔγκλημα, καὶ μηδὲ ἀπὸ τῆς ἀνάγκης δύνασθαι συγγνώμην αὐτοὺς εὑρέσθαι. Εἰ γὰρ αὐτὸν ἄκων πράττεις τὰ πονηρὰ καὶ διὰ τὸ ἐπίταγμα τοῦ ἄρχοντος, μάλιστα μὲν οὐδὲ οὕτως ἱκανὴ ἡ ἀπολογία, πλὴν χαλεπωτέρα γίνεται ἡ ἁμαρτία, ὅταν καὶ ἐκείνους ἀναγ-* 15 *κάζῃς τοῖς αὐτοῖς περιπίπτειν. Ποία γὰρ ἂν εἴη τῷ τοιούτῳ συγγνώμη λοιπόν;*

Ταῦτα εἶπον, οὐχὶ κατακρῖναι βουλόμενος ὑμᾶς, ἀλλὰ δεῖξαι, πόσων ἐσμὲν ὀφειλέται τῷ Θεῷ. Εἰ γὰρ καὶ ἐξ ἴσου τιμῶντες ἄνθρωπον τῷ Θεῷ, ὑβρίζομεν τὸν Θεόν, πολλῷ μᾶλλον, 20 *ὅταν προτιμῶμεν ἀνθρώπους. Εἰ δὲ ταῦτα τὰ ἁμαρτήματα τὰ εἰς ἀνθρώπους γινόμενα, εἰς Θεὸν πολλῷ μείζονα δείκνυται, πόσῳ μᾶλλον ὅταν καὶ αὐτὴ ἡ ἁμαρτία τῇ ποιότητι μείζων ᾖ καὶ χαλεπωτέρα; Ἐξεταζέτω τις ἑαυτόν, καὶ ὄψεται πάντα δι' ἀνθρώπους ποιῶν. Σφόδρα ἂν ἦμεν μακάριοι, εἰ τοσαῦτα διὰ τὸν Θεὸν* 25 *ἐπράττομεν, ὅσα διὰ τοὺς ἀνθρώπους καὶ τὴν παρὰ τῶν ἀνθρώπων δόξαν καὶ τὸν φόβον καὶ τὴν τιμήν. Εἰ τοίνυν τοσούτων ἐσμὲν ὑπεύθυνοι, ὀφείλομεν μετὰ πάσης προθυμίας ἀφιέναι τοῖς ἀδικοῦσιν ἡμᾶς καὶ πλεονεκτοῦσι καὶ μὴ μνησικακεῖν. Ὁδὸς γάρ ἐστι λύσεως ἁμαρτημάτων, οὐ πόνων δεομένη, οὐδὲ δαπάνης* 30 *χρημάτων, οὐδὲ ἄλλου οὐδενός, ἀλλ' ἁπλῶς προαιρέσεως· οὐκ ἀποδημίαν χρὴ στείλασθαι, οὐκ εἰς τὴν ὑπερορίαν ἐλθεῖν, οὐ κινδύνους ὑποστῆναι καὶ πόνους, ἀλλὰ θελῆσαι μόνον.*

3. Ποίαν, εἰπέ μοι, συγγνώμην ἕξομεν ἐν τοῖς δοκοῦσιν εἶναι

ὅμως ἂν πῶ τὰ λόγια αὐτά, τὰ ἔργα τῶν ὁποίων κάνετε σεῖς, ἀγανακτεῖτε. Καὶ πῶς δὲν εἶναι παράλογο αὐτό; Εἴθε νὰ εἶναι ψέμα τὰ δικά μου. Ἐπιθυμῶ ὁ ἴδιος νὰ φανῶ κακολόγος κατὰ τὴν ἡμέρα τῆς κρίσης, ἐπειδὴ σᾶς κακολόγησα χωρὶς λόγο καὶ ἄσκοπα, παρὰ νὰ σᾶς δῶ νὰ κατηγορεῖστε γι' αὐτὰ τὰ πράγματα.

Καὶ ὄχι μόνο ἐσεῖς προτιμᾶτε τοὺς ἀνθρώπους ἀπὸ τὸ Θεό, ἀλλ' ἀναγκάζετε καὶ ἄλλους. Πολλοὶ ἀνάγκασαν σ' αὐτὸ πολλοὺς ὑπηρέτες καὶ δούλους. Ἄλλοι τοὺς ἔσυραν σὲ γάμους χωρὶς τὴ θέλησή τους καὶ ἄλλοι τοὺς ἀνάγκασαν νὰ τοὺς ὑπηρετήσουν μὲ παράλογες ὑπηρεσίες καὶ μὲ αἰσχρὸ ἔρωτα καὶ μὲ ἁρπαγὲς καὶ πλεονεξίες καὶ βία. Ὥστε διπλὸ εἶναι τὸ ἔγκλημα καὶ οὔτε μὲ πρόφαση τὴν ἀνάγκη μποροῦν αὐτοὶ νὰ βροῦν συγγνώμη. Γιατί, ἂν ὁ ἴδιος πράττεις τὰ πονηρὰ χωρὶς τὴ θέλησή σου καὶ ἐξαιτίας τῆς ἐντολῆς τοῦ ἄρχοντα, δὲν εἶναι οὔτε ἔτσι ἀρκετὴ ἡ δικαιολογία· γίνεται ὅμως φοβερότερη ἡ ἁμαρτία ὅταν τοὺς ἀναγκάζεις καὶ ἐκείνους νὰ περιπέσουν στὰ ἴδια ἁμαρτήματα. Ποιά συγγνώμη λοιπὸν θὰ μποροῦσε νὰ ἔχει πλέον ἕνας τέτοιος;

Τὰ εἶπα αὐτὰ ὄχι γιατὶ θέλω νὰ σᾶς κατακρίνω, ἀλλὰ γιὰ νὰ δείξω γιὰ πόσα εἴμαστε ὀφειλέτες στὸ Θεό. Γιατί, ἂν καὶ ὅταν τιμᾶμε ἕναν ἄνθρωπο τὸ ἴδιο μὲ τὸ Θεὸ ὑβρίζουμε τὸ Θεό, πολὺ περισσότερο τὸν ὑβρίζουμε ὅταν προτιμᾶμε τοὺς ἀνθρώπους. Ἂν ὅμως αὐτὰ τὰ ἁμαρτήματα ποὺ γίνονται σὲ ἀνθρώπους φαίνονται πολὺ μεγαλύτερα ὅταν γίνονται στὸ Θεό, πόσο περισσότερο ὅταν καὶ ἡ ἴδια ἡ ἁμαρτία εἶναι ὡς πρὸς τὴ φύση της μεγαλύτερη καὶ φοβερότερη; Ἂς ἐξετάσει κανεὶς τὸν ἑαυτό του, καὶ θὰ δεῖ ὅτι ὅλα τὰ κάνει γιὰ τοὺς ἀνθρώπους. Θὰ ἤμασταν πάρα πολὺ εὐτυχεῖς ἂν κάναμε γιὰ τὸ Θεὸ τόσα ὅσα κάνουμε γιὰ τοὺς ἀνθρώπους, γιὰ τὴ δόξα τῶν ἀνθρώπων καὶ τὸ φόβο καὶ τὴν τιμή. Ἂν λοιπὸν εἴμαστε γιὰ τόσα πολλὰ ὑπεύθυνοι, πρέπει μὲ κάθε προθυμία νὰ συγχωροῦμε ὅσους μᾶς ἀδικοῦν καὶ μᾶς ἀπατοῦν καὶ νὰ μὴ μνησικακοῦμε. Γιατὶ ὑπάρχει τρόπος συγγνώμης τῶν ἁμαρτημάτων ποὺ δὲ χρειάζεται κόπους οὔτε δαπάνη χρημάτων οὔτε τίποτε ἄλλο, ἀλλὰ μόνο διάθεση. Δὲν χρειάζεται νὰ φύγει κανεὶς γιὰ ταξίδι, οὔτε νὰ πάει σὲ ξένη χώρα, οὔτε νὰ ὑποστεῖ κινδύνους καὶ κόπους, ἀλλὰ νὰ θελήσει μόνο.

3. Ποιά, πές μου, συγγνώμη θὰ ἔχουμε γιὰ ἐκεῖνα ποὺ φαίνονται

δυσκόλοις, ὅταν καὶ κοῦφον πρᾶγμα καὶ τοσοῦτον ἔχον κέρδος καὶ τοσαύτην τὴν ὠφέλειαν καὶ οὐδένα πόνον, μὴ πράττωμεν; Οὐ δύνασαι χρημάτων καταφρονῆσαι; οὐ δύνασαι δαπανῆσαι τὰ ὄντα εἰς τοὺς δεομένους; Θελῆσαι οὐ δύνασαί τι ἀγαθόν; ἀφεῖναι 5 τῷ ἠδικηκότι οὐ δύνασαι; Εἰ γὰρ μὴ τοσούτων ὑπεύθυνος ἧς, ἐκέλευσε δὲ μόνον ὁ Θεὸς ἀφεῖναι, οὐκ ἔδει; νῦν δὲ τοσούτων ὑπεύθυνος ὤν, οὐκ ἀφίῃς, καὶ ταῦτα εἰδώς, ὅτι ἀφ' ὧν ἔχεις ἐξ αὐτοῦ ἀπαιτῇ; Ἂν μὲν οὖν ἡμεῖς παρ' ὀφειλέτην ἔλθωμεν ἡμέτερον, ἐκεῖνος εἰδὼς τοῦτο, θεραπεύει καὶ ὑποδέχεται καὶ τιμᾷ καὶ 10 πᾶσαν ἐπιδείκνυται φιλοφροσύνην μετὰ δαψιλείας, καὶ ταῦτα οὐκ ἀπὸ τοῦ δανείσματος διαλυόμενος, ἀλλ' ἡμέρους ἡμᾶς θέλων καταστῆσαι περὶ τὴν ἀπαίτησιν· σὺ δὲ τῷ Θεῷ ὀφείλων τοσαῦτα, καὶ κελευόμενος ἀφεῖναι, πάλιν ἵνα σὺ λάβῃς, οὐκ ἀφίῃς; τί δήποτε, παρακαλῶ;

15 *Οἴμοι, πόσης μὲν ἀπολαύομεν φιλανθρωπίας; πόσην δὲ ἐπιδεικνύμεθα κακίαν, πόσον ὕπνον, πόσην νωθείαν; πῶς εὔκολον ἡ ἀρετὴ καὶ πολλὴν ἔχον ὠφέλειαν; πῶς ἐργῶδες ἡ κακία; ἡμεῖς δὲ τὸ οὕτως ἐλαφρὸν ἀποφυγόντες διώκομεν τὸ μολύβδου βαρύτερον. Ἐνταῦθα οὐ σώματος ἰσχύος χρεία, οὐ πλούτου, οὐ 20 χρημάτων, οὐ δυναστείας, οὐ φιλίας, οὐκ ἄλλου οὐδενός, ἀλλ' ἀρκεῖ θελῆσαι μόνον, καὶ τὸ πᾶν ἤνυσται. Ἐλύπησεν ὁ δεῖνα καὶ ὕβρισε καὶ ἔσκωψεν; ἀλλ' ἐννόησον, ὅτι καὶ σὺ πολλὰ τοιαῦτα εἰς ἑτέρους ποιεῖς, καὶ εἰς αὐτὸν τὸν Δεσπότην, καὶ ἄνες καὶ συγχώρησον· ἐννόησον, ὅτι λέγεις· «ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, 25 καθὼς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν»· ἐννόησον, ὅτι ἐὰν μὴ ἀφῇς, οὐ δυνήσῃ τοῦτο μετὰ παρρησίας εἰπεῖν, ἂν δὲ ἀφῇς, ὀφειλὴν τὸ πρᾶγμα ἀπαιτεῖς, οὐ διὰ τοῦ δεδωκότος φιλανθρωπίαν. Καὶ ποῦ ἴσον τὰ εἰς τοὺς ὁμοδούλους ἀφιέντα τῶν εἰς τὸν δεσπότην ἡμαρτημένων τὴν ἄφεσιν λαβεῖν; ἀλλ' ὅμως τυγ-30 χάνομεν τῆς τοσαύτης φιλανθρωπίας, ἐπειδὴ πλούσιός ἐστιν ἐν ἐλέει καὶ οἰκτιρμοῖς.*

---

5. Ματθ. 6,12.

δύσκολα, ὅταν δὲν πράττουμε ἕνα πράγμα ποὺ εἶναι εὔκολο καὶ ἔχει τόσο πολὺ κέρδος καὶ τόση μεγάλη ὠφέλεια καὶ κανένα κόπο; Δὲν μπορεῖς νὰ περιφρονήσεις τὰ χρήματα; δὲν μπορεῖς νὰ δαπανήσεις τὰ ὑπάρχοντά σου γιὰ ἐκείνους ποὺ ἔχουν ἀνάγκη; Δὲν μπορεῖς νὰ θελήσεις ἕνα ἀγαθό; δὲν μπορεῖς νὰ συγχωρήσεις αὐτὸν ποὺ σὲ ἀδίκησε; Γιατί, ἂν δὲν εἶσαι ὑπεύθυνος γιὰ τόσα πράγματα καὶ ὁ Θεὸς πρόσταζε μόνο νὰ συγχωρήσεις, δὲν ἔπρεπε νὰ συγχωρήσεις; Τώρα ὅμως, ἂν καὶ εἶσαι ὑπεύθυνος γιὰ τόσο πολλά, δὲ συγχωρεῖς, καὶ ὅλα αὐτὰ τὴ στιγμὴ ποὺ γνωρίζεις ὅτι ἀπ' αὐτὰ ποὺ ἔχεις ἀπ' αὐτὰ ἀπαιτεῖ; Ἂν δηλαδὴ ἐμεῖς πᾶμε στὸν ὀφειλέτη μας, ἐκεῖνος ποὺ τὸ γνωρίζει αὐτὸ μᾶς περιποιεῖται καὶ μᾶς ὑποδέχεται καὶ μᾶς τιμάει καὶ δείχνει κάθε φιλοφροσύνη μὲ τὸ παραπάνω, καὶ αὐτὰ ὄχι γιατὶ ἀπαλλάσσεται ἀπὸ τὸ δάνειο, ἀλλὰ γιατὶ θέλει νὰ μᾶς κάνει ἤπιους ἀπέναντι στὴν ἀπαίτηση τοῦ χρέους. Ἐσὺ ὅμως, ἂν καὶ ὀφείλεις τόσο πολλὰ στὸ Θεὸ καὶ ἔλαβες τὴν ἐντολὴ νὰ συγχωρεῖς, γιὰ νὰ λάβεις πάλι ἐσύ, δὲ συγχωρεῖς;

Ἀλλοίμονο! Πόση φιλανθρωπία ἀπολαμβάνουμε; καὶ πόση κακία δείχνουμε, πόσο ὕπνο, πόση ὀκνηρία; Πόσο εὔκολο πράγμα εἶναι ἡ ἀρετὴ ποὺ ἔχει καὶ πολλὴ ὠφέλεια; πόσο δύσκολη εἶναι ἡ κακία; Ἐμεῖς ὅμως, ἀποφεύγοντας τὸ τόσο ἐλαφρύ, ἐπιδιώκουμε τὸ βαρύτερο ἀπὸ τὸ μολύβι. Ἐδῶ δὲ χρειάζεται δύναμη τοῦ σώματος οὔτε πλοῦτος οὔτε χρήματα οὔτε ἐξουσία οὔτε φιλία οὔτε τίποτε ἄλλο, ἀλλ' ἀρκεῖ νὰ θελήσουμε μόνο καὶ τὰ πάντα ἔχουν ἐπιτευχθεῖ. Σὲ λύπησε ὁ τάδε καὶ σὲ ἔβρισε καὶ σὲ περιέπαιξε; Σκέψου ὅμως ὅτι καὶ σὺ κάνεις πολλὰ τέτοια σὲ ἄλλους καὶ στὸν ἴδιο τὸν Κύριο, καὶ ἄφησε καὶ συγχώρησέ τον. Σκέψου ὅτι λές· «συγχώρησε τὰ ἁμαρτήματά μας, ὅπως καὶ ἐμεῖς συγχωροῦμε ἐκείνους ποὺ μᾶς ἔχουν κάνει κακό»[5]. Σκέψου ὅτι, ἂν δὲ συγχωρήσεις, δὲ θὰ μπορέσεις νὰ τὸ πεῖς αὐτὸ μὲ παρρησία· ἂν ὅμως συγχωρήσεις, ἀπαιτεῖς τὸ πράγμα σὰν ὀφειλή, ὄχι ἐξαιτίας τῆς φύσης τοῦ πράγματος, ἀλλὰ ἐξαιτίας ἐκείνου ποὺ ἔδωσε τὴ φιλανθρωπία. Καὶ πῶς εἶναι τὸ ἴδιο ἡ συγχώρηση τῶν ἁμαρτημάτων τῶν ὁμοδούλων καὶ ἡ συγχώρηση τῶν ἁμαρτημάτων πρὸς τὸν Κύριο; Ἀλλ' ὅμως ἀπολαμβάνουμε τὴν τόσο μεγάλη φιλανθρωπία του, ἐπειδὴ εἶναι πλούσιος σὲ ἔλεος καὶ εὐσπλαχνία.

Ἵνα δέ σοι δείξω, ὅτι καὶ χωρὶς τούτων, καὶ χωρὶς τῆς ἀφέσεως, ἀπὸ τοῦ ἀφεῖναι μόνον σὺ καρποῦσαι τὸ κέρδος, ἐννόησον, πόσους ὁ τοιοῦτος ἔχει φίλους, πῶς πανταχοῦ ἐγκώμια τοῦ τοιούτου ἅπαντες διεξέρχονται λέγοντες· ἀγαθὸς ἀνήρ, εὐκα- 5 *τάλλακτος, οὐκ οἶδε μνησικακῆσαι, ἅμα ἐπλήγη καὶ ἅμα ἰάθη. Τὸν τοιοῦτον περιστάσει τινὶ περιπεσόντα, τίς οὐκ ἐλεήσει; τίς οὐ συγγνώσεται ἁμαρτόντι; τίς οὐ δώσει χάριν ὑπὲρ ἑτέρων ἀξιοῦντι; τίς οὐ θελήσει φίλος εἶναι καὶ δοῦλος ψυχῆς οὕτως ἀγαθῆς; Ναί, παρακαλῶ, πάντα ὑπὲρ τούτου πράττωμεν, μὴ* 10 *πρὸς φίλους, μὴ πρὸς συγγενεῖς μόνον, ἀλλὰ καὶ πρὸς τοὺς οἰκέτας. «Ἀνιέντες γάρ», φησί, «τὴν ἀπειλήν, εἰδότες ὅτι καὶ ὑμῶν ὁ Κύριός ἐστιν ἐν οὐρανοῖς».*

Ἂν ἀφιῶμεν τοῖς πλησίον τὰ ἁμαρτήματα, ἀφεθήσεται καὶ ἡμῖν, ἂν ἐλεημοσύνας παρέχωμεν, ἂν ταπεινοὶ ὦμεν· καὶ γὰρ 15 *καὶ τοῦτο ἀφαιρεῖ ἁμαρτίας. Εἰ γὰρ ὁ τελώνης, ἵνα μόνον εἴπῃ, «ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ», κατῆλθε δεδικαιωμένος, πολλῷ μᾶλλον καὶ ἡμεῖς, ἂν ταπεινοὶ ὦμεν καὶ συντετριμμένοι, δυνησόμεθα πολλῆς φιλανθρωπίας τυχεῖν· ἂν ὁμολογῶμεν τὰ ἑαυτῶν ἁμαρτήματα καὶ καταγινώσκωμεν ἑαυτῶν, τὸ πλέον ἀποσμηξό-* 20 *μεθα τοῦ ῥύπου. Πολλαὶ γὰρ αἱ ὁδοὶ αἱ καθαρεύουσαι. Πάντοθεν τοίνυν πολεμῶμεν τῷ διαβόλῳ. Οὐδὲν εἶπον δύσκολον, οὐδὲν δυσχερές· ἄφες τῷ λελυπηκότι, ἐλέησον τὸν δεόμενον, ταπείνωσόν σου τὴν ψυχήν· κἂν σφόδρα ᾖς ἁμαρτωλός, δυνήσῃ καὶ τῆς βασιλείας ἐπιτυχεῖν, διὰ τούτων αὐτὰ ἐκκαθαίρων τὰ ἁμαρτήμα-* 25 *τα καὶ ἀποσμήχων τὴν κηλῖδα.*

Γένοιτο δέ, ἡμᾶς πάντας ἐνταῦθα ἀποκαθηραμένους ἅπαντα τῶν ἁμαρτημάτων τὸν ῥύπον διὰ τῆς ἐξομολογήσεως, ἐκεῖ τυχεῖν τῶν ἐπηγγελμένων ἀγαθῶν ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, μεθ' οὗ τῷ Πατρὶ ἡ δόξα, τὸ κράτος, ἡ τιμή, σὺν τῷ ἁγίῳ 30 *Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.*

---

6. Ἐφεσ. 6,9.
7. Λουκᾶ 18,13.

Καὶ γιὰ νὰ σοῦ δείξω ὅτι καὶ χωρὶς αὐτὰ καὶ χωρὶς τὴ συγχώρηση, ἀπὸ τὸ νὰ συγχωρήσεις ἐσὺ μόνο ἀπολαμβάνεις τὸ κέρδος, σκέψου πόσους φίλους ἔχει ἕνας τέτοιος ἄνθρωπος, πῶς παντοῦ ὅλοι ἀναφέρουν γι' αὐτὸν ἐπαίνους λέγοντας· 'εἶναι καλὸς ἄνθρωπος, εὔκολα συμφιλιώνεται, δὲν ξέρει νὰ μνησικακήσει, μόλις πληγωθεῖ, ἀμέσως καὶ θεραπεύεται'. Αὐτὸν ὅταν περιπέσει σὲ κάποια δυσκολία ποιός δὲ θὰ τὸν ἐλεήσει; ποιός δὲ θὰ τὸν συγχωρήσει ὅταν ἁμαρτήσει; ποιός δὲ θὰ τοῦ κάνει τὴ χάρη ὅταν τὴ ζητάει γιὰ ἄλλους; ποιός δὲ θὰ θελήσει νὰ εἶναι φίλος καὶ δοῦλος μιᾶς τόσο ἀγαθῆς ψυχῆς; Ναί, παρακαλῶ, ὅλα ἂς τὰ κάνουμε γι' αὐτὸ τὸ πράγμα, ὄχι μόνο πρὸς φίλους καὶ συγγενεῖς, ἀλλὰ καὶ πρὸς τοὺς ὑπηρέτες. «Νὰ ἀφήσετε», λέγει, «τὴν ἀπειλή, γιατὶ πρέπει νὰ ξέρετε ὅτι καὶ ὁ δικός σας ὁ Κύριος εἶναι στοὺς οὐρανούς»[6].

Ἂν συγχωροῦμε στοὺς συνανθρώπους μας τὰ ἁμαρτήματα, θὰ συγχωρηθοῦν καὶ τὰ δικά μας, ἂν κάνουμε ἐλεημοσύνες, ἂν εἴμαστε ταπεινοί· γιατὶ καὶ αὐτὸ συγχωρεῖ ἁμαρτίες. Ἂν δηλαδὴ ὁ τελώνης μὲ τὸ νὰ πεῖ μόνο, «ἐλέησέ με τὸν ἁμαρτωλό»[7], κατέβηκε ἀπὸ τὸ ναὸ δικαιωμένος, πολὺ περισσότερο καὶ ἐμεῖς, ἂν εἴμαστε ταπεινοὶ καὶ γεμάτοι συντριβή, θὰ μπορέσουμε ν' ἀπολαύσουμε πολλὴ φιλανθρωπία. Ἂν ὁμολογοῦμε τὰ ἁμαρτήματά μας καὶ κατηγοροῦμε τὸν ἑαυτό μας, θὰ καθαρίσουμε τὸ περισσότερο μέρος τῆς ἀκαθαρσίας. Γιατὶ εἶναι πολλοὶ οἱ τρόποι ποὺ καθαρίζουν. Ἀπὸ παντοῦ λοιπὸν ἂς πολεμοῦμε τὸ διάβολο. Δὲν εἶπα τίποτε δύσκολο, τίποτε δυσάρεστο. Συγχώρησε ἐκεῖνον ποὺ σὲ λύπησε, βοήθησε ἐκεῖνον ποὺ ἔχει ἀνάγκη, ταπείνωσε τὴν ψυχή σου. Καὶ ἂν ἀκόμη εἶσαι πολὺ ἁμαρτωλὸς θὰ μπορέσεις νὰ ἐπιτύχεις καὶ τὴ βασιλεία τῶν οὐρανῶν, καθαρίζοντας καλὰ μὲ αὐτὰ ἐκεῖνα τὰ ἁμαρτήματα καὶ ἐξαλείφοντας ἐντελῶς τὴν κηλίδα.

Εἴθε ὅλοι ἐμεῖς, ἀφοῦ καθαρίσουμε ἐδῶ μὲ τὴν ἐξομολόγηση ὅλο τὸ ρύπο τῶν ἁμαρτημάτων, νὰ ἐπιτύχουμε ἐκεῖ τὰ ἀγαθὰ ποὺ ὑποσχέθηκε σὲ μᾶς ὁ Θεός, μὲ τὴ βοήθεια τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μαζὶ μὲ τὸν ὁποῖο στὸν Πατέρα καὶ συγχρόνως στὸ ἅγιο Πνεῦμα ἀνήκει ἡ δόξα, ἡ δύναμη καὶ ἡ τιμή, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ Β'

(Φιλήμ. 4–16)

«Εὐχαριστῶ τῷ Θεῷ μου πάντοτε, μνείαν σου ποιούμενος ἐπὶ τῶν προσευχῶν μου, ἀκούων σου τὴν ἀγάπην καὶ τὴν πίστιν, ἣν ἔχεις πρὸς τὸν Κύριον Ἰησοῦν καὶ εἰς πάντας τοὺς ἁγίους, ὅπως ἡ κοινωνία τῆς πίστεώς σου ἐνεργὴς γέ-
5 *νηται ἐν ἐπιγνώσει παντὸς ἀγαθοῦ τοῦ ἐν ἡμῖν εἰς Χριστὸν Ἰησοῦν».*

1. Οὐκ εὐθέως ἐκ προοιμίων αἰτεῖ τὴν χάριν, ἀλλὰ πρότερον τὸν ἄνδρα θαυμάσας, καὶ ἐπαινέσας ἐπὶ τοῖς κατορθώμασι, καὶ τῆς αὐτοῦ ἀγάπης δείξας τεκμήριον οὐ μικρὸν τὸ διαπαντὸς αὐ-
10 *τοῦ μεμνῆσθαι ἐν ταῖς προσευχαῖς, καὶ εἰπών, ὅτι πολλοὶ ἀναπαύονται πρὸς αὐτόν, καὶ πᾶσιν ὑπακούει καὶ πείθεται, τότε καὶ αὐτὴν τελευταῖον τίθησι, μάλιστα αὐτὸν δυσωπῶν τούτῳ. Εἰ γὰρ ἕτεροι ἐπιτυγχάνουσιν ὧν δέονται, πολλῷ μᾶλλον Παῦλος· εἰ πρὸ τῶν ἄλλων ἐλθὼν ἄξιος ἦν τυχεῖν, πολλῷ μᾶλλον μετὰ*
15 *τοὺς ἄλλους, καὶ πρᾶγμα αἰτῶν οὐκ εἰς αὐτὸν ἀνῆκον, ἀλλ' ὑπὲρ ἑτέρου. Εἶτα, ἵνα μὴ δόξῃ τούτου ἕνεκεν γράφειν μόνον, μηδὲ εἴπῃ τις, ὡς, εἰ μὴ Ὀνήσιμος ἦν, οὐκ ἂν ἔγραψας, ὅρα πῶς καὶ ἑτέρας αἰτίας τίθησι τῆς ἐπιστολῆς· πρῶτον μὲν τὴν ἀγάπην αὐτοῦ δηλῶν, ἔπειτα δὲ καὶ ξενίαν κελεύων ἑτοιμασθῆναι αὐτῷ.*
20 *«Ἀκούων σου», φησί, «τὴν ἀγάπην». Θαυμαστὸν τοῦτο, καὶ τοῦ παρόντος ἰδεῖν τοῦτο πολλῷ μεῖζον. Δῆλον γὰρ ὅτι ἐκ τοῦ ὑπερβάλλουσαν ταύτην εἶναι καὶ διάδηλος γέγονε καὶ μέχρις αὐτοῦ ἔφθασε· καίτοι γε οὐκ ὀλίγον τὸ μέσον ἦν Ῥώμης καὶ Φρυ-*

ΟΜΙΛΙΑ Β'

(Φιλήμ. στ. 4–16)

«Σὲ θυμᾶμαι πάντοτε στὶς προσευχές μου καὶ εὐχαριστῶ τὸ Θεό μου, γιατὶ ἀκούω γιὰ τὴν ἀγάπη σου καὶ τὴν πίστη σου ποὺ ἔχεις πρὸς τὸν Κύριο Ἰησοῦ καὶ πρὸς ὅλους τοὺς Χριστιανούς, καὶ προσεύχομαι ἡ συμμετοχή σου στὴν πίστη νὰ ἐκδηλωθεῖ ἐνεργὰ καὶ μὲ ἐπίγνωση πρὸς ἐπιτέλεση κάθε ἀγαθοῦ ἔργου ποὺ πρέπει νὰ ἐπιτελοῦμε ἐμεῖς στὸ ὄνομα τοῦ Ἰησοῦ Χριστοῦ».

1. Δὲ ζητάει ἀμέσως ἀπὸ τὴν ἀρχὴ τὴ χάρη, ἀλλά, ἀφοῦ πρῶτα θαύμασε τὸν ἄνδρα καὶ τὸν ἐπαίνεσε γιὰ τὰ κατορθώματά του καὶ ἀφοῦ ἔδειξε τὴ μεγάλη ἀπόδειξη τῆς ἀγάπης του, τὸ ὅτι τὸν θυμᾶται συνέχεια στὶς προσευχές του, καὶ ἀφοῦ εἶπε ὅτι πολλοὶ ἀνακουφίζονται κοντά του καὶ ὅτι ὑπακούει καὶ πείθεται σὲ ὅλους, τότε τὴν ἀναφέρει καὶ αὐτὴν τελευταία, αὐξάνοντας μ' αὐτὸ πάρα πολὺ τὴν παράκλησή του. Γιατί, ἂν ἄλλοι κατορθώνουν αὐτὰ ποὺ παρακαλοῦν, πολὺ περισσότερο ὁ Παῦλος. Ἂν θὰ ἦταν ἄξιος νὰ τὸ ἐπιτύχει ἐρχόμενος πρὶν ἀπὸ τοὺς ἄλλους, πολὺ περισσότερο τώρα ποὺ ἔρχεται ὕστερα ἀπὸ τοὺς ἄλλους, καὶ μάλιστα τὴ στιγμὴ ποὺ ζητάει πράγμα ὄχι γιὰ τὸν ἑαυτό του, ἀλλὰ γιὰ ἄλλον. Ἔπειτα, γιὰ νὰ μὴ φανεῖ πὼς μόνο γι' αὐτὸ γράφει καὶ γιὰ νὰ μὴν πεῖ κανείς, ὅτι 'ἂν δὲν ἦταν ὁ Ὀνήσιμος δὲ θὰ ἔγραφες', πρόσεχε πῶς ἀναφέρει καὶ ἄλλες αἰτίες τῆς ἐπιστολῆς. Πρῶτα δηλώνει τὴν ἀγάπη του καὶ ἔπειτα παραγγέλλει νὰ τοῦ ἑτοιμάσουν καὶ φιλοξενία.

«Γιατὶ ἀκούω», λέγει, «γιὰ τὴν ἀγάπη σου». Εἶναι θαυμαστὸ αὐτὸ καὶ πολὺ περισσότερο ἀπὸ τὸ νὰ δεῖ τὸ παρόν. Φαίνεται δηλαδή, ἐπειδὴ αὐτὴ ἦταν ὑπερβολική, ἔγινε καὶ ὁλοφάνερη καὶ ἔφθασε μέχρι σ' αυτόν, ἂν καὶ βέβαια δὲν ἦταν μικρὴ ἡ ἀπό-

γίας· ἐκεῖ γάρ μοι δοκεῖ εἶναι ἀπὸ Ἀρχίππου. Οἱ γὰρ Κολοσσαεῖς τῆς Φρυγίας εἰσί, πρὸς οὓς γράφων ἔλεγεν, «ὅταν ἀναγνωσθῇ παρ' ὑμῖν ἡ ἐπιστολή, ποιήσατε, ἵνα καὶ ἐν τῇ Λαοδικέων Ἐκκλησίᾳ ἀναγνωσθῇ, καὶ τὴν ἐκ Λαοδικείας ἵνα καὶ ὑμεῖς ἀνα- 5 *γνῶτε». Αὕτη δὲ τῆς Φρυγίας πόλις ἐστίν.*

«Εὔχομαι», φησίν, «ἵνα ἡ κοινωνία τῆς πίστεώς σου ἐνεργὴς γένηται». Ὁρᾷς πρότερον αὐτὸν διδόντα ἢ λαβεῖν, καὶ πρὶν ἢ τὴν χάριν αἰτῆσαι, τὴν αὐτοῦ παρέχοντα πολλῷ μείζονα, «ὅπως», φησίν, «ἡ κοινωνία τῆς πίστεώς σου ἐνεργὴς γένηται 10 *ἐν ἐπιγνώσει παντὸς ἀγαθοῦ τοῦ ἐν ὑμῖν εἰς Χριστὸν Ἰησοῦν». Τουτέστιν, ἵνα πᾶσαν ἀρετὴν ἐπέλθῃς, ἵνα μηδὲν ἐλλειφθῇ. Οὕτω γὰρ ἡ πίστις γίνεται ἐνεργής, ὅταν ἔργα ἔχῃ. «Χωρὶς γὰρ ἔργων ἡ πίστις νεκρά ἐστι». Καὶ οὐκ εἶπεν, 'ἡ πίστις σου', ἀλλ', «ἡ κοινωνία τῆς πίστεώς σου», συνάπτων αὐτὸν ἑαυτῷ καὶ ἓν* 15 *σῶμα δεικνύς, καὶ τούτῳ μάλιστα αὐτὸν δυσωπῶν. Εἰ κοινωνὸς εἶ, φησί, κατὰ τὴν πίστιν, καὶ κατὰ τὰ ἄλλα ὀφείλεις κοινωνεῖν.*

«Χαρὰν γὰρ ἔχομεν καὶ πολλὴν παράκλησιν ἐπὶ τῇ ἀγάπῃ σου, ὅτι τὰ σπλάγχνα τῶν ἁγίων ἀναπέπαυται διὰ σοῦ, ἀδελφέ». Οὐδὲν οὕτω δυσωπεῖ, ὡς τὸ τὰς ἑτέρων εὐεργεσίας προφέρειν, 20 *καὶ μάλιστα ὅταν ἐκείνων αἰδεσιμώτερος ᾖ. Καὶ οὐκ εἶπεν, 'εἰ τοῖς ἄλλοις ποιεῖς, πολλῷ μᾶλλον ἐμοί'. Ἀλλὰ τὸ αὐτὸ μὲν ᾐνίξατο, ἑτέρως δὲ αὐτὸ μεθώδευσε προσηνέστερον. «Χαρὰν ἔχομεν»· τουτέστι, σύ μοι παρρησίαν ἔδωκας ἐκ τῶν εἰς ἑτέρους γενομένων. «Καὶ παράκλησιν». Τουτέστιν, οὐ μόνον ἡδόμεθα,* 25 *ἀλλὰ καὶ παραμυθούμεθα· μέλος γὰρ ἡμῶν ἐκεῖνοι. Εἰ τοίνυν τὴν συμφωνίαν τοσαύτην δεῖ εἶναι, ὡς ἐπὶ ταῖς ἑτέρων ἀναπαύσεσι τοὺς ἄλλους ἐν θλίψεσιν ὄντας, κἂν μὴ τύχωσί τινος, εὐφραίνεσθαι δι' ἐκείνους, ὡς ἑνὸς σώματος εὐεργετηθέντος,*

1. Κολ. 4,16.

σταση μεταξὺ Ρώμης καὶ Φρυγίας. Καὶ ἐκεῖ μοῦ φαίνεται πὼς ἦταν γνωστὴ ἀπὸ τὴν ἀναφορὰ στὸν Ἄρχιππο. Γιατὶ οἱ Κολοσσαεῖς εἶναι στὴ Φρυγία, στοὺς ὁποίους γράφοντας ἔλεγε· «ὅταν διαβάσετε τὴν ἐπιστολή, φροντίστε νὰ διαβασθεῖ καὶ στὴν ἐκκλησία τῶν Λαοδικέων, καὶ σεῖς νὰ διαβάσετε τὴν ἐπιστολὴ ποὺ ἔστειλα ἀπὸ τὴ Λαοδίκεια»[1]. Αὐτὴ ὅμως εἶναι πόλη τῆς Φρυγίας.

«Εὔχομαι», λέγει, «ἡ συμμετοχή σου στὴν πίστη νὰ ἐκδηλωθεῖ ἔμπρακτα». Βλέπεις ὅτι πρῶτα ἔδωσε παρὰ ἔλαβε καὶ ὅτι πρὶν νὰ ζητήσει τὴ χάρη δίνει πολὺ μεγαλύτερη τὴ δική του; «Γιὰ νὰ ἐκδηλωθεῖ», λέγει, «ἡ συμμετοχή σου στὴν πίστη ἔμπρακτα μὲ ἐπίγνωση πρὸς ἐπιτέλεση κάθε ἀγαθοῦ ἔργου ποὺ πρέπει νὰ πράττομε ἐμεῖς στὸ ὄνομα τοῦ Ἰησοῦ Χριστοῦ». Δηλαδή, γιὰ νὰ κατορθώσεις κάθε ἀρετή, γιὰ νὰ μὴν παραλείψεις τίποτε. Γιατὶ ἔτσι ἐκδηλώνεται ἐνεργὰ ἡ πίστη, ὅταν ἔχει ἔργα. «Γιατὶ χωρὶς τὰ ἔργα ἡ πίστη εἶναι νεκρή»[2]. Καὶ δὲν εἶπε 'ἡ πίστη σου', ἀλλὰ «ἡ συμμετοχή σου στὴν πίστη», ἑνώνοντας αὐτὸν μὲ τὸν ἑαυτό του καὶ δείχνοντας ὅτι εἶναι ἕνα σῶμα, καὶ πείθοντάς τον μ' αὐτὸ πρὸ πάντων νὰ φανεῖ συγχωρητικός. Ἂν συμμετέχεις, λέγει, στὴν πίστη, εἶσαι ὑποχρεωμένος νὰ συμμετέχεις καὶ στὰ ἄλλα.

«Ἡ ἀγάπη σου μοῦ ἔδωσε μεγάλη χαρὰ καὶ παρηγοριά, ἀδελφέ, γιατὶ οἱ καρδιὲς τῶν πιστῶν ἀνακουφίσθηκαν χάρη σ' ἐσένα». Τίποτε δὲ συγκινεῖ τόσο, ὅσο τὸ ν' ἀναφέρει κανεὶς τὶς εὐεργεσίες ἄλλων καὶ μάλιστα ὅταν εἶναι πιὸ σεβάσμιος ἀπὸ ἐκείνους. Καὶ δὲν εἶπε, 'ἀφοῦ τὸ κάνεις στοὺς ἄλλους, πολὺ περισσότερο θὰ τὸ κάνεις σὲ μένα'. Ἀλλὰ τὸ ἴδιο βέβαια ὑπαινίχθηκε, διαφορετικὰ ὅμως καὶ πιὸ εὐγενικὰ μεθόδευσε αὐτό. «Ἔχω χαρά»· δηλαδή, ἐσὺ μοῦ ἔδωσες θάρρος ἀπ' αὐτὰ ποὺ ἔγιναν σὲ ἄλλους. «Καὶ παρηγοριά». Δηλαδή, ὄχι μόνο αἰσθάνομαι χαρά, ἀλλὰ αἰσθάνομαι καὶ παρηγοριά· γιατὶ ἐκεῖνοι εἶναι δικό μας μέλος. Ἂν λοιπὸν τόσο μεγάλη πρέπει νὰ εἶναι ἡ συμφωνία, ὥστε στὶς ἀνέσεις τῶν ἄλλων ἐκεῖνοι ποὺ βρίσκονται σὲ θλίψεις καὶ ἂν ἀκόμη δὲν ἀπολαύσουν τίποτε αἰσθάνονται χαρὰ γι' αὐτούς, σὰν νὰ εὐεργετήθηκε ἕνα σῶμα, πολὺ περισσότερο αἰσθά-

2. Ἰακ. 2,26.

πολλῷ μᾶλλον εἰ καὶ ἡμᾶς ἀναπαύσεις. Καὶ οὐκ εἶπεν, 'ὅτι εἴκεις', 'ὅτι πείθῃ', ἀλλὰ καὶ σφοδρότερον καὶ ἐμφαντικώτερον, «ὅτι τὰ σπλάγχνα τῶν ἁγίων», ὡσανεὶ περὶ παιδίου ποθεινοῦ τοῖς πατράσιν ὄντος καὶ ἐπεράστου. Οὕτως ἡ ἀγάπη, ἡ φιλο-
5 *στοργία δείκνυσιν αὐτὸν καὶ σφόδρα ἀγαπώμενον παρ' αὐτῶν.*

«Διὸ πολλὴν παρρησίαν ἔχων ἐν Χριστῷ ἐπιτάσσειν σοι τὸ ἀνῆκον». Ὅρα πῶς ἀσφαλίζεται, μή τι καὶ τῶν ἀπὸ σφοδρᾶς ἀγάπης λεγομένων πλήξῃ τὸν ἀκροατήν, ὡς δυσανασχετεῖν. Διὰ τοῦτο πρὶν ἢ εἰπεῖν, «ἐπιτάσσειν σοι», ἐπειδὴ βαρὺ ἦν, καίτοι γε
10 *ἀπὸ ἀγάπης λεγόμενον μᾶλλον ἱκανὸν θεραπεῦσαι, ἀλλ' ὅμως ἐκ περιουσίας πολλὴν τίθεται τὴν διόρθωσιν, εἰπών, «παρρησίαν ἔχων», ὅπερ μέγαν δεικνύντος ἦν τὸν Φιλήμονα· τουτέστι, παρρησίαν ἡμῖν ἔδωκας σύ· καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ τό, «ἐν Χριστῷ», ἐπαγαγών, ὅπερ δηλοῦντός ἐστιν, ὅτι οὐχ ὡς ἐν τῷ*
15 *κόσμῳ λαμπρότερον, οὐδὲ ὡς δυνατώτερον, ἀλλὰ διὰ τὴν πίστιν τὴν εἰς τὸν Χριστόν· καὶ τότε ἔθηκε τό, «ἐπιτάσσειν σοι», καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καί, «τὸ ἀνῆκον», τουτέστιν, εὔλογον πρᾶγμα. Καὶ ὅρα ἐκ πόσων αὐτὸ κατασκευάζει. Τοὺς ἄλλους εὖ ποιεῖς, φησί· καὶ ἐμέ, καὶ διὰ τὸν Χριστόν, καὶ ὅτι τὸ πρᾶγμα εὔλογον,*
20 *καὶ ὅτι ἡ ἀγάπη δίδωσι. Διὸ καὶ ἐπάγει· «Διὰ τὴν ἀγάπην μᾶλλον παρακαλῶ». Ὡσανεὶ εἶπεν, οἶδα μέν, ὅτι καὶ ἐπιτάττων ἀνύω μετὰ πολλῆς τῆς ἐξουσίας, ἀπὸ τῶν προλαβόντων· πλὴν ἀλλ', ἐπειδὴ πολλὴν ὑπὲρ τοῦ πράγματος ποιοῦμαι σπουδήν, παρακαλῶ. Ἀμφότερα ἔδειξεν ὁμοῦ, ὅτι καὶ θαρρεῖ αὐτῷ (ἐπέταξε γάρ),*
25 *καὶ ὅτι σφόδρα τοῦ πράγματος ἀντιποιεῖται· διὸ παρακαλεῖ. «Τοιοῦτος ὤν», φησίν, «ὡς Παῦλος πρεσβύτης».*

2. Βαβαί, πόσα δυσωπητικά; Παῦλος, ἀπὸ τῆς ποιότητος τοῦ προσώπου· ἀπὸ τῆς ἡλικίας, ὅτι πρεσβύτης· ἀπὸ τοῦ δικαιοτέρου πάντων, ὅτι καὶ «δέσμιος Ἰησοῦ Χριστοῦ». Τίς γὰρ οὐκ ἂν
30 *τὸν ἀθλητὴν καὶ στεφανίτην ἐδέξατο ὑπτίαις χερσί; τίς ὁρῶν διὰ Χριστὸν δεδεμένον, οὐκ ἂν μυρία ἐχαρίσατο; Τοσούτοις δὴ προ-*

νομαι χαρὰ ἂν ἀνακουφίσεις καὶ μένα. Καὶ δὲν εἶπε, 'γιατί ὑπακοῦς', 'γιατί πειθαρχεῖς', ἀλλὰ πιὸ δυνατὰ καὶ πιὸ ἔντονα· «γιατὶ οἱ καρδιὲς τῶν πιστῶν», σὰν νὰ ἐπρόκειτο γιὰ μικρὸ παιδὶ ποὺ εἶναι περιπόθητο καὶ ἀξιαγάπητο στοὺς γονεῖς του. Ἔτσι ἡ ἀγάπη καὶ ἡ φιλοστοργία δείχνει ὅτι αὐτοὶ τὸν ἀγαποῦσαν πάρα πολύ.

«Γι' αὐτό, ἂν καὶ ἔχω ὅλο τὸ θάρρος ἀπὸ τὸ Χριστὸ νὰ σὲ προστάζω τὸ τί πρέπει νὰ κάνεις». Πρόσεχε πῶς προφυλάγεται μήπως κάτι καὶ ἀπ' αὐτὰ ποὺ λέγονται ἀπὸ ὑπερβολικὴ ἀγάπη πλήξει τὸν ἀκροατὴ καὶ τὸν δυσαρεστήσει. Γι' αὐτὸ πρὶν πεῖ, «νὰ σὲ προστάζω», ἐπειδὴ αὐτὸ ἦταν βαρύ, ἂν καὶ βέβαια ἀφοῦ λεγόταν ἀπὸ ἀγάπη μποροῦσε περισσότερο νὰ θεραπεύσει, ἀλλ' ὅμως μὲ τελείως αὐθεντικὸ τρόπο πετυχαίνει τὴ διόρθωση, λέγοντας, «ἂν καὶ ἔχω τὸ θάρρος», πράγμα ποὺ ἔδειχνε σπουδαῖο ἄνδρα τὸν Φιλήμονα· δηλαδή, ἐσὺ μοῦ ἔδωσες τὸ θάρρος. Καὶ ὄχι μόνο αὐτό, ἀλλὰ προσθέτοντας καὶ τὸ «στὸ ὄνομα τοῦ Χριστοῦ», πράγμα ποὺ σημαίνει ὅτι ὄχι σὰν πιὸ λαμπρὸ στὸν κόσμο οὔτε σὰν πιὸ δυνατό, ἀλλὰ γιὰ τὴν πίστη στὸ Χριστό, κι ὕστερα ἔθεσε τὸ «νὰ σὲ προστάζω», καὶ ὄχι μόνο αὐτό, ἀλλὰ καί, «τὸ καθῆκον σου», δηλαδή, πράγμα εὔλογο. Καὶ πρόσεχε ἀπὸ πόσα τὸ ἀποδεικνύει αὐτό. Τοὺς ἄλλους τοὺς εὐεργετεῖς, λέγει· καὶ μένα εὐεργέτησέ με, καὶ γιὰ χάρη τοῦ Χριστοῦ καὶ ἐπειδὴ τὸ πράγμα εἶναι εὔλογο καὶ ἐπειδὴ ἡ ἀγάπη δίνει. Γι' αὐτὸ καὶ προσθέτει· «ἀλλὰ στὸ ὄνομα τῆς ἀγάπης μᾶλλον σὲ παρακαλῶ». Σὰν νὰ ἔλεγε· ξέρω ἀπὸ τὰ προηγούμενα ὅτι καὶ μὲ προσταγὲς ἐπιτυγχάνω ἕνα πράγμα μὲ πολλὴ ἐξουσία, ἀλλ' ἐπειδὴ φροντίζω πολὺ γιὰ τὸ πράγμα αὐτό, γι' αὐτὸ σὲ παρακαλῶ. Καὶ τὰ δύο τὰ ἔδειξε μαζί, καὶ ὅτι ἔχει θάρρος σ' αὐτὸν (γιατὶ τὸν πρόσταξε), καὶ ὅτι φροντίζει πάρα πολὺ γιὰ τὸ πράγμα· γι' αὐτὸ παρακαλεῖ. «Τέτοιος ποὺ εἶμαι», λέγει, «ἐγὼ ὁ Παῦλος ὁ ἡλικιωμένος».

2. Πώ–πώ, πόσα δυσωπητικὰ λόγια! Ἀπὸ τὴν ἀξία τοῦ προσώπου, γιατὶ εἶναι ὁ Παῦλος· ἀπὸ τὴν ἡλικία, γιατὶ εἶναι ἡλικιωμένος· ἀπὸ ἐκεῖνο ποὺ εἶναι πιὸ δίκαιο ἀπ' ὅλα, ὅτι εἶναι καὶ «φυλακισμένος γιὰ τὸν Ἰησοῦ Χριστό». Ποιός λοιπὸν δὲ θὰ δεχόταν μὲ ἁπλωμένα τὰ χέρια αὐτὸν τὸν ἀθλητὴ καὶ νικητή; ποιός δὲ θὰ

λεάνας αὐτοῦ τὴν ψυχήν, οὐδὲ εὐθέως ἐνέβαλε τὸ ὄνομα, ἀλλὰ τοσαύτην ποιησάμενος αἴτησιν ἀναβάλλεται. Ἴστε γὰρ τοὺς θυμοὺς τῶν δεσποτῶν κατὰ τῶν ἀποδεδρακότων οἰκετῶν, καὶ μάλιστα ὅταν μετὰ κλοπῆς τοῦτο ἐργάσωνται, κἂν χρηστοὺς ἔχωσι 5 δεσπότας, πῶς αὔξεται ἡ ὀργή.

Ταύτην οὖν πᾶσι τούτοις προελέανε· καὶ πρότερον πείσας πᾶν ὁτιοῦν ὑπουργῆσαι ἑτοίμως, καὶ παρασκευάσας αὐτοῦ τὴν ψυχὴν πρὸς πᾶσαν ὑπακοήν, τότε ἐπάγει τὴν δέησιν, καί φησι· «παρακαλῶ σε»· καὶ μετὰ ἐγκωμίων· «περὶ τοῦ ἐμοῦ τέκνου, ὃν 10 ἐγέννησα ἐν τοῖς δεσμοῖς μου». Πάλιν οἱ δεσμοὶ δυσωπητικοί. Καὶ τότε τὸ ὄνομα· οὐ μόνον γὰρ τὸν θυμὸν ἔσβεσεν, ἀλλὰ καὶ ἡσθῆναι πεποίηκεν. Οὐ γὰρ ἂν αὐτόν, φησί, τέκνον ἐκάλουν, εἰ μὴ σφόδρα ἦν εὔχρηστος. Ὅπερ Τιμόθεον ἐκάλεσα, τοῦτο καὶ τοῦτον. Καὶ πολλαχοῦ τὴν φιλοστοργίαν δεικνύς, ἀπὸ τοῦ καιροῦ 15 τῆς ὠδῖνος ἐντρέπει· «δέσμιος αὐτὸν ἐγέννησα», φησίν. Ὥστε καὶ διὰ τοῦτο ἄξιος πολλῆς τυχεῖν τῆς τιμῆς, ὅτι ἐν αὐτοῖς τοῖς ἄθλοις ἀπετέχθη, ἐν τοῖς ὑπὲρ τοῦ Χριστοῦ πειρασμοῖς.

«Ὀνήσιμον», τὸν ποτέ σοι ἄχρηστον». Ὅρα πόση ἡ σύνεσις, πῶς ὁμολογεῖ αὐτοῦ τὸ ἁμάρτημα, καὶ τούτῳ σβεννὺς αὐτοῦ 20 τὸν θυμόν. Οἶδα, φησίν, ὅτι ἄχρηστος ἦν, «νῦν δέ σοι καὶ ἐμοὶ χρήσιμος ἔσται». Οὐκ εἶπε, 'νῦν δέ σοι χρήσιμος ἔσται', ἵνα μὴ ἐκεῖνος ἀντείπῃ, ἀλλὰ καὶ τὸ αὐτοῦ πρόσωπον εἰσήγαγεν, ἵνα ἀξιόπιστοι ὦσιν αἱ ἐλπίδες. «Νῦν δέ σοι», φησί, «καὶ ἐμοὶ εὔχρηστον». Εἰ γὰρ Παύλῳ χρήσιμος τῷ τοσαύτην ἀκρίβειαν 25 ἀπαιτοῦντι, πολλῷ μᾶλλον τῷ δεσπότῃ. «Ὃν ἔπεμψα πρὸς σέ». Καὶ τούτῳ τὸν θυμὸν ἔσβεσε, τῷ παραδοῦναι αὐτόν. Μάλιστα γὰρ οἱ δεσπόται τότε ὀργίζονται, ὅταν ὑπὲρ ἀπόντων παρακαλῶνται· ὥστε καὶ αὐτῷ τούτῳ μᾶλλον κατεπράϋνε.

«Σὺ δὲ αὐτόν, τουτέστι, τὰ ἐμὰ σπλάγχνα, προσλαβοῦ».

τοῦ χάριζε ἄπειρα ἀγαθὰ βλέποντάς τον φυλακισμένο γιὰ χάρη τοῦ Χριστοῦ; Ἀφοῦ λοιπὸν μὲ τόσα λόγια προετοίμασε τὴν ψυχή του, δὲν πρόσθεσε ἀμέσως τὸ ὄνομα, ἀλλά, ἂν καὶ ἔκανε τόσο μεγάλη παράκληση, τὸ ἀναβάλλει. Γνωρίζετε βέβαια τὴν ὀργὴ τῶν κυρίων ἐναντίον τῶν ὑπηρετῶν ποὺ ἔχουν δραπετεύσει, καὶ ἰδιαίτερα ὅταν τὸ κάνουν αὐτὸ μὲ κλοπή· κι' ἂν ἀκόμη ἔχουν ἀγαθοὺς κυρίους, γνωρίζετε πῶς αὐξάνεται ἡ ὀργή.

Αὐτὴ τὴν ὀργὴ λοιπὸν τὴ μαλάκωσε ἀπὸ πρὶν μὲ ὅλα αὐτά. Καὶ ἀφοῦ πρῶτα τὸν ἔπεισε νὰ τὸν ὑπηρετήσει μὲ προθυμία σὲ ὁτιδήποτε καὶ ἀφοῦ προετοίμασε τὴν ψυχή του γιὰ κάθε ὑπακοή, τότε προσθέτει τὴν παράκληση καὶ λέγει· «σὲ παρακαλῶ», καὶ μὲ ἐπαίνους, «γιὰ τὸ τέκνο μου, ποὺ τὸ γέννησα στὴ φυλακή μου». Πάλι ἡ φυλακὴ ἔχει δυσωπητικὴ δύναμη. Καὶ τότε πλέον προσθέτει τὸ ὄνομα· γιατὶ ὄχι μόνο ἔσβησε τὴν ὀργή του, ἀλλὰ καὶ τὸν ἔκαμε νὰ εὐχαριστηθεῖ. Γιατὶ δὲ θὰ τὸν καλοῦσα τέκνο μου, λέγει, ἂν δὲν ἦταν πάρα πολὺ χρήσιμος. Μὲ τὸ ὄνομα ποὺ κάλεσα τὸν Τιμόθεο, μὲ τὸν ἴδιο κάλεσα καὶ αὐτόν. Καὶ σὲ πολλὲς περιπτώσεις γιὰ νὰ δείξει τὴ φιλοστοργία, προτρέπει ἀπὸ τὸ χρόνο τῆς γέννησης. «Φυλακισμένος τὸν γέννησα», λέγει. Ὥστε καὶ γι' αὐτὸ ἀξίζει ν' ἀπολαύσει πολλὴ τιμή, ἐπειδὴ γεννήθηκε μέσα στοὺς ἴδιους τοὺς ἀγῶνες, στοὺς πειρασμοὺς γιὰ χάρη τοῦ Χριστοῦ.

«Τὸν Ὀνήσιμο, ποὺ σοῦ ἦταν κάποτε ἄχρηστος». Πρόσεχε πόση εἶναι ἡ σύνεση, πῶς ὁμολογεῖ τὸ ἁμάρτημά του καὶ πῶς μ' αὐτὸν τὸ λόγο σβήνει τὴν ὀργή του. Γνωρίζω, λέγει, ὅτι ἦταν ἄχρηστος, «τώρα ὅμως θὰ εἶναι σὲ σένα καὶ σὲ μένα χρήσιμος». Δὲν εἶπε, 'τώρα ὅμως θὰ εἶναι χρήσιμος σὲ σένα', γιὰ νὰ μὴν ἀρνηθεῖ ἐκεῖνος, ἀλλὰ πρόσθεσε καὶ τὸν ἑαυτό του, γιὰ νὰ εἶναι ἀξιόπιστες οἱ ἐλπίδες. «Τώρα ὅμως», λέγει, «θὰ εἶναι σὲ σένα καὶ σὲ μένα χρήσιμος». Ἂν λοιπὸν ἦταν χρήσιμος στὸν Παῦλο ποὺ ἀπαιτοῦσε τόση μεγάλη ἀκρίβεια, θὰ ἦταν πολὺ περισσότερο στὸν κύριό του. «Τὸν ὁποῖο ἔστειλα σὲ σένα». Γιατὶ οἱ κύριοι τότε πρὸ πάντων ὀργίζονται, ὅταν τοὺς παρακαλοῦν γιὰ ἀπόντες. Ὥστε καὶ μ' αὐτὸ τὸν καταπράυνε περισσότερο.

«Καὶ σὺ νὰ προσλάβεις αὐτὸν ποὺ εἶναι τὰ δικά μου σπλά-

Καὶ πάλιν οὐ γυμνὸν τίθησι τὸ ὄνομα, ἀλλὰ μετὰ ρήματος ἐντρεπτικοῦ, ὃ τοῦ τέκνου θερμότερόν ἐστιν. Εἶπε, «τέκνον»· εἶπεν, «ἐγέννησα», ὥστε μάλιστα αὐτὸν φιλεῖν εἰκός, ὅτι ἐν πειρασμοῖς αὐτὸν ἔτεκεν. Ὅτι γὰρ περὶ ἐκεῖνα τὰ παιδία μάλιστα ἐκκαιόμε-5θα, δῆλον, ὅταν κινδύνους διαφύγωμεν καὶ ἐν αὐτοῖς τέκωμεν· ὡς ὅταν λέγῃ ἡ Γραφή, «Οὐαιβαροχαβήλ»· καὶ πάλιν ὅταν καλῇ τὸν Βενιαμὶν ἡ Ραχήλ, «υἱόν», φησίν, «ὀδύνης μου». «Σὺ δὲ αὐτόν», φησί, «τουτέστι, τὰ ἐμὰ σπλάγχνα, προσλαβοῦ». Δείκνυσιν αὐτοῦ τὴν ἀγάπην τὴν πολλήν. Οὐκ εἶπεν, 'ἀπόδεξαι', οὐκ εἶπε, 10 'μὴ ὀργισθῇς', ἀλλά, «προσλαβοῦ»· τουτέστιν, οὐχὶ συγγνώμης μόνον, ἀλλὰ καὶ τιμῆς ἐστιν ἄξιος. Διὰ τί; Τέκνον Παύλου γέγονεν.

«Ὃν ἐγὼ ἐβουλόμην ὑπὲρ σοῦ κατέχειν, ἵνα διακονῇ μοι ἐν τοῖς δεσμοῖς τοῦ εὐαγγελίου». Ὁρᾷς πόσα πρότερον κατα-15 σκευάσας, τότε αὐτὸν ἤγαγεν εἰς τὴν τοῦ δεσπότου τιμήν; Καὶ ὅρα καὶ τοῦτο μεθ' ὅσης σοφίας· ὅρα κἀκεῖνον πόσου ὑπεύθυνον ποιεῖ, καὶ τοῦτον πῶς τιμᾷ. Εὗρες, φησίν, ὅπως ἀποδῷς τὴν πρὸς ἐμὲ λειτουργίαν δι' αὐτοῦ. Ἐνταῦθα δείκνυσιν, ὅτι τὸ αὐτοῦ μᾶλλον ἐσκόπησεν, ἢ τὸ τοῦ παιδός, ὅτι σφόδρα αὐτὸν αἰδεῖται. 20 «Χωρὶς δὲ τῆς σῆς γνώμης», φησίν, «οὐδὲν ἠθέλησα ποιῆσαι, ἵνα μὴ ὡς κατ' ἀνάγκην τὸ ἀγαθόν σου ᾖ, ἀλλὰ κατὰ ἑκούσιον». Τοῦτο μάλιστα χαυνοῖ τὸν ἀξιούμενον, ὅταν καί, πράγματος ὄντος χρησίμου, μετὰ τῆς ἐκείνου γνώμης τίκτηται. Δύο γὰρ ἀγαθὰ ἐντεῦθεν γίνεται, κἀκεῖνος κερδαίνει, καὶ οὗτος ἀσφαλέστερος 25 καθίσταται. Καὶ οὐκ εἶπεν, 'ἵνα μὴ κατὰ ἀνάγκην', ἀλλ', «ὡς κατὰ ἀνάγκην». Ἤιδειν μὲν γάρ, φησίν, ὅτι καὶ μὴ μαθών, ἀλλὰ ἀθρόον γνούς, οὐκ ἂν ἠγανάκτησας, ἀλλ' ὅμως ἐκ πλείονος περιουσίας, ἵνα μὴ ὡς κατὰ ἀνάγκην.

«Τάχα γὰρ διὰ τοῦτο ἐχωρίσθη πρὸς ὥραν, ἵνα αἰώνιον 30 αὐτὸν ἀπέχῃς, μηκέτι ὡς δοῦλον». Καλῶς τό, «τάχα», ἵνα εἴξῃ ὁ δεσπότης. Ἐπειδὴ γὰρ ἀπὸ αὐθαδείας γέγονεν ἡ φυγὴ καὶ διε-

---

3. Βλ. Α' Βασ. 4,19–21. 4. Γεν. 35,18.

χνα». Καὶ πάλι δὲν ἀναφέρει γυμνὸ τὸ ὄνομα, ἀλλὰ μὲ λέξη προτρεπτική, ποὺ εἶναι θερμότερη ἀπὸ τὸ τέκνο. Εἶπε, «τέκνο μου»· εἶπε, «τὸν γέννησα». Ἐπομένως εἶναι εὔλογο νὰ τὸν ἀγαπάει πάρα πολύ, ἐπειδὴ τὸν γέννησε στοὺς πειρασμούς του. Τὸ ὅτι δηλαδὴ καιόμαστε ὑπερβολικὰ γιὰ ἐκεῖνα τὰ τέκνα μας, φαίνεται ὅταν ξεφύγουμε κάποιους κινδύνους καὶ τὰ γεννήσουμε μέσα σ' αὐτούς· ὅπως ὅταν λέγει ἡ Γραφὴ «Οὐαὶ Βαροχαβὴλ»[3], καὶ ὅπως πάλι ὅταν ἡ Ραχὴλ δίνει ὄνομα στὸ Βενιαμὶν τὸν ὀνομάζει, «υἱὸ τῆς ὀδύνης μου»[4]. «Καὶ σύ», λέγει, «νὰ προσλάβεις αὐτὸν ποὺ εἶναι τὰ δικά μου σπλάχνα». Δείχνει τὴ μεγάλη ἀγάπη του. Δὲν εἶπε, 'νὰ τὸν δεχθεῖς', δὲν εἶπε, 'νὰ μὴν ὀργισθεῖς', ἀλλά, «νὰ τὸν προσλάβεις», δηλαδή, δὲν εἶναι ἄξιος γιὰ συγγνώμη μόνο, ἀλλὰ καὶ γιὰ τιμή. Γιὰ ποιό λόγο; Ἔγινε τέκνο τοῦ Παύλου.

«Ἤθελα νὰ τὸν κρατήσω κοντά μου γιὰ νὰ μὲ διακονεῖ, ἀντὶ σοῦ, τώρα ποὺ εἶμαι στὴ φυλακὴ γιὰ χάρη τοῦ Εὐαγγελίου». Βλέπεις πόσα παρουσίασε πρῶτα καὶ ὕστερα τὸν ὁδήγησε στὴν τιμὴ τοῦ Κυρίου; Καὶ πρόσεχε μὲ πόση σοφία ἔκαμε καὶ αὐτό. Πρόσεχε καὶ ἐκεῖνον πόσου μεγάλου πράγματος ὑπεύθυνο τὸν καθιστᾶ, καὶ αὐτὸν πῶς τὸν τιμᾶ. Βρῆκες, λέγει, γιὰ νὰ προσφέρεις τὴν πρὸς ἐμένα ὀφειλόμενη ὑπηρεσία μέσω αὐτοῦ. Ἐδῶ δείχνει ὅτι πρόσεξε περισσότερο τὸ δικό του συμφέρον παρὰ τοῦ δούλου, ὅτι τὸν σέβεται πάρα πολύ. «Χωρὶς ὅμως τὴ συγκατάθεσή σου», λέγει, «δὲ θέλησα νὰ κάνω τίποτε, γιὰ νὰ μὴ γίνει τὸ καλό σου σὰν ἀπὸ ἀνάγκη, ἀλλὰ μὲ τὴ θέλησή σου». Αὐτὸ κυρίως καταπραΰνει ἐκεῖνον ποὺ τὸν παρακαλοῦν, ὅταν καὶ στὴν περίπτωση ἀκόμη ποὺ τὸ πράγμα εἶναι χρήσιμο γίνεται μὲ τὴ συγκατάθεση ἐκείνου. Δύο λοιπὸν ἀγαθὰ προκαλοῦνται ἀπὸ ἐδῶ, καὶ ἐκεῖνος κερδίζει, καὶ αὐτὸς γίνεται ἀσφαλέστερος. Καὶ δὲν εἶπε, 'γιὰ νὰ μὴ γίνει ἀναγκαστικά', ἀλλὰ «σὰν ἀπὸ ἀνάγκη». Γιατὶ γνώριζα, λέγει, ὅτι καὶ χωρὶς νὰ ξέρεις, ἀλλὰ μαθαίνοντας ξαφνικὰ τὸ πράγμα, δὲ θὰ ἀγανακτοῦσες, ἀλλ' ὅμως γιὰ νὰ γίνει αὐτὸ ἀπὸ περισσότερη διάθεση, καὶ νὰ μὴ γίνει σὰν ἀπὸ ἀνάγκη.

«Καὶ ἴσως γι' αὐτὸ ἀποχωρίσθηκε προσωρινὰ ἀπὸ σένα, γιὰ νὰ τὸν ἔχεις παντοτινά, ὄχι πιὰ σὰν δοῦλο». Καλὰ εἶπε τὸ «ἴσως», γιὰ νὰ καταπραΰνει ὁ κύριος. Ἐπειδὴ ἔφυγε ἀπὸ αὐθά-

στραμμένης διανοίας, καὶ οὐκ ἀπὸ προαιρέσεως, λέγει, «τάχα». Καὶ οὐκ εἶπε, 'διὰ τοῦτο ἔφυγεν', ἀλλά, «διὰ τοῦτο ἐχωρίσθης», εὐφημοτέρῳ ὀνόματι μᾶλλον πραΰνων. Καὶ οὐκ εἶπεν, 'ἐχώρισεν ἑαυτόν', ἀλλ', «ἐχωρίσθη»· οὐ γὰρ αὐτοῦ τὸ κατασκεύασμα
5 *τὸ ἐπὶ τούτῳ ἀναχωρῆσαι, οὐδὲ ἐπ' ἐκείνῳ. Ὅπερ καὶ Ἰωσήφ, ἀπολογούμενος ὑπὲρ τῶν ἀδελφῶν, φησίν, ὅτι «ὁ Θεὸς ἀπέστειλέ με ἐνταῦθα»· τουτέστι, τῇ κακουργίᾳ αὐτῶν εἰς δέον ἐχρήσατο. «Διὰ τοῦτο ἐχωρίσθης», φησί, «πρὸς ὥραν». Καὶ τὸν χρόνον συστέλλει, καὶ τὸ ἁμάρτημα ὁμολογεῖ, καὶ τρέπει τὸ πᾶν εἰς οἰ-*
10 *κονομίαν. «Ἵνα αἰώνιον αὐτόν», φησίν, «ἀπέχῃς», οὐκ ἐν τῷ παρόντι μόνον καιρῷ, ἀλλὰ καὶ ἐν τῷ μέλλοντι, ἵνα διαπαντὸς ἔχῃς αὐτόν, οὐκέτι δοῦλον, ἀλλὰ τιμιώτερον δούλου· δοῦλον γὰρ μένοντα εὐνοϊκώτερον ἕξεις ἀδελφοῦ. Ὥστε καὶ τῷ χρόνῳ κεκέρδακας καὶ τῇ ποιότητι· λοιπὸν γὰρ οὐκ ἀποπηδήσει. «Ἵνα*
15 *αἰώνιον αὐτόν», φησίν, «ἀπέχῃς», ἀντὶ τοῦ, ἀπολάβῃς.*

«Οὐκέτι ὡς δοῦλον, ἀλλ' ὑπὲρ δοῦλον, ἀδελφὸν ἀγαπητόν, μάλιστα ἐμοί». Δοῦλον ἀπώλεσας πρὸς ὀλίγον, καὶ ἀδελφὸν εὑρήσεις εἰς τὸ διηνεκές, ἀδελφὸν οὐ σὸν μόνον, ἀλλὰ καὶ ἐμόν. Ἐνταῦθα καὶ ἡ ἀρετὴ πολλή. Εἰ δὲ ἐμὸς ἀδελφός, οὐκ ἐπαισχυν-
20 *θήσῃ καὶ σύ. Διὰ μὲν οὖν τοῦ τέκνου τὴν στοργὴν ἔδειξε, διὰ δὲ τοῦ ἀδελφοῦ τὴν εὔνοιαν τὴν πολλὴν καὶ τὴν ἰσοτιμίαν.*

3. Ταῦτα οὐχ ἁπλῶς ἀναγέγραπται, ἀλλ' ἵνα μὴ ἀπογινώσκωμεν τῶν οἰκετῶν οἱ δεσπόται, μηδὲ σφόδρα αὐτοῖς ἐπιτιθώμεθα, ἀλλὰ μάθωμεν συγχωρεῖν τὰ ἁμαρτήματα τοῖς οἰκέταις τοῖς
25 *τοιούτοις, ἵνα μὴ ἀεὶ τραχεῖς ὦμεν, ἵνα μὴ ἀπὸ τῆς δουλείας ἐπαισχυνώμεθα καὶ κοινωνοὺς αὐτοὺς ἐν πᾶσι λαμβάνειν, ὅταν ὦσιν ἀγαθοί. Εἰ γὰρ Παῦλος οὐκ ἐπησχύνθη καὶ τέκνον καλέσαι, καὶ σπλάγχνον, καὶ ἀδελφόν, καὶ ἀγαπητόν, πῶς ἂν ἡμεῖς ἐπαισχυνθῶμεν; καὶ τί λέγω, Παῦλος; ὁ Παύλου Δεσπότης οὐκ*
30 *ἐπαισχύνεται τοὺς ἡμετέρους δούλους ἀδελφοὺς αὐτοῦ καλεῖν, καὶ ἡμεῖς ἐπαισχυνούμεθα; Ὅρα, πῶς ἡμᾶς τιμᾷ· ἀδελφοὺς ἑαυ-*

---

5. Γεν. 45,5.

δεια καὶ διεστραμμένη διάνοια καὶ ὄχι ἀπὸ προαίρεση, λέγει, «ἴσως». Καὶ δὲν εἶπε, 'γι' αὐτὸ ἔφυγε', ἀλλά, «γι' αὐτὸ ἀποχωρίσθηκε», καταπραΰνοντας περισσότερο μὲ πιὸ ἤπια λέξη. Καὶ δὲν εἶπε, 'χώρισε τὸν ἑαυτό του', ἀλλά, «ἀποχωρίσθηκε». Γιατὶ δὲν ἦταν δική του ἡ σκέψη ν' ἀναχωρήσει γι' αὐτὴν ἢ γιὰ ἐκείνη τὴν αἰτία. Τὸ ἴδιο καὶ ὁ Ἰωσὴφ ἀπαντώντας στοὺς ἀδελφούς του λέγει· «ὁ Θεὸς μὲ ἔστειλε ἐδῶ»[5]. Δηλαδή, χρησιμοποίησε σὲ καλὸ τὴν κακουργία τους. «Γι' αὐτὸ ἀποχωρίσθηκε», λέγει, «προσωρινά». Καὶ τὸ χρόνο περιορίζει, καὶ τὸ ἁμάρτημα ὁμολογεῖ, καὶ μεταφέρει ὅλο τὸ γεγονὸς στὴν οἰκονομία τοῦ Θεοῦ. «Γιὰ νὰ τὸν ἔχεις», λέγει, «παντοτινά», ὄχι μόνο στὴν παρούσα ζωή, ἀλλὰ καὶ στὴ μέλλουσα, γιὰ νὰ τὸν ἔχεις παντοτινὰ ὄχι δοῦλο, ἀλλὰ πολυτιμότερο ἀπὸ δοῦλο· γιατί, παραμένοντας δοῦλος, θὰ διάκεισαι πρὸς αὐτὸν πιὸ εὐνοϊκὰ καὶ ἀπὸ ἀδελφό. Ὥστε κέρδισες καὶ ἀπὸ τὸ χρόνο καὶ ἀπὸ τὴν ποιότητα, γιατὶ στὸ μέλλον δὲν πρόκειται ν' ἀπομακρυνθεῖ. «Γιὰ νὰ τὸν ἔχεις», λέγει, «παντοτινά», ἀντὶ τοῦ, 'νὰ τὸν πάρεις πίσω'.

«Ὄχι πιὰ ὡς δοῦλο, ἀλλὰ περισσότερο ἀπὸ δοῦλο, ὡς ἀγαπητὸ ἀδελφό, ἰδιαίτερα γιὰ μένα». Ἔχασες γιὰ λίγο ἕνα δοῦλο καὶ θὰ βρεῖς ἀδελφὸ γιὰ πάντα, ἀδελφὸ ὄχι δικό σου μόνο, ἀλλὰ καὶ δικό μου. Ἐδῶ καὶ ἡ ἀρετὴ εἶναι μεγάλη. Ἂν ὅμως εἶναι ἀδελφός μου, δὲ θὰ ντραπεῖς καὶ σύ. Ἀποκαλώντας τὸν λοιπὸν «τέκνο» του ἔδειξε τὴ στοργή του, ἐνῶ ἀποκαλώντας τον «ἀδελφὸ» δείχνει τὴ μεγάλη του συμπάθεια καὶ τὴν ἰσοτιμία.

3. Αὐτὰ δὲν ἔχουν γραφεῖ χωρὶς λόγο, ἀλλὰ γιὰ νὰ μὴν ἀπελπιζόμαστε ἐμεῖς οἱ κύριοι γιὰ τοὺς ὑπηρέτες οὔτε νὰ τοὺς φερόμαστε μὲ ὑπερβολικὴ σκληρότητα, ἀλλὰ γιὰ νὰ μάθουμε νὰ συγχωροῦμε τὰ σφάλματα σὲ τέτοιους ὑπηρέτες, γιὰ νὰ μὴν εἴμαστε πάντοτε σκληροί, γιὰ νὰ μὴν ντρεπόμαστε ἀπὸ τὴ δουλεία καὶ νὰ τοὺς ἔχουμε σὲ ὅλα βοηθούς, ὅταν εἶναι καλοί. Ἂν λοιπὸν ὁ Παῦλος δὲν ντράπηκε νὰ τὸν ὀνομάσει «τέκνο» του καὶ «σπλάχνο» καὶ «ἀδελφό» του καὶ μάλιστα ἀγαπητό, πῶς εἶναι δυνατὸ νὰ ντραποῦμε ἐμεῖς; Καὶ τί λέγω, ὁ Παῦλος; Ὁ Κύριος τοῦ Παύλου δὲν ντρέπεται νὰ ὀνομάσει τοὺς δούλους μας δικούς του ἀδελφούς, καὶ ἐμεῖς ντρεπόμαστε; Πρόσεχε πῶς μᾶς τιμᾶ· ὀνο-

τοῦ καλεῖ τοὺς ἡμετέρους δούλους, καὶ φίλους, καὶ συγκληρονόμους. Ἰδοὺ ποῦ κατέβη.

Τί οὖν ποιήσαντες ἡμεῖς, τὸ πᾶν ἠνυκότες ἐσόμεθα; Οὐδὲν ὅλως δυνησόμεθα, ἀλλ' ὅπου δ' ἂν ταπεινοφροσύνης ἔλθωμεν, 5 τὸ πλέον αὐτῆς ὑπολέλειπται. Σκόπει γάρ· ὅπερ ἂν ποιήσῃς σύ, περὶ τὸν ὁμόδουλον ποιεῖς, ὁ δὲ σὸς δεσπότης περὶ τοὺς σοὺς δούλους πεποίηκεν. Ἄκουσον καὶ φρίξον· μηδέποτε ἐπαρθῇς ἐπὶ ταπεινοφροσύνῃ. Τάχα γελᾶτε τὸ λεχθέν, εἰ ταπεινοφροσύνη ἐπαίρει· ἀλλὰ μὴ θαυμάσητε· ἐπαίρει, ὅταν μὴ γνησία ᾖ. Πῶς καὶ 10 τίνι τρόπῳ; Ὅταν διὰ τὸ ἀποδέξασθαι ἀνθρώπους γένηται καὶ οὐχὶ Θεόν, ὅταν πρὸς τὸ ἐπαινεῖσθαι καὶ μεγαλοφρονεῖν· καὶ γὰρ τοῦτο διαβολικόν. Ὥσπερ γὰρ πολλοὶ διὰ τὸ μὴ κενοδοξεῖν κενοδοξοῦσιν, οὕτω καὶ διὰ τὸ ταπεινοῦσθαι ἐπαίρονται διὰ τὸ μέγα φρονεῖν. Οἷον, ἦλθέ τις ἀδλεφὸς ἢ καὶ οἰκέτης, προσελάβου 15 αὐτόν, τοὺς πόδας ἔνιψας, εὐθέως μέγα ἐφρόνησας· 'ἐποίησα', λέγεις, 'ὃ οὐδεὶς ἐποίησε, κατώρθωσα τὴν ταπεινοφροσύνην'.

Πῶς οὖν ἄν τις ἐν τῇ ταπεινφοροσύνῃ μένοι; Εἰ μνημονεύει τῆς παραγγελίας τοῦ Χριστοῦ τῆς λεγούσης, «ὅταν πάντα ποιήσητε, λέγετε, ὅτι ἀχρεῖοι δοῦλοί ἐσμεν»· καὶ πάλιν τοῦ διδασκά-20 λου τῆς οἰκουμένης λέγοντος, «ἐγὼ ἐμαυτὸν οὐ λογίζομαι κατειληφέναι». Ὁ πείσας ἑαυτόν, ὅτι οὐδὲν μέγα κατώρθωσεν, ὅσα ἂν ποιήσῃ, οὗτος μόνος ταπεινοφρονεῖν δύναται, ὁ μὴ πρὸς τὸ τέλος ἥκειν νομίζων. Πολλοὶ ἀπὸ ταπεινοφροσύνης ἐπήρθησαν. Ἀλλὰ μὴ ἡμεῖς τοῦτο πάθωμεν. Ἐποίησάς τι ταπεινόν; μὴ φρο-25 νήσῃς μέγα, ἐπεὶ τὸ πᾶν ἀπώλεσας. Τοιοῦτος ἦν ὁ Φαρισαῖος· ἐπήρθη, ἐπειδὴ ἐδίδου τοῖς πένησι τὰς δεκάτας, καὶ τὸ πᾶν ἀπώλεσεν. Ἀλλ' οὐχ ὁ τελώνης οὕτως. Ἄκουε Παύλου πάλιν λέγοντος, «οὐδὲν ἐμαυτῷ σύνοιδα, ἀλλ' οὐκ ἐν τούτῳ δεδικαίωμαι».

---

6. Λουκᾶ 17,10. 7. Φιλιπ. 3,13.
8. Βλ. Λουκᾶ 18,9–14. 9. Α' Κορ. 4,4.

μάζει τοὺς δούλους μας δικούς του ἀδελφοὺς καὶ φίλους καὶ συγκληρονόμους. Νὰ μέχρι ποῦ κατέβηκε.

Τί πρέπει λοιπὸν νὰ κάνουμε ἐμεῖς γιὰ νὰ κατορθώσουμε τὸ πᾶν; Τίποτε τελείως δὲ θὰ μπορέσουμε, ἀλλά, σὲ ὅποιο μέγεθος ταπεινοφροσύνης καὶ ἂν φθάσουμε, τὸ μεγαλύτερο μέρος της ἀπομένει. Γιατὶ πρόσεχε· αὐτὸ ποὺ ἐσὺ θὰ κάνεις, τὸ κάνεις γιὰ τὸν ὁμόδουλό σου, ἐνῶ ὁ Κύριός σου τὸ ἔχει κάνει γιὰ τοὺς δικούς σου δούλους. Ἄκουσε καὶ φρίξε· ποτὲ νὰ μὴν ὑπερηφανευθεῖς γιὰ ταπεινοφροσύνη. Ἴσως γελᾶτε γι' αὐτό, γιὰ τὸ ἂν ἡ ταπεινοφροσύνη κάνει κάποιον ὑπερήφανο. Ὅμως μὴν ἀπορήσετε· κάνει, ὅταν δὲν εἶναι γνήσια. Πῶς καὶ μὲ ποιό τρόπο; Ὅταν γίνεται γιὰ νὰ τὴν ἐπιδοκιμάσουν οἱ ἄνθρωποι καὶ ὄχι ὁ Θεός, ὅταν γίνεται σκοπεύοντας στοὺς ἐπαίνους καὶ τὴ μεγαλοφροσύνη. Γιατὶ καὶ αὐτὸ εἶναι ἔργο τοῦ διαβόλου. Ὅπως δηλαδὴ πολλοὶ εἶναι ματαιόδοξοι ἐπειδὴ δὲν ὑπερηφανεύονται, ἔτσι καὶ δείχνοντας ταπεινοφροσύνη ἐπαίρονται ἐπειδὴ μεγαλοφρονοῦν. Γιὰ παράδειγμα· ἔρχεται ἕνας ἀδελφὸς ἢ καὶ ὑπηρέτης, τὸν δέχθηκες, τοῦ ἔπλυνες τὰ πόδια, καὶ ἀμέσως ὑπερηφανεύθηκες· ἔκανα, λές, αὐτὸ ποὺ κανεὶς δὲν ἔκανε, κατόρθωσα τὴν ταπεινοφροσύνη.

Πῶς λοιπὸν θὰ παραμένει κανεὶς στὴν ταπεινοφροσύνη; Ἂν θυμᾶται τὴν ἐντολὴ τοῦ Χριστοῦ ποὺ λέγει, «ὅταν τὰ κάνετε ὅλα, νὰ λέτε, εἴμαστε ἀνάξιοι δοῦλοι»[6]· καὶ πάλι ἂν θυμᾶται τὸ διδάσκαλο τῆς οἰκουμένης ποὺ λέγει, «ἐγὼ δὲ θεωρῶ τὸν ἑαυτό μου ὅτι ἔφθασε στὸ τέρμα»[7]. Ὅποιος ἔπεισε τὸν ἑαυτό του ὅτι δὲν κατόρθωσε κανένα μεγάλο πράγμα, ὅσα καὶ ἂν κάνει, αὐτὸς μόνο μπορεῖ νὰ ἔχει ταπεινοφροσύνη, αὐτὸς ποὺ δὲ νομίζει ὅτι ἔφθασε στὸ τέλος. Πολλοὶ ἔδειξαν ἀλαζονεία ἀπὸ τὴν ταπεινοφροσύνη. Ἀλλὰ ἐμεῖς ἂς μὴν τὸ πάθουμε αὐτό. Ἔκανες κάτι ταπεινό; μὴν ὑπερηφανευθεῖς, γιατὶ ἔχασες τὰ πάντα. Τέτοιος ἦταν ὁ Φαρισαῖος· ὑπερηφανεύθηκε, ἐπειδὴ ἔδινε στοὺς φτωχοὺς τὸ δέκατο ἀπὸ τὰ εἰσοδήματά του, καὶ τὰ ἔχασε ὅλα. Ὁ τελώνης ὅμως δὲν ἔκαμε τὸ ἴδιο[8]. Ἄκου πάλι τὸν Παῦλο ποὺ λέγει· «ἡ συνείδησή μου δὲ μὲ ἐλέγχει γιὰ τίποτε, ἀλλὰ μὲ αὐτὸ δὲν εἶμαι δικαιωμένος»[9]. Βλέπεις ὅτι δὲν ἐξύψωσε τὸν ἑαυτό του, ἀλλὰ μὲ

Ὁρᾷς, ὅτι οὐκ ἐπῆρεν αὐτόν, ἀλλὰ παντοίως συνέστελλε καὶ ἐταπείνου, καὶ ταῦτα εἰς τὴν ἄκραν κορυφὴν ἀνεληλυθώς;

Καὶ οἱ τρεῖς παῖδες ἐν πυρὶ ἦσαν καὶ ἐν μέσῃ τῇ καμίνῳ, καὶ τί ἔλεγον; «Ἡμάρτομεν, ἠνομήσαμεν μετὰ τῶν πατέρων 5 ἡμῶν». Τοῦτό ἐστι καρδίαν συντετριμμένην ἔχειν. Διὰ τοῦτο ἠδύναντο λέγειν, «ἀλλ' ἐν καρδίᾳ συντετριμμένῃ καὶ πνεύματι ταπεινώσεως προσδεχθείημεν». Οὕτω καὶ μετὰ τὸ ἐμπεσεῖν εἰς τὴν κάμινον, σφόδρα ἦσαν τεταπεινωμένοι, καὶ μᾶλλον ἢ πρὸ τοῦ ἐμπεσεῖν. Ἐπειδὴ γὰρ εἶδον τὸ θαῦμα τὸ γενόμενον, ἀναξίους 10 νομίσαντες ἑαυτοὺς τῆς σωτηρίας, εἰς ταπεινοφροσύνην κατηνέχθησαν. Ὅταν γὰρ πεισθῶμεν, ὅτι παρ' ἀξίαν μεγάλα εὐηργετήμεθα, τότε μάλιστα ἀνιώμεθα.

Καίτοι τί παρ' ἀξίαν εὐηργετήθησαν ἐκεῖνοι; Ἐξέδωκαν ἑαυτοὺς εἰς κάμινον, ἐξῃχμαλωτίσθησαν, ἑτέρων ἁμαρτόντων 15 (ἔτι γὰρ νέοι ἦσαν) καὶ οὐκ ἐγόγγυσαν, οὐδὲ ὠργίσθησαν, οὐδὲ εἶπον· ναί, τί γὰρ ἡμῖν ἀγαθόν, ὅτι δουλεύομεν τῷ Θεῷ; τί ὠφελήσαμεν προσκυνοῦντες αὐτόν; οὗτος ἀσεβής ἐστι, καὶ γέγονεν ἡμῶν δεσπότης· μετὰ τῶν εἰδωλολατρῶν ὑπὸ τοῦ εἰδωλολάτρου κολαζόμεθα, εἰς αἰχμαλωσίαν ἤχθημεν, πατρίδος ἐξεπέσο20 μεν, ἐλευθερίας, τῶν πατρῴων ἁπάντων, αἰχμάλωτοι καὶ δοῦλοι γεγόναμεν, βασιλεῖ βαρβάρῳ δουλεύομεν. Οὐδὲν τούτων εἶπον, ἀλλὰ τί; «ἡμάρτομεν, ἠνομήσαμεν»· καὶ οὐδὲ ὑπὲρ ἑαυτῶν, ἀλλ' ὑπὲρ τῶν ἄλλων ποιοῦνται τὴν δέησιν· ὅτι «βασιλεῖ», φασίν, «ἐχθίστῳ καὶ πονηροτάτῳ παρέδωκας ἡμᾶς».

25 *Πάλιν ὁ Δανιὴλ δεύτερον εἰς λάκκον ἐμβεβλημένος, ἔλεγεν· «ἐμνήσθη μου γὰρ ὁ Θεός». Διὰ τί οὐκ ἂν ἐμνήσθη, ὦ Δανιήλ, ὅτε αὐτὸν ἐδόξασας ἐπὶ τοῦ βασιλέως, λέγων, «καὶ ἐγὼ οὐκ ἐν τῇ σοφίᾳ τῇ οὔσῃ ἐν ἐμοί», ἀλλ' ὅτε ἐνεβλήθης εἰς λάκκον λεόντων διὰ τὸ μὴ ὑπακοῦσαι τῷ πονηροτάτῳ δόγματι ἐκείνῳ, διὰ 30 τί οὐκ ἂν ἐμνήσθη; Δι' αὐτὸ δὴ τοῦτο. Οὐχὶ δι' αὐτὸν ἐμβέβλησαι νῦν; Ναί, φησίν· ἀλλὰ πολλῶν ὀφειλέτης εἰμί. Εἰ δὲ ἐκεῖνος*

---

10. Δαν. 3,29. 11. Δαν. 14,37. 12. Δαν. 3,32
13. Δαν. 14,37. 14. Δαν. 2,30.

κάθε τρόπο τὸν συγκρατοῦσε καὶ τὸν ταπείνωνε, παρ' ὅλο ποὺ εἶχε φθάσει στὴν ψηλότερη κορυφὴ τῆς ἀρετῆς;

Καὶ οἱ τρεῖς νέοι ἦταν μέσα στὴ φωτιὰ καὶ μέσα στὸ καμίνι, καὶ τί ἔλεγαν; «Ἁμαρτήσαμε, παραβήκαμε τὸ νόμο μαζὶ μὲ τοὺς πατέρες μας»[10]. Αὐτὸ σημαίνει νὰ ἔχεις ψυχὴ γεμάτη συντριβή. Γι' αὐτὸ μποροῦσαν νὰ λένε, «ἀλλὰ μὲ ψυχὴ συντριμμένη καὶ πνεῦμα ταπεινωμένο ἂς γίνουμε δεκτοί»[11]. Ἔτσι καὶ ὅταν μετὰ ἔπεσαν στὸ καμίνι ἦταν πάρα πολὺ ταπεινωμένοι, καὶ πολὺ περισσότερο τότε, παρὰ πρὶν πέσουν. Ὅταν εἶδαν δηλαδὴ τὸ θαῦμα ποὺ ἔγινε, θεωρώντας τοὺς ἑαυτούς τους ἀνάξιους τῆς σωτηρίας, ὁδηγήθηκαν σὲ ταπεινοφροσύνη. Γιατί, ὅταν πεισθοῦμε ὅτι ἔχουμε δεχθεῖ μεγάλες εὐεργεσίες χωρὶς ν' ἀξίζουμε, τότε στενοχωρούμαστε πάρα πολύ.

Ὅμως ποιά εὐεργεσία δέχθηκαν ἐκεῖνοι χωρὶς νὰ τὸ ἀξίζουν; Παρέδωσαν τοὺς ἑαυτούς τους σὲ καμίνι, αἰχμαλωτίσθηκαν, ἐνῶ ἁμάρτησαν ἄλλοι (γιατὶ ἀκόμη ἦταν νέοι), καὶ δὲν γόγγυσαν, οὔτε ὀργίσθηκαν, οὔτε εἶπαν· 'Ναί, ποιό λοιπὸν εἶναι τὸ καλὸ σὲ μᾶς ποὺ ὑπηρετοῦμε τὸ Θεό; τί ὠφεληθήκαμε προσκυνώντας τον; αὐτὸς εἶναι ἀσεβὴς καὶ ἔγινε κύριός μας· μαζὶ μὲ τοὺς εἰδωλολάτρες τιμωρούμαστε ἀπὸ τὸν εἰδωλολάτρη, ὁδηγηθήκαμε σὲ αἰχμαλωσία, χάσαμε πατρίδα, ἐλευθερία, ὅλα τὰ πατρικά, γίναμε αἰχμάλωτοι καὶ δοῦλοι, ὑπηρετοῦμε σὲ βασιλιὰ βάρβαρο'. Τίποτε τέτοιο δὲν εἶπαν, ἀλλὰ τί; «Ἁμαρτήσαμε, ἀνομήσαμε». Καὶ δὲν παρακαλοῦν γιὰ τὸν ἑαυτό τους, ἀλλὰ γιὰ ἄλλους· «μᾶς παρέδωσες», λένε, «σὲ βασιλιὰ μισητότατο καὶ μοχθηρότατο»[12].

Ὁ Δανιὴλ πάλι, ποὺ γιὰ δεύτερη φορὰ ρίφθηκε σὲ λάκκο, ἔλεγε· «μὲ θυμήθηκε ὁ Θεός»[13]. Γιατί δὲ θὰ σὲ θυμόταν, Δανιήλ, ὅταν τὸν δόξασες ἐνώπιον τοῦ βασιλιᾶ λέγοντας, «καὶ σὲ μένα, χωρὶς νὰ ἔχω ἐγὼ σοφία»[14]· ἀλλ' ὅταν ρίχτηκες στὸ λάκκο τῶν λιονταριῶν, ἐπειδὴ δὲν ὑπάκουσες στὴν πονηρότατη ἐκείνη διαταγή, γιατί δὲ θὰ σὲ θυμόταν; Γι' αὐτὸ ἀκριβῶς τὸ πράγμα. Δὲν ἔχεις ριχτεῖ τώρα γι' αὐτόν; Ναί, λέγει, ἀλλ' εἶμαι ὀφειλέτης πολλῶν. Ἂν ὅμως ἐκεῖνος μίλησε ἔτσι, ὕστερα ἀπὸ τόσο μεγάλη ἀρετή, τί θὰ μπορούσαμε νὰ ποῦμε ἐμεῖς; Ἀλλ' ἄκου τί λέγει

τοιαῦτα μετὰ τοσαύτην ἀρετήν, τί ἂν εἴποιμεν λοιπὸν ἡμεῖς; Ἀλλ' ὁ Δαβὶδ ἄκουε τί φησι· «καὶ ἐὰν εἴπῃ μοι, οὐ τεθέληκά σε, ἰδοὺ ἐγώ, ποιείτω μοι τὸ ἀρεστὸν ἐνώπιον αὐτοῦ»· καίτοι μυρία ἔχων εἰπεῖν ἑαυτοῦ κατορθώματα. Καὶ ὁ Ἠλεὶ δέ φησι, «Κύριος αὐ-
5 *τός, τὸ ἀρεστὸν ἐνώπιον αὐτοῦ ποιήσει».*

4. Τοῦτο δούλων εὐγνωμόνων, μὴ μόνον ἐν ταῖς εὐεργεσίαις, ἀλλὰ καὶ ἐν ταῖς κολάσεσι καὶ ἐν ταῖς τιμωρίαις τὸ πᾶν αὐτῷ παραχωρεῖν. Πῶς γὰρ οὐκ ἄτοπον, εἰ ἡμεῖς μὲν δεσπότας ἐῶμεν τύπτοντας τοὺς οἰκέτας, εἰδότες ὅτι φείδονται αὐτῶν, ἅτε αὐτῶν
10 *ὄντων ἐκείνων, ὁ δὲ Θεὸς κολάζων οὐ φείσεται; Τοῦτο καὶ ὁ Παῦλος ᾐνίξατο εἰπών, «ἐάν τε ζῶμεν, ἐάν τε ἀποθνήσκωμεν, τοῦ Κυρίου ἐσμέν». Οὐ βούλεται αὐτῷ, φησί, τὸν πλοῦτον ἐλαττωθῆναι, οἶδε πῶς κολάζει, οἰκείους κολάζει παῖδας. Οὐδεὶς ἡμῶν μᾶλλον αὐτοῦ φείδεται τοῦ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι πα-*
15 *ραγαγόντος ἡμᾶς, τοῦ τὸν ἥλιον ἀνατέλλοντος, τοῦ βρέχοντος, τοῦ ψυχὴν ἐμπνέοντος, τοῦ τὸν Υἱὸν αὐτοῦ δεδωκότος ὑπὲρ ἡμῶν. Ἀλλ' ὅπερ ἔφην, καὶ δι' ὃ πάντα μοι ταῦτα εἴρηται, ταπεινοφρονῶμεν, ὡς χρή, μετριάζωμεν, ὡς χρή· μὴ ἀφορμὴ ἡμῖν τοῦτο γενέσθω ἐπάρσεως.*

20 *Ταπεινὸς εἶ καὶ πάντων ἀνθρώπων ταπεινότερος; μὴ διὰ τοῦτο μέγα φρόνει, μηδὲ ἑτέροις ὀνείδιζε, μὴ ἀπολέσῃς τὸ καύχημα. Διὰ τοῦτο ταπεινοφρονεῖς, ἵνα ἀπονοίας ἀπαλλαγῇς. Ἂν τοίνυν δι' αὐτῆς εἰς ἀπόνοιαν πέσῃς, κρεῖττον μὴ ταπεινοφρονεῖν· ἄκουε γὰρ Παύλου λέγοντος, «διὰ τοῦ ἀγαθοῦ μοι κατεργά-*
25 *ζεται θάνατον, ἵνα γένηται καθ' ὑπερβολὴν ἁμαρτωλὸς ἡ ἁμαρτία διὰ τῆς ἐντολῆς». Ὅταν εἰς ἔννοιαν ἔλθῃς θαυμάσαι ἑαυτὸν ἐπὶ ταπεινοφροσύνῃ, νόησον τὸν Δεσπότην σου, ποῦ κατῆλθε, καὶ οὐκέτι θαυμάσεις σαυτὸν οὐδὲ ἐπαινέσεις, ἀλλὰ καὶ καταγελάσεις σαυτοῦ ὡς οὐδὲν πεποιηκότος. Πάντως ἑαυτὸν ὀφειλέτην*
30 *εἶναι νόμιζε. Ἅπερ ἂν ποιήσῃς, ἐκείνην ἀναμιμνήσκου τὴν παραβολήν, «τίς ἐξ ὑμῶν», φησίν, «ὃς ἔχει δοῦλον, μὴ εἰσελθόντι*

15. Β' Βασ. 15,26. 16. Α' Βασ. 3,18.
17. Ρωμ. 14,8. 18. Ρωμ. 7,13.

ὁ Δαβίδ· «καὶ ἂν μοῦ πεῖ, 'δὲ σὲ θέλω', θὰ ἀπαντήσω· νὰ ἐγὼ εἶμαι ἕτοιμος, ἂς κάνει γιὰ μένα ὅ,τι τοῦ εἶναι ἀρεστό»[15]. Καὶ ὅμως μποροῦσε νὰ πεῖ ἄπειρα κατορθώματά του. Ἐπίσης καὶ ὁ Ἠλὶ λέγει· «αὐτὸς εἶναι ὁ Κύριος, καὶ ἂς κάμει ὅ,τι τοῦ εἶναι ἀρεστό»[16].

4. Αὐτὸ εἶναι γνώρισμα δούλων ἀγαθῶν, ὄχι μόνο στὶς εὐεργεσίες, ἀλλὰ καὶ στὰ βασανιστήρια καὶ στὶς τιμωρίες ν' ἀναθέτουν τὰ πάντα στὸ Θεό. Πῶς λοιπὸν δὲν εἶναι παράλογο, ἐὰν ἐμεῖς ἀφήνουμε τοὺς κυρίους νὰ χτυποῦν τοὺς ὑπηρέτες, γνωρίζοντας ὅτι τοὺς λυποῦνται, ἐπειδὴ αὐτοὶ ἀνήκουν σ' ἐκείνους, καὶ ὁ Θεὸς ὅταν τοὺς τιμωρεῖ δὲ θὰ τοὺς λυπηθεῖ; Αὐτὸ ὑπαινίχθηκε καὶ ὁ Παῦλος ὅταν εἶπε, «εἴτε ζοῦμε εἴτε πεθαίνουμε, ἀνήκουμε στὸν Κύριο»[17]. Δὲ θέλει, λέγει, νὰ ἐλαττωθεῖ ὁ πλοῦτος του· ξέρει πῶς τιμωρεῖ, δικούς του δούλους τιμωρεῖ. Κανείς μας δὲ λυπᾶται περισσότερο ἀπ' αὐτὸν ποὺ μᾶς ἔφερε στὴ ζωὴ ἀπὸ τὸ μηδέν, ποὺ ἀνατέλλει τὸν ἥλιο, ποὺ βρέχει, ποὺ ἐμφυσᾶ τὴν ψυχή, ποὺ γιὰ χάρη μας ἔχει δώσει τὸν Υἱό του. Ἀλλά, ὅπως εἶπα καὶ γι' αὐτὸ λέγω καὶ ὅλα αὐτά, ἂς εἴμαστε ταπεινόφρονες ὅπως πρέπει, ἂς εἴμαστε μετριόφρονες ὅπως πρέπει, καὶ ἂς μὴ μᾶς γίνει αὐτὸ ἀφορμὴ ὑπερηφάνειας.

Εἶσαι ταπεινὸς καὶ μάλιστα ταπεινότερος ἀπ' ὅλους τοὺς ἀνθρώπους; Νὰ μὴν ὑπερηφανεύεσαι γι' αὐτὸ οὔτε νὰ κατηγορεῖς τοὺς ἄλλους, γιὰ νὰ μὴ χάσεις τὸ καύχημά σου. Γι' αὐτὸ δείχνεις ταπεινοφροσύνη· γιὰ ν' ἀπαλλαγεῖς ἀπὸ τὴν ἀλαζονεία. Ἂν λοιπὸν μ' αὐτὴ πέσεις σὲ ἀλαζονεία, καλύτερα νὰ μὴ δείχνεις ταπεινοφροσύνη· γιατὶ ἄκου τὸν Παῦλο ποὺ λέγει, «μέσω τοῦ καλοῦ μὲ ὁδηγεῖ στὸ θάνατο, γιὰ νὰ γίνει ἡ ἁμαρτία ὑπερβολικὰ ἁμαρτωλὴ χρησιμοποιώντας τὴν ἐντολή»[18]. Ὅταν σοῦ ἔρθει ἡ σκέψη νὰ θαυμάσεις τὸν ἑαυτό σου γιὰ τὴν ταπεινοφροσύνη σου, σκέψου τὸν Κύριό σου ποῦ κατέβηκε, καὶ δὲ θὰ θαυμάσ[illegible] πιὰ τὸν ἑαυτό σου οὔτε θὰ τὸν ἐπαινέσεις, ἀλλὰ καὶ θὰ τὸν π[illegible]γελάσεις γιατὶ δὲν ἔκανε τίποτε. Ὁπωσδήποτε νὰ θεωρεῖ[illegible] ἑαυτό σου ὀφειλέτη. Ὅ,τι καὶ ἂν κάνεις, θυμήσου ἐκείν[illegible] παραβολή· «ποιός ἀπὸ σᾶς», λέγει, «ποὺ ἔχει ἕνα δοῦλο, θ[illegible]

αὐτῷ, ἀνάπεσον, λέγει; Οὐχί, λέγω ὑμῖν, ἀλλά, στῆθι καὶ διακόνει μοι».

Μὴ χάριν ἴσμεν τοῖς οἰκέταις ἡμῶν διακονουμένοις ἡμῖν; Οὐδαμῶς. Ἀλλ' ὁ Θεὸς ἡμῖν οἶδε χάριν οὐκ αὐτῷ διακονουμέ-
5 *νοις, ἀλλὰ τὸ ἡμῖν συμφέρον ποιοῦσι. Πλὴν ἀλλὰ μὴ οὕτω διακεώμεθα, ὡς χάριν εἰδότος αὐτοῦ, ἵνα μᾶλλον εἰδῇ, ἀλλ' ὡς ὀφειλὴν ἐκπληροῦντες· καὶ γὰρ ὄντως ὀφειλὴ τὸ πρᾶγμα, καὶ ὀφειλῆς ἐστι πάντα, ἅπερ ἂν πράττωμεν. Εἰ γὰρ ἀργυρίου παῖδας ὠνούμενοι, πάντα ἡμῖν αὐτοὺς ζῆν βουλόμεθα, καὶ ὅσα ἂν ἔχωσιν*
10 *ἡμῖν ἔχειν, πόσῳ μᾶλλον ὁ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραγαγών, ὁ μετὰ ταῦτα τιμίῳ αἵματι ἡμᾶς πριάμενος; Τιμὴν κατέβαλεν ὑπὲρ ἡμῶν, ὅσην οὐδεὶς οὐδὲ ὑπὲρ τέκνου καταβαλεῖν ἂν ἀνάσχοιτο, τὸ αἷμα ἐξέχεε τὸ ἑαυτοῦ.*

Ἂν οὖν μυρίας ἔχοντες ψυχάς, ταύτας πάσας καταθώμε-
15 *θα, ἆρα τὴν ἴσην ἀποδώσομεν; Οὐδαμῶς. Διὰ τί; Ὅτι αὐτὸς οὐκ ὀφείλων ἡμῖν τοῦτο πεποίηκεν, ἀλλὰ τὸ πᾶν χάριτος γέγονεν, ἡμεῖς δὲ λοιπὸν ὀφείλομεν· καὶ αὐτὸς Θεὸς ὤν, δοῦλος γέγονε, καὶ οὐκ ὢν ὑπὸ θάνατον, ὑπὸ τὸν θάνατον γέγονεν ἐν σαρκί· ἡμεῖς δέ, κἂν μὴ ὑπὲρ αὐτοῦ καταθώμεθα τὰς ψυχάς, τῷ νόμῳ*
20 *τῆς φύσεως πάντως καταθησόμεθα, καὶ ἄκοντες μικρὸν ὕστερον αὐτῆς ἀποστησόμεθα. Οὕτω καὶ ἐπὶ τῶν χρημάτων, κἂν μὴ δι' αὐτὸν αὐτὰ δῶμεν, διὰ τὴν τῆς τελευτῆς ἀνάγκην ἀποδωσόμεθα. Οὕτω καὶ ἐπὶ τῆς ταπεινοφροσύνης, κἂν μὴ δι' αὐτὸν ταπεινοφρονήσωμεν, διὰ τὰς θλίψεις, διὰ τὰς συμφοράς, διὰ τὰς δυνα-*
25 *στείας ταπεινωθησόμεθα.*

Ὁρᾷς οὖν ὅση ἡ χάρις; Οὐκ εἶπε, 'τί γὰρ μέγα ποιοῦσιν οἱ μάρτυρες; κἂν μὴ δι' ἐμὲ ἀποθάνωσι, τεθνήξονται πάντως', ἀλλὰ πολλὴν αὐτοῖς οἶδε χάριν, ὅτι ἑκόντες ἀποτίθενται ὅπερ ὕστερον ἀπὸ τῆς φύσεως ἄκοντες ἔμελλον. Οὐκ εἶπε, 'τί γὰρ
30 *μέγα ποιοῦσιν οἱ τὰ χρήματα κενοῦντες; πάντως αὐτὰ ἀποθή-*

---

19. Λουκᾶ 17,7.

πεῖ, ὅταν ἐπιστρέψει στὸ σπίτι, 'κάθισε νὰ φᾶς;' Δὲ θὰ τοῦ πεῖ αὐτό, σᾶς λέγω, ἀλλά, 'σήκω καὶ ὑπηρέτα με'»[19].

Μήπως δείχνουμε εὐγνωμοσύνη πρὸς τοὺς ὑπηρέτες μας ὅταν μᾶς ὑπηρετοῦν; Καθόλου. Ὁ Θεὸς ὅμως μᾶς εὐγνωμονεῖ, ὄχι ὅταν τὸν ὑπηρετοῦμε, ἀλλὰ ὅταν κάνουμε αὐτὸ ποὺ μᾶς συμφέρει. Ἀλλ' ὅμως ἂς μὴ συμπεριφερόμαστε ἔτσι, σὰν νὰ μᾶς ὀφείλει εὐγνωμοσύνη, γιὰ νὰ μᾶς ὀφείλει περισσότερη, ἀλλὰ σὰν νὰ ξεχρεώνουμε κάποιο χρέος. Καὶ πραγματικὰ χρέος εἶναι τὸ πράγμα, καὶ ὅλα ὅσα θὰ κάνουμε εἶναι χρέος. Ἂν δηλαδὴ ἀγοράζοντας δούλους μὲ χρήματα θέλουμε πάντοτε νὰ ζοῦν γιὰ μᾶς καὶ ὅσα θὰ ἔχουν νὰ τὰ ἔχουν γιὰ μᾶς, πόσο μᾶλλον αὐτὸς ποὺ μᾶς ἔφερε ἀπὸ τὸ μηδὲν στὴ ζωὴ καὶ ποὺ στὴ συνέχεια μᾶς ἐξαγόρασε μὲ τίμιο αἷμα; Πλήρωσε γιὰ μᾶς τόση τιμή, ὅση κανεὶς δὲ θὰ δεχόταν οὔτε γιὰ τὸ παιδί του νὰ πληρώσει· ἔχυσε τὸ δικό του αἷμα.

Ἂν λοιπὸν ἔχουμε ἄπειρες ψυχὲς καὶ τὶς θυσιάσουμε ὅλες, ἄραγε θὰ ἀποδώσουμε τὴν ἴση τιμή; Καθόλου. Γιατί; Ἐπειδὴ αὐτὸς τὸ ἔκαμε αὐτὸ χωρὶς νὰ μᾶς τὸ ὀφείλει, ἀλλὰ τὰ πάντα ἦταν ἔργο χάριτος, ἐμεῖς ὅμως καὶ πάλι ὀφείλουμε· ἀκόμη αὐτὸς παρ' ὅλο ποὺ ἦταν Θεὸς ἔγινε δοῦλος καὶ παρ' ὅλο ποὺ δὲν ἦταν κάτω ἀπὸ τὴν ἐξουσία τοῦ θανάτου βρέθηκε κάτω ἀπὸ τὴν ἐξουσία του μὲ σῶμα, ἐνῶ ἐμεῖς, καὶ ἂν ἀκόμη δὲν θυσιάσουμε γι' αὐτὸν τὶς ψυχές, θὰ τὶς παραδώσουμε ὁπωσδήποτε στὸ νόμο τῆς φύσης, καὶ χωρὶς τὴ θέλησή μας ὕστερα ἀπὸ λίγο θ' ἀπομακρυνθοῦμε ἀπ' αὐτήν. Ἔτσι καὶ μὲ τὰ χρήματα, ἂν δὲν τὰ δώσουμε γι' αὐτόν, θὰ τὰ ἀποδώσουμε ἐξαναγκαζόμενοι ἀπὸ τὸ θάνατο. Ἔτσι καὶ στὴν περίπτωση τῆς ταπεινοφροσύνης, ἂν δὲ δείξουμε γι' αὐτὸν ταπεινοφροσύνη, θὰ ταπεινωθοῦμε ἐξ αἰτίας τῶν θλίψεων, τῶν συμφορῶν καὶ τῶν καταδυναστεύσεων.

Βλέπεις λοιπὸν πόση εἶναι ἡ χάρη; Δὲν εἶπε, 'Τί μεγάλο κάνουν οἱ μάρτυρες; καὶ ἂν δὲν πεθάνουν γιὰ μένα, θὰ πεθάνουν ὁπωσδήποτε', ἀλλὰ τοὺς εὐγνωμονεῖ, γιατὶ μὲ τὴ θέλησή τους χάνουν αὐτὸ ποὺ ἐπρόκειτο νὰ χάσουν ἀργότερα ἀπὸ τὴ φύση χωρὶς τὴ θέλησή τους. Δὲν εἶπε, 'Τί μεγάλο κάνουν ὅσοι ξοδεύουν σὲ δωρεὲς τὰ χρήματα; ὁπωσδήποτε θὰ τὰ ἀφήσουν καὶ

σονται καὶ ἄκοντες', ἀλλὰ πολλὴν καὶ τούτοις οἶδε χάριν, καὶ οὐκ αἰσχύνεται ἐπὶ πάντων ὁμολογῶν, ὅτι ἐτράφη παρὰ τῶν δούλων ὁ Δεσπότης. Καὶ γὰρ καὶ τοῦτο δόξα δεσπότου, τὸ οἰκέτας ἔχειν εὐγνώμονας· καὶ τοῦτο δόξα δεσπότου, τὸ οὕτω φιλεῖν 5 αὐτὸν τοὺς δούλους· καὶ τοῦτο δόξα δεσπότου, τὸ οἰκειοῦσθαι τὰ ἐκείνων· καὶ τοῦτο δόξα δεσπότου, τὸ μὴ ἐπαισχύνεσθαι ἐπὶ πάντων ὁμολογεῖν.

Αἰδεσθῶμεν τοίνυν τὴν τοσαύτην ἀγάπην τοῦ Χριστοῦ, διαθερμανθῶμεν τῷ φίλτρῳ. Κἂν ταπεινὸς ᾖ τις, κἂν εὐτελής, 10 ἀκούωμεν δὲ ὅτι φιλεῖ ἡμᾶς, μάλιστα πάντων διαθερμαινόμεθα πρὸς αὐτὸν καὶ εἰς τιμὴν αὐτὸν ἄγομεν σφοδράν· καὶ ἡμεῖς φιλοῦμεν, ὁ δὲ Δεσπότης ἡμῶν ἡμᾶς φιλεῖ τοσοῦτον, καὶ οὐ διανιστάμεθα; Μή, παρακαλῶ, μὴ οὕτω ῥᾴθυμοι γινώμεθα περὶ τὴν σωτηρίαν τῶν ἡμετέρων ψυχῶν, ἀλλὰ καὶ ἀγαπῶμεν κατὰ δύ-15 ναμιν τὴν ἡμετέραν, καὶ πάντα κενώσωμεν εἰς τὴν ἀγάπην αὐτοῦ, καὶ ψυχήν, καὶ χρήματα, καὶ δόξαν, καὶ πᾶν ὁτιοῦν, μετὰ χαρᾶς, μετὰ εὐφροσύνης, μετὰ προθυμίας, μὴ ὡς ἐκείνῳ τι παρέχοντες, ἀλλ' ὡς ἡμῖν αὐτοῖς. Τοιοῦτος γὰρ τῶν φιλούντων ὁ νόμος. Εὖ πάσχειν ἡγοῦνται, ὅταν κακῶς πάσχωσι διὰ τοὺς φιλου-20 μένους.

Οὕτω τοίνυν καὶ ἡμεῖς διακεώμεθα περὶ τὸν Δεσπότην τὸν ἡμέτερον, ἵνα καὶ τῶν μελλόντων ἐπιτύχωμεν ἀγαθῶν, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, μεθ' οὗ τῷ Πατρὶ ἡ δόξα, σὺν τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώ-25 νων. Ἀμήν.

χωρὶς τὴ θέλησή τους', ἀλλὰ καὶ αὐτοὺς τοὺς εὐγνωμονεῖ καὶ δὲν ντρέπεται νὰ ὁμολογεῖ ἐνώπιον ὅλων ὅτι ὁ Κύριος τράφηκε ἀπὸ τοὺς δούλους. Γιατὶ πράγματι καὶ αὐτὸ εἶναι δόξα κυρίου, τὸ νὰ ἔχει ὑπηρέτες εὐγνώμονες· καὶ αὐτὸ εἶναι δόξα κυρίου, τὸ ν' ἀγαπάει ἔτσι τοὺς δούλους· καὶ αὐτὸ εἶναι δόξα κυρίου, τὸ νὰ κάνει δικά του τὰ ἀγαθὰ τῶν δούλων· καὶ τοῦτο εἶναι δόξα κυρίου, τὸ νὰ μὴν ντρέπεται νὰ ὁμολογεῖ αὐτοὺς ἐνώπιον ὅλων.

Ἂς σεβασθοῦμε λοιπὸν τὴν τόσο μεγάλη ἀγάπη τοῦ Χριστοῦ, ἂς θερμανθοῦμε μὲ τὴν ἀγάπη αὐτή. Καὶ ἂν κάποιος εἶναι ταπεινὸς ἢ ἀσήμαντος, καὶ ἀκοῦμε ὅτι μᾶς ἀγαπάει, πιὸ πολὺ ἀπ' ὅλους κυριευόμαστε ἀπὸ ζῆλο πρὸς αὐτὸν καὶ τὸν ἔχουμε σὲ μεγάλη τιμή. Καὶ ἐμεῖς ἀγαπᾶμε, ὁ Κύριός μας ὅμως μᾶς ἀγαπάει τόσο πολύ, καὶ δὲ συγκινούμαστε; Ἂς μὴ γινόμαστε, παρακαλῶ, τόσο ἀδιάφοροι γιὰ τὴ σωτηρία τῶν ψυχῶν μας, ἀλλὰ ἂς ἀγαπᾶμε τὸ Χριστὸ ὅσο μποροῦμε καὶ ἂς προσφέρουμε στὴν ἀγάπη του τὰ πάντα, καὶ ψυχὴ καὶ χρήματα καὶ δόξα καὶ ὁ,τιδήποτε ἄλλο, μὲ χαρά, μὲ εὐχαρίστηση, μὲ προθυμία, ὄχι σὰν νὰ δίνουμε κάτι σ' ἐκεῖνον, ἀλλὰ σὲ μᾶς τοὺς ἴδιους. Γιατὶ τέτοιος εἶναι ὁ νόμος ἐκείνων ποὺ ἀγαποῦν. Νομίζουν ὅτι εὐεργετοῦνται ὅταν ὑποφέρουν γιὰ ἐκείνους ποὺ ἀγαποῦν.

Ἔτσι λοιπὸν καὶ ἐμεῖς ἂς συμπεριφερόμαστε πρὸς τὸν Κύριό μας, γιὰ νὰ ἐπιτύχουμε καὶ τὰ μελλοντικὰ ἀγαθὰ μὲ τὴ βοήθεια τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μαζὶ μὲ τὸν ὁποῖο στὸν Πατέρα καὶ στὸ ἅγιο Πνεῦμα ἀνήκει ἡ δόξα, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

Ο Μ Ι Λ Ι Α Γ'

(Φιλήμ. 17–25)

«Εἰ οὖν ἐμὲ ἔχεις κοινωνόν, προσλαβοῦ αὐτὸν ὡς ἐμέ. Εἰ δέ τι ἠδίκησέ σε ἢ ὀφείλει, ἐμοὶ τοῦτο ἐλλόγει. Ἐγὼ Παῦλος ἔγραψα τῇ ἐμῇ χειρί, ἐγὼ ἀποτίσω, ἵνα μὴ λέγω σοι, ὅτι καὶ σαυτόν μοι προσοφείλεις».

5 *1. Οὐδὲν οὕτω πρᾶγμα παραινεῖν οἶδεν, ὡς τὸ μὴ πάντα ἀθρόον αἰτεῖν. Ὅρα γὰρ μετὰ πόσα ἐγκώμια, μετὰ πόσην κατασκευὴν τὸ μέγα τοῦτο ἔθηκε. Μετὰ τὸ εἰπεῖν, ὅτι «τέκνον μου», ὅτι «κοινωνὸς τοῦ εὐαγγελίου», ὅτι «σπλάγχνα», ὅτι «ἀδελφὸν αὐτὸν ἀπέχεις», ὅτι «ὡς ἀδελφὸν ἔχε», τότε ἐπήγαγεν, «ὡς ἐμέ».*
10 *Καὶ οὐκ ᾐσχύνθη τοῦτο Παῦλος. Ὁ γὰρ μὴ αἰσχυνόμενος δοῦλος κληθῆναι τῶν πιστῶν, ἀλλὰ καὶ ὁμολογῶν τοῦτο, πολλῷ μᾶλλον τοῦτο οὐκ ἂν παρῃτήσατο. Ὃ δὲ λέγει, τοῦτό ἐστιν· εἰ τὰ αὐτά μοι φρονεῖς, ἐπὶ τοῖς αὐτοῖς τρέχεις, εἰ φίλον ἡγῇ, προσλαβοῦ αὐτόν, ὡς ἐμέ.*

15 *«Εἰ δέ τι ἠδίκησεν». Ὅρα, ποῦ τέθεικε καὶ πότε τὸ ἀδίκημα· ὕστερον, μετὰ τὸ πολλὰ ὑπὲρ τούτου προειπεῖν. Ἐπεὶ γὰρ μάλιστα ἡ τῶν χρημάτων ζημία δάκνειν εἴωθε τοὺς ἀνθρώπους, ἵνα μηδὲ ὑπὲρ τούτων ἐγκαλέσῃ (εἰκὸς γὰρ αὐτὰ καὶ κατηναλῶσθαι)· τότε τοῦτο τίθησι καί φησιν, «εἰ δέ τι ἠδίκησεν». Οὐκ εἶ-*
20 *πεν, 'εἴ τι ἔκλεψεν', ἀλλὰ τί; «εἴ τι ἠδίκησεν». Ἅμα καὶ τὸ ἁμάρτημα ὡμολόγησε, καὶ οὐχ ὡς δούλου ἁμάρτημα, ἀλλ' ὡς φίλου πρὸς φίλον, τῷ τῆς ἀδικίας μᾶλλον, ἢ τῷ τῆς κλοπῆς ὀνόματι*

Ο Μ Ι Λ Ι Α Γ'

(Φιλήμ. στ. 17-25)

«Ἂν λοιπὸν μὲ θεωρεῖς φίλο σου, δέξου τον σὰν νὰ ἤμουν ἐγώ. Καὶ ἂν σοῦ ἔκανε κανένα κακὸ ἢ σοῦ χρωστάει κάτι, λογάριασέ το σὲ μένα. Ἐγὼ ὁ Παῦλος τὸ ἔγραψα μὲ τὸ δικό μου χέρι, ἐγὼ θὰ τὸ πληρώσω, γιὰ νὰ μὴ σοῦ πῶ ὅτι ὅτι μοῦ χρωστᾶς ἀκόμη καὶ τὸν ἴδιο τὸν ἑαυτό σου».

1. Κανένα πράγμα δὲν ἔχει τὴ δύναμη νὰ προτρέπει τόσο, ὅσο τὸ νὰ μὴ τὰ ζητάει κανεὶς ὅλα μαζί. Γιατὶ πρόσεχε, ὕστερα ἀπὸ πόσα ἐγκώμια καὶ ἀπὸ πόση προετοιμασία ἔθεσε τὸ μεγάλο αὐτὸ θέμα. Ἀφοῦ εἶπε, «εἶναι τέκνο μου», «εἶναι συνεργάτης τοῦ Εὐαγγελίου», «εἶναι σπλάχνα μου», «τὸν ἔχεις ἀδελφό», «νὰ τὸν ἔχεις σὰν ἀδελφό», τότε πρόσθεσε, «σὰν ἐμένα». Καὶ δὲν ντράπηκε γι' αὐτὸ ὁ Παῦλος. Γιατὶ αὐτὸς ποὺ δὲν ντρέπεται νὰ ὀνομασθεῖ δοῦλος τῶν πιστῶν ἀλλὰ καὶ τὸ ὁμολογεῖ αὐτό, πολὺ περισσότερο δὲ θ' ἀπέφευγε νὰ κάμει αὐτό. Καὶ αὐτὸ ποὺ λέγει σημαίνει τὸ ἑξῆς· ἂν πιστεύεις τὰ ἴδια μὲ μένα, ἂν τρέχεις τὸν ἴδιο δρόμο, ἂν μὲ θεωρεῖς φίλο σου, δέξου τον σὰν νὰ ἤμουν ἐγώ.

«Καὶ ἂν σοῦ ἔκαμε κάποια ἀδικία». Πρόσεχε ποῦ καὶ πότε ἀνέφερε τὸ ἀδίκημα· τελευταῖα, ἀφοῦ προηγουμένως εἶπε πολλὰ γι' αὐτόν. Ἐπειδὴ κυρίως ἡ ζημία τῶν χρημάτων ἐρεθίζει συνήθως τοὺς ἀνθρώπους, γιὰ νὰ μὴν τὸν κατηγορήσει γι' αὐτὰ (γιατὶ πιθανὸν ἦταν νὰ εἶχαν καταναλωθεῖ), τότε τὸ ἀναφέρει αὐτὸ καὶ λέγει· «καὶ ἂν σοῦ ἔκαμε κάποια ἀδικία». Δὲν εἶπε, 'ἂν ἔκλεψε κάτι', ἀλλὰ τί; «Ἂν ἔκαμε κάποια ἀδικία». Συγχρόνως καὶ τὸ ἁμάρτημα ὁμολόγησε, καὶ ὄχι σὰν ἁμάρτημα δούλου, ἀλλὰ σὰν ἁμάρτημα φίλου ποὺ διέπραξε σὲ φίλο, χρησιμοποιώντας τὸ ὄνομα τῆς ἀδικίας μᾶλλον παρὰ τὸ ὄνομα τῆς κλοπῆς. «Αὐτὸ λο-

χρησάμενος. «Τοῦτο ἐμοὶ ἐλλόγει», φησί· τουτέστι, πρὸς ἐμὲ ἔχει τὴν ὀφειλήν, ἐγὼ ἀποτίσω. Εἶτα καὶ μετὰ χάριτος τῆς πνευματικῆς· «ἐγὼ Παῦλος ἔγραψα τῇ ἐμῇ χειρί»· καὶ ἐντρεπτικῶς ἅμα καὶ χαριέντως, εἴ γε ὑπὲρ τούτου καὶ γραμματεῖον ἐκτελέσαι 5 Παύλου μὴ παραιτησαμένου, τοῦτον αὐτὸς παραιτήσεται προσλαβεῖν. Τοῦτο σφόδρα καὶ αὐτὸν ἐδυσώπησε, καὶ τῆς ἐνοχλήσεως ἀπήλλαξε τὸν Ὀνήσιμον. «Καὶ τῇ ἐμῇ χειρί», φησίν, «ἔγραψα». Οὐδὲν τῶν σπλάγχνων θερμότερον τούτων, οὐδὲν σπουδαιότερον, οὐδὲν προθυμότερον. Ὑπὲρ ἑνὸς ἀνδρὸς ὅρα πόσην 10 ποιεῖται πρόνοιαν.

«Ἵνα μὴ λέγω», φησί, «σοί, ὅτι καὶ σαυτόν μοι προσοφείλεις». Εἶτα, ἵνα μὴ δόξῃ εἶναι ὕβρις εἰς τὸν ἀξιούμενον, εἴ γε μὴ ἐθάρρησεν ὑπὲρ κλοπῆς ἀξιῶσαι καὶ τυχεῖν, καὶ τοῦτό πως παραμυθεῖται. «Ἵνα μὴ λέγω», φησίν, «ὅτι καὶ σαυτόν μοι προσο-15 φείλεις»· οὐ τὰ σαυτοῦ μόνον, ἀλλὰ καὶ σαυτόν. Καὶ τοῦτο ἀπὸ ἀγάπης καὶ κατὰ τὸν τῆς φιλίας λόγον, καὶ τοῦ σφόδρα θαρρεῖν αὐτῷ. «Ναί, ἀδελφέ». Τί ἐστι, «ναί, ἀδελφέ»; Προσλαβοῦ, φησίν, αὐτόν· τοῦτο γὰρ ἔξωθεν δεῖ προσυπακούειν. Ἀφεὶς γὰρ τὸν χαριεντισμόν, πάλιν ἔχεται τῶν προτέρων, τῶν σπουδαίων. 20 Καίτοι καὶ ταῦτα σπουδαῖα· τὰ γὰρ παρὰ τῶν ἁγίων καὶ αὐτὰ σπουδαῖα, κἂν χαριεντίζωνταί τι. «Ναί, ἀδελφέ, ἐγώ σου ὀναίμην ἐν Κυρίῳ· ἀνάπαυσόν μου τὰ σπλάγχνα ἐν Χριστῷ». Τουτέστι, τῷ Κυρίῳ δίδως τὴν χάριν, οὐκ ἐμοί. «Τὰ σπλάγχνα», τὰ περὶ σέ.

25 «Πεποιθὼς τῇ ὑπακοῇ σου ἔγραψά σοι». Ποῖον λίθον ταῦτα οὐκ ἂν ἐμάλαξε; ποῖον θηρίον ταῦτα οὐκ ἂν κατεπράϋνε καὶ παρεσκεύασε γνησίως προσδέξασθαι; Μετὰ τὸ ἐν κατορθώμασι τηλικούτοις αὐτῷ μαρτυρῆσαι, οὐ παραιτεῖται καὶ πάλιν ἀπολογεῖσθαι. Οὐχ ἁπλῶς φησιν, οὐδὲ ἐπιτάττων, οὐδὲ αὐθα-

γάριασέ το σὲ μένα», λέγει. Δηλαδή, σὲ μένα νὰ καταλογίσεις τὸ χρέος, ἐγὼ θὰ πληρώσω. Ἔπειτα καὶ μὲ πνευματικὴ χάρη, «ἐγὼ ὁ Παῦλος τὸ ἔγραψα μὲ τὸ δικό μου χέρι», ἀλλὰ καὶ μὲ τρόπο προτρεπτικὸ συγχρόνως καὶ χαριτολογώντας, ἂν βέβαια ἐκεῖνος ἀρνηθεῖ νὰ δεχθεῖ αὐτόν, καὶ αὐτὸ τὴ στιγμὴ ποὺ ὁ Παῦλος δὲν ἀρνήθηκε νὰ πληρώσει καὶ λογαριασμοὺς γι' αὐτόν. Αὐτὸ καὶ ἐκεῖνον συγκίνησε πολὺ καὶ τὸν Ὀνήσιμο τὸν ἀπάλλαξε ἀπὸ τὴν ἐνόχληση. «Καὶ μὲ τὸ δικό μου χέρι», λέγει, «τὸ ἔγραψα». Τίποτε δὲν εἶναι θερμότερο ἀπὸ τὰ σπλάχνα αὐτά, τίποτε σπουδαιότερο, τίποτε προθυμότερο. Πρόσεχε πόση φροντίδα δείχνει γιὰ ἕναν ἄνδρα.

«Γιὰ νὰ μὴ σοῦ πῶ», λέγει, «ὅτι μοῦ χρωστᾶς καὶ τὸν ἴδιο τὸν ἑαυτό σου». Ἔπειτα, γιὰ νὰ μὴ φανεῖ ὅτι εἶναι ὕβρη πρὸς αὐτὸν ποὺ παρακαλοῦσε, ἐφόσον δὲν τολμοῦσε νὰ παρακαλέσει γιὰ κλοπὴ καὶ νὰ ἐπιτύχει, καὶ αὐτὸ κάπως τὸ μετριάζει. «Γιὰ νὰ μὴ σοῦ πῶ», λέγει, «ὅτι μοῦ χρωστᾶς καὶ τὸν ἴδιο τὸν ἑαυτό του»· ὄχι μόνο τὰ δικά σου, ἀλλὰ καὶ τὸν ἑαυτό σου. Καὶ αὐτὸ ἦταν ἀπὸ ἀγάπη καὶ σύμφωνα μὲ τὸ νόμο τῆς φιλίας καθὼς καὶ ἀπὸ τὸ ὑπερβολικὸ θάρρος ποὺ εἶχε. Πρόσεχε πῶς φροντίζει παντοῦ καὶ γιὰ τὰ δύο, καὶ τὸ νὰ ἀξιώνει μὲ πολλὴ ἀσφάλεια, καὶ νὰ μὴ γίνει αὐτὸ ἀπόδειξη τοῦ ὑπερβολικοῦ θάρρους πρὸς αὐτόν. «Ναί, ἀδελφέ». Τί σημαίνει, «ναί, ἀδελφέ»; Δέξου τον, λέγει· γιατὶ αὐτὸ πρέπει νὰ ὑπονοεῖ. Ἀφοῦ δηλαδὴ ἄφησε τὴ χαριτολογία, πάλι καταγίνεται μὲ τὰ προηγούμενα, τὰ σπουδαῖα. Ἂν καὶ βέβαια καὶ αὐτὰ εἶναι σπουδαῖα, γιατὶ ὅσα λέγονται ἀπὸ τοὺς ἁγίους εἶναι καὶ αὐτὰ σπουδαῖα, ἔστω καὶ ἂν ἀστειεύονται κάπως. «Ναί, ἀδελφέ, θὰ ἤθελα καὶ ἐγὼ νὰ πάρω κάτι ἀπὸ σένα γιὰ χάρη τοῦ Κυρίου· ἀνακούφισε τὴν καρδιά μου στὸ ὄνομα τοῦ Κυρίου». Δηλαδή, στὸν Κύριο κάνεις τὴ χάρη, ὄχι σ' ἐμένα. «Τὴν καρδιά μου», ποὺ φροντίζει γιὰ σένα.

«Ἐπειδὴ ἔχω ἐμπιστοσύνη ὅτι θὰ ὑπακούσεις, σοῦ ἔγραψα αὐτά». Ποιά πέτρα δὲ θὰ μαλάκωναν αὐτά; ποιό θηρίο δὲ θὰ καταπράυναν αὐτὰ καὶ δὲ θὰ τὸ ἔκαμαν νὰ τὸν δεχθεῖ εὐγενικά; Μετὰ τὰ τόσα μεγάλα κατορθώματα ποὺ ἀνέφερε γι' αὐτόν, δὲν ἀποφεύγει καὶ πάλι ν' ἀπολογηθεῖ. Ὄχι ἁπλῶς, λέγει, οὔτε μὲ

διαζόμενος, ἀλλά, «πεποιθὼς τῇ ὑπακοῇ σου ἔγραψά σοι».
Ὅπερ καὶ ἀρχόμενος εἶπε, «παρρησίαν ἔχων», τοῦτο καὶ ἐνταῦ-
θα λέγει εἰς τὸ ἐπισφραγίσαι τὴν ἐπιστολήν. «Εἰδώς, ὅτι καὶ
ὑπὲρ ὃ λέγω ποιήσεις». Ἅμα καὶ διήγειρεν εἰπὼν τοῦτο· ᾐσχύν-
5 *θη γὰρ ἄν, εἰ καὶ μηδὲν ἕτερον, τοιαύτην δόξαν ἔχων παρ' αὐτῷ,*
ὅτι καὶ ὑπὲρ ὃ λέγει ποιεῖ, μὴ ποιῆσαι τοσοῦτον. «Ἅμα δὲ καὶ
ἑτοίμασόν μοι ξενίαν· ἐλπίζω γάρ, ὅτι διὰ τῶν προσευχῶν ὑμῶν
χαρισθήσομαι ὑμῖν». Καὶ τοῦτο σφόδρα θαρροῦντος ἦν, μᾶλλον
δὲ καὶ τοῦτο ὑπὲρ Ὀνησίμου, ἵνα μὴ ῥᾳθυμήσαντες, ἀλλ' εἰδότες,
10 *ὅτι πάντως ἐπανελθὼν ἀκούσεται τὰ κατ' αὐτόν, πᾶσαν μνησι-*
κακίαν ἐξέλωσι, καὶ χάριν μᾶλλον δῶσι. Πολλὴ γὰρ ἦν ἡ χάρις
καὶ ἡ τιμὴ Παύλου ἐνδημοῦντος, Παύλου μετὰ ἡλικίαν, Παύλου
μετὰ δεσμούς. Πάλιν τῆς ἀγάπης αὐτῶν τεκμήριον τὸ εὔχεσθαι
αὐτοὺς εἰπεῖν, καὶ τοσοῦτον αὐτοῖς δοῦναι, ὡς εὔχεσθαι ὑπὲρ αὐ-
15 *τοῦ. Εἰ γὰρ καὶ ἐν κινδύνοις εἰμὶ νῦν, ἀλλ' ὅμως ὄψεσθέ με, ἐὰν*
εὔχησθε.

«Ἀσπάζεταί σε Ἐπαφρᾶς ὁ συναιχμάλωτός μου ἐν
Χριστῷ Ἰησοῦ». Οὗτος παρὰ Κολοσσαέων ἦν ἀποσταλείς·
ὥστε καὶ ἀπὸ τούτου δῆλον, ὅτι ἐν Κολοσσαῖς ἦν ὁ Φιλήμων.
20 *Συναιχμάλωτον δὲ αὐτὸν καλεῖ, δεικνὺς καὶ αὐτὸν ἐν πολλῇ θλί-*
ψει. Ὥστε, εἰ καὶ μὴ δι' αὐτὸν ἐκεῖνον, διὰ τοῦτο εἰκὸς ἀκου-
σθῆναι. Ὁ γὰρ ἐν θλίψει ὤν, καὶ τὰ αὐτοῦ ἀφείς, καὶ τὰ τῶν ἄλ-
λων μεριμνῶν, ὀφείλει ἀκούεσθαι. Καὶ ἄλλως δὲ ἐντρέπει αὐ-
τόν, εἴ γε ὁ πολίτης ὁ ἐκείνου καὶ συναιχμάλωτος γέγονεν αὐτῷ
25 *καὶ συγκακουχεῖται, οὗτος δὲ οὐδὲ χάριν δίδωσιν ὑπὲρ ἰδίου οἰ-*
κέτου. Καὶ προσέθηκε, «συναιχμάλωτός μου ἐν Χριστῷ Ἰη-
σοῦ», ἀντὶ τοῦ, διὰ Χριστόν.

«Μάρκος, Ἀρίσταρχος, Δημᾶς, Λουκᾶς, οἱ συνεργοί μου».
Τί δὴ τὸν Λουκᾶν τελευταῖον τίθησι; καίτοι γέ φησιν ἀλλαχοῦ,
30 *«Λουκᾶς ἐστι μόνος μετ' ἐμοῦ». Καὶ Δημᾶς, φησίν, εἷς τῶν ἐγ-*
καταλιπόντων αὐτὸν ἦν, καὶ ἀγαπησάντων τὸν νῦν αἰῶνα. Ταῦ-

1. Β' Τιμ. 4,11.

προσταγή, οὔτε μὲ αὐθάδεια, ἀλλά, «σοῦ τὰ ἔγραψα αὐτά, ἐπειδὴ ἔχω ἐμπιστοσύνη ὅτι θὰ ὑπακούσεις». Ἐκεῖνο ποὺ εἶπε στὴν ἀρχή, «ἐπειδὴ ἔχω θάρρος», αὐτὸ καὶ ἐδῶ λέγει γιὰ νὰ κλείσει τὴν ἐπιστολή. «Ἂν καὶ ξέρω ὅτι θὰ κάνεις ἀκόμη περισσότερα ἀπ' ὅσα λέγω». Συγχρόνως τὸν διέγειρε λέγοντας αὐτό. Γιατί, ἂν καὶ τίποτε ἄλλο, θὰ ντρεπόταν νὰ μὴν κάμει ἕνα τόσο, τὴ στιγμὴ ποὺ ὁ Παῦλος πίστευε γι' αὐτὸν ὅτι κάνει ἀκόμη περισσότερα ἀπ' ὅσα λέγει. «Συγχρόνως νὰ μοῦ ἑτοιμάσεις καὶ φιλοξενία, γιατὶ ἐλπίζω ὅτι μὲ τὶς προσευχές σας θὰ ἔρθω πάλι σὲ σᾶς». Καὶ αὐτὸ ἦταν ἀπόδειξη ὅτι ἔχει ὑπερβολικὸ θάρρος, ἢ καλύτερα καὶ αὐτὸ ἦταν ὑπὲρ τοῦ Ὀνησίμου, γιὰ νὰ μὴν ἀδιαφορήσουν, ἀλλά, γνωρίζοντας ὅτι ὁπωσδήποτε ὅταν ἐπιστρέψει θὰ τὰ μάθει τὰ σχετικὰ μ' αὐτόν, ν' ἀπομακρύνουν κάθε μνησικακία καὶ μᾶλλον νὰ τοῦ δώσει χάρη. Γιατὶ θὰ ἦταν πολλὴ ἡ χάρη καὶ ἡ τιμὴ ὁ ἐρχομὸς ἐκεῖ τοῦ Παύλου, τοῦ Παύλου τοῦ ἡλικιωμένου, τοῦ Παύλου τοῦ ἀποφυλακισμένου. Πάλι ἀπόδειξη τῆς ἀγάπης τους εἶναι τὸ νὰ πεῖ νὰ προσεύχονται καὶ νὰ δώσει σ' αὐτοὺς τόσο, ὥστε νὰ προσεύχονται γι' αὐτόν. Γιατί, ἂν καὶ βρίσκομαι τώρα σὲ κινδύνους, ὅμως θὰ μὲ δεῖτε, ἂν προσεύχεστε.

«Σὲ χαιρετάει ὁ Ἐπαφρᾶς ὁ συναιχμάλωτός μου γιὰ τὸν Ἰησοῦ Χριστό». Αὐτὸς εἶχε σταλεῖ ἀπὸ τοὺς Κολοσσαεῖς. Ὥστε καὶ ἀπ' αὐτὸ φαίνεται ὅτι ὁ Φιλήμων ἦταν στὶς Κολοσσές. Τὸν ὀνομάζει συναιχμάλωτο, δείχνοντας ὅτι καὶ αὐτὸς βρισκόταν σὲ μεγάλη θλίψη. Ἑπομένως γι' αὐτόν, ἂν ὄχι καὶ γιὰ ἐκεῖνον τὸν ἴδιο, ἦταν σωστὸ νὰ ἀκουσθεῖ. Γιατὶ ὅποιος βρίσκεται σὲ θλίψη καὶ ἐγκατέλειψε τὰ δικά του καὶ μεριμνάει γιὰ τὰ πράγματα τῶν ἄλλων, πρέπει νὰ ἀκούεται. Καὶ μὲ ἄλλο τρόπο τὸν κάνει νὰ ντραπεῖ, ἀφοῦ ὁ συμπολίτης ἐκείνου ἔγινε συναιχμάλωτός του καὶ ὑποφέρει μαζί του, ἐνῶ αὐτὸς δὲν κάνει χάρη οὔτε σὲ δικό του ὑπηρέτη. Καὶ πρόσθεσε, «συναιχμάλωτός μου στὸ ὄνομα τοῦ Ἰησοῦ Χριστοῦ», ἀντὶ τοῦ, «γιὰ τὸ Χριστό».

«Σὲ χαιρετοῦν ὁ Μᾶρκος, ὁ Ἀρίσταρχος, ὁ Δημᾶς, ὁ Λουκᾶς, οἱ συνεργάτες μου». Γιατί λοιπὸν ἀναφέρει τελευταῖο τὸν Λουκᾶ, ἂν καὶ βέβαια ἀλλοῦ λέγει, «ὁ Λουκᾶς μόνο εἶναι μαζί μου»[1]; Καὶ ὁ Δημᾶς, λέγει, ἦταν ἕνας ἀπὸ ἐκείνους ποὺ τὸν ἐγκα-

τα δὲ εἰ καὶ ἑτέρωθι εἴρηται, ἀλλ' ὅμως οὐκ ἀνεξέταστα δεῖ ἀφεῖναι, οὐδὲ ἁπλῶς ἀκούειν οὐδὲ ὡς ἔτυχε. Πῶς δὲ λέγει ἀσπάσασθαι αὐτοὺς τὸν ἐγκαταλιπόντα αὐτόν; «Ἔραστος γάρ», φησίν, «ἔμεινεν ἐν Κορίνθῳ». Τὸν μὲν οὖν Ἐπαφρᾶν, καὶ ὡς
5 γνώριμον αὐτοῖς καὶ ἐκεῖθεν ὄντα προστίθησι, καὶ Μάρκον ὡς καὶ αὐτὸν θαυμαστόν· τί δὲ τούτοις συναριθμεῖ τὸν Δημᾶν; Ἴσως μετὰ ταῦτα γέγονε ῥᾳθυμότερος, ὅτε τοὺς κινδύνους εἶδε τοὺς πολλούς. Ὁ μέντοι Λουκᾶς ἔσχατος ὤν, ἐγένετο πρῶτος. Καὶ ἀπὸ τούτων δὲ αὐτὸν προσαγορεύει, προτρέπων αὐτὸν πλέον εἰς
10 τὴν ὑπακοήν, καὶ συνεργοὺς καλεῖ, καὶ ταύτῃ δυσωπῶν αὐτὸν πρὸς τὴν αἴτησιν. «Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ τοῦ πνεύματος ὑμῶν. Ἀμήν».

2. Εὐχῇ τὴν ἐπιστολὴν κατέκλεισεν. Ἡ δὲ εὐχὴ μέγα μὲν ἀγαθὸν καὶ σωτήριον καὶ τῶν ψυχῶν τῶν ἡμετέρων φυλακτήριον·
15 μέγα δέ, ὅταν ἄξια αὐτῆς πράττωμεν καὶ μὴ ἀναξίους ἑαυτοὺς κατασκευάζωμεν. Καὶ σὺ τοίνυν ὅταν προσέλθῃς τῷ ἱερεῖ, κἀκεῖνος εἴπῃ, 'ἐλεήσει σε ὁ Θεός, τέκνον', μὴ τῷ ῥήματι θάρρει μόνον, ἀλλὰ καὶ τὰ ἔργα προστίθει· ποίει τὰ ἐλέου ἄξια. Εὐλογήσει σε ὁ Θεός, τέκνον, εἰ μὲν ποιεῖς τὰ τῆς εὐλογίας· εὐλογήσει, εἰ
20 ἐλεεῖς τὸν πλησίον· ὧν γὰρ βουλόμεθα τυχεῖν παρὰ τοῦ Θεοῦ, τούτων πρότερον μεταδιδόναι τοῖς πλησίον ὀφείλομεν· ἂν δὲ τοὺς πλησίον αὐτῶν ἀποστερῶμεν, πῶς τυχεῖν αὐτῶν βουλόμεθα; «Μακάριοι», φησίν, «οἱ ἐλεήμονες, ὅτι αὐτοὶ ἐλεηθήσονται». Εἰ γὰρ ἄνθρωποι τοὺς τοιούτους ἐλεοῦσι, πολλῷ μᾶλλον ὁ
25 Θεός· τοὺς δὲ μὴ ἐλεοῦντας, οὐκέτι· «ἀνίλεως γὰρ ἡ κρίσις τῷ μὴ ποιήσαντι ἔλεον».

Καλὸν τὸ πρᾶγμα ἔλεος· τί οὖν αὐτὸ οὐκ ἐποίησας ἑτέρῳ; Βούλει συγγνωσθῆναι πλημμελῶν; τί οὖν αὐτὸς οὐ συνέγνως τῷ πεπλημμεληκότι; ἀλλὰ προσέρχῃ μὲν τῷ Θεῷ βασιλείαν οὐρα-
30 νῶν αἰτῶν, αὐτὸς δὲ ἀργύριον αἰτηθεὶς οὐκ ἔδωκας. Διὰ τοῦτο οὐκ ἐλεούμεθα, ἐπειδὴ οὐκ ἐλεοῦμεν. Διὰ τί, φησί; καὶ μὴν τοῦτο

---

2. Β' Τιμ. 4,10. 3. Β' Τιμ. 4,20.
4. Ματθ. 5,7. 5. Ἰακ. 2,13.

τέλειψαν καὶ ἀγάπησαν τὴν παρούσα ζωή[2]. Αὐτὰ ὅμως ἂν καὶ λέχθηκαν ἀλλοῦ, ἀλλ' ὅμως δὲν πρέπει νὰ τὰ ἀφήσει κανεὶς ἀνεξέταστα, οὔτε νὰ τὰ ἀκούει ἁπλῶς οὔτε τυχαῖα. Πῶς ὅμως λέγει, ὅτι τοὺς χαιρετᾶ ἐκεῖνος ποὺ τὸν ἐγκατέλειψε; Γιατὶ λέγει, «ὁ Ἔραστος ἔμεινε στὴν Κόρινθο»[3]. Τὸν Ἐπαφρᾶ βέβαια τὸν προσθέτει καὶ ἐπειδὴ ἦταν γνωστὸς σ' αὐτοὺς καὶ ἐπειδὴ ἦταν ἀπὸ ἐκεῖ, καὶ τὸ Μάρκο ἐπειδὴ καὶ αὐτὸς ἦταν ἄνδρας ἄξιος θαυμασμοῦ. Γιατί ὅμως συγκατελέγει μ' αὐτοὺς τὸν Δημᾶ; Ἴσως ἀργότερα ἔγινε ραθυμότερος, ὅταν εἶδε τοὺς πολλοὺς κινδύνους. Ὁ Λουκᾶς λοιπὸν ποὺ ἦταν τελευταῖος ἔγινε πρῶτος. Καὶ τὸν χαιρετάει καὶ ἐκ μέρους αὐτῶν, προτρέποντας αὐτὸν περισσότερο στὴν ὑπακοή, καὶ τοὺς ὀνομάζει συνεργάτες, θέλοντας καὶ μ' αὐτὸ νὰ τὸν πείσει νὰ δεχθεῖ τὸ αἴτημά του. «Ἡ χάρη τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ νὰ εἶναι μαζί σας. Ἀμήν».

2. Μὲ εὐχὴ ἔκλεισε τὴν ἐπιστολή. Ἡ εὐχὴ βέβαια εἶναι ἀγαθὸ μεγάλο καὶ σωτήριο καὶ φυλακτήριο τῶν ψυχῶν μας. Εἶναι ὅμως μεγάλο, ὅταν πράττουμε ἄξια αὐτῆς καὶ δὲν κάνουμε ἀνάξιους τοὺς ἑαυτούς μας. Καὶ σὺ λοιπόν, ὅταν πλησιάσεις τὸν ἱερέα καὶ ἐκεῖνος σοῦ πεῖ, 'νὰ σὲ ἐλεήσει ὁ Θεός, τέκνο μου', μὴ στηρίζεσαι μόνο στὰ λόγια, ἀλλὰ νὰ προσθέτεις καὶ τὰ ἔργα· κάμνε ἐκεῖνα ποὺ εἶναι ἄξια τῆς εὐσπλαχνίας. Θὰ σὲ εὐλογήσει ὁ Θεός, τέκνο, ἂν βέβαια πράττεις τὰ ἔργα τῆς εὐλογίας· θὰ σὲ εὐλογήσει, ἂν ἐλεεῖς τὸν πλησίον. Γιατὶ ἐκεῖνα ποὺ θέλουμε ν' ἀπολαύσουμε ἀπὸ τὸ Θεό, αὐτὰ πρέπει πρῶτα νὰ τὰ προσφέρουμε στοὺς πλησίον. Ἂν ὅμως τὰ στεροῦμε ἀπὸ τοὺς πλησίον, πῶς θέλουμε νὰ τὰ ἀπολαύσουμε; «μακάριοι», λέγει, «εἶναι οἱ ἐλεήμονες, γιατὶ αὐτοὶ θὰ ἐλεηθοῦν»[4]. Ἂν λοιπὸν οἱ ἄνθρωποι ἐλεοῦν αὐτούς, πόσο μᾶλλον ὁ Θεός. Ἐκείνους ὅμως ποὺ δὲν ἐλεοῦν δὲ θὰ τοὺς ἐλεήσει καθόλου· γιατὶ «ἡ κρίση θὰ εἶναι ἄσπλαχνη σ' ἐκεῖνον ποὺ δὲν ἔδειξε εὐσπλαχνία»[5].

Εἶναι καλὸ πράγμα ἡ εὐσπλαχνία. Γιατί λοιπὸν δὲν τὸ ἔκαμες σὲ ἄλλον; Θέλεις νὰ συγχωρηθεῖς ὅταν ἁμαρτάνεις; Γιατί λοιπὸν ἐσὺ δὲ συγχώρησες ἐκεῖνον ποὺ ἁμάρτησε; καὶ ἔρχεσαι στὸ Θεὸ ζητώντας τὴ βασιλεία τῶν οὐρανῶν, ἐνῶ ἐσὺ δὲν ἔδωσες τὰ χρήματα ὅταν σοῦ τὰ ζήτησαν. Γι' αὐτὸ δὲ μᾶς ἐλεεῖ ὁ

ἐλέους ἐστί, τὸ τοὺς ἀνελεήμονας ἐλεεῖν. Ὁ γὰρ τὸν ὠμὸν καὶ ἀπηνῆ καὶ μυρία τῷ πλησίον ἐνδεικνύμενον κακὰ φιλανθρωπευσάμενος, πῶς ἂν ἐλεήμων εἴη; Τί οὖν, φησί; τὸ λουτρὸν οὐχὶ μυρία ἡμᾶς ἐργασαμένους κακὰ ἔσωσεν; Ἀπήλλαξεν ἐκείνων, οὐχ 5 ἵνα πάλιν αὐτὰ πράττωμεν, ἀλλ᾽ ἵνα μὴ πράττωμεν. «Εἰ γὰρ ἀπεθάνομεν», φησί, «τῇ ἁμαρτίᾳ, πῶς ἔτι ζήσομεν ἐν αὐτῇ; Τί οὖν; ἁμαρτησόμεθα, ὅτι οὐκ ἐσμεν ὑπὸ νόμον; Μὴ γένοιτο».

Διὰ τοῦτό σε ἐκείνων ἀπήλλαξεν, ἵνα μηκέτι παλινδρομήσῃς πρὸς τὴν ἀτιμίαν ἐκείνην. Ἐπεὶ καὶ ἰατροὶ τοὺς πυρέττον- 10 τας ἀπαλλάττουσι τῆς φλογός, οὐχ ἵνα τῇ ὑγείᾳ πρὸς κάκωσιν ἀποχρήσωνται καὶ ἀταξίαν (ἐπεὶ βέλτιον νοσεῖν, εἴ γε μέλλοι τις διὰ τοῦτο ὑγιαίνειν, ἵνα πάλιν τῇ κλίνῃ προσηλώσῃ ἑαυτόν), ἀλλ᾽ ἵνα, μαθόντες τὰ ἀπὸ τῆς ἀρρωστίας κακά, μηκέτι τοῖς αὐτοῖς περιπέσωσιν, ἵνα ἀσφαλέστερον τῆς ὑγείας ἔχωνται, ἵνα πάντα 15 πράττωσι τὰ πρὸς ταύτην συντελοῦντα. Πῶς οὖν ἡ φιλανθρωπία τοῦ Θεοῦ, φησίν, εἴ γε μὴ μέλλοι σώζειν τοὺς κακούς; πολλαχοῦ γὰρ καὶ τοῦτο πολλοὺς ἀκούω λέγοντας, ὅτι φιλάνθρωπός ἐστι καὶ πάντως σώσει πάντας. Ἵν᾽ οὖν μὴ μάτην ἑαυτοὺς ἀπατῶμεν (καὶ γὰρ μέμνημαι τοιαύτην τινὰ ὑποσχόμενος ὑμῖν ὑπόσχεσιν), 20 φέρε τήμερον τὸν λόγον τοῦτον κινήσωμεν.

Διελέχθην περὶ γεέννης πρὸς ὑμᾶς πρῴην καὶ ἀνεβαλόμην τὸν περὶ τῆς τοῦ Θεοῦ φιλανθρωπίας λόγον· σήμερον οὖν αὐτὸν ἀποδοῦναι καλόν. Ὅτι μὲν οὖν ἔσται γέεννα, ἱκανῶς, ὡς ἐμαυτῷ δοκῶ, τάχα ἀπεδείξαμεν, τὸν κατακλυσμὸν εἰς μέσον 25 ἐνεγκόντες καὶ τὰ πρότερα κακά, καὶ εἰπόντες, ὅτι οὐχ οἷόν τε τὸν ἐκεῖνα ποιήσαντα ἀτιμωρήτους ἐᾶσαι τοὺς νῦν. Εἰ γὰρ τοὺς πρὸ τοῦ νόμου ἁμαρτόντας οὕτως ἐκόλασε, τοὺς μείζονα κακὰ ἐργασαμένους μετὰ τὴν χάριν ἀτιμωρήτους οὐκ ἀφήσει. Ἐζητεῖτο τοίνυν, πῶς οὖν ἀγαθός, πῶς δὲ φιλάνθρωπος, εἴ γε κολάζει;

---

6. Ρωμ. 6,2.15.

Θεός, ἐπειδὴ δὲν ἐλεοῦμε. Γιατί; λέγει. Ἐπειδὴ αὐτὸ εἶναι εὐσπλαχνία, τὸ νὰ ἐλεεῖ κανεὶς τοὺς ἄσπλαχνους. Γιατὶ αὐτὸς ποὺ ἔδειξε φιλανθρωπία σ' ἐκεῖνον ποὺ εἶναι σκληρὸς καὶ ἄγριος καὶ ἔκαμε ἄπειρα κακὰ στὸν πλησίον πῶς θὰ μποροῦσε νὰ εἶναι φιλεύσπλαχνος; Τί λοιπόν, λέγει; Δὲ μᾶς ἔσωσε τὸ βάπτισμα ἂν καὶ πράξαμε ἄπειρα κακά; Μᾶς ἀπάλλαξε ἀπ' αὐτά, ὄχι γιὰ νὰ κάνουμε πάλι τὰ ἴδια, ἀλλὰ γιὰ νὰ μὴν κάνουμε. «Ἐάν», λέγει, «εἴμαστε πεθαμένοι ὡς πρὸς τὴν ἁμαρτία, πῶς θὰ ἐξακολουθήσουμε νὰ ζοῦμε μέσα σ' αὐτήν; Τί λοιπόν; Θὰ ἁμαρτήσουμε ἐπειδὴ δὲν εἴμαστε κάτω ἀπὸ τὴν ἐξουσία τοῦ νόμου; Μακριὰ μιὰ τέτοια σκέψη»[6].

Γι' αὐτὸ σὲ ἀπάλλαξε ἀπὸ τὰ κακά, γιὰ νὰ μὴν ἐπιστρέψεις πιὰ στὴν ἀτιμία ἐκείνη. Γιατὶ καὶ οἱ ἰατροὶ ἀπαλλάσσουν τοὺς ἀρρώστους ἀπὸ τὸν πυρετό, ὄχι γιὰ νὰ χρησιμοποιήσουν τὴν ὑγεία πρὸς κάκωση καὶ ἀταξία (ἐπειδὴ εἶναι καλύτερο νὰ εἶναι κανεὶς ἄρρωστος, ἂν βέβαια πρόκειται γι' αὐτὸ νὰ γίνει ὑγιής, γιὰ νὰ καθηλωθεῖ πάλι στὸ κρεβάτι), ἀλλὰ μαθαίνοντας τὰ κακὰ τῆς ἀρρώστιας νὰ μὴν πέσουν πιὰ στὰ ἴδια, νὰ φροντίζουν ἀσφαλέστερα τὴν ὑγεία τους, νὰ κάνουν ὅλα ἐκεῖνα ποὺ συντελοῦν γι' αὐτή. Πῶς λοιπόν, λέγει, εἶναι ἡ φιλανθρωπία τοῦ Θεοῦ, ἀφοῦ δὲν πρόκειται νὰ σώσει τοὺς κακούς; Γιατὶ πολλὲς φορὲς ἀκούω πολλοὺς νὰ λένε καὶ αὐτό, ὅτι εἶναι φιλάνθρωπος καὶ ὁπωσδήποτε θὰ τοὺς σώσει ὅλους. Γιὰ νὰ μὴν ἐξαπατοῦμε λοιπὸν ἄσκοπα τὸν ἑαυτό μας (γιατὶ πραγματικὰ θυμᾶμαι κάποια τέτοια ὑπόσχεση ποὺ σᾶς ἔδωσα), ἐμπρὸς σήμερα ἂς μιλήσουμε γι' αὐτό.

Σὲ προηγούμενη ὁμιλία σᾶς μίλησα γιὰ τὴ γέεννα καὶ ἀνέβαλα τὸ λόγο γιὰ τὴ φιλανθρωπία τοῦ Θεοῦ. Σήμερα λοιπὸν εἶναι καλὸ νὰ τὸν ἀποδώσω. Ὅτι βέβαια θὰ ὑπάρξει γέεννα, ἀρκετά, ὅπως νομίζω, σᾶς τὸ ἀπέδειξα, παρουσιάζοντας στὴ μέση τὸν κατακλυσμὸ καὶ τὰ προηγούμενα κακά, καὶ λέγοντας ὅτι αὐτὸς ποὺ τὰ ἔκαμε ἐκεῖνα δὲν εἶναι δυνατὸ ν' ἀφήσει ἀτιμώρητους τοὺς σημερινούς. Γιατί, ἂν ἐκείνους ποὺ ἔζησαν πρὶν ἀπὸ τὸ νόμο τοὺς τιμώρησε ἔτσι, αὐτοὺς ποὺ ἔκαναν μεγαλύτερα κακὰ μετὰ τὴ χάρη δὲ θὰ τοὺς ἀφήσει ἀτιμώρητους. Τὸ ζήτημα λοιπὸν ἦταν· πῶς ὁ Θεὸς εἶναι ἀγαθός, πῶς φιλάνθρωπος, ἀφοῦ τιμωρεῖ;

καὶ ἀνεβαλόμεθα τὸν λόγον, ὥστε μὴ τῷ πλήθει καταχῶσαι τὰς ἀκοὰς τὰς ὑμετέρας. Φέρε, τήμερον ἀποδῶμεν τὸ χρέος καὶ δείξωμεν, πῶς ἀγαθὸς ὁ Θεὸς καὶ κολάζων. Καὶ γὰρ καὶ πρὸς τοὺς αἱρετικοὺς ἡμῖν ὁ λόγος οὗτος ἁρμόσειεν ἄν· ὥστε μετὰ σπουδῆς
5 *προσέχωμεν.*

Οὐδενὸς δεόμενος ὁ Θεὸς τῶν παρ' ἡμῶν, ἐποίησεν ἡμᾶς. Ὅτι δὲ οὐδενὸς ἐδεῖτο, ἐδήλωσεν ἐκ τοῦ μετὰ ταῦτα ποιῆσαι. Εἰ γὰρ ἐδεῖτο, πάλαι ἂν ἐποίησεν· εἰ δὲ καὶ χωρὶς ἡμῶν ἦν αὐτός, ἡμεῖς δὲ ἐν ὑστέροις χρόνοις γεγόναμεν, οὐ δεόμενος ἡμῶν ἐποί-
10 *ησεν ἡμᾶς. Ἐποίησεν οὐρανόν, γῆν, θάλατταν, πάντα τὰ ὄντα δι' ἡμᾶς. Ταῦτα οὐκ ἀγαθότητος, εἰπέ μοι; Καὶ πολλὰ ἄν τις ἔχοι λέγειν· ἀλλ' ἵνα συντέμωμεν τὸν λόγον, «ἀνατέλλει τὸν ἥλιον ἐπὶ πονηροὺς καὶ ἀγαθούς, βρέχει ἐπὶ δικαίους καὶ ἀδίκους». Τοῦτο οὐκ ἀγαθότητος; Οὔ, φησί. Καὶ γάρ ποτε πρός τινα Μαρκιωνι-*
15 *στὴν ἔλεγον, ἆρα οὐκ ἀγαθότητος ταῦτα; καὶ ἔφησεν, ὅτι, εἰ μὴ τὸν λόγον ἀπῄτει τῶν ἁμαρτημάτων, ἀγαθότητος ἦν· εἰ δὲ ἀπαιτεῖ, οὐκ ἀγαθότητος. Ἀλλ' ἐκεῖνος μὲν οὐ πάρεστι νῦν. Φέρε δὲ τὰ τότε λεχθέντα εἴπωμεν καὶ πλείονα τούτων. Ἐγὼ γὰρ δείκνυμι ἐκ περιουσίας, ὅτι, εἰ μὴ ἀπῄτει λόγον, οὐκ ἀγαθός· ἐπειδὴ δὲ*
20 *ἀπαιτεῖ, διὰ τοῦτο ἀγαθός.*

Εἰπὲ γάρ μοι, εἰ μὴ ἀπῄτει λόγον ἡμᾶς ἆρα ἂν ἔστη ὁ βίος ὁ ἀνθρώπινος; ἆρα οὐκ ἂν εἰς θηρία ἐξεπέσομεν; Εἰ γάρ, ἐπικειμένου φόβου καὶ εὐθυνῶν καὶ δικαστηρίων, τοὺς ἰχθῦς παρηλάσαμεν ἀλλήλους κατεσθίοντες, τοὺς λέοντας καὶ τοὺς λύκους ἀπε-
25 *κρύψαμεν τὰ ἀλλήλων ἁρπάζοντες, εἰ μὴ λόγον ἡμᾶς ἀπῄτει, καὶ τοῦτο πεπείσμεθα, πόσης ἂν συγχύσεως καὶ τύρβης ἐπληρώθη ὁ βίος; τίς ἦν ὁ μυθευόμενος λαβύρινθος λοιπὸν πρὸς τὴν ἀταξίαν τὴν κοσμικήν; οὐκ ἂν εἶδες μυρίας ἀτοπίας καὶ ἀταξίας; τίς γὰρ ἂν ᾐδέσθη πατέρα λοιπόν; τίς δὲ ἂν ἐφείσατο μητρός; τίς δ' ἂν*
30 *πᾶσαν ἡδονήν, πᾶσαν κακίαν παρέλιπε;*

Καὶ ὅτι ταῦτα οὕτως ἔχει, ἀπὸ μιᾶς οἰκίας μόνης ἐγώ σε

---

7. Ματθ. 5,35.

Τότε ἀνέβαλα τὸ λόγο, ὥστε νὰ μὴ γίνουν αἰτία τὰ πολλὰ νὰ λησμονήσετε τὰ ὅσα εἴχατε ἀκούσει. Ἐμπρὸς σήμερα ἂς ξεπληρώσω τὸ χρέος, καὶ ἂς δείξω πῶς ὁ Θεὸς εἶναι ἀγαθὸς καὶ ὅταν τιμωρεῖ. Ἀκόμη καὶ πρὸς τοὺς αἱρετικοὺς θὰ ταίριαζε ὁ λόγος μου αὐτός. Ἑπομένως, ἂς προσέχουμε μὲ ἐνδιαφέρον.

Ὁ Θεὸς μᾶς δημιούργησε χωρὶς νὰ ἔχει ἀνάγκη ἀπὸ κανένα δικό μας πράγμα. Καὶ ὅτι δὲν εἶχε ἀνάγκη ἀπὸ τίποτε τὸ φανέρωσε ἀπὸ ἐκεῖνα ποὺ ἔκαμε μετά. Γιατί, ἂν εἶχε, θὰ τὸ ἔκανε ἀπὸ πολὺ πρίν. Ἂν ὅμως αὐτὸς ὑπῆρχε καὶ χωρὶς ἐμᾶς κι ἐμεῖς γίναμε σὲ μεταγενέστερους χρόνους, δὲ μᾶς δημιούργησε ἐπειδὴ μᾶς εἶχε ἀνάγκη. Ἔκαμε τὸν οὐρανό, τὴ γῆ, τὴ θάλασσα καὶ ὅλα ὅσα ὑπάρχουν γιὰ μᾶς. Αὐτά, πές μου, δὲν εἶναι ἀπόδειξη ἀγαθότητας; Καὶ πολλὰ θὰ μποροῦσε νὰ πεῖ κανείς, ἀλλὰ γιὰ νὰ κάνουμε σύντομο τὸ λόγο, «ἀνατέλλει τὸν ἥλιο σὲ κακοὺς καὶ καλούς, βρέχει σὲ δίκαιους καὶ ἄδικους»[7]. Αὐτὸ δὲν εἶναι ἀπόδειξη ἀγαθότητας; Ὄχι, λέγει. Πραγματικά, κάποτε ἔλεγα σὲ κάποιο Μαρκιωνιστή, 'ἄραγε δὲν εἶναι ἀπόδειξη ἀγαθότητας αὐτά;' καὶ εἶπε, ὅτι θὰ ἦταν, ἂν δὲ ζητοῦσε λογαριασμὸ γιὰ τὰ ἁμαρτήματα· ἀφοῦ ὅμως ζητάει, δὲν εἶναι ἀπόδειξη ἀγαθότητας. Ἀλλ' ἐκεῖνος βέβαια δὲν βρίσκεται τώρα ἐδῶ. Ἐμπρὸς ὅμως ἂς πῶ ὅσα λέχθηκαν τότε καὶ μάλιστα περισσότερα ἀπὸ ἐκεῖνα. Γιατὶ ἐγὼ θὰ δείξω ἀπὸ πολλὰ ὅτι, ἂν δὲ ζητοῦσε λόγο, δὲ θὰ ἦταν ἀγαθός· ἐπειδὴ ὅμως ζητάει, γι' αὐτὸ εἶναι ἀγαθός.

Πές μου λοιπόν, ἂν δὲ μᾶς ζητοῦσε λόγο, ἄραγε θὰ στεκόταν ἡ ἀνθρώπινη ζωή; ἄραγε δὲ θὰ καταντούσαμε θηρία; Γιατὶ ἄν, ἐνῶ ὑπάρχει φόβος καὶ εὐθύνες καὶ δικαστήρια, ξεπερνοῦμε τὰ ψάρια κατατρώγοντας ὁ ἕνας τὸν ἄλλο, καὶ ἐπισκιάζουμε τὰ λιοντάρια καὶ τοὺς λύκους ἁρπάζοντας ὁ ἕνας τὰ πράγματα τοῦ ἄλλου, ἂν δὲ μᾶς ζητοῦσε λόγο καὶ ἤμασταν σίγουροι γι' αὐτό, πόση σύγχυση καὶ ἀταξία θὰ γέμιζε ἡ ζωή; Τί θὰ ἦταν πιὰ ὁ μυθικὸς λαβύρινθος συγκρινόμενος πρὸς τὴν ἀταξία τοῦ κόσμου; Δὲ θὰ ἔβλεπες ἄπειρες ἀτοπίες καὶ ἀταξίες; Ποιός θὰ σεβόταν πιὰ τὸν πατέρα του; ποιός θὰ λυπόταν τὴ μητέρα του; ποιός θὰ ἄφηνε κάθε ἡδονὴ καὶ κάθε κακία;

Καὶ ὅτι αὐτὰ εἶναι ἔτσι, θὰ προσπαθήσω νὰ σὲ πείσω ἀπὸ

πεῖσαι πειράσομαι. Πῶς; Ἐὰν ὑμῶν τῶν ταῦτα ἐρωτώντων καὶ οἰκέτας ἐχόντων, δῆλον ποιήσω τούτοις, ὅτι, κἂν διαφθείρωσι τὴν δεσποτείαν, καὶ εἰς τὸ σῶμα ἐκείνων ἐνυβρίσωσι, κἂν πάντα ἐκφέρωσι, κἂν τὰ ἄνω κάτω ἐργάσωνται, καὶ τὰ τῶν ἐχθρῶν 5 αὐτοὺς διαθῶσιν, οὐδὲ μέχρι ῥημάτων λυπήσουσιν, ἆρα δοκεῖ ταῦτα ἀγαθότητος εἶναι; Ἀλλ' ἐγὼ δείκνυμι, ὅτι ὠμότητός ἐστι τῆς ἐσχάτης, οὐ μόνον τῷ τὴν γυναῖκα καὶ τὰ παιδία προδίδοσθαι διὰ ταύτης τῆς ἀκαίρου χρηστότητος, ἀλλὰ καὶ τῷ αὐτοὺς ἐκείνους πρὸ τούτων ἀπόλλυσθαι. Καὶ γὰρ μέθυσοι καὶ ἀσελγεῖς 10 καὶ ἀκόλαστοι καὶ ὑβρισταὶ καὶ πάντων θηρίων ἔσονται ἀλογώτεροι.

Τοῦτο οὖν ἀγαθότητος, εἰπέ μοι, εὐγένειαν τῆς ψυχῆς καταπατῆσαι, καὶ αὐτοὺς καὶ ἀλλήλους προσαπολέσαι; Ὁρᾷς, ὅτι τὸ εὐθύνας ἀπαιτεῖν τοῦτό ἐστι τὸ πολλῆς χρηστότητος ὄν; Καὶ τί 15 λέγω οἰκέτας τοὺς προχειρότερον ἐπὶ τὰ ἁμαρτήματα ταῦτα ἐρχομένους; Ἀλλ' ἐχέτω τις υἱούς, καὶ πάντα ἐπιτρεπέτω τολμᾶν ἐκείνοις, καὶ μὴ κολαζέτω, τίνος οὖν οὐκ ἔσονται χείρους, εἰπέ μοι; Εἶτα ἐπὶ μὲν ἀνθρώπων τὸ κολάζειν ἀγαθότητος, τὸ δὲ μὴ κολάζειν ὠμότητος, ἐπὶ δὲ Θεοῦ οὐκέτι; Ὥστε, ἐπειδὴ ἀγαθός 20 ἐστι, διὰ τοῦτο γέενναν προητοίμασε.

Βούλεσθε καὶ ἄλλην εἴπω ἀγαθότητα τοῦ Θεοῦ; Οὐ τοῦτο μόνον, ἀλλ' ὅτι καὶ τοὺς ἀγαθοὺς οὐκ ἀφίησι γενέσθαι κακούς. Εἰ γὰρ ἔμελλον τῶν αὐτῶν τυγχάνειν, πάντες ἂν ἦσαν κακοί· νῦν δὲ οὐ μικρῶς καὶ τοῦτο παραμυθεῖται τοὺς ἀγαθούς. Ἄκουε γὰρ 25 τοῦ προφήτου λέγοντος· «εὐφρανθήσεται δίκαιος, ὅταν ἴδῃ ἐκδίκησιν ἀσεβοῦς, τὰς χεῖρας αὐτοῦ νίψεται ἐν τῷ αἵματι τοῦ ἁμαρτωλοῦ»· οὐχ ὑπερηδόμενος, μὴ γένοιτο, ἀλλὰ δεδοικὼς μὴ τὰ αὐτὰ πάθῃ, καθαρώτερον τὸν ἑαυτοῦ βίον ἐργάσεται. Πολλῆς ἄρα τοῦτο κηδεμονίας ἐστί. Ναί, φησίν, ἀλλ' ἀπειλῆσαι μόνον 30 ἐχρῆν, μὴ μέντοι καὶ κολάσαι. Εἰ κολάζει, καὶ λέγεις, ὅτι ἀπειλὴ τὸ πρᾶγμά ἐστι, καὶ διὰ τοῦτο ῥᾳθυμότερος γίνῃ, εἰ ὄντως ἀπειλὴ

8. Ψαλμ. 57,11.

ἕνα μόνο σπίτι. Πῶς; Ἂν στοὺς ὑπηρέτες, τοὺς ὁποίους ἔχετε ἐσεῖς ποὺ τὰ ἐρωτᾶτε αὐτά, κάνω γνωστὸ ὅτι, εἴτε περιφρονήσουν τὴν ἐξουσία τοῦ κυρίου τους καὶ φερθοῦν ὑβριστικὰ πρὸς τὸ σῶμα τῶν κυρίων τους, εἴτε τὰ βγάλουν ὅλα ἔξω, τὰ κάνουν ἄνω–κάτω καὶ συμπεριφέρονται ἐχθρικὰ πρὸς αὐτούς, οἱ κύριοι δὲν θὰ τοὺς ἀπειλήσουν, δὲν θὰ τοὺς τιμωρήσουν, δὲ θὰ τοὺς ἐκδικηθοῦν, οὔτε θὰ τοὺς στενοχωρήσουν μὲ λόγια, ἄραγε φαίνονται αὐτὰ δείγματα ἀγαθότητας; Ἀλλ' ἐγὼ θὰ σοῦ δείξω ὅτι εἶναι δείγματα τῆς χειρότερης σκληρότητας, ὄχι μόνο γιατὶ μ' αὐτὴ τὴν ἄκαιρη ἀγαθότητα προδίδονται ἡ γυναίκα καὶ τὰ παιδιά, ἀλλὰ καὶ γιατὶ ἐκεῖνοι οἱ ἴδιοι καταστρέφονται πρὶν ἀπ' αὐτούς. Γιατὶ θὰ γίνουν μέθυσοι καὶ ἀσελγεῖς καὶ ἀκόλαστοι καὶ ὑβριστὲς καὶ πιὸ ἀνόητοι ἀπ' ὅλα τὰ θηρία.

Αὐτὸ λοιπόν, πές μου, εἶναι ἀγαθότητα, νὰ καταπήσουν τὴν εὐγένεια τῆς ψυχῆς καὶ νὰ καταστρέψουν αὐτοὺς καὶ τὸν ἴδιο τὸν ἑαυτό τους; Βλέπεις ὅτι τὸ νὰ ζητάει εὐθύνες εἶναι δεῖγμα μεγάλης ἀγαθότητας; Καὶ γιατί λέγω γιὰ τοὺς ὑπηρέτες ποὺ εὐκολότερα κάνουν αὐτὰ τὰ ἁμαρτήματα; Κάποιος ποὺ ἔχει παιδιά, ἂς τὰ ἐπιτρέψει νὰ τολμοῦν τὰ πάντα καὶ ἂς μὴν τὰ τιμωρεῖ· ἀπὸ ποιόν λοιπόν, πές μου, δὲ θὰ γίνουν χειρότερα; Ἔπειτα στοὺς ἀνθρώπους τὸ νὰ τιμωρεῖ κανεὶς εἶναι πράξη ἀγαθότητας καὶ τὸ νὰ μὴ τιμωρεῖ σκληρότητας, στὸ Θεὸ ὅμως ὄχι; Ἐπομένως, ἐπειδὴ εἶναι ἀγαθός, γι' αὐτὸ προετοίμασε τὴ γέεννα.

Θέλετε νὰ σᾶς πῶ καὶ ἄλλη ἀγαθότητα τοῦ Θεοῦ; Ὄχι μόνο αὐτό, ἀλλὰ ὅτι καὶ τοὺς ἀγαθοὺς δὲν ἀφήνει νὰ γίνουν κακοί. Γιατί, ἂν ἐπρόκειτο ν' ἀπολαύσουν τὰ ἴδια, ὅλοι θὰ ἦταν κακοί· τώρα ὅμως καὶ αὐτὸ παρηγορεῖ πολὺ τοὺς ἀγαθούς. Ἄκου τὸν προφήτη ποὺ λέγει· «θὰ εὐφρανθεῖ ὁ δίκαιος ὅταν θὰ δεῖ τὴν ἐκδίκηση τοῦ ἀσεβοῦς· θὰ νίψει τὰ χέρια του μέσα στὸ αἷμα τοῦ ἁμαρτωλοῦ»[8]. Ὄχι γιατὶ εὐχαριστιέται πάρα πολύ, μακριὰ μιὰ τέτοια σκέψη, ἀλλὰ γιατὶ φοβᾶται μήπως πάθει τὰ ἴδια, θὰ κάνει πιὸ καθαρὴ τὴ δική του ζωή. Ἐπομένως αὐτὸ εἶναι δεῖγμα φροντίδας. Ναί, λέγει, ἀλλὰ ἔπρεπε μόνο νὰ ἀπειλήσει, ὄχι ὅμως καὶ νὰ τιμωρήσει. Ἂν τιμωρεῖ, καὶ λέγεις, ὅτι εἶναι ἀπειλὴ τὸ πράγμα καὶ γι' αὐτὸ γίνεσαι περισσότερο ράθυμος, ἂν πράγματι ἦταν

μόνον ἦν, οὐκ ἂν ὑπτιώτερος γέγονας; Οἱ Νινευῖται εἰ ᾔδεσαν ὅτι ἀπειλὴν μόνον τὸ πρᾶγμα ἦν οὐκ ἂν μετενόησαν, ἐπειδὴ δὲ μετενόησαν, μέχρι ῥημάτων τὴν ἀπειλὴν ἔστησαν. Βούλει αὐτὸ ἀπειλὴν εἶναι; σὺ κύριος εἶ τοῦ πράγματος· γενοῦ βελτίων, καὶ ἵστα-5ται μέχρι τῆς ἀπειλῆς· ἂν δέ, ὅπερ ἀπείη, καταφρονήσῃς τῆς ἀπειλῆς, ἥξεις ἐπὶ τὴν πεῖραν· οἱ πρὸ τοῦ κατακλυσμοῦ, εἰ τὴν ἀπειλὴν ἔδεισαν, οὐκ ἂν τὴν πεῖραν ὑπέμειναν.

Καὶ ἡμεῖς, ἐὰν φοβηθῶμεν τὴν ἀπειλήν, οὐχ ὑποστησόμεθα τὴν πεῖραν· μηδὲ γένοιτο, ἀλλὰ παράσχοι ὁ φιλάνθρωπος 10 Θεὸς πάντας ἡμᾶς ἐντεῦθεν ἤδη σωφρονισθέντας, τῶν ἀπορρήτων ἐκείνων ἐπιτυχεῖν ἀγαθῶν, ὧν γένοιτο πάντας ἡμᾶς ἀξιωθῆναι, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

μόνο ἀπειλή, δὲ θὰ γινόσουν πιὸ ἀδιάφορος; Ἂν οἱ Νινευίτες ἤξεραν ὅτι τὸ πράγμα ἦταν μόνο ἀπελή, δὲ θὰ μετανοοῦσαν· ἐπειδὴ ὅμως μετανόησαν, σταμάτησαν τὴν ἀπειλὴ στὰ λόγια. Θέλεις αὐτὸ νὰ εἶναι ἀπειλή; Ἀπὸ σένα ἐξαρτᾶται τὸ πράγμα. Γίνε καλύτερος, καὶ στέκεται στὴν ἀπειλὴ μόνο· ἂν ὅμως, πράγμα ποὺ εἴθε νὰ μὴ γίνει, περιφρονήσεις τὴν ἀπειλή, θὰ δοκιμάσεις ἔμπρακτα τὸ πράγμα. Ἂν ὅσοι ἔζησαν πρὶν τὸν κατακλυσμὸ γνώριζαν τὴν ἀπειλή, δὲ θὰ δέχονταν τὴν τιμωρία.

Καὶ ἐμεῖς, ἂν φοβηθοῦμε τὴν ἀπειλή, δὲ θὰ ὑποστοῦμε τὴν ποινή· καὶ εἴθε νὰ μὴ γίνει αὐτό, ἀλλὰ νὰ δώσει ὁ φιλάνθρωπος Θεὸς ὅλοι μας, ἀφοῦ πιὰ σωφρονισθοῦμε ἀπὸ ἐδῶ, ν' ἀπολαύσουμε τὰ ἀπόρρητα ἐκεῖνα ἀγαθά, τὰ ὁποῖα εὔχομα νὰ τὰ ἀξιωθοῦμε ὅλοι μας μὲ τὴ χάρη καὶ τὴ φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μαζὶ μὲ τὸν ὁποῖο στὸν Πατέρα καὶ συγχρόνως στὸ ἅγιο Πνεῦμα ἀνήκει ἡ δόξα, ἡ δύναμη καὶ ἡ τιμή, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΥΠΟΜΝΗΜΑ

ΣΤΗΝ ΠΡΟΣ ΕΒΡΑΙΟΥΣ

ΥΠΟΘΕΣΙΣ

1. Ῥωμαίοις γράφων ὁ μακάριος Παῦλός φησιν· «ἐφ' ὅσον μὲν οὖν εἰμι ἐγὼ ἐθνῶν ἀπόστολος, τὴν διακονίαν μου δοξάζω, εἴ πως παραζηλώσω μου τὴν σάρκα»· καὶ πάλιν ἀλλαχοῦ, «ὁ γὰρ ἐνεργήσας Πέτρῳ εἰς ἀποστολὴν τῆς περιτομῆς, ἐνήργησε κἀμοὶ 5 εἰς τὰ ἔθνη». Εἰ τοίνυν ἐθνῶν ἀπόστολος ἦν (καὶ γὰρ καὶ ἐν ταῖς Πράξεσί φησι πρὸς αὐτὸν ὁ Θεός, «πορεύου, ὅτι εἰς ἔθνη μακρὰν ἀποστελῶ σε»), τί κοινὸν πρὸς Ἑβραίους εἶχε; τί δὲ αὐτοῖς ἐπέστελλεν; Οὐ μὴν ἀλλὰ καὶ αὐτοὶ πρὸς αὐτὸν ἀπεχθῶς διέκειντο· καὶ τοῦτο πολλαχόθεν ἐστὶν ἰδεῖν. Ἄκουσον γὰρ τί φησιν ὁ Ἰά-10 κωβος πρὸς αὐτόν· «θεωρεῖς, ἀδελφέ, πόσαι μυριάδες εἰσὶν Ἰουδαίων τῶν πεπιστευκότων; καὶ οὗτοι πάντες κατήχηνται περὶ σοῦ, ὅτι ἀποστασίαν ἀπὸ τοῦ νόμου διδάσκεις»· καὶ πολλαὶ ζητήσεις αὐτῷ πολλάκις ἐγένοντο περὶ τούτου.

Τίνος οὖν ἕνεκεν, ζητήσειεν ἄν τις, τὸν νομομαθῆ (παρὰ 15 γὰρ τοὺς πόδας Γαμαλιήλου τὸν νόμον ἐξεπαιδεύετο, καὶ πολὺς ἦν αὐτῷ ζῆλος τοῦ πράγματος), καὶ ταύτῃ μάλιστα δυνάμενον ἐντρέψαι, οὐχὶ πρὸς Ἰουδαίους ἔπεμπεν ὁ Θεός; Ὅτι ταύτῃ μάλιστα πλέον ἂν αὐτῷ ἐξεπολεμώθησαν. Τοῦτο τοίνυν προειδὼς ὁ Θεός, καὶ ὅτι οὐκ ἀνέξονται αὐτοῦ, «πορεύου εἰς τὰ ἔθνη», 20 φησὶ πρὸς αὐτόν· «διότι οὐ παραδέξονταί σου τὴν μαρτυρίαν περὶ ἐμοῦ». Εἶτα αὐτός φησι, «ναί, Κύριε, αὐτοὶ ἐπίστανται, ὅτι ἐγὼ ἤμην φυλακίζων καὶ δέρων κατὰ τὰς συναγωγὰς τοὺς πιστεύοντας ἐπὶ σέ· καὶ ὅτε ἐξεχεῖτο τὸ αἷμα Στεφάνου τοῦ μάρτυρός σου, καὶ αὐτὸς ἤμην ἐστὼς καὶ συνευδοκῶν τῇ ἀναιρέσει αὐ-25 τοῦ, φυλάττων τὰ ἱμάτια τῶν ἀναιρούντων αὐτόν». Καὶ τοῦτο αὐτὸ δείκνυσι σημεῖον εἶναι καὶ ὑπόθεσιν τοῦ μὴ πιστεῦσαι

---

1. Ρωμ. 11,13.14. 2. Γαλ. 2,8.
3. Πράξ. 22,21. 4. Πράξ. 21,20.21.

Υ Π Ο Θ Ε Σ Η

1. Γράφοντας στοὺς Ρωμαίους ὁ Παῦλος λέγει· «ἀφοῦ λοιπὸν εἶμαι ἀπόστολος τῶν ἐθνῶν, τιμῶ αὐτὴ τὴ διακονία μου, μήπως κάνω τοὺς ὁμοεθνεῖς μου νὰ ζηλέψουν»[1]. Καὶ πάλι ἀλλοῦ λέγει· «γιατὶ αὐτὸς ποὺ ὅρισε τὸν Πέτρο ἀπόστολο τῶν περιτμημένων, ὅρισε καὶ μένα ἀπόστολο στὰ ἔθνη»[2]. Ἂν λοιπὸν ἦταν ἀπόστολος τῶν ἐθνῶν (καθόσον καὶ στὶς Πράξεις τοῦ λέγει ὁ Θεός· «πήγαινε, γιατὶ θὰ σὲ στείλω μακριὰ στὰ ἔθνη»[3]), τί κοινὸ εἶχε μὲ τοὺς Ἑβραίους; Καὶ γιατί τοὺς ἔστειλε ἐπιστολή; Ἀλλ' ὅμως καὶ αὐτοὶ ἔτρεφαν ἐχθρικὰ αἰσθήματα ἀπέναντί του· καὶ αὐτὸ μπορεῖ νὰ τὸ δεῖ κανεὶς σὲ πολλὰ σημεῖα. Ἄκουσε λοιπὸν τί λέγει σ' αὐτὸν ὁ Ἰάκωβος· «βλέπεις, ἀδελφέ, πόσες μυριάδες εἶναι οἱ Ἰουδιᾶοι ποὺ πίστεψαν; Καὶ ὅλοι αὐτοὶ πληροφορήθηκαν γιὰ σένα, ὅτι διδάσκεις τὴν ἀποστασία ἀπὸ τὸ νόμο»[4]. Καὶ γιὰ τὸ πράγμα αὐτὸ τὸν καταζητοῦσαν πολλὲς φορές.

Γιὰ ποιό λόγο λοιπόν, θὰ ἐρωτοῦσε κανείς, δὲν ἔστειλε ὁ Θεὸς στοὺς Ἰουδαίους τὸν νομομαθὴ (γιατὶ μάθαινε τὸ νόμο κοντὰ στὸ Γαμαλιὴλ καὶ εἶχε πολὺ ζῆλο γι' αὐτὸ τὸ πράγμα), ποὺ μποροῦσε μάλιστα ἐξαιτίας αὐτοῦ νὰ τοὺς πείσει; Ἐπειδὴ ἔτσι θὰ τὸν πολεμοῦσαν πάρα πολύ. Αὐτὸ λοιπὸν γνωρίζοντας ἀπὸ πρὶν ὁ Θεὸς καὶ ὅτι δὲ θὰ τὸν ἀνεχθοῦν τοῦ λέγει· «πήγαινε στὰ ἔθνη, γιατὶ δὲ θὰ δεχθοῦν τὴ μαρτυρία σου γιὰ μένα»[5]. Στὴ συνέχεια αὐτὸς λέγει· «ναί, Κύριε, αὐτοὶ ξέρουν ὅτι φυλάκιζα καὶ ἔδερνα στὴ συναγωγὴ ὅσους πίστευαν σὲ σένα· καὶ ὅταν χυνόταν τὸ αἷμα τοῦ Στεφάνου, τοῦ μάρτυρά σου, ἐγὼ ὁ ἴδιος ἤμουν ἐκεῖ καὶ συγκατένευα στὸ φόνο του καὶ φύλαγα τὰ ροῦχα ἐκείνων ποὺ τὸν φόνευαν»[6]. Καὶ αὐτὸ δείχνει ὅτι εἶναι ἀπόδειξη καὶ αἰτία τὸ νὰ μὴν πιστέψουν σ' αὐτόν. Καὶ πράγματι ἔτσι συμβαίνει· ὅταν

---

5. Πράξ. 22,18. 6. Πράξ. 22,19-20.

αὐτῷ. Καὶ γὰρ οὕτως ἔχει· ὅταν τις ἐξ ἔθνους ἀποπηδήσῃ τινός, ἂν μὲν τῶν ἐλαχίστων ᾖ καὶ οὐδενὸς ἀξίων λόγου, οὐ πάνυ δάκνει τοὺς ἀφ' ὧν ἀνεχώρησεν· ἂν δὲ τῶν θαυμαστῶν καὶ σφόδρα ζηλωτῶν καὶ τὰ ἐκείνων φρονούντων, μάλιστα αὐτοὺς ἀλ-
5 γύνει καὶ μεθ' ὑπερβολῆς λυπεῖ, ἅτε μάλιστα αὐτῶν καθαιρῶν τὸ δόγμα, τῷ προσελθεῖν ἄλλοις ἐκείνων ἀποπηδήσαντα.

Καὶ ἄλλο δὲ τούτῳ προσῆν τὸ τὴν ἀπιστίαν ἐργαζόμενον. Ποῖον δὴ τοῦτο; Ὅτι οἱ μὲν περὶ Πέτρον καὶ συνεγένοντο τῷ Χριστῷ καὶ σημεῖα εἶδον καὶ θαύματα, οὗτος δὲ οὐδενὸς τούτων
10 ἀπολελαυκώς, ἀλλὰ μετὰ Ἰουδαίων ὤν, ἐξαίφνης ηὐτομόλησε καὶ γέγονεν εἷς ἐξ αὐτῶν, ὃ μάλιστα ἤρκει τὰ ἡμέτερα ἐπᾶραι. Ἐκεῖνοι μὲν γὰρ καὶ χάριτι ἐδόκουν μαρτυρεῖν, καὶ εἶπεν ἄν τις, ὅτι τὸν διδάσκαλον ποθοῦντες ταῦτα μαρτυροῦσιν, ὁ δὲ τῇ ἀναστάσει μαρτυρῶν, οὗτος μάλιστα ἦν ὁ φωνῆς μόνης ἀκούσας.
15 Διὰ τοῦτο ὁρᾷς αὐτοὺς ἐκθύμως πολεμοῦντας αὐτῷ, καὶ πάντα ὑπὲρ τούτου πράττοντας καὶ στασιάζοντας, ὥστε ἀνελεῖν αὐτόν.

Ἀλλ' οἱ μὲν ἄπιστοι διὰ τοῦτο αὐτῷ ἀπεχθῶς εἶχον, οἱ δὲ πιστεύσαντες, τίνος ἕνεκεν; Ὅτι ἠναγκάζετο τοῖς ἔθνεσι κηρύττων καθαρῶς κηρύττειν τὸν Χριστιανισμόν· καὶ εἴ που καὶ ἐν
20 Ἰουδαίᾳ ἀπελήφθη, οὐκ ἐφρόντιζε. Πέτρος μὲν γὰρ καὶ οἱ περὶ αὐτόν, ἅτε ἐν Ἱεροσολύμοις κηρύττοντες, ἔνθα πολὺς ἦν ὁ ζῆλος, ἀνάγκην εἶχον τὸν νόμον κελεύειν τηρεῖν, οὗτος δὲ ἐν ἐλευθερίᾳ πολλῇ ἦν. Καὶ πλείους ἦσαν οἱ ἐξ ἐθνῶν, ἢ οἱ Ἰουδαῖοι, ἅτε ἐκτὸς ὄντες· καὶ τούτῳ παρέλυε τὸν νόμον καὶ οὐ τοσαύτην εἶχον
25 περὶ αὐτὸν εὐλάβειαν, ὅτι πάντα καθαρῶς ἐκήρυττεν. Ἀμέλει ἐν τούτῳ αὐτὸν δοκοῦσι καταιδεῖν τῷ πλήθει, λέγοντες, «θεωρεῖς, ἀδελφέ, πόσαι μυριάδες εἰσὶν Ἰουδαίων τῶν πεπιστευκότων;». Διὰ τοῦτο αὐτὸν ἐμίσουν καὶ ἀπεστρέφοντο, «ὅτι κατηχήθησαν», φησί, «περὶ σοῦ, ὅτι ἀποστασίαν ἀπὸ τοῦ νόμου διδάσκεις».

κάποιος ἀπομακρυνθεῖ ἀπὸ ἕνα ἔθνος, ἂν εἶναι ἀπὸ τοὺς ἀσήμαντους καὶ τιποτένιους, δὲν ἐνοχλεῖ καθόλου ἐκείνους ἀπὸ τοὺς ὁποίους ἔφυγε· ἂν ὅμως εἶναι ἀπὸ τοὺς διάσημους καὶ ζηλωτὲς τοῦ νόμου καὶ ἀπὸ τοὺς ὁμόφρονές τους, τοὺς στενοχωρεῖ πάρα πολὺ καὶ τοὺς λυπεῖ ὑπερβολικά, κυρίως ἐπειδὴ καταργεῖ τὴν πίστη τους, ἀπομακρυνόμενος ἀπὸ ἐκείνους καὶ προσερχόμενος σὲ ἄλλους.

Ὑπῆρχε μαζὶ μ' αὐτὸ καὶ κάτι ἄλλο ποὺ προκαλοῦσε τὴν ἀπιστία. Ποιό λοιπὸν εἶναι αὐτό; Ὅτι οἱ γύρω ἀπὸ τὸν Πέτρο καὶ συναναστράφηκαν τὸ Χριστό, καὶ σημεῖα εἶδαν καὶ θαύματα· αὐτὸς ὅμως, χωρὶς νὰ εἶχε ἀπολαύσει τίποτε ἀπ' αὐτά, ἀλλ' ἦταν μὲ τοὺς Ἰουδαίους, αὐτομόλησε ξαφνικὰ καὶ ἔγινε ἕνας ἀπ' αὐτούς, πράγμα ποὺ κατ' ἐξοχὴ εἶχε τὴ δύναμη νὰ ἐξυψώσει τὰ δικά μας. Γιατὶ ἐκεῖνοι φαίνονταν ὅτι ἀπὸ εὐγνωμοσύνη ἔδιναν τὴ μαρτυρία τους, καὶ θὰ μποροῦσε νὰ ἔλεγε κανεὶς ὅτι, ἐπειδὴ ἀγαποῦσαν ὑπερβολικὰ τὸ διδάσκαλο, ἔδιναν αὐτὲς τὶς μαρτυρίες, ἐνῶ αὐτὸς ποὺ ἔδινε μαρτυρία γιὰ τὴν ἀνάσταση, αὐτὸς ἦταν κυρίως ἐκεῖνος ποὺ ἄκουσε τὴ φωνὴ μόνο. Γι' αὐτὸ τοὺς βλέπεις νὰ τὸν πολεμοῦν πολύ, καὶ νὰ κάνουν γι' αὐτὸ τὰ πάντα καὶ νὰ στασιάζουν, ὥστε νὰ τὸν φονεύσουν.

Οἱ ἄπιστοι λοιπὸν γι' αὐτὸ τὸν μισοῦσαν, ὁ πιστοὶ ὅμως γιὰ ποιό λόγο; Ἐπειδὴ κήρυττε στὰ ἔθνη ἦταν ἀναγκασμένος νὰ κηρύττει ἀνόθευτο τὸ Χριστιανισμό, καὶ ὅταν συνέβαινε νὰ κηρύξει στὴν Ἰουδαία δὲ φρόντιζε καὶ πολὺ γιὰ τὴν τήρηση τοῦ νόμου. Ὁ Πέτρος ὅμως καὶ οἱ γύρω ἀπὸ αὐτόν, ἐπειδὴ κήρυτταν στὰ Ἱεροσόλυμα, ὅπου ὑπῆρχε πολὺς ζῆλος, αἰσθάνονταν τὴν ἀνάγκη νὰ προτρέπουν τὴν τήρηση τοῦ νόμου, ἐνῶ ὁ Παῦλος εἶχε πολλὴ ἐλευθερία. Ἀκόμη ἦταν περισσότεροι οἱ Ἐθνικοὶ παρὰ οἱ Ἰουδαῖοι, ἐπειδὴ βρίσκονταν ἔξω· καὶ μ' αὐτὸ καταργοῦσε τὸ νόμο καὶ δὲν ἔτρεφαν γι' αὐτὸν τόσο μεγάλη εὐλάβεια, ἐπειδὴ τὰ πάντα κήρυττε καθαρά. Βέβαια ἀπ' αὐτὸ νόμιζαν ὅτι ντρόπιαζε τοὺς πολλούς, λέγοντας, «βλέπεις, ἀδελφέ, πόσες μυριάδες εἶναι οἱ Ἰουδαῖοι ποὺ πίστεψαν;». Γι' αὐτὸ τὸν μισοῦσαν καὶ τὸν ἀποστρέφονταν, γιατὶ «πληροφορήθηκαν», λέγει, «γιὰ σένα ὅτι διδάσκεις τὴν ἀποστασία ἀπὸ τὸ νόμο».

Τίνος οὖν ἕνεκεν οὐκ ὢν τῶν Ἰουδαίων διδάσκαλος ἐπιστέλλει αὐτοῖς; ποῦ δὲ οὖσιν ἀπέστελλεν; Ἐμοὶ δοκεῖ, ἐν Ἱεροσολύμοις καὶ Παλαιστίνῃ. Πῶς οὖν ἐπιστέλλει; Ὥσπερ καὶ βαπτίσαι οὐκ ἐπετράπη, καὶ ἐβάπτιζεν· «οὐ γὰρ ἀπεστάλην», φησί,
5 *«βαπτίζειν»· οὐ μὴν ἐκωλύθη, ἀλλ' ἐκ παρέργου τοῦτο ποιεῖ. Πῶς δὲ οὐκ ἂν ἐπέστελλε τούτοις, ὑπὲρ ὧν καὶ ἀνάθεμα γενέσθαι ἤθελε; Διὰ τοῦτο ἔλεγε, «γινώσκετε τὸν ἀδελφὸν Τιμόθεον ἀπολελυμένον· μεθ' οὗ, ἐὰν τάχιον ἔρχηται, ὄψομαι ὑμᾶς». Οὔπω γὰρ συνειλημμένος ἦν. Δύο μὲν οὖν ἔτη ἐποίησεν ἐν Ῥώμῃ*
10 *δεδεμένος· εἶτα ἀφείθη· εἶτα εἰς τὰς Σπανίας ἦλθεν· εἶτα εἰς Ἰουδαίαν ἔβη, ὅτε καὶ Ἰουδαίους εἶδε. Καὶ τότε πάλιν ἦλθεν εἰς Ῥώμην, ὅτε καὶ ὑπὸ Νέρωνος ἀνῃρέθη. Ταύτης μὲν οὖν τῆς ἐπιστολῆς πρεσβυτέρα ἡ πρὸς Τιμόθεον. Ἐκεῖ γάρ φησιν, «ἐγὼ γὰρ ἤδη σπένδομαι»· καὶ ἐκεῖ πάλιν φησίν, «ἐν τῇ πρώτῃ μου ἀπο-*
15 *λογίᾳ οὐδείς μοι συμπαρεγένετο». Πολλαχοῦ γὰρ ἤθλησε, καθὼς καὶ Θεσσαλονικεῦσιν ἐπιστέλλων λέγει, «μιμηταὶ ἐγένεσθε τῶν Ἐκκλησιῶν τῆς Ἰουδαίας». Καὶ αὐτοῖς δὲ τούτοις γράφων φησί, «μετὰ χαρᾶς τὴν ἁρπαγὴν τῶν ὑπαρχόντων ὑμῶν προσεδέξασθε».*

20 *Ὁρᾷς ἀθλοῦντας αὐτούς; Εἰ δὲ τοῖς ἀποστόλοις οὕτως ἐκέχρηντο οὐκ ἐν Ἰουδαίᾳ μόνον, ἀλλὰ καὶ ὅπου μεταξὺ ἐθνῶν ἦσαν, τί οὐκ ἂν ἐποίησαν τοῖς πιστοῖς; Διὰ τοῦτο αὐτῶν μάλιστα ὁρᾷς αὐτὸν φροντίζοντα. Ὅταν γὰρ λέγῃ, «πορεύομαι διακονῶν τοῖς ἁγίοις τοῖς ἐν Ἱεροσολύμοις», καὶ πάλιν, ὅταν Κορινθίους*
25 *παρακαλῇ πρὸς τὴν εὐποιίαν, καὶ Μακεδόνας λέγῃ εἰσενηνοχέναι, καί φησιν, «ἐὰν ᾖ ἄξιον κἀμὲ πορεύεσθαι», τοῦτο λέγει. Καὶ ὅταν λέγῃ, «μόνον τῶν πτωχῶν ἵνα μνημονεύωμεν, ὃ καὶ ἐσπούδασα αὐτὸ τοῦτο ποιῆσαι», τοῦτο λέγει. Καὶ ὅταν λέγῃ, «δε-*

---

7. Α' Κορ. 1,17. 8. Ρωμ. 9,3. 9. Ἑβρ. 13,23.
10. Β' Τιμ. 4,6.16. 11. Α' Θεσ. 2,14. 12. Ἑβρ. 10,34.
13. Ρωμ. 15,25. 14. Β' Κορ. 8,1.

Γιὰ ποιό λόγο λοιπόν, χωρὶς νὰ εἶναι διδάσκαλος τῶν Ἰουδαίων, γράφει σ' αὐτούς; καὶ ποῦ τοὺς ἔστειλε τὴν ἐπιστολή; Μοῦ φαίνεται στὰ Ἱεροσόλυμα καὶ στὴν Παλαιστίνη. Πῶς λοιπὸν γράφει; Ὅπως δὲν ἔλαβε τὴν ἐξουσία νὰ βαπτίσει, καὶ βάπτιζε· «γιατὶ δὲ μὲ ἔστειλε», λέγει, «νὰ βαπτίζω»[7]· ὅμως δὲν ἐμποδίσθηκε, ἀλλὰ τὸ κάνει αὐτὸ πάρεργα. Πῶς ὅμως δὲ θὰ ἔγραφε σ' αὐτούς, γιὰ χάρη τῶν ὁποίων ἤθελε νὰ γίνει ἀνάθεμα[8]; Γι' αὐτὸ ἔλεγε· «μάθετε, ὅτι ὁ ἀδελφός μας Τιμόθεος βγῆκε ἀπὸ τὴ φυλακή· ἂν ἔρθει γρήγορα, θὰ σᾶς δῶ μαζί του»[9]. Γιατὶ δὲν ἦταν πιὰ κρατούμενος. Δύο λοιπὸν χρόνια ἔκαμε φυλακισμένος στὴ Ρώμη· ἔπειτα ἀφέθηκε ἐλεύθερος· ἔπειτα πῆγε στὴν Ἱσπανία· μετὰ πῆγε στὴν Ἰουδαία, ὁπότε εἶδε καὶ τοὺς Ἰουδαίους. Καὶ ὕστερα πάλι πῆγε στὴ Ρώμη, τότε καὶ ποὺ θανατώθηκε ἀπὸ τὸ Νέρωνα. Ἀπ' αὐτὴ λοιπὸν τὴν ἐπιστολὴ προγενέστερη εἶναι ἡ Πρὸς Τιμόθεον. Γιατὶ ἐκεῖ λέγει, «γιατὶ ἐγὼ ἦρθε ἡ ὥρα νὰ χύσω τὸ αἷμα μου σὰν σπονδή»· καὶ ἐκεῖ πάλι λέγει, «στὴν πρώτη μου ἀπολογία κανεὶς δὲν μοῦ συμπαραστάθηκε»[10]. Σὲ πολλὰ μέρη ἀγωνίσθηκε, ὅπως λέγει καὶ στοὺς Θεσσαλονικεῖς γράφοντας· «μιμηθήκατε τὶς ἐκκλησίες ποὺ βρίσκονται στὴν Ἰουδαία». Καὶ σ' αὐτοὺς τοὺς ἴδιους γράφοντας λέγει· «μὲ χαρὰ δεχθήκατε τὴν ἁρπαγὴ τῶν ὑπαρχόντων σας»[12].

Βλέπεις ὅτι ἀγωνίζονταν αὐτοί; Ἂν ὅμως ἔτσι συμπεριφέρονταν στοὺς ἀποστόλους, ὄχι μόνο στὴν Ἰουδαία, ἀλλὰ καὶ ὅπου βρίσκονταν ἀνάμεσα σὲ ἐθνικούς, τί δὲ θὰ ἔκαναν στοὺς πιστούς; Γι' αὐτὸ τὸν βλέπεις νὰ φροντίζει γι' αὐτοὺς πάρα πολύ. Γιατί, ὅταν λέγει, «τώρα πηγαίνω στὰ Ἱεροσόλυμα γιὰ νὰ μεταφέρω βοηθήματα στοὺς ἐκεῖ πιστούς»[13], καὶ πάλι ὅταν προτρέπει τοὺς Κορινθίους πρὸς ἀγαθοεργία καὶ λέγει ὅτι οἱ Μακεδόνες ἔχουν προσφέρει πολλά[14], καὶ λέγει, «ἂν εἶναι καλὸ νὰ πάω καὶ ἐγώ»[15], αὐτὸ ἐννοεῖ. Καὶ ὅταν λέγει, «μᾶς ζήτησαν μόνο νὰ θυμούμαστε τοὺς φτωχούς, πράγμα ποὺ φρόντισα νὰ τὸ κάνω»[16], τὸ ἴδιο ἐννοεῖ. Καὶ ὅταν λέγει, «ἔδωσαν τὸ δεξί τους χέρι σὲ μένα

---

15. Α΄ Κορ. 16,4. 16. Γαλ. 2,10.

ξιὰς ἔδωκαν ἐμοὶ καὶ Βαρνάβᾳ κοινωνίας, ἵνα ἡμεῖς μὲν εἰς τὰ ἔθνη, αὐτοὶ δὲ εἰς τὴν περιτομήν», τοῦτο λέγει. Ταῦτα δὲ οὐχ ἁπλῶς φησι περὶ τῶν πτωχῶν τῶν ἐκεῖ, ἀλλ' ὥστε ἐν ἐκείνῳ κοινωνεῖν ἡμᾶς τῆς εὐποιίας. Οὐ γὰρ ὥσπερ τὸ κήρυγμα ἑαυτοῖς 5 ἀπενειμάμεθα, καὶ ἡμεῖς μὲν εἰς τὰ ἔθνη, ἐκεῖνοι δὲ εἰς τὴν περιτομήν, οὕτω καὶ τὴν πρόνοιαν τῶν πτωχῶν, φησίν, ἐνειμάμεθα. Καὶ πανταχοῦ ὁρᾷς αὐτῶν πολλὴν πρόνοιαν τὸν Παῦλον ποιούμενον· καὶ εἰκότως.

Ἐν μὲν οὖν τοῖς ἄλλοις ἔθνεσιν, ἔνθα καὶ Ἰουδαῖοι ἦσαν 10 καὶ Ἕλληνες, οὐδὲν τοιοῦτον ἐγίνετο, ἐκεῖ δὲ ἐπειδὴ τέως ἐδόκουν κρατεῖν καὶ αὐτονομεῖσθαι, καὶ πολλὰ καὶ τοῖς ἰδίοις νόμοις διοικεῖν, οὔπω τῆς ἀρχῆς κατάστασιν ἐχούσης, οὐδὲ τέλεον ὑπὸ Ρωμαίοις κειμένης, εἰκότως πολλῇ τυραννίδι ἐκέχρηντο. Εἰ γὰρ καὶ ἐν ἄλλαις πόλεσιν, ὥσπερ ἐν Κορίνθῳ, ἔτυπτον τὸν ἀρχισυν- 15 νάγωγον ἔμπροσθεν τοῦ βήματος τοῦ ἀνθυπάτου, καὶ οὐδὲν τούτων τῷ Γαλλίωνι ἔμελεν, ἀλλ' οὐκ ἐν τῇ Ἰουδαίᾳ;

2. Ὁρᾷς γοῦν ὅτι ἐν μὲν ταῖς ἄλλαις πόλεσι τοῖς ἄρχουσιν αὐτοὺς προσάγουσι, καὶ αὐτῶν δέονται εἰς βοήθειαν καὶ τῶν ἐθνῶν, ἐνταῦθα δὲ οὐδεμίαν ἐποιοῦντο φροντίδα τούτου, ἀλλ' 20 αὐτοὶ συνέδριον καθίζουσι καὶ ἀναιροῦσιν οὓς ἂν ἐθέλωσιν. Οὕτω γοῦν τὸν Στέφανον ἀνεῖλον, οὕτω τοὺς ἀποστόλους ἐμάστιξαν, οὐκ ἐπὶ ἄρχοντας ἀγαγόντες· οὕτω καὶ τὸν Παῦλον ἔμελλον ἀναιρεῖν, εἰ μὴ ὁ χιλίαρχος ἐπέρριψεν ἑαυτόν. Ἔτι γὰρ τῶν ἱερέων ἑστώτων, ἔτι τοῦ ναοῦ, τῆς λατρείας, τῶν θυσιῶν, τοῦτο 25 ἐγίνετο. Ὅρα γοῦν αὐτὸν τὸν Παῦλον ἐπὶ τοῦ ἱερέως κρινόμενον καὶ λέγοντα, «οὐκ ᾔδειν ὅτι ἀρχιερεύς ἐστι», καὶ ταῦτα ἐπὶ τοῦ ἄρχοντος. Πολλὴν γὰρ εἶχον τότε ἐξουσίαν. Ἐννόησον οὖν οἷα πάσχειν εἰκὸς ἦν τοὺς οἰκοῦντας τὰ Ἱεροσόλυμα καὶ τὴν Ἰουδαίαν.

30 Ὁ τοίνυν ἀνάθεμα ὑπὲρ τῶν μήπω πιστευσάντων εὐχόμενος γενέσθαι καὶ τοῖς πιστοῖς οὕτω διακονῶν, ὡς καὶ αὐτὸς πορεύεσθαι, εἰ δέοι, καὶ πολλὴν πανταχοῦ πρόνοιαν αὐτῶν ποιησά-

---

17. Πράξ. 18,17. 18. Βλ. Πράξ. 21,30-33.
19. Πράξ. 23,5.

καὶ στὸ Βαρνάβα σ' ἔνδειξη ἀναγνώρισης καὶ συμφώνησαν νὰ εἴμαστε ἐμεῖς ἀπόστολοι στοὺς Ἐθνικοὺς καὶ αὐτοὶ στοὺς Ἰουδαίους»[17], αὐτὸ ἐννοεῖ. Αὐτὰ ὅμως δὲν τὰ λέγει ἁπλῶς γιὰ τοὺς ἐκεῖ φτωχούς, ἀλλὰ γιὰ νὰ συμμετέχουμε μαζί του καὶ ἐμεῖς στὴν ἀγαθοεργία. Γιατὶ δὲ χωρίσαμε, λέγει, καὶ τὴ φροντίδα γιὰ τοὺς φτωχοὺς ἔτσι, ὅπως χωρίσαμε τὸ κήρυμα, ἐμεῖς δηλαδὴ νὰ κηρύττουμε στοὺς Ἐθνικοὺς καὶ ἐκεῖνοι στοὺς Ἰουδαίους. Καὶ παντοῦ βλέπεις τὸν Παῦλο νὰ φροντίζει πολὺ γι' αὐτούς· καὶ ἦταν φυσικὸ αὐτό.

Στὰ ἄλλα λοιπὸν τὰ ἔθνη, ὅπου ὑπῆρχαν καὶ Ἰουδαῖοι καὶ Ἕλληνες, δὲ γινόταν τίποτε τέτοιο· στὴν Ἰουδαία ὅμως, ἐπειδὴ τότε φαίνονταν ὅτι εἶχαν δύναμη καὶ αὐτονομία καὶ ὅτι ρύθμιζαν πολλὰ μὲ τοὺς δικούς τους νόμους, ἀφοῦ ἡ ἐξουσία δὲν ἦταν σταθερὴ καὶ δὲν ἐλεγχόταν πλήρως ἀπὸ τοὺς Ρωμαίους, ἦταν φυσικὸ νὰ χρησιμοποιοῦν πολλὴ βία. Γιατί, ἂν καὶ στὶς ἄλλες πόλεις, ὅπως στὴν Κόρινθο, κτυποῦσαν τὸν ἀρχισυνάγωγο μπροστὰ στὸ βῆμα τοῦ ἀνθυπάτου καὶ ὁ Γαλλίων ἔμεινε τελείως ἀδιάφορος[17], τί δὲ θὰ συνέβαινε στὴν Ἰουδαία;

2. Βλέπεις λοιπὸν ὅτι στὶς ἄλλες πόλεις τοὺς ὁδηγοῦν στοὺς ἄρχοντες καὶ ζητοῦν τὴ βοήθειά τους καθὼς καὶ τῶν Ἐθνικῶν, ἐνῶ ἐδῶ δὲ φρόντιζαν καθόλου γι' αὐτό, ἀλλ' οἱ ἴδιοι καλοῦν συνέδριο καὶ θανατώνουν ὅποιους θέλουν. Ἔτσι λοιπὸν θανάτωσαν τὸ Στέφανο, ἔτσι μαστίγωσαν τοὺς ἀποστόλους, χωρὶς νὰ τοὺς ὁδηγήσουν στοὺς ἄρχοντες. Ἔτσι καὶ τὸν Παῦλο ἐπρόκειτο νὰ φονεύσουν, ἂν ὁ χιλίαρχος δὲν τὸν ἔπιανε[18]. Καὶ αὐτὸ γινόταν, ἐπειδὴ ἐξακολουθοῦσαν νὰ ἔχουν δύναμη οἱ ἱερεῖς, καὶ ὑπῆρχαν ὁ ναός, ἡ λατρεία καὶ οἱ θυσίες. Πρόσεχε λοιπὸν τὸν ἴδιο τὸν Παῦλο νὰ δικάζεται μπροστὰ στὸν ἱερέα καὶ νὰ λέγει· «δὲν ἤξερα ὅτι εἶναι ἀρχιερέας»[19]. Καὶ αὐτὰ συνέβαιναν ἐνώπιον τοῦ ἄρχοντα. «Εἶχαν πράγματι οἱ ἱερεῖς πολλὴ ἐξουσία τότε. Σκέψου λοιπὸν πόσα ἦταν φυσικὸ νὰ παθαίνουν οἱ κάτοικοι τῶν Ἱεροσολύμων καὶ τῆς Ἰουδαίας.

Αὐτὸς λοιπὸν ποὺ εὐχόταν νὰ γίνει ἀνάθεμα γιὰ ὅσους δὲν εἶχαν πιστέψει ἀκόμη καὶ ὑπηρετοῦσε ἔτσι τοὺς πιστούς, ὥστε καὶ ὁ ἴδιος νὰ ταξιδεύει ἂν χρειαζόταν, καὶ ποὺ πολὺ φρόντισε

μενος, τί θαυμαστόν, εἰ καὶ διὰ γραμμάτων αὐτοὺς παρακαλεῖ καὶ παραμυθεῖται καὶ ἀναπίπτοντας αὐτοὺς καὶ κειμένους ἀνορθοῖ; καὶ γὰρ τεταριχευμένοι λοιπὸν ἦσαν καὶ ἀπεγνωκότες ταῖς πολλαῖς θλίψεσι. Καὶ τοῦτο πρὸς τῷ τέλει ἐμφαίνει λέγων· «διὸ 5 τὰς παρειμένας χεῖρας καὶ τὰ παραλελυμένα γόνατα ἀνορθώσατε»· καὶ πάλιν, «ἔτι μικρὸν ὅσον ὅσον, καὶ ὁ ἐρχόμενος ἥξει καὶ οὐ χρονιεῖ»· καὶ πάλιν, «εἰ ἐκτός ἐστε παιδείας, ἄρα νόθοι ἐστὲ καὶ οὐχ υἱοί». Ἐπειδὴ γὰρ καὶ Ἰουδαῖοι ἦσαν, καὶ αὐτοὶ παρὰ τῶν πατέρων ἐμάνθανον, ὅτι καὶ τὰ ἀγαθὰ καὶ τὰ κακὰ παρὰ πό- 10 δας ἐχρῆν προσδοκᾶν, καὶ οὕτω βιῶναι, τότε δὲ τὸ ἐναντίον ἦν, τὰ μὲν ἀγαθὰ ἐν ἐλπίσι καὶ μετὰ θάνατον, τὰ δὲ κακὰ ἐν χερσί, καὶ πολλὰ καρτερησάντων αὐτῶν, εἰκὸς ἦν ὀλιγοψυχεῖν πολλούς, πολὺν ὑπὲρ τούτου ποιεῖται τὸν λόγον.

Ἀλλὰ ταῦτα μὲν ἐν καιρῷ τῷ προσήκοντι ἐπιλύσομεν· 15 τέως δέ, ὅτι ἀναγκαίως αὐτοῖς ἔγραφεν, ὧν τοσαύτην ἐποιεῖτο πρόνοιαν· καὶ γὰρ ἡ αἰτία, δι' ἣν οὐκ ἀπεστάλη πρὸς αὐτούς, δήλη ἦν· οὐ τοίνυν ἐκωλύετο γράφειν. Ὅτι δὲ ὠλιγοψύχουν, δείκνυσιν εἰπών· «τὰς παρειμένας χεῖρας καὶ τὰ παραλελυμένα γόνατα ἀνορθώσατε, καὶ τροχιὰς ὀρθὰς ποιήσατε»· καὶ πάλιν, «οὐ 20 γὰρ ἄδικος ὁ Θεὸς ἐπιλαθέσθαι τοῦ ἔργου ὑμῶν καὶ τῆς ἀγάπης». Ἡ ψυχὴ γὰρ ὑπὸ πειρασμῶν πολλῶν καταληφθεῖσα, πολλάκις καὶ τῆς πίστεως ἐκτρέπεται. Διὸ παραινεῖ προσέχειν τοῖς ἀκουσθεῖσι καὶ μὴ εἶναι καρδίαν πονηρὰν ἀπιστίας. Διὰ τοῦτο καὶ ἐν ταύτῃ μάλιστα τῇ ἐπιστολῇ πολλὰ περὶ πίστεως διαλέγε- 25 ται, καὶ παραδείγματα πολλὰ ἐν τῷ τέλει δείκνυσιν, ὅτι κἀκείνοις παρὰ πόδας τὰ ἀγαθὰ ἐπηγγέλλετο καὶ οὐδὲν ἔδωκε. Καὶ χωρὶς τούτων, ἵνα μὴ ἐγκαταλελεῖφθαι νομίσαιεν, δύο ταῦτα κατασκευάζει· ἓν μὲν πρὸς τὸ φέρειν πάντα γενναίως τὰ συμπίπτοντα, ἕτερον δὲ πρὸς τὸ πάντως προσδοκᾶν τὴν ἀμοιβήν· οὐ 30 γὰρ δὴ περιόψεται τοὺς περὶ Ἄβελ καὶ τοὺς καθεξῆς δικαίους ἀγεράστους.

---

20. Ἑβρ. 12,12. 21. Ἑβρ. 10,37.
22. Ἑβρ. 12,8. 23. Ἑβρ. 12,12–13.
24. Ἑβρ. 6,10.

γι' αὐτοὺς παντοῦ, τί τὸ παράξενο, ἂν καὶ μὲ γράμματα τοὺς προτρέπει καὶ τοὺς παρηγορεῖ καὶ τοὺς ἀνορθώνει ὅταν ὀλισθαίνουν καὶ πέφτουν; Γιατὶ ἤδη ἦταν παραλυμένοι καὶ ἀπελπισμένοι ἀπὸ τὶς πολλὲς θλίψεις. Καὶ αὐτὸ τὸ δηλώνει πρὸς τὸ τέλος τῆς ἐπιστολῆς λέγοντας· «γι' αὐτὸ σηκῶστε ψηλὰ τὰ ἄτονα χέρια καὶ ἐνισχύστε τὰ παραλυμένα γόνατα»[20]. Καὶ πάλι λέγει, «λίγο ἀκόμη καὶ θὰ ἔρθει ὁ ἐρχόμενος, δὲ θ' ἀργήσει»[21]· καὶ πάλι, «ἂν δὲν ἔχετε λάβει διαπαιδαγώγηση, τότε εἶστε νόθα καὶ ὄχι γνήσια παιδιά»[22]. Ἐπειδὴ λοιπὸν ἦταν Ἰουδαῖοι, μάθαιναν ἀπὸ τοὺς πατέρες τους ὅτι καὶ τὰ ἀγαθὰ καὶ τὰ κακὰ ἔπρεπε νὰ τὰ περιμένουν ἀμέσως καὶ ἔτσι νὰ ζοῦν, τότε ὅμως συνέβαινε τὸ ἀντίθετο, τὰ ἀγαθὰ βρίσκονταν στὶς ἐλπίδες καὶ μετὰ τὸ θάνατο, ἐνῶ τὰ κακὰ ἦταν κοντά τους. Ἐπειδὴ λοιπὸν ἐξ αἰτίας αὐτοῦ ἦταν φυσικὸ νὰ ὀλιγοψυχήσουν πολλοί, ἀφοῦ περίμεναν γιὰ τόσο καιρό, κάνει γι' αὐτὸ πολὺ λόγο.

Ἀλλὰ αὐτὰ θὰ τὰ ἐξηγήσω στὸν κατάλληλο καιρό· πρῶτα ὅμως θὰ πῶ, ὅτι ἀπὸ ἀνάγκη ἔγραφε σ' αὐτούς, γιὰ τοὺς ὁποίους φρόντιζε τόσο πολύ. Γιατὶ ἡ αἰτία γιὰ τὴν ὁποία δὲ στάλθηκε ἐπιστολὴ σ' αὐτοὺς ἦταν φανερή· δὲν ἐμποδιζόταν δηλαδὴ νὰ τοὺς γράφει. Ὅτι ὅμως ἦταν ὀλιγόψυχοι τὸ δείχνει, λέγοντας· «σηκῶστε τὰ ἄτονα χέρια καὶ τὰ παραλυμένα γόνατα καὶ βαδίστε ἴσιους δρόμους»[23]· καὶ πάλι, «ὁ Θεὸς δὲν εἶναι ἄδικος νὰ ξεχάσει τὸ ἔργο σας καὶ τὴν ἀγάπη σας»[24]. Γιατὶ ἡ ψυχή, ὅταν κυριευθεῖ ἀπὸ πολλοὺς πειρασμούς, ἐκτρέπεται πολλὲς φορὲς καὶ ἀπὸ τὴν πίστη. Γι' αὐτὸ τοὺς συμβουλεύει νὰ προσέχουν σ' αὐτὰ ποὺ ἄκουσαν καὶ νὰ μὴν ἔχουν καρδιὰ πονηρὴ καὶ ἄπιστη. Γι' αὐτὸ καὶ σ' αὐτὴν κυρίως τὴν ἐπιστολὴ λέγει πολλὰ γιὰ τὴν πίστη καὶ στὸ τέλος μὲ πολλὰ παραδείγματα δείχνει, ὅτι καὶ σ' ἐκείνους ὑποσχόταν ἀμέσως τὰ ἀγαθά, ἀλλὰ δὲν ἔδωσε κανένα. Καὶ ἐκτὸς ἀπὸ αὐτά, γιὰ νὰ μὴ νομίσουν ὅτι ἔχουν ἐγκαταλειφθεῖ στὶς συμφορές, διδάσκει δύο πράγματα· τὸ πρῶτο, τὸ νὰ ὑπομένουν γενναῖα ὅλες τὶς συμφορές, καὶ τὸ ἄλλο, τὸ νὰ προσδοκοῦν ὁπωσδήποτε τὴν ἀμοιβή. Γιατὶ ὁ Θεὸς δὲ θ' ἀφήσει χωρὶς ἀμοιβὴ τὸν Ἄβελ καὶ ὅλους τοὺς ἑπόμενους δικαίους.

Καὶ ποιεῖται τὴν παράκλησιν ἀπὸ τριῶν τρόπων· ἑνὸς μέν, ἐξ ὧν ἔπαθεν ὁ Χριστός· καθὼς καὶ αὐτὸς λέγει, «οὐκ ἔστι δοῦλος μείζων τοῦ κυρίου αὐτοῦ»· ἑτέρου δέ, ἐξ ὧν ἀπόκειται τοῖς πιστεύουσιν ἀγαθῶν· καὶ τρίτου, ἐκ τῶν κακῶν. Καὶ τοῦτο οὐκ 5 ἀπὸ τῶν μελλόντων ἰσχυρίζεται μόνον, ὅπερ ἧττον ἦν πιθανόν, ἀλλὰ καὶ ἀπὸ τῶν παρελθόντων καὶ γεγονότων εἰς τοὺς πατέρας αὐτῶν. Τοῦτο καὶ ὁ Χριστὸς ποιεῖ, λέγων ποτὲ μέν, «οὐκ ἔστι δοῦλος μείζων τοῦ κυρίου αὐτοῦ», καὶ πάλιν, «πολλαὶ μοναί εἰσι παρὰ τῷ Πατρί»· καὶ μυρία ταλανίζει τοὺς μὴ πεπιστευκότας.

10 Ποιεῖται δὲ πολὺν λόγον καὶ περὶ τῆς καινῆς καὶ παλαιᾶς Διαθήκης· καὶ γὰρ πρὸς τὴν τῆς ἀναστάσεως πίστιν σφόδρα αὐτῷ τοῦτο ἐχρησίμευεν. Ἵνα γὰρ μὴ ἐξ ὧν ἔπαθε διαπιστῶσιν ὅτι ἀνέστη, ἀπὸ προφητῶν αὐτὸ ἰσχυροποιεῖ· καὶ δείκνυσιν οὐκ ὄντα σεμνὰ τὰ Ἰουδαϊκά, ἀλλὰ τὰ ἡμέτερα· ἔτι γὰρ καὶ ὁ ναὸς εἱ-15 στήκει καὶ τὰ τῶν θυσιῶν· διὸ καὶ ἔλεγε, «τοίνυν, ἐξερχώμεθα ἔξω, τὸν ὀνειδισμὸν αὐτοῦ φέροντες». Ἠναντιοῦντο δὲ αὐτῷ καὶ τοῦτο· εἰκὸς γὰρ ἦν εἰπεῖν τινας, ὅτι, εἰ ταῦτα σκιά, εἰ ταῦτα εἰκών, πῶς οὐ παρεχώρησεν οὐδὲ ὑπεξέστη τῆς ἀληθείας φανείσης, ἀλλ' ἔτι ταῦτα ἀνθεῖ; Καὶ τοῦτο δὲ ἠρέμα ᾐνίξατο ἐσόμενον 20 καὶ αὐτὸ εἰς καιρὸν τὸν προσήκοντα. Ὅτι δὲ πολὺν χρόνον εἶχον ἐν τῇ πίστει καὶ ταῖς θλίψεσιν, ἐδήλωσε λέγων· «ὀφείλοντες γὰρ εἶναι διδάσκαλοι διὰ τὸν χρόνον»· καί, «μήποτε ἔσται ἔν τινι ὑμῶν καρδία πονηρὰ ἀπιστίας»· καί, «μιμηταὶ ἐγενήθητε τῶν διὰ μακροθυμίας κληρονομούντων τὰς ἐπαγγελίας».

Καὶ τοὺς παρηγορεῖ μὲ τρεῖς τρόπους. Πρῶτα μὲ ὅσα ἔπαθε ὁ Χριστός, καθὼς καὶ ὁ ἴδιος λέγει· «δὲν ὑπάρχει δοῦλος ἀνώτερος ἀπὸ τὸν κύριό του»[25]. Ἔπειτα μὲ ὅσα ἀγαθὰ ἐπιφυλάσσονται γιὰ τοὺς πιστούς· καὶ τέλος, μὲ τὰ κακά. Καὶ αὐτὸ δὲν τὸ ἰσχυρίζεται μόνο ἀπὸ τὰ μελλοντικά, πράγμα ποὺ ἦταν λιγότερο πιθανό, ἀλλὰ καὶ ἀπὸ τὰ περασμένα, τὰ ὁποῖα συνέβηκαν στοὺς πατέρες τους. Τὸ ἴδιο κάνει καὶ ὁ Χριστὸς λέγοντας ἄλλοτε, «δὲν ὑπάρχει δοῦλος ἀνώτερος ἀπὸ τὸν κύριό του», καὶ ἄλλοτε, «κοντὰ στὸν Πατέρα μου ὑπάρχουν πολλοὶ τόποι διαμονῆς»[26], καὶ ἀπευθύνει ἄπειρους ταλανισμοὺς πρὸς ἐκείνους ποὺ δὲν ἔχουν πιστέψει.

Ἀκόμη κάνει πολὺ λόγο γιὰ τὴν Καινὴ καὶ τὴν Παλαιὰ Διαθήκη, γιατὶ αὐτὸ τοῦ χρησίμευε πάρα πολὺ γιὰ τὴν πίστη τῆς ἀνάστασης. Γιὰ νὰ μὴ δυσπιστοῦν, ἀπ' ὅσα ἔπαθε, ὅτι ὁ Χριστὸς ἀναστήθηκε, τὸ ἰσχυροποιεῖ ἀπὸ τοὺς προφῆτες. Καὶ ἀποδεικνύει ὅτι δὲν εἶναι σεβαστὰ τὰ ἰουδαϊκὰ πράγματα, ἀλλὰ τὰ χριστιανικά· γιατὶ ἀκόμη καὶ ὁ ναὸς παρέμενε καὶ οἱ θυσίες· γι' αὐτὸ καὶ ἔλεγε· «ἂς πᾶμε λοιπὸν καὶ ἐμεῖς ἔξω, ὑπομένοντας τὸν ἐξευτελισμό του»[27]. Τοῦ πρόβαλλαν ὅμως καὶ αὐτὴν τὴν ἐναντίωση· γιατὶ ἦταν λογικὸ νὰ ποῦν μερικοί· 'ἀφοῦ αὐτὰ εἶναι σκιὰ καὶ εἰκόνα, πῶς δὲν ἐξαφανίσθηκαν καὶ δὲν ὑποχώρησαν ὅταν φάνηκε ἡ ἀλήθεια, ἀλλὰ ἐξακολουθοῦν ἀκόμη νὰ ἰσχύουν;' Καὶ αὐτὸ ὅμως σιγὰ–σιγὰ τὸ ὑπαινίχθηκε, ὅτι θὰ συμβεῖ στὸν κατάλληλο καιρό. Καὶ ὅτι εἶχαν πολὺ χρόνο στὴν πίστη καὶ στὶς θλίψεις τὸ δήλωσε λέγοντας· «ἔπειτα ἀπὸ τόσο καιρὸ θὰ ἔπρεπε νὰ εἶστε διδάσκαλοι»[28], καί, «μήπως κανεὶς ἀπὸ σᾶς ἔχει τόσο κακὴ καὶ ἄπιστη καρδία»[29], καί, «γίνατε μιμητὲς ἐκείνων ποὺ μὲ ὑπομονὴ κληρονομοῦν τὶς ὑποσχέσεις»[30].

---

25. Ἰω. 15,20.
26. Ἰω. 14,2.
27. Ἑβρ. 13,13.
28. Ἑβρ. 5,12.
29. Ἑβρ. 3,12.
30. Ἑβρ. 6,12.

ΟΜΙΛΙΑ Α'

('Εβρ. 1,1–4)

«Πολυμερῶς καὶ πολυτρόπως πάλαι ὁ Θεὸς λαλήσας τοῖς πατράσιν ἐν τοῖς προφήταις, ἐπ' ἐσχάτων τῶν ἡμερῶν τούτων ἐλάλησεν ἡμῖν ἐν Υἱῷ· ὃν ἔθηκε κληρονόμον πάντων, δι' οὗ καὶ τοὺς αἰῶνας ἐποίησεν».

5 1. *Ὄντως ὅπου ἐπλεόνασεν ἡ ἁμαρτία, ὑπερεπερίσσευσεν ἡ χάρις. Τοῦτο γοῦν καὶ ἐνταῦθα ἐν τῷ προοιμίῳ αἰνίττεται ὁ μακάριος Παῦλος πρὸς Ἑβραίους ἐπιστέλλων. Ἐπειδὴ γὰρ εἰκὸς ἦν αὐτοὺς τεταλαιπωρημένους καὶ τετρυχωμένους ὑπὸ τῶν κακῶν, καὶ ἀπὸ τούτων τὰ πράγματα κρίνοντας, λογίζεσθαι ἑαυ-*
10 *τοὺς ἐλάττους πάντων τῶν ἄλλων, δείκνυσι ταύτῃ μᾶλλον μείζονος ἀπολελαυκότας χάριτος καὶ σφόδρα ὑπερεχούσης, ἀπ' αὐτῆς τοῦ λόγου τῆς εἰσβολῆς διεγείρων τὸν ἀκροατήν. Διὰ τοῦτό φησι· «πολυμερῶς καὶ πολυτρόπως πάλαι ὁ Θεὸς λαλήσας τοῖς πατράσιν ἐν τοῖς προφήταις, ἐπ' ἐσχάτων τῶν ἡμερῶν τούτων*
15 *ἐλάλησεν ἡμῖν ἐν Υἱῷ».*

Διὰ τί μὴ ἀντέθηκεν ἑαυτὸν τοῖς προφήταις; καίτοι γε πολλῷ μείζων ἦν ἐκείνων, ὅσῳ καὶ μείζονα ἐπεπίστευτο. Ἀλλ' οὐ ποιεῖ τοῦτο. Τί δήποτε; Πρῶτον μὲν τὸ περὶ ἑαυτοῦ μεγάλα λέγειν παραιτούμενος· δεύτερον δέ, διὰ τὸ τοὺς ἀκροατὰς μηδέ-
20 *πω εἶναι τελείους· καὶ τρίτον, ἐπᾶραι μᾶλλον αὐτοὺς βουλόμενος καὶ δεῖξαι πολλὴν οὖσαν τὴν ὑπεροχήν. Ὡς ἂν εἰ ἔλεγε, τί μέγα ὅτι προφήτας ἔπεμψε πρὸς τοὺς πατέρας ἡμῶν; ἔπεμψε γὰρ πρὸς ἡμᾶς αὐτὸν τὸν Υἱὸν αὐτοῦ τὸν μονογενῆ. Καὶ καλῶς ἤρξατο οὕτως εἰπών, «πολυμερῶς καὶ πολυτρόπως»· δείκνυσι γὰρ*

---

1. Ρωμ. 5,20.

ΟΜΙΛΙΑ Α΄
(Ἑβρ. 1,1–4)

«Ἀφοῦ ὁ Θεὸς μὲ πολλοὺς καὶ ποικίλους τρόπους μίλησε τὰ παλαιὰ χρόνια στοὺς πατέρες μέσω τῶν προφητῶν, τὶς τελευταῖες αὐτὲς ἡμέρες μίλησε σ' ἐμᾶς μέσω τοῦ Υἱοῦ, καὶ αὐτόν, μέσω τοῦ ὁποίου ὁ Θεὸς δημιούργησε τὸν κόσμο, τὸν ἔκαμε κληρονόμο τῶν πάντων».

1. Πράγματι «ὅπου πλεόνασε ἡ ἁμαρτία, ἐκεῖ ξεχείλισε ἡ χάρη»[1]. Αὐτὸ ἀκριβῶς ὑπαινίσσεται καὶ ἐδῶ στὸ προοίμιο ὁ μακάριος Παῦλος γράφοντας στοὺς Ἑβραίους. Ἐπειδὴ αὐτοί, ποὺ ἦταν ταλαιπωρημένοι καὶ βασανισμένοι ἀπὸ τὶς συμφορὲς καὶ ἔκριναν ἀπ' αὐτὲς τὰ πράγματα, ἦταν φυσικὸ νὰ θεωροῦν τὸν ἑαυτο τους κατώτερο ἀπ' ὅλους τοὺς ἄλλους, δείχνει μ' αὐτὸ ὅτι ἔχουν ἀπολαύσει πολὺ μεγαλύτερη καὶ πάρα πολὺ ἀνώτερη χάρη, διεγείροντας τὸν ἀκροατὴ ἀπὸ τὴν ἀρχὴ ἀκόμη τοῦ λόγου του. Γι' αὐτὸ λέγει· «ἀφοῦ ὁ Θεὸς τὰ παλαιὰ χρόνια μίλησε στοὺς πατέρες μὲ πολλοὺς καὶ ποικίλους τρόπους μέσω τῶν προφητῶν, τὶς τελευταῖες αὐτὲς ἡμέρες μίλησε σ' ἐμᾶς μέσω τοῦ Υἱοῦ».

Γιατί δὲν ἀντέταξε τὸν ἑαυτό του στοὺς προφῆτες; Ἂν καὶ βέβαια ἦταν πολὺ μεγαλύτερος ἀπὸ ἐκείνους, ὅσο καὶ μεγαλύτερα εἶχε ἀναλάβει. Ὅμως δὲν τὸ κάνει αὐτό. Γιατί λοιπόν; Πρῶτον, γιατὶ ἀποφεύγει νὰ λέγει μεγάλα λόγια γιὰ τὸν ἑαυτό του· δεύτερο, γιατὶ οἱ ἀκροατὲς δὲν ἦταν ἀκόμη τέλειοι· καὶ τρίτο, γιατὶ ἤθελε νὰ τοὺς ὑψώσει περισσότερο καὶ νὰ δείξει ὅτι εἶναι μεγάλη ἡ ὑπεροχή. Σὰν νὰ ἔλεγε· τί τὸ σπουδαῖο ἂν ὁ Θεὸς ἔστειλε τοὺς προφῆτες στοὺς πατέρες μας; σ' ἐμᾶς ἔστειλε τὸν ἴδιο τὸν μονογενὴ Υἱό του. Καὶ καλὰ ἔκαμε ποὺ ἄρχισε μ' αὐτὰ τὰ λόγια, «μὲ πολλοὺς καὶ ποικίλους τρόπους». Γιατὶ δείχνει

ὅτι οὐδὲ αὐτοὶ οἱ προφῆται τὸν Θεὸν εἶδον· ὁ μέντοι Υἱὸς εἶδε. Τὸ γάρ, «πολυμερῶς καὶ πολυτρόπως», τουτέστι, διαφόρως. «Ἐγὼ» γάρ, φησίν, «ὁράσεις ἐπλήθυνα καὶ ἐν χερσὶ προφητῶν ὡμοιώθην». Ὥστε οὐ κατὰ τοῦτο μόνον ἡ ὑπεροχή, ὅτι ἐκείνοις 5 μὲν προφῆται ἀπεστάλησαν, ἡμῖν δὲ ὁ Υἱός, ἀλλ' ὅτι ἐκείνων μὲν οὐδεὶς εἶδε τὸν Θεόν, ὁ δὲ Υἱὸς ὁ μονογενὴς εἶδε. Καὶ εὐθέως μὲν αὐτὸ οὐ τίθησι, διὰ δὲ τῶν ἑξῆς αὐτὸ κατασκευάζει, ὅταν περὶ τῆς ἀνθρωπότητος λέγῃ· «πρὸς τίνα γὰρ τῶν ἀγγέλων εἴρηκεν, Υἱός μου εἶ σύ», καί, «κάθου ἐκ δεξιῶν μου»;

10 *Καὶ ὅρα τὴν σύνεσιν αὐτοῦ τὴν πολλήν· πρῶτον ἀπὸ προφητῶν δείκνυσι τὴν ὑπεροχήν· εἶτα, ὡς ὁμολογούμενον ἐκεῖνο κατασκευάσας, ἀποφαίνεται λοιπόν, ὅτι ἐκείνοις μὲν διὰ τῶν προφητῶν ἐλάλησεν, ἡμῖν δὲ διὰ τοῦ Μονογενοῦς. Εἰ δὲ καὶ δι' ἀγγέλων ἐκείνοις (καὶ γὰρ καὶ ἄγγελοι ὡμίλησαν Ἰουδαίοις), 15 ἀλλὰ κἂν τούτῳ τὸ πλέον ἡμεῖς ἔχομεν, καὶ τοσοῦτον, ὅσον ἡμῖν μὲν Δεσπότης, ἐκείνοις δὲ δοῦλοι· καὶ ἄγγελοι γὰρ καὶ προφῆται ὁμόδουλοι. Καὶ καλῶς εἶπεν, «ἐπ' ἐσχάτων τῶν ἡμερῶν»· καὶ τοῦτο γὰρ αὐτοὺς διανίστησι, καὶ παρακαλεῖ ἀπειρηκότας λοιπόν. Ὥσπερ γὰρ ἀλλαχοῦ λέγει, ὅτι «ὁ Κύριος ἐγγύς, μηδὲν με- 20 ριμνᾶτε»· καὶ πάλιν, «νῦν γὰρ ἐγγύτερον ἡμῶν ἡ σωτηρία ἢ ὅτε ἐπιστεύσαμεν», οὕτω καὶ ἐνταῦθα. Τί οὖν ἐστιν ὃ λέγει; Ὅτι πᾶς ὁ ἐν τῷ ἀγῶνι καταναλωθείς, ἐπειδὰν ἀκούσῃ τοῦ ἀγῶνος τὸ τέλος, ἀναπνεῖ μικρόν, εἰδὼς ὅτι τῶν πόνων μέν ἐστι τὸ τέλος, τῆς δὲ ἀναπαύσεως ἀρχή.*

25 *Ἐπ' ἐσχάτων τῶν ἡμερῶν τούτων ἐλάλησεν ἡμῖν ἐν Υἱῷ». Ἰδοὺ πάλιν τό, «ἐν Υἱῷ», διὰ τοῦ Υἱοῦ φησι, πρὸς τοὺς λέγοντας τῷ Πνεύματι τοῦτο ἁρμόζειν. Ὁρᾷς ὅτι καὶ τό, «ἐν», 'διά' ἐστι; Καὶ τό, «πάλαι», καὶ τὸ «ἐπ' ἐσχάτων τῶν ἡμερῶν», πάλιν ἕτερόν τι αἰνίττεται. Ποῖον δὴ τοῦτο; Ὅτι πολλοῦ χρόνου 30 γενομένου μέσου, ὅτε ἐμέλλομεν κολάζεσθαι, ὅτε ἐκλελοίπει τὰ*

2. Ὠσηὲ 12,11.
3. Ἑβρ. 1,5.13.
4. Φιλιπ. 4,6.
5. Ρωμ. 13,11.

πὼς οὔτε οἱ ἴδιοι οἱ προφῆτες εἶδαν τὸ Θεό· ὁ Υἱὸς ὅμως τὸν εἶδε. Τὸ «πολυμερῶς καὶ πολυτρόπως» σημαίνει «μὲ ποικίλους τρόπους». Γιατὶ λέγει, «ἐγὼ πλήθυνα τὰ ὁράματα καὶ μέσω τῶν προφητῶν καὶ σὰν μέσω τῶν χεριῶν τους παρουσιάσθηκα στὸ λαό»[2]. Ὥστε ἡ ὑπεροχὴ δὲν βρίσκεται σ' αὐτὸ μόνο, ὅτι δηλαδὴ σ' ἐκείνους στάλθηκαν προφῆτες, ἐνῶ σ' ἐμᾶς ὁ Υἱός, ἀλλ' ὅτι ἀπὸ ἐκείνους κανεὶς δὲν εἶδε τὸ Θεό, ἐνῶ ὁ μονογενὴς Υἱὸς τὸν εἶδε. Καὶ ἀμέσως βέβαια δὲν τὸ ἀναφέρει αὐτό, ἀλλὰ τὸ παρουσιάζει μὲ τὰ ἑπόμενα, ὅταν ὁμιλεῖ γιὰ τὴν ἀνθρώπινη φύση του· «γιατὶ σὲ ποιόν ἀπὸ τοὺς ἀγγέλους εἶπε, 'Υἱός μου εἶσαι ἐσύ'» καὶ «κάθισε στὰ δεξιά μου»[3];

Καὶ πρόσεχε τὴ μεγάλη σύνεση τοῦ Παύλου. Πρῶτα δείχνει τὴν ὑπεροχὴ ἀπὸ τοὺς προφῆτες· ἔπειτα, ἀφοῦ παρουσίασε ἐκεῖνο σὰν ὁμολογούμενο, στὴ συνέχεια διατυπώνει τὴ γνώμη, ὅτι σ' ἐκείνους μίλησε ὁ Θεὸς μέσω τῶν προφητῶν, ἐνῶ σ' ἐμᾶς μέσω τοῦ Μονογενοῦς. Ἂν ὅμως σ' ἐκείνους μίλησε καὶ μέσω ἀγγέλων (γιατὶ πραγματικὰ καὶ ἄγγελοι μίλησαν στοὺς Ἰουδαίους), ἀλλὰ καὶ σ' αὐτὸ ἐμεῖς ἔχουμε τὸ περισσότερο, καὶ τόσο πολύ, ὅσο σ' ἐμᾶς ἦταν ὁ Κύριος, ἐνῶ σ' ἐκείνους δοῦλοι· γιατὶ οἱ ἄγγελοι καὶ οἱ προφῆτες εἶναι ὁμόδουλοι. Καὶ καλῶς εἶπε, «στὶς τελευταῖες ἡμέρες». Γιατὶ καὶ αὐτὸ τοὺς ἐνθαρρύνει καὶ τοὺς παρηγορεῖ, ἀφοῦ εἶχαν ἤδη ἀποκάμει. Ὅπως δηλαδὴ λέγει ἀλλοῦ, «ὁ Κύριος ἔρχεται σύντομα, γιὰ τίποτε νὰ μὴ μεριμνᾶτε»[4]· καὶ πάλι, «γιατὶ τώρα ἡ σωτηρία βρίσκεται πιὸ κοντά μας παρὰ τότε ποὺ πιστέψαμε»[5], ἔτσι καὶ ἐδῶ. Ποιό λοιπὸν εἶναι αὐτὸ ποὺ λέγει; Ὅτι ὅποιος ἐξαντληθεῖ στὸν ἀγώνα, ὅταν ἀκούσει τὸ τέλος τοῦ ἀγώνα, ἀνακουφίζεται λίγο, γνωρίζοντας ὅτι εἶναι τὸ τέλος τῶν κόπων καὶ ἡ ἀρχὴ τῆς ἀνάπαυσης.

«Στὶς τελευταῖες αὐτὲς ἡμέρες μίλησε σ' ἐμᾶς μέσω τοῦ Υἱοῦ». Νὰ πάλι λέγει τὸ «ἐν Υἱῷ», δηλαδὴ μέσω τοῦ Υἱοῦ, ποὺ τὸ λέγει ἐναντίον ἐκείνων ποὺ λέγουν πὼς αὐτὸ ἁρμόζει στὸ Πνεῦμα. Βλέπεις ὅτι καὶ τό, «ἐν», σημαίνει «διὰ μέσου»; Καὶ τὸ «στὰ παλαιὰ χρόνια» καὶ τὸ «στὶς τελευταῖες ἡμέρες», πάλι κάτι ἄλλο ὑπονοεῖ. Ποιό λοιπὸν εἶναι αὐτό; Ὅτι, ἀφοῦ πέρασε στὸ μεταξὺ πολὺς χρόνος, ὅταν ἐπρόκειτο νὰ τιμωρηθοῦμε, ὅταν εἶ-

χαρίσματα, ὅτε προσδοκία σωτηρίας οὐκ ἦν, ὅτε πανταχόθεν προσεδοκῶμεν ἔλαττον ἔχειν, τότε πλέον ἐσχήκαμεν. Καὶ θέα πῶς συνετῶς αὐτὸ εἴρηκεν· οὐ γὰρ εἶπεν, 'ὁ Χριστὸς ἐλάλησε', καίτοι γε αὐτὸς ἦν ὁ λαλήσας, ἀλλ' ἐπειδὴ ἀσθενεῖς αὐτῶν ἦσαν 5 αἱ ψυχαί, καὶ οὐδέπω ἀκούειν ἠδύναντο τὰ περὶ τοῦ Χριστοῦ, «ἐλάλησεν ἡμῖν ἐν Υἱῷ», φησί. Τί λέγεις; ὁ Θεὸς διὰ τοῦ Υἱοῦ ἐλάλησε; Ναί. Ποῦ οὖν ἡ ὑπεροχή; ἐνταῦθα μὲν γὰρ ἔδειξας, ὅτι καὶ ἡ Καινὴ καὶ ἡ Παλαιὰ ἑνός ἐστι καὶ τοῦ αὐτοῦ, οὐ πολλὴν δὲ ταύτην ὑπεροχὴν οὖσαν. Διὰ τοῦτο λοιπὸν τούτῳ ἐπεξέρχεται τῷ 10 λόγῳ, λέγων· «ἐλάλησεν ἡμῖν ἐν Υἱῷ».

Ὅρα πῶς αὐτὸ κοινοποιεῖ καὶ ἐξισοῖ τοῖς μαθηταῖς ἑαυτὸν ὁ Παῦλος, λέγων, «ἐλάλησεν ἡμῖν». Καίτοι γε αὐτῷ οὐκ ἐλάλησεν, ἀλλὰ τοῖς ἀποστόλοις, καὶ δι' αὐτῶν τοῖς πολλοῖς. Ἀλλ' ἐπαίρει αὐτοὺς καὶ δείκνυσιν, ὅτι καὶ αὐτοῖς ἐλάλησεν, ἅμα δὲ 15 καθάπτεταί πως τῶν Ἰουδαίων. Σχεδὸν γὰρ ἅπαντες, οἷς ἐλάλησαν οἱ προφῆται, μοχθηροί τινες ἦσαν καὶ μιαροί. Καὶ οὔπω περὶ τούτων ποιεῖται τὸν λόγον, τέως δὲ περὶ τῶν ὑπηργμένων παρὰ τοῦ Θεοῦ δωρεῶν. Διὰ τοῦτο καὶ ἐπάγει, «ὃν ἔθηκε κληρονόμον ἁπάντων». Ἐνταῦθα τὴν σάρκα φησί· καθὼς καὶ ὁ Δαυὶδ ἐν τῷ 20 δευτέρῳ ψαλμῷ λέγει· «αἴτησαι παρ' ἐμοῦ, καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν σου». Οὐκέτι γὰρ μερὶς Κυρίου Ἰακώβ, οὐδὲ κλῆρος αὐτῷ ὁ Ἰσραήλ, ἀλλὰ πάντες. Τί ἐστιν, «ὃν ἔθηκε κληρονόμον»; Τουτέστι, τοῦτον κύριον ἁπάντων ἐποίησεν. Ὃ καὶ ἐν ταῖς Πράξεσιν ὁ Πέτρος ἔφη, «καὶ Κύριον καὶ Χριστὸν 25 αὐτὸν ὁ Θεὸς ἐποίησε». Τῷ δὲ τοῦ κληρονόμου ὀνόματι κέχρηται, δύο δηλῶν, καὶ τὸ τῆς υἱότητος γνήσιον, καὶ τὸ τῆς κυριότητος ἀναπόσπαστον. «Κληρονόμον πάντων»· τουτέστι, τοῦ κόσμου παντός. Εἶτα πάλιν ἐπὶ τὸ πρότερον ἐπανάγει τὸν λόγον· «δι' οὗ καὶ τοὺς αἰῶνας ἐποίησε».

30 2. Ποῦ εἰσιν οἱ λέγοντες, 'ἦν ὅτε οὐκ ἦν'; Εἶτα ἀναβαθμοῖς χρώμενος, τὸ πολλῷ τούτων μεῖζον ὕστερον φθέγγεται λέγων·

---

6. Ψαλμ. 2,8.
7. Πράξ. 2,36.

χαν ἐκλείψει τὰ χαρίσματα, ὅταν δὲν ὑπῆρχε ἐλπίδα σωτηρίας, ὅταν ἀπὸ παντοῦ προσδοκούσαμε νὰ ἔχουμε κάτι λιγότερο, τότε ἀποκτήσαμε κάτι περισσότερο. Καὶ πρόσεχε πῶς τὸ εἶπε μὲ σύνεση. Γιατὶ δὲν εἶπε, 'ὁ Χριστὸς μίλησε', ἂν καὶ βέβαια αὐτὸς ἦταν ποὺ μίλησε, ἀλλ' ἐπειδὴ οἱ ψυχές τους ἦταν ἀσθενεῖς καὶ δὲν μποροῦσαν ἀκόμη ν' ἀκοῦν τὰ σχετικὰ μὲ τὸ Χριστό, λέγει, «μίλησε σ' ἐμᾶς μέσω τοῦ Υἱοῦ». Τί λές; Ὁ Θεὸς μίλησε μέσω τοῦ Υἱοῦ; Ναί. Ποῦ λοιπὸν εἶναι ἡ ὑπεροχή; Γιατὶ ἐδῶ ἔδειξες ὅτι ἡ Καινὴ καὶ ἡ Παλαιὰ Διαθήκη εἶναι ἑνὸς καὶ τοῦ αὐτοῦ καὶ ὅτι αὐτὴ ἡ ὑπεροχὴ δὲν εἶναι μεγάλη. Γι' αὐτὸ τὸ ἐπεξηγεῖ στὴ συνέχεια μ' αὐτὰ τὰ λόγια, λέγοντας· «μίλησε σ' ἐμᾶς μέσω τοῦ Υἱοῦ».

Πρόσεχε πῶς τὸ κοινοποιεῖ αὐτὸ καὶ πῶς ἐξισώνει ὁ Παῦλος τὸν ἑαυτό του μὲ τοὺς μαθητές, λέγοντας, «μίλησε σ' ἐμᾶς». Ὅμως σ' αὐτὸν δὲ μίλησε, ἀλλὰ στοὺς ἀποστόλους καὶ μέσω αὐτῶν στοὺς πολλούς. Τοὺς ἐξυψώνει ὅμως καὶ δείχνει ὅτι καὶ σ' αὐτοὺς μίλησε, ἀλλὰ συγχρόνως κατηγορεῖ κάπως τοὺς Ἰουδαίους. Γιατὶ σχεδὸν ὅλοι ἐκεῖνοι στοὺς ὁποίους μίλησαν οἱ προφῆτες ἦταν μοχθηροὶ καὶ μιαροί. Καὶ δὲν κάνει ἀκόμη λόγο γι' αὐτούς, ἀλλὰ πρῶτα γιὰ τὶς δωρεὲς ποὺ ἔχει κάνει ὁ Θεός. Γι' αὐτὸ καὶ προσθέτει, «αὐτὸν τὸν ἔκαμε κληρονόμο τῶν πάντων». Ἐδῶ ἐννοεῖ τὴ σάρκα, ὅπως καὶ ὁ Δαβὶδ λέγει στὸ δεύτερο ψαλμό· «ζήτησε ἀπὸ μένα, καὶ ἐγὼ θὰ σοῦ δώσω τὰ ἔθνη σὰν κληρονομία σου»[6]. Γιατὶ δὲν εἶναι πιὰ μερίδα τοῦ Κυρίου ὁ Ἰακὼβ οὔτε κληρονομία του ὁ Ἰσραήλ, ἀλλὰ ὅλοι. Τί σημαίνει, «αὐτὸν τὸν ἔκαμε κληρονόμο»; Δηλαδή, αὐτὸν τὸν ἔκαμε κύριο τῶν πάντων. Τὸ ἴδιο εἶπε καὶ στὶς Πράξεις ὁ Πέτρος, «ὁ Θεὸς τὸν ἔκαμε καὶ Κύριο καὶ Χριστό»[7]. Μὲ τὴν ἀναφορὰ τοῦ ὀνόματος τοῦ κληρονόμου δύο πράγματα ἤθελε νὰ δηλώσει, ὅτι εἶναι γνήσιος Υἱὸς καὶ ὅτι εἶναι ἀναπόσπαστη ἀπ' αὐτὸν ἡ ἐξουσία. «Κληρονόμο τῶν πάντων»· δηλαδή, ὁλόκληρου τοῦ κόσμου. Στὴ συνέχεια πάλι ἐπαναφέρει τὸ λόγο στὸ προηγούμενο· «μέσω τοῦ ὁποίου ἔκαμε καὶ τὸν κόσμο».

2. Ποῦ εἶναι λοιπὸν ἐκεῖνοι ποὺ λένε ὅτι 'ὑπῆρχε ἐποχὴ κατὰ τὴν ὁποία δὲν ὑπῆρχε'; Ἔπειτα, χρησιμοποιώντας βαθμίδες,

«ὃς ὢν ἀπαύγασμα τῆς δόξης καὶ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ, φέρων τε τὰ πάντα τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ, δι' ἑαυτοῦ καθαρισμὸν ποιησάμενος τῶν ἁμαρτιῶν ἡμῶν, ἐκάθισεν ἐν δεξιᾷ τῆς μεγαλωσύνης ἐν ὑψηλοῖς· τοσούτῳ κρείττων γενό- 5 *μενος τῶν ἀγγέλων, ὅσῳ διαφορώτερον παρ' αὐτοὺς κεκληρονόμηκεν ὄνομα». Βαβαὶ τῆς συνέσεως τῆς ἀποστολικῆς· μᾶλλον δὲ οὐ τὴν τοῦ Παύλου σύνεσιν, ἀλλὰ τὴν τοῦ Πνεύματός ἐστι θαυμάσαι χάριν ἐνταῦθα. Οὐ γὰρ δὴ ἐξ οἰκείας διανοίας ταῦτα ἐφθέγξατο, οὐδὲ τοσαύτην σοφίαν ἐξ ἑαυτοῦ εὗρεν· πόθεν γάρ;* 10 *ἀπὸ σμίλης γὰρ καὶ τῶν δερμάτων, ἢ τοῦ ἐργαστηρίου; ἀλλὰ θείας ἐνεργείας ἦν τὸ οὕτως εἰπεῖν. Οὐ γὰρ αὐτοῦ ταῦτα τὰ νοήματα ἔτικτεν ἡ διάνοια, τότε μὲν οὕτω ταπεινὴ καὶ εὐτελὴς οὖσα, ὡς τῶν ἀγοραίων μηδὲν ἔχειν πλέον· πῶς γὰρ ἡ περὶ συμβόλαια καὶ δέρματα καταναλωθεῖσα; ἀλλ' ἡ τοῦ Πνεύματος χάρις, ἣ δι'* 15 *ὧν ἂν ἐθέλῃ τὴν ἰσχὺν αὐτῆς ἐπιδείκνυται.*

Καθάπερ γὰρ εἰς ὑψηλὸν τόπον τινὰ καὶ πρὸς αὐτὴν τοῦ οὐρανοῦ φθάνοντα τὴν κορυφήν, εἴ τις παιδίον μικρὸν ἀναγαγεῖν βούλοιτο, ἠρέμα καὶ κατὰ μικρὸν τοῦτο ποιεῖ, διὰ τῶν κάτωθεν βαθμῶν αὐτὸ ἀνάγων· εἶτα, ἐπειδὰν ἄνω στήσῃ καὶ κελεύσῃ 20 *κάτω προσέχειν καὶ ἴδῃ ἰλιγγιῶν καὶ θορυβούμενον καὶ σκοτοδινιῶν, λαβόμενος αὐτοῦ κατάγει πάλιν ἐπὶ τὸ ταπεινότερον, παρέχων ἀναπνεῦσαι· εἶτα, ὅταν ἀνακτήσηται αὐτό, πάλιν ἀνάγει καὶ πάλιν κατάγει· οὕτω δὴ καὶ ὁ μακάριος Παῦλος ἐποίησε καὶ ἐπὶ τῶν Ἑβραίων καὶ πανταχοῦ, παρὰ τοῦ διδασκάλου τοῦτο* 25 *μαθών. Καὶ γὰρ καὶ αὐτὸς οὕτως ἐποίησε, ποτὲ μὲν ἀνάγων εἰς ὕψος, ποτὲ δὲ κατάγων τοὺς ἀκροατάς, καὶ οὐκ ἀφεὶς ἐπὶ πολὺ κατὰ τὸ αὐτὸ ἐγχρονίζειν.*

Ὅρα γοῦν αὐτὸν καὶ ἐνταῦθα, δι' ὅσων αὐτοὺς ἀναγαγὼν ἀναβαθμῶν καὶ πρὸς αὐτὴν στήσας τὴν κορυφὴν τῆς εὐσεβείας, 30 *πρὶν ἰλιγγιᾶσαι καὶ σκοτοδινίᾳ ἁλῶναι, πῶς κατάγει πάλιν αὐ-*

ἀναφέρει τελευταῖα τὸ πολὺ μεγαλύτερο ἀπ' αὐτὰ λέγοντας· «αὐτὸς εἶναι ἡ ἀκτινοβολία τῆς δόξας καὶ ἡ σφραγίδα τῆς οὐσίας τοῦ Θεοῦ, καὶ αὐτὸς κρατᾶ τὰ πάντα μὲ τὴ δύναμη τοῦ λόγου του. Ἀφοῦ καθάρισε τὶς ἁμαρτίες μας, κάθισε ψηλὰ στὰ δεξιὰ τῆς μεγαλωσύνης τοῦ Θεοῦ. Ἔγινε τόσο ἀνώτερος ἀπὸ τοὺς ἀγγέλους, ὅσο τὸ ὄνομα ποὺ κληρονόμησε εἶναι διαφορετικὸ ἀπὸ τὸ δικό τους». Πώ, πώ, πόση εἶναι ἡ ἀποστολικὴ σύνεση! Ἢ καλύτερα ὄχι τὴ σύνεση τοῦ Παύλου, ἀλλὰ τὴ χάρη τοῦ Πνεύματος μποροῦμε νὰ θαυμάσουμε ἐδῶ. Γιατὶ δὲν τὰ εἶπε αὐτὰ ἀπὸ δική του σκέψη οὔτε ἀπὸ μόνος του εἶχε τόσο μεγάλη σοφία (γιατὶ ἀπὸ ποῦ θὰ τὴν εἶχε; ἀπὸ τὴ φαλτσέτα καὶ τὰ δέρματα ἢ ἀπὸ τὸ ἐργαστήριο;), ἀλλὰ τὸ νὰ τὰ πεῖ αὐτὰ ἦταν ἀποτέλεσμα θείας ἐνέργειας. Γιατὶ τὰ νοήματα αὐτὰ δὲν τὰ γεννοῦσε ἡ διάνοιά του, ἡ ὁποία τότε ἦταν τόσο ταπεινὴ καὶ εὐτελής, ὥστε νὰ μὴν ἔχει τίποτε περισσότερο ἀπ' αὐτοὺς ποὺ συχνάζουν στὴν ἀγορὰ (γιατὶ πῶς θὰ εἶχε περισσότερα ἐκείνη ποὺ ἐξαντλήθηκε στὰ συμβόλαια καὶ τὰ δέρματα;), ἀλλὰ ἡ χάρη τοῦ Πνεύματος, ἡ ὁποία, μέσω αὐτῶν ποὺ θέλει, φανερώνει τὴ δύναμή της.

Ἂν λοιπὸν κάποιος θέλει ν' ἀνεβάσει ἕνα μικρὸ παιδὶ σὲ κάποιο μέρος ψηλὸ ποὺ φθάνει μέχρι καὶ τὴν κορυφὴ τοῦ οὐρανοῦ, τὸ κάνει σιγὰ - σιγὰ καὶ λίγο - λίγο, ἀνεβάζοντας αὐτὸ ἀπὸ τὶς χαμηλότερες βαθμίδες. Ἔπειτα, ὅταν τὸ στήσει ψηλὰ καὶ τὸ προτρέψει νὰ κοιτάξει κάτω, καὶ δεῖ ὅτι αἰσθάνεται ἴλιγγο καὶ ταράσσεται καὶ ζαλίζεται, τὸ πιάνει καὶ τὸ κατεβάζει πάλι χαμηλότερα γιὰ νὰ τοῦ δώσει τὴν εὐκαιρία ν' ἀναπνεύσει. Στὴ συνέχεια, ὅταν αὐτὸ ἐπανεύρει τὸν ἑαυτό του, πάλι τὸ ἀνεβάζει καὶ πάλι τὸ κατεβάζει. Τὸ ἴδιο ἀκριβῶς καὶ ὁ μακάριος Παῦλος ἔκαμε στὴν περίπτωση τῶν Ἑβραίων καὶ παντοῦ, μαθαίνοντας αὐτὸ ἀπὸ τὸ διδάσκαλο. Γιατὶ πράγματι καὶ αὐτὸς ἔτσι ἔκαμε, ἄλλοτε ἀνεβάζοντας τοὺς ἀκροατὲς ψηλὰ καὶ ἄλλοτε κατεβάζοντας αὐτούς, χωρὶς νὰ τοὺς ἀφήνει νὰ παραμένουν γιὰ πολὺ στὸ ἴδιο σημεῖο.

Πρόσεχε λοιπὸν αὐτὸν καὶ ἐδῶ πῶς, ἀφοῦ τοὺς ἀνέβασε πολλὲς βαθμίδες καὶ τοὺς ἔστησε στὴν ἴδια τὴν κορυφὴ τῆς εὐσέβειας, πρὶν τοὺς πιάσει ἴλιγγος καὶ σκοτοδίνη, τοὺς κατεβάζει

τοὺς κατώτερον καὶ διδοὺς ἀναπνεῦσαι, φησίν, «ἐλάλησεν ἡμῖν ἐν Υἱῷ»· καὶ πάλιν, «ὃν ἔθηκε κληρονόμον πάντων». Τὸ γὰρ τοῦ Υἱοῦ ὄνομα τέως κοινόν. Ἔνθα μὲν γὰρ ἂν γνήσιος ὑπονοῆται, πάντων ἐστὶν ἀνώτερος· τέως δὲ ὅπως ἂν ᾖ, κατασκευάζει 5 λοιπὸν καὶ δείκνυσιν ὅτι ἄνωθέν ἐστιν. Ὅρα δὲ καὶ πῶς πρῶτον ἐπὶ τὸ ταπεινότερον βαθμὸν ἵστησι λέγων, «κληρονόμον ἔθηκε», ταπεινόν· εἶτα ἐπὶ τὸν ἀνώτερον, ἐπαγαγών, «δι' οὗ καὶ αἰῶνας ἐποίησε»· εἶτα ἐπὶ τὸ ὑψηλότερον, μεθ' ὃν οὐκ ἔστιν ἕτερος· «ὃς ὢν ἀπαύγασμα τῆς δόξης καὶ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ».

10 Ὄντως εἰς ἀπρόσιτον φῶς ἤγαγεν, εἰς αὐτὸ τὸ ἀπαύγασμα. Καὶ πρὶν ἢ σκοτωθῆναι, ὅρα πῶς πάλιν ἠρέμα κατάγει λέγων, «φέρων τε τὰ πάντα τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ, καθαρισμὸν ποιησάμενος τῶν ἁμαρτιῶν ἡμῶν, ἐκάθισεν ἐν δεξιᾷ τῆς μεγαλωσύνης». Οὐχ ἁπλῶς εἶπεν, «ἐκάθισεν», ἀλλά, μετὰ τὸν 15 καθαρισμὸν ἐκάθισεν. Ἐπελάβετο γὰρ τῆς σαρκώσεως· καὶ πάλιν ταπεινὰ φθέγγεται. Εἶτα πάλιν φθεγξάμενός τι ὑψηλόν, «ἐν δεξιᾷ» γάρ, φησί, «τῆς μεγαλωσύνης ἐν ὑψηλοῖς», πάλιν φθέγγεται τὸ ταπεινὸν διὰ τῆς ἐπαγωγῆς τῆς, «τοσούτῳ κρείττων γενόμενος τῶν ἀγγέλων, ὅσῳ διαφορώτερον παρ' αὐτοὺς κεκλη- 20 ρονόμηκεν ὄνομα».

Ἐνταῦθα γὰρ καὶ περὶ τῆς κατὰ σάρκα οἰκονομίας διαλέγεται· τὸ γάρ, «κρίττων γενόμενος», οὐκ οὐσίας δηλωτικόν ἐστι τῆς κατὰ Πατέρα (ἐκείνη γὰρ οὐκ ἐγένετο, ἀλλὰ γεγέννηται), ἀλλὰ τῆς κατὰ σάρκα· αὕτη γὰρ ἐγένετο. Ἀλλ' οὐ περὶ οὐσιώσε- 25 ως νῦν ὁ λόγος αὐτῷ· ἀλλ' ὥσπερ Ἰωάννης λέγων, «ὁ ὀπίσω μου ἐρχόμενος, ἔμπροσθέν μου γέγονεν, ὅτι πρῶτός μου ἦν», τοῦτο δηλοῖ, ὅτι ἐντιμότερος καὶ λαμπρότερος, οὕτω καὶ ἐνταῦθα Παῦλος εἰπών, «τοσούτῳ κρείττων γενόμενος ἀγγέλων», ὅτι βελτίων ἐδήλωσε καὶ εὐδοκιμώτερος, ὅσῳ διαφορώτερον παρ' 30 αὐτοὺς κεκληρονόμηκεν ὄνομα.

Ὁρᾷς ὅτι περὶ τοῦ κατὰ σάρκα ὁ λόγος ἦν; Τοῦτο γὰρ τὸ

---

8. Ἰω. 1,15.

πάλι χαμηλότερα καὶ ἀφοῦ τοὺς ἔδωσε τὴν εὐκαιρία ν' ἀναπνεύσουν λέγει, «μίλησε σ' ἐμᾶς μέσω τοῦ Υἱοῦ», καί, «αὐτὸν τὸν ἔκαμε κληρονόμο τῶν πάντων». Γιατὶ τὸ ὄνομα τοῦ Υἱοῦ ἦταν τότε κοινό. Καὶ ὅπου ὑπονοεῖται γνήσιος, σημαίνει ἀνώτερος ἀπ' ὅλους. Πρῶτα λοιπὸν γιὰ νὰ φανεῖ ὅτι εἶναι ἀνώτερος, παρουσιάζει καὶ δείχνει ὅτι αὐτὸς προέρχεται ἀπὸ τὸ Θεό. Πρόσεχε ὅμως πῶς τὸν τοποθετεῖ πρῶτα στὴ χαμηλότερη βαθμίδα λέγοντας, «αὐτὸν τὸν ἔκαμε κληρονόμο τῶν πάντων»· γιατὶ τὸ «ἔκαμε κληρονόμο», εἶναι χαμηλό. Στὴ συνέχεια τὸν τοποθετεῖ στὴν ἀνώτερη, προσθέτοντας, «μέσω τοῦ ὁποίου ἔκαμε καὶ τὸν κόσμο»· ἔπειτα στὴν ψηλότερη, μετὰ τὴν ὁποία δὲν ὑπάρχει ἄλλη· «αὐτὸς εἶναι ἡ ἀκτινοβολία τῆς δόξας καὶ ἡ σφραγίδα τῆς οὐσίας τοῦ Θεοῦ».

Πράγματι τὸν ἀνέβασε σὲ ἀπρόσιτο φῶς, σ' αὐτὴ τὴν ἴδια τὴν ἀκτινοβολία. Καὶ πρὶν τὸν πιάσει σκοτοδίνη, πρόσεχε πῶς πάλι τὸν κατεβάζει σιγὰ - σιγὰ λέγοντας, «καὶ αὐτὸς κρατεῖ τὰ πάντα μὲ τὴ δύναμη τοῦ λόγου του· καὶ ἀφοῦ καθάρισε τὶς ἁμαρτίες μας κάθισε στὰ δεξιὰ τῆς μεγαλωοσύνης τοῦ Θεοῦ». Δὲν εἶπε ἁπλῶς, «κάθισε», ἀλλά, «μετὰ τὸν καθαρισμὸ κάθισε». Καταπιάστηκε δηλαδὴ μὲ τὴ σάρκωση· καὶ πάλι μιλάει ταπεινά. Ἔπειτα πάλι, ἀφοῦ εἶπε κάτι ὑψηλό, γιατὶ λέγει, «ἐκεῖ ψηλὰ στὰ δεξιὰ τῆς μεγαλωσύνης», πάλι λέγει τὸ ταπεινὸ προσθέτοντας· «ἔγινε τόσο ἀνώτερος ἀπὸ τοὺς ἀγγέλους, ὅσο τὸ ὄνομα ποὺ κληρονόμησε εἶναι πολὺ διαφορετικὸ ἀπὸ τὸ δικό τους».

Ἐδῶ λοιπὸν μιλάει καὶ γιὰ τὴν οἰκονομία τῆς σάρκωσης. Γιατὶ τό, «ἔγινε ἀνώτερος», δὲ δηλώνει τὴν πατρικὴ οὐσία (ἀφοῦ αὐτὴ δὲν ἔγινε ἀλλὰ γεννήθηκε), ἀλλὰ τὴ σαρκική, γιατὶ αὐτὴ ἔγινε. Ὅμως ὁ λόγος του τώρα δὲν εἶναι γιὰ τὴν οὐσία. Ὅπως ὁ Ἰωάννης λέγοντας, «ἐκεῖνος ποὺ ἔρχεται ὕστερα ἀπὸ μένα εἶναι ἀνώτερός μου, γιατὶ ὑπῆρχε πρὶν ἀπὸ μένα»[8], δηλώνει αὐτό, ὅτι εἶναι ἐνδοξότερος καὶ λαμπρότερος, ἔτσι καὶ ἐδῶ ὁ Παῦλος λέγοντας, «ἔγινε τόσο ἀνώτερος ἀπὸ τοὺς ἀγγέλους», δήλωσε ὅτι εἶναι τόσο ἀνώτερος καὶ ἐνδοξότερος, ὅσο πιὸ διαφορετικὸ ἀπὸ τὸ δικό τους εἶναι καὶ τὸ ὄνομα ποὺ κληρονόμησε.

Βλέπεις ὅτι ὁ λόγος ἦταν γιὰ τὸ ὄνομα ποὺ δόθηκε στὴ

ὄνομα ὁ Θεὸς Λόγος ἀεὶ εἶχεν, οὐχ ὕστερον ἐκληρονόμησεν, οὐδὲ τότε τῶν ἀγγέλων κρείττων ἐγένετο, ὅτε καθαρισμὸν τῶν ἁμαρτιῶν ἡμῶν ἐποιήσατο, ἀλλ' ἀεὶ κρείττων ἦν, καὶ κρείττων ἀσυγκρίτως. Περὶ δὲ τοῦ κατὰ σάρκα τοῦτο εἴρηται. Οὕτω γοῦν
5 *καὶ ἡμῖν ἔθος περὶ ἀνθρώπου διαλεγομένοις, καὶ ὑψηλὰ καὶ ταπεινὰ φθέγγεσθαι. Ὅταν μὲν γὰρ λέγωμεν, οὐδὲν ἄνθρωπος, γῆ ἄνθρωπος, σποδὸς ἄνθρωπος, ἀπὸ τοῦ χείρονος τὸ πᾶν καλοῦμεν· ὅταν δὲ λέγωμεν, ἀθάνατον ζῶον ὁ ἄνθρωπος, καὶ λογικὸς ὁ ἄνθρωπος, καὶ ὅτι τῶν ἄνω συγγενής, ἀπὸ τοῦ κρείττονος τὸ*
10 *πᾶν πάλιν καλοῦμεν. Οὕτω καὶ περὶ τοῦ Χριστοῦ, ποτὲ μὲν ἀπὸ τοῦ ἐλάττονος, ποτὲ δὲ ἀπὸ τοῦ κρείττονος διαλέγεται ὁ Παῦλος, καὶ τὴν οἰκονομίαν συστῆσαι βουλόμενος, καὶ περὶ τῆς ἀκηράτου διδάξαι φύσεως.*

3. Ἐπεὶ οὖν καθαρισμὸν ἐποίησε τῶν ἁμαρτιῶν ἡμῶν, μένω-
15 *μεν καθαροὶ καὶ μηδεμίαν δεξώμεθα κηλῖδα, ἀλλὰ τὸ κάλλος, ὅπερ ἡμῖν ἐνέθηκε, καὶ τὴν εὐπρέπειαν διαφυλάττειν οὕτω σπουδάζωμεν ἀμόλυντον καὶ καθαράν, ὥστε μηδένα σπῖλον ἔχειν ἢ ῥυτίδα ἤ τι τῶν τοιούτων. Σπῖλος γάρ ἐστι καὶ ῥυτὶς καὶ τὰ μικρὰ τῶν ἁμαρτημάτων· οἷόν τι λέγω, λοιδορία, ὕβρις, ψεῦδος· μᾶλ-*
20 *λον δὲ οὐδὲ ταῦτα μικρά, ἀλλὰ καὶ σφόδρα μεγάλα, καὶ οὕτω μεγάλα, ὡς καὶ τῆς βασιλείας ἀποστερεῖν τῶν οὐρανῶν. Πῶς καὶ τίνι τρόπῳ; «Ὁ καλῶν τὸν ἀδελφὸν αὐτοῦ μωρόν, ἔνοχός ἐστι», φησίν, «εἰς τὴν γέενναν τοῦ πυρός». Εἰ δὲ ὁ μωρὸν καλῶν, ὃ δοκεῖ πάντων εἶναι κουφότερον, καὶ παίδων ὁμιλία, ὁ κακοήθη*
25 *καλῶν καὶ κακοῦργον καὶ βάσκανον καὶ μυρίοις ἑτέροις βάλλων ὀνείδεσι, τίνα οὐχ ὑποστήσεται κολάσεως δίκην; Τί φρικωδέστερον τούτου; Ἀλλ' ἀνάσχεσθε, παρακαλῶ, τοῦ λόγου. Εἰ γὰρ ὁ ποιῶν ἑνὶ τῶν ἐλαχίστων, αὐτῷ ποιεῖ, καὶ ὁ μὴ ποιῶν ἑνὶ τῶν ἐλαχίστων, αὐτῷ οὐ ποιεῖ, πῶς οὐχὶ καὶ ἐπὶ τῆς εὐφημίας καὶ ἐπὶ*
30 *τῆς κατηγορίας ταὐτόν ἐστιν; Ὁ ὑβρίζων γὰρ τὸν ἀδελφὸν αὐτοῦ, τὸν Θεὸν ὕβρισε, καὶ ὁ τιμῶν τὸν ἀδελφὸν αὐτοῦ, τὸν Θεὸν τιμᾷ.*

---

9. Ματθ. 5,22.
10. Ματθ. 25,40.45.

σάρκα; Γιατὶ τὸ ὄνομα αὐτό, ὁ Θεὸς Λόγος, τὸ εἶχε πάντοτε καὶ δὲν τὸ κληρονόμησε ἀργότερα, οὔτε τότε ἔγινε ἀνώτερος ἀπὸ τοὺς ἀγγέλους, ὅταν καθάρισε τὶς ἁμαρτίες μας, ἀλλὰ πάντοτε ἦταν ἀνώτερος, καὶ μάλιστα ἀσυγκρίτως ἀνώτερος. Ἀλλὰ αὐτὸ λέχθηκε γιὰ τὸ ὄνομα ποὺ δόθηκε στὴ σάρκα. Ἔτσι λοιπὸν καὶ ἐμεῖς συνηθίζουμε ὅταν μιλᾶμε γιὰ κάποιον ἄνθρωπο νὰ λέμε καὶ ὑψηλὰ καὶ ταπεινὰ λόγια. Ὅταν δηλαδὴ λέμε, 'τίποτε δὲν εἶναι ὁ ἄνθρωπος', 'ὁ ἄνθρωπος εἶναι χῶμα', 'ὁ ἄνθρωπος εἶναι στάχτη', ὀνομάζομε τὰ πάντα ἀπὸ τὰ χειρότερα· ὅταν ὅμως λέμε ὅτι ὁ ἄνθρωπος εἶναι ἀθάνατο ζῶο καὶ λογικὸς καὶ συγγενὴς τῶν ἄνω, ὀνομάζομε πάλι ὅλα ἀπὸ τὰ ἀνώτερα. Ἔτσι καὶ ὁ Παῦλος μιλάει γιὰ τὸ Χριστὸ ἄλλοτε ἀπὸ τὰ κατώτερα καὶ ἄλλοτε ἀπὸ τὰ ἀνώτερα, θέλοντας καὶ τὴν οἰκονομία νὰ συστήσει καὶ γιὰ τὴν ἀθάνατη φύση του νὰ διδάξει.

3. Ἀφοῦ λοιπὸν καθάρισε τὶς ἁμαρτίες μας, ἂς μένουμε καθαροὶ καὶ ἂς μὴ δεχθοῦμε οὔτε μία κηλίδα, ἀλλὰ τὴν ὀμορφιά, ποὺ τοποθέτησε μέσα μας, καὶ ἂς φροντίζουμε νὰ διατηροῦμε τὴν εὐπρέπεια τόσο ἀμόλυντη καὶ καθαρή, ὥστε νὰ μὴν ἔχει καμμιὰ κηλίδα ἢ ρυτίδα ἢ κάτι τέτοιο. Γιατὶ κηλίδα καὶ ρυτίδα εἶναι καὶ τὰ μικρὰ ἁμαρτήματα, δηλαδὴ ἡ κακολογία, ἡ ὕβρη, τὸ ψέμα· ἢ καλύτερα οὔτε αὐτὰ εἶναι μικρὰ ἁμαρτήματα, ἀλλὰ πάρα πολὺ μεγάλα, ὥστε νὰ στεροῦν καὶ τὴ βασιλεία τῶν οὐρανῶν. Πῶς καὶ μὲ ποιό τρόπο; «Ὅποιος πεῖ τὸν ἀδελφό του ἀνόητο, πρέπει νὰ καταδικασθεῖ», λέγει, «στὴ φωτιὰ τῆς κόλασης»[9]. Ἂν ὅμως ὅποιος καλεῖ τὸν ἀδελφό του «ἀνόητο», ποὺ φαίνεται πὼς εἶναι τὸ πιὸ ἐλαφρὸ καὶ συνήθη παιδικὰ λόγια, ἐκεῖνος ποὺ τὸν καλεῖ κακοήθη καὶ κακοῦργο καὶ βάσκανο καὶ τὸν προσβάλλει μὲ ἄπειρα ἄλλα, ποιά τιμωρία δὲ θὰ ὑποστεῖ στὴν κόλαση; τί ὑπάρχει φοβερότερο ἀπ' αὐτό; Ἀλλ' ἀνεχθεῖτε, παρακαλῶ, αὐτὸ ποὺ λέγω. Ἂν δηλαδὴ ἐκεῖνος ποὺ κάνει κάτι σ' ἕναν ἀπὸ τοὺς ἀσήμαντους τὸ κάνει σ' αὐτόν, καὶ ἐκεῖνος ποὺ δὲν κάνει αὐτὸ γιὰ ἕναν ἀπὸ τοὺς ἀσήμαντους ἀδελφούς του δὲν τὸ κάνει οὔτε σ' αὐτόν[10], πῶς δὲ θὰ συμβαίνει τὸ ἴδιο καὶ μὲ τὰ καλὰ λόγια καὶ μὲ τὶς κατηγορίες; Γιατὶ ὅποιος ὑβρίζει τὸν ἀδελφό του, ὑβρίζει τὸ Θεό, καὶ ὅποιος τιμάει τὸν ἀδελφό του τιμάει τὸ Θεό.

4. Παιδεύωμεν οὖν τὴν γλῶτταν εὔφημον εἶναι· «παῦσον» γάρ, φησί, «τὴν γλῶσσάν σου ἀπὸ κακοῦ». Οὐ γὰρ διὰ τοῦτο αὐτὴν ἔδωκεν ὁ Θεός, ἵνα κατηγορῶμεν, ἵνα ὑβρίζωμεν, ἵνα ἀλλήλους διαβάλλωμεν, ἀλλ' ἵνα τὸν Θεὸν ὑμνῶμεν, ἵνα ταῦτα λαλῶμεν, ἃ δίδωσι χάριν τοῖς ἀκούουσι, τὰ πρὸς οἰκοδομήν, τὰ πρὸς ὠφέλειαν. Εἶπες τὸν δεῖνα κακῶς; τί κερδαίνεις καὶ σαυτὸν μετ' ἐκείνου βλάβῃ περιβάλλων; δόξαν γὰρ ἔλαβες κακηγόρου. Οὐ γάρ ἐστιν, οὐκ ἔστιν οὐδὲν κακόν, ὃ μέχρι τοῦ πάσχοντος ἵσταται, ἀλλὰ καὶ τὸν ποιοῦντα περιλαμβάνει· οἷον, ὁ βάσκανος δοκεῖ μὲν ἐπιβουλεύειν ἑτέρῳ, πρότερος δὲ αὐτὸς ἀπολαύει τῆς ἀδικίας, τηκόμενος καὶ φθειρόμενος, καὶ παρὰ πάντων μισούμενος. Ὁ πλεονέκτης ἀποστερεῖ χρήματα ἕτερον, ἀλλὰ καὶ τὸ φιλεῖσθαι ἑαυτόν· μᾶλλον δὲ παρὰ πάντων ποιεῖ κακηγορεῖσθαι. Πολλῷ δὲ κρείττων ἀγαθὴ δόξα χρημάτων· τὴν μὲν γὰρ οὐ ῥᾴδιον ἀπονίψασθαι, τὰ δὲ ῥᾴδιον ἀποκτήσασθαι· μᾶλλον δέ, τὰ μὲν οὐ παρόντα οὐδὲν τὸν οὐκ ἔχοντα ἔβλαψεν, ἡ δὲ μὴ παροῦσα ἐπονείδιστον ποιεῖ καὶ καταγέλαστον, καὶ πᾶσιν ἐχθρὸν καὶ πολέμιον. Ὁ ὀργίλος πάλιν πρότερον ἑαυτὸν τιμωρεῖται σπαράττων, καὶ τότε ἐκεῖνον ᾧ ὀργίζεται.

Οὕτως ὁ κακήγορος πρότερον ἑαυτὸν αἰσχύνει, καὶ τότε τὸν κακηγορούμενον· ἢ οὐδὲ τοῦτο ἴσως δεδύνηται, ἀλλ' ἀπῆλθεν οὗτος μὲν μιαροῦ τινος καὶ καταπτύστου δόξαν λαβών, ἐκεῖνον δὲ μᾶλλον φιλεῖσθαι παρασκευάζων. Ὅταν γὰρ ἀκούων κακῶς, μὴ τοῖς αὐτοῖς αὐτὸν ἀμύνηται, ἀλλ' ἐπαινῇ καὶ θαυμάζῃ· οὐκ ἐκεῖνον ἐπαινέσεται, ἀλλ' ἑαυτόν. Ὥσπερ γάρ, ὅπερ ἔφθην εἰπών, αἱ κατὰ τῶν πλησίον κακηγορίαι τῶν ἐπιβουλευόντων ἅπτονται πρῶτον, οὕτω καὶ τὰ εἰς τοὺς πλησίον ἀγαθὰ τοὺς ἐργαζομένους εὐφραίνει πρῶτον. Ὁ γὰρ τίκτων καὶ τὸ καλὸν καὶ τὸ κακόν, εἰκότως πρῶτος αὐτὸς ἀπολαύει· καὶ καθάπερ ὕδωρ

---

11. Ψαλμ. 33,14.

4. Ἂς μαθαίνουμε λοιπὸν τὴ γλώσσα νὰ λέγει καλὰ λόγια, γιατὶ λέγει ἡ Γραφή, «σταμάτησε τὴ γλώσσα σου ἀπὸ τὶς κακολογίες»[11]. Ὁ Θεὸς δὲν τὴν ἔδωσε γι' αὐτό, γιὰ νὰ κατηγοροῦμε, νὰ ὑβρίζουμε, νὰ διαβάλλουμε ὁ ἕνας τὸν ἄλλον, ἀλλὰ γιὰ νὰ ὑμνοῦμε τὸ Θεό, γιὰ νὰ λέμε ἐκεῖνα ποὺ δίνουν χάρη στοὺς ἀκροατές, ἐκεῖνα ποὺ οἰκοδομοῦν, ποὺ ὠφελοῦν. Κακολόγησες τὸν τάδε; τί κερδίζεις βλάπτοντας μαζὶ μ' ἐκεῖνον καὶ τὸν ἑαυτό σου; Γιατὶ ἀπέκτησες φήμη κακολόγου. Δὲν ὑπάρχει, πραγματικὰ δὲν ὑπάρχει κανένα κακὸ ποὺ νὰ σταματάει σ' αὐτὸν ποὺ πάσχει, ἀλλὰ περιλαμβάνει καὶ ἐκεῖνον ποὺ τὸ κάνει. Γιὰ παράδειγμα, ὁ φθονερὸς φαίνεται ὅτι ἐπιβουλεύεται κάποιον ἄλλον, στὴν πραγματικότητα ὅμως αὐτὸς πρῶτος ἀπολαμβάνει τὸν καρπὸ τῆς ἀδικίας, ἐπειδὴ λειώνει καὶ φθείρεται καὶ μισεῖται ἀπὸ ὅλους. Ὁ πλεονέκτης στερεῖ χρήματα ἀπὸ ἄλλον, ἀλλὰ καὶ τὴν ἀγάπη τῶν ἄλλων ἀπὸ τὸν ἑαυτό του, ἢ καλύτερα κάνει νὰ κακολογεῖται ἀπὸ ὅλους. Ἡ καλὴ φήμη ὅμως εἶναι προτιμότερη ἀπὸ τὰ χρήματα. Γιατὶ τὴ φήμη αὐτὴ δύσκολα μπορεῖ νὰ τὴ σβήσει κανείς, ἐνῶ τὰ χρήματα εὔκολα μπορεῖ νὰ τ' ἀποκτήσει· ἢ καλύτερα, τὰ χρήματα ὅταν δὲν ὑπάρχουν δὲν βλάπτουν καθόλου αὐτὸν ποὺ δὲν τὰ ἔχει, ἐνῶ ἡ καλὴ φήμη ὅταν δὲν ὑπάρχει κάνει τὸν ἄνθρωπο ἀξιοκατάκριτο καὶ καταγέλαστο καὶ σὲ ὅλους ἐχθρὸ καὶ ἀντίπαλο. Ὁ ὀργίλος πάλι πρῶτα τιμωρεῖ τὸν ἑαυτό του σπαράσσοντας καὶ ὕστερα ἐκεῖνον πρὸς τὸν ὁποῖον ὀργίζεται.

Ἔτσι ὁ κακολόγος πρῶτα ντροπιάζει τὸν ἑαυτό του καὶ ὕστερα ὅποιον κακολογεῖ· ἢ οὔτε αὐτὸ ἴσως δὲν κατορθώνει, ἀλλὰ φεύγει ἀποκτώντας ὁ ἴδιος φήμη ἀνθρώπου μιαροῦ καὶ κατάπτυστου καὶ κάνοντας νὰ ἀγαπιέται ἐκεῖνος περισσότερο. Γιατὶ ὅταν κακολογεῖται καὶ δὲν τὸν ἀποκρούει μὲ τὰ ἴδια λόγια, ἀλλὰ τὸν ἐπαινεῖ καὶ τὸν θαυμάζει, δὲ θὰ ἐπαινέσει ἐκεῖνον ἀλλὰ τὸν ἑαυτό του. Ὅπως δηλαδή, πράγμα ποὺ εἶπα προηγουμένως, οἱ κακολογίες ἐναντίον τῶν πλησίον ἀγγίζουν πρῶτα αὐτοὺς ποὺ ἐπιβουλεύονται ἄλλους, ἔτσι καὶ τὰ καλὰ πρὸς τοὺς πλησίον εὐχαριστοῦν πρῶτα ἐκείνους ποὺ τὰ προξενοῦν. Γιατὶ ὅποιος προκαλεῖ τὸ καλὸ καὶ τὸ κακὸ εὔλογα αὐτὸς τὸ ἀπολαμβάνει πρῶτος. Καὶ ὅπως τὸ νερὸ τῆς πηγῆς, καὶ τὸ ἁλμυρὸ καὶ τὸ πόσι-

πηγαῖον τό τε ἁλμυρόν, τό τε πότιμον, καὶ τὰ τῶν προσαγόντων ἀγγεῖα πληροῖ, καὶ τὴν πηγὴν οὐκ ἐλαττοῖ τὴν ἐκφέρουσαν· οὕτω δὴ καὶ κακία καὶ ἀρετή, ὅθεν ἂν ἐξίῃ, ἐκεῖνον καὶ εὐφραίνει καὶ ἀπόλλυσι.

5 *Καὶ ταῦτα μὲν ἐνταῦθα· τὰ δὲ ἐκεῖ τίς διηγήσεται λόγος, ἢ τὰ ἀγαθὰ ἢ τὰ κακά; Οὐκ ἔστιν οὐδείς. Τὰ χρηστὰ μὲν γὰρ καὶ πάντα νοῦν ὑπερβαίνει, οὐχὶ λόγον μόνον· τὰ ἐναντία δὲ εἴρηται μὲν τοῖς ὀνόμασι τοῖς συντρόφοις ἡμῖν· πῦρ γάρ, φησίν, ἐστὶν ἐκεῖ καὶ σκότος καὶ δεσμὰ καὶ σκώληξ ἀτελεύτητος· οὐ ταῦτα δὲ* 10 *μόνον παρίστησιν, ἅπερ εἴρηται, ἀλλ' ἕτερα χαλεπώτερα. Καὶ ἵνα μάθῃς, εὐθέως τοῦτο σκόπησον πρῶτον. Εἰπέ γάρ, εἰ πῦρ ἐστι, πῶς καὶ σκότος ἐστίν; Ὁρᾷς ὅτι χαλεπώτερον τούτου τυγχάνει; οὐ γὰρ σβέννυται· διὰ γὰρ τοῦτο ἄσβεστον λέγεται.*

Ἐννοήσωμεν τοίνυν ὅσον ἐστὶ κακὸν κατακαίεσθαι δια- 15 *παντός, καὶ ἐν σκότῳ εἶναι, καὶ μυρία οἰμώζειν, καὶ βρύχειν τοὺς ὀδόντας, καὶ μηδὲ ἀκούεσθαι. Εἰ γὰρ εἰς δεσμωτήριόν τις ἐμβληθεὶς ἐνταῦθα τῶν εὐγενῶς τεθραμμένων, τὴν δυσωδίαν μόνον καὶ τὸ ἐν σκότῳ κεῖσθαι καὶ τὸ μετὰ ἀνδροφόνων δεδέσθαι, παντὸς θανάτου χαλεπώτερον εἶναί φησιν· ἐννόησον τί ἐστιν,* 20 *ὅταν μετὰ τῶν τῆς οἰκουμένης ἀνδροφόνων κατακαιώμεθα, μήτε ὁρῶντες, μήτε ὁρώμενοι, ἀλλ' ἐν πλήθει τοσούτῳ νομίζοντες εἶναι μόνοι. Τὸ γὰρ σκότος καὶ τὸ ἀλαμπὲς οὐκ ἀφίησιν οὐδὲ τοὺς πλησίον ἡμᾶς διαγινώσκειν· ἀλλ' ὡς μόνος τοῦτο πάσχων ἕκαστος, οὕτω διακείσεται. Εἰ δὲ σκότος θλίβει καθ' ἑαυτὸ τὰς* 25 *ἡμετέρας ψυχὰς καὶ θορυβεῖ, τί ἔσται ἄρα, ὅταν μετὰ τοῦ σκότους καὶ ὀδύναι τοσαῦται ὦσι καὶ ἐμπρησμοί;*

Διὸ δέομαι ταῦτα διαπαντὸς στρέφειν παρ' ἑαυτοῖς, καὶ τῆς ἀπὸ τῶν ῥημάτων λύπης ἀνέχεσθαι, ἵνα μὴ τὴν διὰ τῶν πραγμά-

μο, καὶ τὰ δοχεῖα αὐτῶν ποὺ τὰ φέρουν γεμίζει καὶ τὴν πηγὴ ποὺ τὸ ἀναβλύζει δὲν ἀδειάζει, τὸ ἴδιο ἀκριβῶς συμβαίνει καὶ μὲ τὴν κακία καὶ τὴν ἀρετή· ἀπὸ ὅποιον βγεῖ, αὐτὸν καὶ τὸν καταστρέφει καὶ τὸν εὐχαριστεῖ ἀντιστοίχως.

Καὶ αὐτὰ βέβαια συμβαίνουν ἐδῶ. Τὰ ἐκεῖ ὅμως, τὰ ἀγαθὰ ἢ τὰ κακά, ποιός λόγος μπορεῖ νὰ τὰ διηγηθεῖ; Κανείς. Γιατὶ τὰ καλὰ ξεπερνοῦν ὄχι μόνο κάθε λόγο, ἀλλὰ καὶ κάθε νοῦ. Καὶ τὰ κακὰ μᾶς λέχθηκαν βέβαια μὲ τὰ ὀνόματα ποὺ τὰ ἀκολουθοῦν (γιατὶ λέγει, ἐκεῖ ὑπάρχει φωτιὰ καὶ σκοτάδι καὶ δεσμὰ καὶ αἰώνιο σκουλήκι), ὅμως δὲν ὑπάρχουν μόνο αὐτὰ ποὺ λέχθηκαν, ἀλλὰ καὶ ἄλλα φοβερότερα. Καὶ γιὰ νὰ μάθεις ἀμέσως πρόσεξε αὐτὸ πρῶτα. Γιατὶ πές μου, ἀφοῦ ὑπάρχει φωτιά, πῶς ὑπάρχει καὶ σκοτάδι; Βλέπεις ὅτι ἡ φωτιὰ ἐκείνη εἶναι χειρότερη ἀπ' αὐτὴ τὴ φωτιά; Γιατὶ ἐκείνη δὲν ἔχει φῶς. Ἂν ὑπάρχει φωτιά, πῶς καίει πάντοτε; Βλέπεις ὅτι εἶναι χειρότερη ἀπ' αὐτή; Γιατὶ ἐκείνη δὲ σβήνει καὶ γι' αὐτὸ λέγεται ἄσβεστη.

Ἂς σκεφθοῦμε λοιπὸν πόσο μεγάλο κακὸ εἶναι τὸ νὰ καίεται κανεὶς διαρκῶς καὶ νὰ βρίσκεται σὲ σκοτάδι καὶ νὰ βγάζει ἄπειρες κραυγὲς καὶ νὰ τρίζει τὰ δόντια καὶ νὰ μὴν εἰσακούεται καθόλου. Γιατί, ἂν κάποιος ἀπ' αὐτοὺς ποὺ ἀνατράφηκαν ὡς εὐγενεῖς, ὅταν ριφθεῖ σὲ φυλακὴ ἐδῶ, λέγει ὅτι εἶναι χειρότερο ἀπὸ κάθε θάνατο ἡ δυσωδία μόνο καὶ τὸ νὰ κάθεται σὲ σκοτάδι καὶ τὸ νὰ εἶναι φυλακισμένος μαζὶ μὲ ἐγκληματίες, σκέψου τί σημαίνει ὅταν θὰ καιόμαστε μαζὶ μὲ τοὺς ἐγκληματίες τῆς οἰκουμένης χωρὶς νὰ βλέπουμε καὶ χωρὶς νὰ μᾶς βλέπουν, μέσα σὲ τόσο πλῆθος νὰ νομίζουμε ὅτι εἴμαστε μόνοι. Γιατὶ τὸ σκοτάδι καὶ ἡ ἔλλειψη λάμψης δὲ μᾶς ἐπιτρέπει οὔτε τοὺς πλησίον μας νὰ ξεχωρίσουμε, ἀλλὰ ὁ καθένας σὰν νὰ τὸ παθαίνει αὐτὸ μόνος του, ἔτσι θὰ τὸ ἀντιμετωπίζει. Καὶ ἂν τὸ σκοτάδι μόνο του ἐνοχλεῖ καὶ ἀνησυχεῖ τὶς ψυχές μας, τί θὰ συμβεῖ λοιπὸν ὅταν μαζὶ μὲ τὸ σκοτάδι θὰ ὑπάρχουν καὶ τόσες ὀδύνες καὶ ἐμπρησμοί;

Γι' αὐτὸ παρακαλῶ νὰ τὰ σκεπτόμαστε αὐτὰ διαρκῶς καὶ νὰ ἀνεχόμαστε τὴ λύπη ἀπὸ τὰ λόγια, γιὰ νὰ μὴν ὑπομείνουμε

των ὑπομείνωμεν τιμωρίαν. Πάντως γὰρ ταῦτα πάντα ἔσται, καὶ τοὺς ἀνάξια πράξαντας τῶν ἐκεῖ κολαστηρίων οὐδεὶς ἐξαιρήσεται, οὐ πατήρ, οὐ μήτηρ, οὐκ ἀδελφός, κἂν πολλὴν παρρησίαν ἔχη, κἂν μεγάλα ἰσχύη πρὸς τὸν Θεόν. «Ἀδελφὸς γὰρ οὐ λυτροῦ-
5 ται», φησί· «λυτρώσεται ἄνθρωπος;». Αὐτὸς γάρ ἐστιν ὁ ἀποδιδοὺς ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ καὶ ἀπὸ τούτων καὶ σωθῆναι ἔνι καὶ κολασθῆναι. «Ποιήσατε ὑμῖν φίλους ἐκ τοῦ μαμωνᾶ τῆς ἀδικίας».

Οὐκοῦν ὑπακούσωμεν, δεσποτικὴ γάρ ἐστιν ἐντολή, καὶ
10 τὰ περιττὰ τοῦ πλούτου εἰς τοὺς δεομένους σκορπίσωμεν· ἐργασώμεθα ἐλεημοσύνην, ἕως ἐσμὲν κύριοι· τοῦτο γάρ ἐστι τό, φίλους ποιεῖν ἐκ τοῦ μαμωνᾶ· κενώσωμεν τὰ χρήματα εἰς τοὺς πένητας, ἵνα κενώσωμεν ἐκεῖνο τὸ πῦρ, ἵνα σβέσωμεν αὐτό, ἵνα ἔχωμεν παρρησίαν ἐκεῖ. Καὶ γὰρ ἐκεῖ οὐχ οὗτοί εἰσιν οἱ δεχόμε-
15 νοι ἡμᾶς, ἀλλὰ τὸ ἔργον τὸ ἡμέτερον. Ὅτι γὰρ οὐχ ἁπλῶς τὸ φίλους ἡμῖν τούτους εἶναι σῶσαι δύναται, ἔνι τοῦτο μαθεῖν ἀπὸ τῆς προσθήκης. Διὰ τί γὰρ οὐκ εἶπε, ποιήσατε ὑμῖν φίλους, ἵνα δέξωνται ὑμᾶς εἰς τὰς αἰωνίως αὐτῶν σκηνάς, ἀλλὰ προσέθηκε καὶ τὸν τρόπον; εἰπὼν γάρ, «ἐκ τοῦ μαμωνᾶ τῆς ἀδικίας», ἔδει-
20 ξεν ὅτι ἀπὸ τῶν χρημάτων προσήκει ποιῆσαι τούτους φίλους, δηλῶν ὅτι οὐχ ἁπλῶς προστήσεται ἡμῶν φιλία, ἐὰν μὴ ἔργα ἔχωμεν ἀγαθά, ἐὰν μὴ τὸν ἀδίκως συλλεγέντα πλοῦτον δικαίως κενώσωμεν. Οὗτος δὲ ὁ λόγος ἡμῖν ὁ τῆς ἐλεημοσύνης οὐ πρὸς τοὺς πλουσίους μόνον ἁρμόσει, ἀλλὰ καὶ πρὸς τοὺς πένητας.
25 Κἂν ᾖ τις ἐκ τοῦ προσαιτεῖν τρεφόμενος, καὶ πρὸς αὐτόν ἐστιν ὁ λόγος οὗτος· οὐ γάρ ἐστιν, οὐκ ἔστιν οὕτως οὐδεὶς πένης, κἂν σφόδρα πένης ᾖ, ὡς δύο λεπτῶν μὴ εὐπορεῖν. Ἔνεστι γοῦν καὶ ἐξ ὀλίγων ὀλίγα δόντα, τοὺς πολλὰ κεκτημένους ὑπερβαλέσθαι πλείονα διδόντας· καθάπερ κἀκείνη ἡ χήρα. Οὐ γὰρ τῷ μέτρῳ
30 τῶν διδομένων, ἀλλὰ τῇ δυνάμει καὶ τῇ προαιρέσει τῶν διδόν-

---

12. Ψαλμ. 48,8.
13. Λουκᾶ 16,9.

τὴν τιμωρία στὴν πράξη. Γιατὶ αὐτὰ ὁπωσδήποτε θὰ συμβοῦν ὅλα καὶ ὅσους ἔπραξαν ἀνάξια δὲ θὰ τοὺς γλυτώσει ἀπὸ τὶς ἐκεῖ τιμωρίες κανείς, οὔτε πατέρας, οὔτε μητέρα, οὔτε ἀδελφός, ἔστω καὶ ἂν ἔχει μεγάλη παρρησία καὶ πολλὴ δύναμη ἐνώπιον τοῦ Θεοῦ. Γιατὶ λέγει, «ὁ ἀδελφὸς δὲν μπορεῖ νὰ τοὺς σώσει, θὰ τοὺς σώσει ὁποιοσδήποτε ἄνθρωπος;»[12]. Γιατὶ αὐτὸς εἶναι ποὺ ἀποδίδει στὸν καθένα σύμφωνα μὲ τὰ ἔργα του καὶ ἀπ' αὐτὰ μπορεῖ νὰ σωθεῖ ἢ νὰ τιμωρηθεῖ. «Νὰ κάνετε φίλους σας καὶ ἀπὸ τὰ χρήματα τῆς ἀδικίας»[13].

Ἂς ὑπακούσουμε λοιπόν, γιατὶ ἡ ἐντολὴ εἶναι τοῦ Κυρίου, καὶ ἂς σκορπίσουμε τὰ περισσεύματα τοῦ πλούτου στοὺς φτωχούς. Ἂς κάνουμε ἐλεημοσύνη, ὅσο ἀκόμη μποροῦμε· γιατὶ αὐτὸ σημαίνει τὸ «νὰ κάνουμε φίλους ἀπὸ τὰ χρήματα». Ἂς ἀδειάσουμε τὰ χρήματα στοὺς φτωχούς, γιὰ νὰ ἀδειάσουμε ἐκείνη τὴ φωτιά, γιὰ νὰ τὴ σβήσουμε, γιὰ νὰ ἔχουμε παρρησία ἐκεῖ. Γιατὶ βέβαια ἐκεῖ δὲ μᾶς ὑποδέχονται αὐτοί, ἀλλὰ τὸ ἔργο μας. Τὸ ὅτι αὐτοὶ δὲν μποροῦν νὰ μᾶς σώσουν μὲ τὸ νὰ εἶναι ἁπλῶς φίλοι μας, μποροῦμε νὰ τὸ μάθουμε ἀπ' αὐτὸ ποὺ πρόσθεσε. Γιατί δηλαδὴ δὲν εἶπε, 'νὰ κάνετε φίλους γιὰ νὰ σᾶς ὑποδέχονται στὶς αἰώνιες σκηνές τους', ἀλλὰ πρόσθεσε καὶ τὸν τρόπο; Γιατὶ λέγοντας, «ἀπὸ τὰ χρήματα τῆς ἀδικίας», ἔδειξε πὼς ἀπὸ τὰ χρήματα πρέπει νὰ τοὺς κάνουμε φίλους, δηλώνοντας ὅτι ἡ φιλία ἁπλῶς δὲ θὰ μᾶς σώσει, ἂν δὲν ἔχουμε ἔργα ἀγαθά, ἂν δὲν μοιράσουμε δίκαια τὸν πλοῦτο ποὺ συλλέξαμε ἄδικα. Καὶ ὅ,τι λέγω γιὰ τὴν ἐλεημοσύνη δὲν ἀπευθύνεται μόνο πρὸς τοὺς πλουσίους, ἀλλὰ καὶ πρὸς τοὺς φτωχούς. Καὶ ἂν ἀκόμη ὑπάρχει κάποιος ποὺ ζεῖ ἀπὸ τὴν ἐπαιτεία, καὶ πρὸς αὐτὸν ἀπευθύνεται ὁ λόγος μου αὐτός. Γιατὶ δὲν ὑπάρχει, πραγματικὰ δὲν ὑπάρχει κανεὶς τόσο φτωχός, ἔστω καὶ ἂν εἶναι πάρα πολὺ φτωχός, ὥστε νὰ μὴν ἔχει τὴν εὐχέρεια δύο λεπτῶν. Εἶναι δυνατὸ λοιπὸν ἐκεῖνος ποὺ ἔδωσε λίγα ἀπὸ τὰ λίγα ποὺ εἶχε νὰ ξεπεράσει αὐτοὺς ποὺ ἔχουν πολλὰ καὶ δίνουν περισσότερα, ὅπως ἀκριβῶς καὶ ἐκείνη ἡ χήρα. Γιατὶ τὸ μέγεθος τῆς ἐλεημοσύνης δὲν κρίνεται ἀπὸ τὸ μέτρο αὐτῶν ποὺ δίνονται, ἀλλὰ ἀπὸ τὴ δύναμη καὶ τὴ διάθεση

των κρίνεται τῆς ἐλεημοσύνης τὸ μέγεθος. Ὥστε πανταχοῦ προαιρέσεως ἡμῖν δεῖ, πανταχοῦ τῆς πρὸς τὸν Θεὸν ἀγάπης.

Ἐὰν μετὰ ταύτης ἅπαντα πράττωμεν, κἂν μικρὰ ἔχοντες μικρὰ δῶμεν, οὐκ ἀποστρέψει ὁ Θεὸς τὸ πρόσωπον αὐτοῦ, ἀλλὰ 5 *δέξεται ὡς μεγάλα καὶ θαυμαστά. Τῇ γὰρ προαιρέσει, οὐ τοῖς διδομένοις προσέχει· κἂν ἐκείνην ἴδῃ μεγάλην οὖσαν, ταύτῃ τίθεται τὰς ψήφους καὶ κρίσεις καὶ τῶν αἰωνίων ἀγαθῶν ποιεῖ μετόχους, ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρί, ἅμα, τῷ* 10 *ἁγίῳ Πνεύματι, δόξα, κράτος, τιμή, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.*

ἐκείνων πού δίνουν. Ὥστε παντοῦ μᾶς χρειάζεται διάθεση, παντοῦ ἡ ἀγάπη πρὸς τὸ Θεό.

Ἂν μὲ τὴ διάθεση αὐτὴ πράττουμε τὰ πάντα, καὶ ἂν ἀκόμη ἔχοντας λίγα δώσουμε λίγα, ὁ Θεὸς δὲ θὰ ἀποστρέψει τὸ πρόσωπό του, ἀλλὰ θὰ τὰ δεχθεῖ σὰν μεγάλα καὶ θαυμαστά. Γιατὶ προσέχει στὴ διάθεση καὶ ὄχι σ' αὐτὰ πού δίνονται. Καὶ ἂν δεῖ ὅτι αὐτὴ εἶναι μεγάλη, μ' αὐτὴ μᾶς λογαριάζει καὶ μᾶς κρίνει καὶ μᾶς κάνει μετόχους τῶν αἰωνίων ἀγαθῶν, τὰ ὁποῖα εἴθε νὰ τὰ ἐπιτύχουμε ὅλοι μας μὲ τὴ χάρη καὶ τὴ φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μαζὶ μὲ τὸν ὁποῖο στὸν Πατέρα καὶ συγχρόνως στὸ ἅγιο Πνεῦμα ἀνήκει ἡ δόξα, ἡ δύναμη καὶ ἡ τιμή, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

Ο Μ Ι Λ Ι Α Β'

(Ἑβρ. 1,3–5)

«Ὃς ὢν ἀπαύγασμα τῆς δόξης καὶ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ, φέρων τε τὰ πάντα τῷ ρήματι τῆς δυνάμεως αὐτοῦ, δι' ἑαυτοῦ καθαρισμὸν ποιησάμενος τῶν ἁμαρτιῶν ἡμῶν».

5 *1. Πανταχοῦ μὲν εὐλαβοῦς διανοίας δεῖ, μάλιστα δὲ ὅταν περὶ Θεοῦ λέγωμέν τι καὶ ἀκούωμεν· οὔτε γὰρ γλῶσσα εἰπεῖν, οὔτε οὖς ἀκοῦσαι πρὸς ἀξίαν τοῦ Θεοῦ τι δύναται· καὶ τί λέγω γλῶτταν καὶ οὖς; οὐδὲ γὰρ ὁ νοῦς ὁ πολὺ τούτων ὑπερέχων, δυνήσεταί τι περιλαβεῖν ἀκριβῶς, ὅταν περὶ Θεοῦ τι φθέγγεσθαι 10 βουλώμεθα. Εἰ γὰρ ἡ εἰρήνη τοῦ Θεοῦ ὑπερέχει πάντα νοῦν, καὶ τὰ ἡτοιμασμένα τοῖς ἀγαπῶσιν αὐτὸν ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, πολλῷ μᾶλλον αὐτὸς ὁ τῆς εἰρήνης Θεός, ὁ τῶν ἁπάντων δημιουργός, ὑπερβαίνει πολλῷ τῷ μέτρῳ τὸν ἡμέτερον λογισμόν. Δεῖ τοίνυν μετὰ πίστεως καὶ εὐλαβείας ἅπαντα δέ- 15 χεσθαι· καὶ ὅταν ὁ λόγος ἐξασθενήσῃ καὶ μὴ δύνηται παραστῆσαι τὰ λεγόμενα μετὰ ἀκριβείας, τότε μάλιστα δοξάζειν τὸν Θεόν, ὅτι Θεὸν τοιοῦτον ἔχομεν, καὶ τὴν διάνοιαν ἡμῶν καὶ τὸν λόγον ὑπερβαίνοντα· πολλὰ γὰρ ὧν περὶ Θεοῦ νοοῦμεν, οὐ φράσαι δυνάμεθα· ἢ πολλὰ μὲν φράζομεν, νοῆσαι δὲ οὐκ ἰσχύομεν· 20 οἷόν τι λέγω, ὅτι πανταχοῦ μὲν ὁ Θεὸς ἴσμεν, πῶς δέ, οὐκέτι νοοῦμεν· ὅτι ἐστί τις ἀσώματος δύναμις πάντων αἰτία τῶν ἀγαθῶν, ἴσμεν, πῶς δέ ἐστιν, οὐκ ἴσμεν. Ἰδοὺ φράζομεν, καὶ οὐ νοοῦμεν.*

Εἶπον ὅτι πανταχοῦ ἐστιν, ἀλλ' οὐ νοῶ· εἶπον ὅτι ἄναρχός ἐστιν, ἀλλ' οὐ νοῶ· εἶπον ὅτι ἐγέννησεν ἐξ ἑαυτοῦ, καὶ οὐκ οἶδα

Ο Μ Ι Λ Ι Α Β'

(Ἑβρ. 1,3–5)

«Αὐτὸς εἶναι ἡ ἀκτινοβολία τῆς δόξας καὶ ἡ σφραγίδα τῆς οὐσίας τοῦ Θεοῦ, καὶ αὐτὸς ἐξουσιάζει τὰ πάντα μὲ τὴ δύναμη τοῦ λόγου του καὶ ὁ ἴδιος καθάρισε τὶς ἁμαρτίες μας».

1. Παντοῦ βέβαια χρειάζεται εὐσεβὴς νοῦς, ἰδιαίτερα ὅμως ὅταν λέμε καὶ ἀκοῦμε κάτι γιὰ τὸ Θεό. Γιατὶ οὔτε ἡ γλώσσα μπορεῖ νὰ πεῖ οὔτε τὸ αὐτὶ ν' ἀκούσει κάτι ἰσάξιο τοῦ Θεοῦ. Καὶ γιατί λέγω γιὰ τὴ γλώσσα καὶ τὸ αὐτί; Οὔτε καὶ ὁ νοῦς, ποὺ εἶναι πολὺ ἀνώτερος ἀπ' αὐτά, θὰ μπορέσει νὰ κατανοήσει κάτι μὲ ἀκρίβεια, ὅταν θέλουμε νὰ ποῦμε κάτι γιὰ τὸ Θεό. Γιατί, ἂν ἡ εἰρήνη τοῦ Θεοῦ ξεπερνάει κάθε νοῦ καὶ ἐκεῖνα ποὺ ἑτοίμασε ὁ Θεὸς γιὰ ὅσους τὸν ἀγαποῦν δὲν τὰ συνέλαβε νοῦς ἀνθρώπου, πολὺ περισσότερο ὁ ἴδιος ὁ Θεὸς τῆς εἰρήνης, ὁ δημιουργὸς τῶν πάντων, ξεπερνάει κατὰ πολὺ τὸ δικό μας λογισμό. Πρέπει λοιπὸν νὰ τὰ δεχόμαστε ὅλα μὲ πίστη καὶ εὐλάβεια· καὶ ὅταν ὁ λόγος ἐξασθενήσει καὶ δὲν μπορεῖ νὰ παραστήσει τὰ λεγόμενα μὲ ἀκρίβεια, τότε κυρίως πρέπει νὰ δοξάζουμε τὸ Θεό, γιατὶ ἔχουμε τέτοιο Θεό, ποὺ ξεπερνάει καὶ τὸ νοῦ καὶ τὸ λόγο μας. Γιατὶ πολλὰ καταλαβαίνουμε γιὰ τὸ Θεό, ἀλλὰ δὲν μποροῦμε νὰ τὰ ποῦμε· ἢ πολλὰ βέβαια τὰ λέμε, ἀλλα δὲν μποροῦμε νὰ τὰ κατανοήσουμε. Ἐννοῶ τὸ ἑξῆς μ' αὐτὸ ποὺ λέγω· γνωρίζουμε ὅτι παντοῦ ὑπάρχει ὁ Θεός, πῶς ὅμως δὲν τὸ καταλαβαίνουμε αὐτό· γνωρίζουμε ὅτι ὑπάρχει κάποια ἀσώματη δύναμη ποὺ εἶναι αἰτία ὅλων τῶν ἀγαθῶν, δὲν ξέρουμε ὅμως πῶς εἶναι. Νά, λέμε, ἀλλὰ δὲν καταλαβαίνουμε.

Εἶπα ὅτι ὑπάρχει παντοῦ, ἀλλὰ δὲν τὸ καταλαβαίνω· εἶπα ὅτι εἶναι ἄναρχος, ἀλλὰ δὲν τὸ κατανοῶ· εἶπα ὅτι γέννησε μόνος

πῶς πάλιν νοήσω. Ἔστιν οὖν τινα, ἃ μηδὲ φράσαι ἔνι· οἷόν τι λέγω, νοεῖ ἡ διάνοια, ἀλλ' εἰπεῖν οὐ δύναται. Καὶ ἵνα εἰδῇς καὶ Παῦλον ἀσθενοῦντα καὶ μὴ πρὸς ἀκρίβειαν τὰ ὑποδείγματα λέγοντα, καὶ φρίξῃς καὶ μηδὲν περαιτέρω ζητήσῃς, ἄκουε· εἰπὼν 5 γὰρ Υἱὸν καὶ θεὶς δημιουργόν, τί ἐπάγει; «Ὃς ὢν ἀπαύγασμα τῆς δόξης καὶ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ». Τοῦτο δὲ μετ' εὐλαβείας ἐκλαμβάνειν δεῖ καὶ τὰ ἄτοπα περικόψαι. «Ἀπαύγασμα τῆς δόξης», φησίν. Ἀλλ' ὅρα πρὸς τί αὐτὸ ἐκλαμβάνει, καὶ οὕτω καὶ αὐτὸς δέχου· ὅτι ἐξ αὐτοῦ, ὅτι ἀπαθῶς, ὅτι οὐ μειω-10 θέντος οὐδὲ ἐλαττωθέντος· ἐπειδὴ εἰσί τινες ἄτοπά τινα ἐκ τοῦ ὑποδείγματος ἐκλαμβάνοντες. Τὸ γὰρ ἀπαύγασμα, φασίν, ἐνυπόστατον οὐκ ἔστιν, ἀλλ' ἐν ἑτέρῳ ἔχει τὸ εἶναι.

Μὴ τοῦτο τοίνυν ἐκλάβῃς, ἄνθρωπε, μηδὲ Μαρκέλλου καὶ Φωτεινοῦ νοσήσῃς τὴν νόσον. Ἐγγύθεν γάρ σε θεραπεύει, ὥστε 15 μὴ εἰς ἐκείνην ἐμπεσεῖν σε τὴν διάνοιαν, οὐδὲ ἀφίησί σε εἰς τὸ ὀλέθριον ἐκεῖνο νόσημα κατενεχθῆναι. Τί δέ φησι; «Καὶ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ»· δηλῶν διὰ τῆς ἐπαγωγῆς ὅτι, ὥσπερ ἐστὶν ὁ Πατὴρ ἐνυπόστατος καὶ πρὸς ὑπόστασιν οὐδενὸς δεόμενος, οὕτω καὶ ὁ Υἱός. Ἐνταῦθα γὰρ τὸ ἀπαράλλακτον δει-20 κνὺς τοῦτό φησι, καὶ πρὸς τὸν ἰδιάζοντα χαρακτῆρα τοῦ πρωτοτύπου παραπέμπων σε, καὶ διδάσκων ὡς ἐν ὑποστάσει ἐστὶ καθ' ἑαυτόν. Εἰπὼν δὲ ἀνωτέρω, ὅτι δι' αὐτοῦ ἐποίησεν ὁ Θεὸς τὰ πάντα, ἐνταῦθα δίδωσιν αὐτῷ τὴν αὐθεντίαν. Τί γὰρ ἐπάγει; «Φέρων τε τὰ πάντα τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ»· ἵνα ἐκ 25 τούτου μὴ μόνον τὸν χαρακτῆρα τῆς ὑποστάσεως ἐκλάβωμεν, ἀλλὰ καὶ τὸ μετὰ αὐθεντίας ἅπαντα κυβερνᾶν.

Ὅρα τοίνυν πῶς, ὅπερ ἐστὶν ἴδιον τοῦ Πατρός, τοῦτο προσάπτει τῷ Υἱῷ. Διὰ γὰρ τοῦτο οὐχ ἁπλῶς εἶπε, «φέρων τε τὰ πάντα», οὐδὲ εἶπε, 'τῇ δυνάμει αὐτοῦ', ἀλλά, «τῷ ῥήματι τῆς 30 δυνάμεως αὐτοῦ». Ὥσπερ γὰρ πρῴην ἡμῖν ἀνῄει κατὰ μικρὸν καὶ κατῄει, οὕτω καὶ νῦν καθάπερ ἀπό τινων βαθμῶν ἀναβαίνει

του καὶ δὲν ξέρω πῶς πάλι νὰ τὸ κατανοήσω. Ὑπάρχουν λοιπὸν μερικὰ ποὺ δὲν μποροῦμε νὰ τὰ ποῦμε. Ἐννοῶ τὸ ἑξῆς μ' αὐτὸ ποὺ λέγω· καταλαβαίνει ὁ νοῦς, ἀλλὰ δὲν μπορεῖ νὰ τὰ πεῖ. Καὶ γιὰ νὰ μάθεις ὅτι καὶ ὁ Παῦλος ἦταν ἀδύναμος καὶ δὲν ἔλεγε μὲ ἀκρίβεια τὰ παραδείγματα, καὶ νὰ φρίξεις καὶ νὰ μὴ ζητήσεις τίποτε περισσότερο, ἄκου. Ἀφοῦ δηλαδὴ μίλησε γιὰ τὸν Υἱὸ καὶ τὸ κάλεσε δημιουργό, τί προσθέτει; «Αὐτὸς εἶναι ἡ ἀκτινοβολία τῆς δόξας καὶ ἡ σφραγίδα τῆς οὐσίας τοῦ Θεοῦ». Αὐτὸ ὅμως πρέπει νὰ τὸ ἀποδεχόμαστε μὲ εὐλάβεια καὶ νὰ περικόψουμε τὰ ἄτοπα. «Ἀπαύγασμα τῆς δόξας», λέγει. Ἀλλὰ πρόσεχε μὲ ποιό τρόπο τὸ ἐννοεῖ καὶ ἔτσι νὰ τὸ δεχθεῖς καὶ σύ· ἐννοεῖ δηλαδὴ ὅτι προέρχεται ἀπ' αὐτόν, χωρὶς νὰ πάθει κάτι οὔτε νὰ μειωθεῖ οὔτε νὰ γίνει κατώτερος· γιατὶ ὑπάρχουν μερικοὶ ποὺ ἐννοοῦν κάποια ἄτοπα ἀπὸ τὸ παράδειγμα. Λένε δηλαδὴ ὅτι ἡ ἀκτινοβολία δὲν ἔχει δική της ὑπόσταση, ἀλλ' ὀφείλει τὴν ὕπαρξή της σὲ ἄλλο.

Μὴν ἐννοήσεις λοιπὸν αὐτό, ἄνθρωπε, οὔτε νὰ πέσεις στὴν πλάνη τοῦ Μαρκέλλου καὶ τοῦ Φωτεινοῦ. Γιατὶ σὲ θεραπεύει ἀμέσως, ὥστε νὰ μὴν πέσεις σ' ἐκείνη τὴ σκέψη, οὔτε νὰ φθάσεις σ' ἐκείνη τὴν ὀλέθρια ἀσθένεια. Καὶ τί λέγει; «Καὶ ἡ σφραγίδα τῆς οὐσίας τοῦ Θεοῦ», δηλώνοντας μ' αὐτὸ ποὺ προσθέτει, ὅτι, ὅπως ὁ Πατέρας ἔχει τὴ δική του ὑπόσταση καὶ δὲν ἔχει τὴν ἀνάγκη κανενὸς γι' αὐτό, ἔτσι καὶ ὁ Υἱός. Γιατὶ αὐτὸ τὸ λέγει ἐδῶ γιὰ νὰ δείξει τὸ ἀπαράλλακτο τῆς οὐσίας καὶ νὰ σὲ παραπέμψει πρὸς τὸν ἰδιαίτερο χαρακτήρα τοῦ πρωτοτύπου καὶ νὰ σὲ διδάξει ὅτι ἔχει δική του ὑπόσταση. Καὶ ἀφοῦ εἶπε παραπάνω, ὅτι μέσω αὐτοῦ ὁ Θεὸς δημιούργησε τὰ πάντα, ἐδῶ τοῦ δίνει τὴν ἐξουσία. Τί λοιπὸν προσθέτει; «Καὶ αὐτὸς ἐξουσιάζει τὰ πάντα μὲ τὴ δύναμη τοῦ λόγου του», γιὰ νὰ ἐννοήσουμε ἀπ' αὐτὸ ὄχι μόνο τὴ σφραγίδα τῆς οὐσίας του, ἀλλὰ καὶ τὸ ὅτι κυβερνάει τὰ πάντα μὲ ἀπόλυτη ἐξουσία.

Πρόσεχε λοιπὸν πῶς, ἐκεῖνο ποὺ εἶναι ἰδιαίτερο γνώρισμα τοῦ Πατέρα, τὸ προσάπτει στὸν Υἱό. Γι' αὐτὸ ἀκριβῶς δὲν εἶπε ἁπλῶς, «καὶ αὐτὸς ἐξουσιάζει τὰ πάντα», οὔτε εἶπε, «μὲ τὴ δύναμή του», ἀλλὰ «μὲ τὴ δύναμη τοῦ λόγου του». Γιατί, ὅπως προηγουμένως μᾶς ἀνέβαζε σιγὰ – σιγὰ καὶ μᾶς κατέβαζε, ἔτσι καὶ

εἰς ὕψος, εἶτα πάλιν καταβαίνει, καί φησι· «δι' οὗ καὶ τοὺς αἰῶνας ἐποίησεν». Ὅρα πῶς καὶ ἐνταῦθα δύο τέμνει ὁδούς. Βουλόμενος γὰρ ἡμᾶς ἀπαγαγεῖν τῆς Σαβελλίου καὶ Ἀρείου καινοτομίας, τοῦ μὲν τὸ περιττὸν τῆς ὑποστάσεως ἀναιροῦντος, τοῦ δὲ 5 τὴν μίαν φύσιν εἰς ἀνισότητα κατατέμνοντος, ἐκ περιουσίας ἀμφότερα καθαρεῖ. Πῶς οὖν τοῦτο ποιεῖ; Ἄνω καὶ κάτω τὰ αὐτὰ στρέφει καὶ φθέγγεται, ὥστε μὴ νομισθῆναι αὐτὸν ἄναρχον, μηδὲ ἀλλότριον τοῦ Θεοῦ. Καὶ μὴ ξενισθῇς τὸν λόγον, ἀγαπητέ· εἰ γὰρ καὶ μετὰ τοιαύτην ἀπόδειξιν εἰσί τινες οἱ ἀλλότριον αὐτὸν εἶναι 10 φήσαντες καὶ ἕτερον αὐτῷ δόντες πατέρα, καὶ τούτῳ πολεμεῖν αὐτὸν λέγοντες, εἰ μὴ ταῦτα εἶπε, τί οὐκ ἂν ἐφθέγξατο; Ὅταν οὖν θεραπεύειν ἀναγκάζηται, τότε ἀναγκάζεται καὶ τὰ ταπεινὰ φθέγγεσθαι· οἷον ὅτι ἔθηκε, φησίν, αὐτὸν κληρονόμον πάντων, καὶ ὅτι δι' αὐτοῦ τοὺς αἰῶνας ἐποίησεν.

15 *Εἶτα, ἵνα μὴ ἑτέρως λυμήνηται, ἀπὸ τῶν λόγων τῆς ταπεινότητος εἰς αὐθεντίαν πάλιν αὐτὸν ἀνάγει, καὶ δείκνυσιν ὁμότιμον ὄντα τῷ Πατρί, καὶ οὕτως ὁμότιμον, ὡς πολλοὺς νομίσαι τὸν αὐτὸν εἶναι Πατέρα. Καὶ θέα τὴν σύνεσιν αὐτοῦ τὴν πολλήν· πρότερον ἐκεῖνο τίθησι, καὶ ἀσφαλίζεται αὐτὸ μετὰ ἀκριβείας· 20 καὶ ὅταν τοῦτο δειχθῇ, ὅτι τοῦ Θεοῦ ἐστιν Υἱὸς καὶ ὅτι οὐκ ἀλλότριος αὐτοῦ, μετὰ ἀδείας λοιπὸν ἅπαντα, ὅσα βούλεται, φθέγγεται τὰ ὑψηλά. Ἐπειδὴ γὰρ τὸ μέγα τι περὶ αὐτοῦ εἰπεῖν εἰς ἐκείνην τὴν ἔννοιαν πολλοὺς ἤγαγε, πρότερον θεὶς τὰ ταπεινά, μετὰ ἀσφαλείας τότε εἰς ὕψος ἀνέρχεται ὅσον βούλεται· καὶ εἰπών, 25 «ὃν ἔθηκε κληρονόμον πάντων», καὶ ὅτι δι' αὐτοῦ τοὺς αἰῶνας ἐποίησε, τότε ἐπάγει, «φέρων τε τὰ πάντα τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ». Ὁ γὰρ ῥήματι μόνῳ τὰ πάντα διακυβερνῶν, οὐκ ἂν δεηθείη τινὸς εἰς τὸ παραγαγεῖν τὰ πάντα.*

2. Καὶ ὅτι τοῦτό ἐστιν, ὅρα πῶς πάλιν προϊὼν δίδωσιν αὐτῷ 30 τὴν αὐθεντίαν, καὶ τό, «δι' οὗ», ἐξελών. Ἐπειδὴ γὰρ εἰργάσατο δι' αὐτοῦ ὃ ἤθελε, λοιπὸν ἀποστὰς ἀπ' αὐτοῦ, τί φησι; «Κατ' ἀρχὰς σύ, Κύριε, τὴν γῆν ἐθεμελίωσας, καὶ ἔργα τῶν χειρῶν σου

τώρα, σὰν ἀπὸ κάποιες βαθμίδες ἀνεβαίνει ψηλά, ἔπειτα πάλι κατεβαίνει, καὶ λέγει· «μέσω τοῦ ὁποίου ἔκαμε καὶ τὸν κόσμο». Πρόσεχε πῶς καὶ ἐδῶ ἀνοίγει δύο δρόμους. Θέλοντας δηλαδὴ νὰ μᾶς ἀπομακρύνει ἀπὸ τὶς αἱρετικὲς διδασκαλίες τοῦ Σαβελλίου καὶ τοῦ Ἀρείου, ἐπειδὴ ὁ ἕνας ἀφαιροῦσε τὴν ὑπεροχὴ στὴν ὑπόσταση καὶ ὁ ἄλλος διαιροῦσε τὴ μία φύση σὲ ἀνισότητα, μὲ αὐθεντία τὰ ἀνατρέπει καὶ τὰ δύο. Πῶς λοιπὸν τὸ κάνει αὐτό; Συνέχεια ἀναφέρει καὶ λέγει τὰ ἴδια, ὥστε νὰ μὴ θεωρηθεῖ αὐτὸς ἄναρχος καὶ ξένος ἀπὸ τὸ Θεό. Καὶ μὴν παραξενεύεσαι ἀπ' αὐτό, ἀγαπητέ. Γιατί, ἂν ὕστερα ἀπὸ τόσες ἀποδείξεις ὑπάρχουν μερικοὶ ποὺ εἶπαν ὅτι εἶναι ξένος καὶ τοῦ ἔδωσαν ἄλλον πατέρα, μὲ τὸν ὁποῖο λένε ὅτι βρίσκεται σὲ πόλεμο, ἂν δὲν τὰ ἔλεγε αὐτά, τί δὲ θὰ ἰσχυρίζονταν; Ὅταν λοιπὸν ἀναγκάζεται νὰ θεραπεύει, τότε ἀναγκάζεται καὶ τὰ ταπεινὰ νὰ λέγει· ὅπως, ὅτι τὸν ὅρισε, λέγει, κληρονόμο τῶν πάντων καὶ ὅτι μέσω αὐτοῦ ἔκαμε τὸν κόσμο.

Ἔπειτα γιὰ νὰ μὴν τὸν βλάψει μὲ ἄλλον τρόπο, ἀπὸ τὰ ταπεινὰ λόγια τὸν ἀνεβάζει πάλι σὲ ἀπόλυτη ἐξουσία καὶ δείχνει ὅτι εἶναι ὁμότιμος μὲ τὸν Πατέρα, καὶ τόσο ὁμότιμος, ὥστε πολλοὶ νὰ νομίσουν πὼς ὁ ἴδιος εἶναι Πατέρας. Καὶ πρόσεχε τὴ μεγάλη του σύνεση. Πρῶτα ἀναφέρει ἐκεῖνο καὶ τὸ ἀσφαλίζει μὲ ἀκρίβεια. Καὶ ὅταν ἀποδειχθεῖ αὐτό, ὅτι δηλαδὴ εἶναι Υἱὸς τοῦ Θεοῦ καὶ ὅτι δὲν εἶναι ξένος ἀπ' αὐτόν, τότε μὲ ἀσφάλεια πλέον λέγει ὅλα τὰ ὑψηλὰ ποὺ θέλει. Ἐπειδὴ δηλαδὴ τὸ μεγάλο ποὺ εἶπε γι' αὐτὸν ὁδήγησε πολλοὺς σ' ἐκείνη τὴν ἔννοια, ἀφοῦ μίλησε πρῶτα γιὰ τὰ ταπεινά, ὕστερα μὲ ἀσφάλεια ἀνεβαίνει ὅσο θέλει ψηλά. Ἀφοῦ εἶπε, «αὐτὸν ὅρισε κληρονόμο τῶν πάντων» καὶ ὅτι μέσω αὐτοῦ δημιούργησε τὸν κόσμο, τότε προσθέτει, «καὶ αὐτὸς συγκρατεῖ τὰ πάντα μὲ τὴ δύναμη τοῦ λόγου». Ἐκεῖνος δηλαδὴ ποὺ μὲ τὸ λόγο μόνο κυβερνᾶ τὰ πάντα, δὲ θὰ χρειαζόταν κανέναν στὸ νὰ δημιουργήσει τὰ πάντα.

2. Καὶ ὅτι ἐννοεῖ αὐτό, πρόσεχε πῶς πάλι παρακάτω δίνει σ' αὐτὸν τὴν ἀπόλυτη ἐξουσία, ἀφαιρώντας καὶ τὸ «μέσω αὐτοῦ». Ἀφοῦ δηλαδὴ ἔκαμε μέσω αὐτοῦ ἐκεῖνο ποὺ ἤθελε, στὴ συνέχεια ἀπομακρύνεται ἀπ' αὐτὸ καὶ τί λέγει; «Στὴν ἀρχὴ ἐσύ, Κύ-

είσιν οἱ οὐρανοί». Οὐδαμοῦ τό, 'δι' οὗ', οὐδὲ ὅτι ἐποίησε δι' αὐτοῦ τοὺς αἰῶνας. Τί οὖν; οὐχ ὑπ' αὐτοῦ γεγένηνται; Ναί· ἀλλ' οὐχ ὡς σὺ λέγεις, οὐδ' ὡς ὑπονοεῖς, ὡς δι' ὀργάνου, οὐδὲ ὡς οὐκ ἂν ποιήσαντος, εἰ μὴ χεῖρα αὐτῷ ὤρεξεν ὁ Πατήρ. Ὥσπερ γὰρ οὐ-
5 *δένα κρίνει ἐκεῖνος, καὶ λέγεται κρίνειν διὰ τοῦ Υἱοῦ, ὅτι κριτὴν αὐτὸν ἐγέννησεν, οὕτω καὶ δημιουργεῖν δι' αὐτοῦ, ὅτι δημιουργὸν αὐτὸν ἐγέννησεν. Εἰ γὰρ αὐτοῦ αἴτιος ὁ Πατήρ, πολλῷ μᾶλλον τῶν δι' αὐτοῦ γεγενημένων.*

Ὅταν μὲν οὖν βούληται δεῖξαι ὅτι ἐξ αὐτοῦ, ἀναγκαίως τὰ
10 *ταπεινὰ φθέγγεται· ὅταν δὲ βούληται ὑψηλὰ φθέγγεσθαι, λαβὴν Μάρκελλος λαμβάνει καὶ Σαβέλλιος. Ἀλλ' ἀμφοτέρων τὴν ἀμετρίαν ἡ Ἐκκλησία φυγοῦσα, μέσην ὥδευσεν ὁδόν. Οὔτε γὰρ ἐπὶ τῆς ταπεινότητος ἐμμένει, ἵνα μὴ Παῦλος ὁ Σαμοσατεὺς λάβῃ χώραν, οὔτε ἀεὶ τοῖς ὑψηλοῖς ἐναπομένει· καὶ δείκνυσιν αὐτοῦ*
15 *πάλιν τὴν ἐγγύτητα τὴν πολλήν, ἵνα μὴ Σαβέλλιος ἐπιπηδήσῃ. Εἶπεν Υἱόν, καὶ εὐθέως ἐφέστηκε Παῦλος ὁ Σαμοσατεύς, λέγων αὐτὸν εἶναι Υἱὸν ὡς τοὺς πολλούς. Ἀλλ' ἔδωκεν αὐτῷ καιρίαν πληγήν, εἰπὼν «κληρονόμον». Ἀλλ' ἔτι ἀναισχυντεῖ μετὰ Ἀρείου· τὸ γάρ, «ἔθηκεν αὐτὸν κληρονόμον», ἀμφότεροι κατέχου-*
20 *σιν· ἐκεῖνος μὲν ἀσθενείας λέγων εἶναι, οὗτος δὲ ἐπισκήπτειν ἐπιχειρῶν καὶ τῷ ἑξῆς. Εἰπὼν δὲ Παῦλος, «δι' οὗ καὶ τοὺς αἰῶνας ἐποίησεν», ἔβαλεν ὕπτιον ἀναισχυντοῦντα τὸν Σαμοσατέα, ὁ δὲ Ἄρειος ἔτι ἰσχυρὸς εἶναι δοκεῖ.*

Ἀλλ' ὅρα καὶ τοῦτον πῶς καταβάλλει πάλιν εἰπών, «ὃς
25 *ὢν ἀπαύγασμα τῆς δόξης αὐτοῦ». Ἀλλ' ἰδοὺ πάλιν ἐπιπηδᾷ Σαβέλλιος καὶ Μάρκελλος καὶ Φωτεινός. Ἀλλὰ κἀκείνοις πᾶσι μίαν πληγὴν δίδωσιν, εἰπών· «καὶ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ, φέρων τε τὰ πάντα τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ». Ἐνταῦθα πάλιν καὶ Μαρκίωνα πλήττει, οὐ σφόδρα μὲν ἰσχυρῶς,*
30 *πλήττει δ' οὖν ὅμως· δι' ὅλης γὰρ τῆς ἐπιστολῆς πρὸς αὐτοὺς μάχεται. Ἀλλ' ὅπερ ἔφην, «ἀπαύγασμα τῆς δόξης» εἴρηκε τὸν Υἱόν· καὶ ὅτι καλῶς, ἄκουε τοῦ Χριστοῦ λέγοντος περὶ αὐτοῦ,*

---

1. Ἑβρ. 1,10.

ριε, θεμελίωσες τὴ γῆ καὶ ἔργο τῶν χεριῶν σου εἶναι οἱ οὐρανοί»[1]. Πουθενὰ τὸ «μέσω αὐτοῦ», οὔτε ὅτι «ἔκαμε μέσω αὐτοῦ τὸν κόσμο». Τί λοιπόν; δὲν ἔγιναν ἀπ' αὐτόν; Ναί, ἀλλὰ ὄχι ὅπως ἐσὺ λέγεις, οὔτε ὅπως ὑπονοεῖς, σὰν μέσω ὀργάνου, οὔτε σὰν νὰ μὴν τὰ ἔκαμνε, ἂν δὲν τὸν βοηθοῦσε ὁ Πατέρας. Γιατί, ὅπως ἀκριβῶς κανένα δὲν κρίνει αὐτός, καὶ λέγεται ὅτι κρίνει μέσω τοῦ Υἱοῦ, ἐπειδὴ τὸν γέννησε κριτή, ἔτσι λέγεται καὶ ὅτι μέσω αὐτοῦ δημιουργεῖ, ἐπειδὴ τὸν γέννησε δημιουργό. Ἂν λοιπὸν ὁ Πατέρας εἶναι αἴτιος τοῦ Υἱοῦ, πολὺ περισσότερο θὰ εἶναι αἴτιος ὅσων ἔγιναν μέσω αὐτοῦ.

Ὅταν λοιπὸν θέλει νὰ δείξει ὅτι κατάγεται ἀπ' αὐτόν, ἀπὸ ἀνάγκη λέγει τὰ ταπεινά· ὅταν ὅμως θέλει νὰ πεῖ τὰ ὑψηλά, παίρνει ἀφορμὴ ὁ Μάρκελλος καὶ ὁ Σαβέλλιος. Ἀλλὰ ἡ Ἐκκλησία ἀπέφυγε τὴν ἀμετρία καὶ τῶν δύο καὶ ἀκολούθησε τὴ μέση ὁδό. Γιατὶ οὔτε στὰ ταπεινὰ ἐπιμένει, γιὰ νὰ μὴ βρεῖ θέση ὁ Παῦλος ὁ Σαμοσατεύς, οὔτε πάλι παραμένει πάντοτε στὰ ὑψηλά· καὶ δείχνει πάλι τὴ μεγάλη του συγγένεια, γιὰ νὰ μὴν ἐπιτεθεῖ ὁ Σαβέλλιος. Εἶπε «Υἱό», καὶ ἀμέσως ἦρθε ὁ Παῦλος ὁ Σαμοσατεὺς λέγοντας, ὅτι αὐτὸς εἶναι Υἱὸς ὅπως οἱ πολλοί. Τοῦ ἔδωσε ὅμως καίριο κτύπημα λέγοντας «κληρονόμο». Ἀλλὰ ἀκόμη φέρεται μὲ ἀδιαντροπιὰ μαζὶ μὲ τὸν Ἄρειο, γιατὶ τὸ «ὅρισε αὐτὸν κληρονόμο» τὸ κρατοῦν καὶ οἱ δύο· ἐκεῖνος λέγοντας πὼς εἶναι γνώρισμα ἀδυναμίας καὶ αὐτὸς ἐπιχειρώντας νὰ κατηγορήσει καὶ τὸ ἑπόμενο. Λέγοντας ὅμως ὁ Παῦλος, «μέσω τοῦ ὁποίου δημιούργησε τὸν κόσμο», ἀνέτρεψε τὴν ἀδιαντροπιὰ τοῦ Σαμοσατέα, ἀλλὰ ὁ Ἄρειος φαίνεται πὼς εἶναι ἀκόμη ἰσχυρός.

Ἀλλὰ πρόσεχε πῶς ἀνατρέπει καὶ τὸν Ἄρειο πάλι, λέγοντας, «αὐτὸς εἶναι ἡ ἀκτινοβολία τῆς δόξας τοῦ Θεοῦ». Ὅμως, νὰ πάλι ἐπιτίθεται ὁ Σαβέλλιος καὶ ὁ Μάρκελλος καὶ ὁ Φωτεινός. Ἀλλὰ καὶ σ' αὐτοὺς ὅλους δίνει ἕνα κτύπημα λέγοντας· «καὶ ἡ σφραγίδα τῆς οὐσίας τοῦ Θεοῦ καὶ αὐτὸς συγκρατεῖ τὰ πάντα μὲ τὴ δύναμη τοῦ λόγου του». Ἐδῶ πάλι πλήττει καὶ τὸν Μαρκίωνα, ὄχι βέβαια πολὺ ἰσχυρά, πλὴν ὅμως τὸν πλήττει. Γιατὶ μὲ ὅλη τὴν ἐπιστολὴ μάχεται ἐναντίον τους. Ἀλλὰ ὅπως εἶπα, ἀκτινοβολία τῆς δόξας ὀνόμασε τὸν Υἱό. Καὶ ὅτι τὸν ὀνόμασε

«ἐγώ εἰμι τὸ φῶς τοῦ κόσμου». Διὰ τοῦτο δὲ ἀπαύγασμα εἶπεν αὐτός, ἵνα δείξῃ ὅτι κἀκεῖ οὕτως εἴρηται· δῆλον δέ, ὡς φῶς ἐκ φωτός. Οὐ τοῦτο δὲ μόνον δείκνυται, ἀλλ' ὅτι καὶ ἐφώτισε τὰς ἡμετέρας ψυχάς. Διὰ δὲ τοῦ ἀπαυγάσματος τὸ ἴσον ἐσήμανε τῆς 5 οὐσίας καὶ τὴν πρὸς τὸν Πατέρα ἐγγύτητα.

Ἐννόησον τὴν λεπτότητα τῶν εἰρημένων· οὐσίαν μίαν ἔλαβε καὶ ὑπόστασιν εἰς δύο ὑποστάσεων παράστασιν, ὃ καὶ ἐπὶ τῆς γνώσεως τοῦ Πνεύματος ποιεῖ. Ὥσπερ γὰρ μίαν εἶναί φησι τὴν γνῶσιν τὴν τοῦ Πατρὸς καὶ τοῦ Πνεύματος, ὡς ὄντως μίαν, 10 καὶ οὐδὲν πρὸς ἑαυτὴν διεστηκυῖαν, οὕτω καὶ ἐνταῦθα ἑνός τινος ἐπελάβετο ῥήματος εἰς τὴν τῶν δύο ὑποστάσεων δήλωσιν. Εἶτα ἐπήγαγεν ὅτι καὶ χαρακτήρ. Ὁ γὰρ χαρακτὴρ ἄλλος τίς ἐστι παρὰ τὸ πρωτότυπον· ἄλλος δὲ οὐ πάντῃ, ἀλλὰ κατὰ τὸ ἐνυπόστατον εἶναι· ἐπεὶ καὶ ἐνταῦθα ὁ χαρακτὴρ τὸ ἀπαράλλακτον 15 δηλοῖ οὗ ἐστι χαρακτήρ, τὸ ὅμοιον κατὰ πάντα.

Ὅταν οὖν καὶ «μορφὴν» αὐτὸν καλῇ καὶ «χαρακτῆρα», τί ἐροῦσιν; Ἀλλὰ καὶ εἰκόνος εἴρηται εἰκὼν ὁ ἄνθρωπος, φησί. Τί οὖν; οὕτως ὡς ὁ Υἱός; οὔ, φησίν, ἀλλ' ὅτι εἰκὼν οὐ δείκνυσι τὸ ὅμοιον. Καίτοι γε καθ' ὃ εἴρηται ὁ ἄνθρωπος εἰκών, δείκνυσι τὸ 20 ὅμοιον ὡς ἐν ἀνθρώπῳ. Ὅπερ γάρ ἐστιν ὁ Θεὸς ἐν τῷ οὐρανῷ, τοῦτο ὁ ἄνθρωπος ἐπὶ τῆς γῆς, κατὰ τὴν ἀρχὴν λέγω· καὶ ὥσπερ τῶν ἐπὶ γῆς πάντων οὗτος κρατεῖ, οὕτω καὶ ὁ Θεὸς πάντων κρατεῖ τῶν ἐν τῷ οὐρανῷ καὶ τῶν ἐπὶ τῆς γῆς. Ἄλλως δέ, ὁ ἄνθρωπος οὐκ εἴρηται χαρακτήρ, οὐκ εἴρηται ἀπαύγασμα, οὐκ εἴ-25 ρηται μορφή· ὅπερ τὴν οὐσίαν ἐμφαίνει, ἢ καὶ ὁμοιότητα τὴν κατ' οὐσίαν. Ὥσπερ οὖν ἡ μορφὴ τοῦ δούλου οὐδὲν ἄλλο ἐμφαίνει ἢ ἄνθρωπον ἀπαράλλακτον, οὕτω καὶ ἡ μορφὴ τοῦ Θεοῦ οὐδὲν ἄλλο ἐμφαίνει ἢ Θεόν. «Ὃς ὢν ἀπαύγασμα», φησί, «τῆς δόξης».

30 Ὅρα τὸν Παῦλον τί ποιεῖ. Εἰπών, «ὃς ὢν ἀπαύγασμα τῆς δόξης», ἐπήγαγε πάλιν, «ἐκάθισεν ἐν δεξιᾷ τῆς μεγαλωσύνης»·

---

2. Ἰω. 8,12.

σωστά, ἄκου τὸ Χριστὸ ποὺ λέγει γιὰ τὸν ἑαυτό του, «ἐγὼ εἶμαι τὸ φῶς τοῦ κόσμου»[2]. Γι' αὐτὸ εἶπε ἀκτινοβολία καὶ ὁ Παῦλος, γιὰ νὰ δείξει ὅτι καὶ ἐκεῖ ἔτσι ἔχει λεχθεῖ· καὶ εἶναι φανερό, σὰν φῶς ἀπὸ φῶς. Καὶ δὲν ἀποδεικνύεται μόνον αὐτό, ἀλλ' ὅτι φώτισε καὶ τὶς ψυχές μας. Μὲ τὴν ἀκτινοβολία φανέρωσε τὴν ἰσότητα τῆς οὐσίας καὶ τὴ συγγένεια πρὸς τὸν Πατέρα.

Σκέψου τὴ λεπτότητα τῶν ὅσων λέχθηκαν. Ἔλαβε μία οὐσία καὶ μία ὑπόσταση, καὶ παρουσίασε δύο ὑποστάσεις, πράγμα ποὺ κάνει καὶ στὴ γνώση τοῦ Πνεύματος. Ὅπως δηλαδὴ λέγει ὅτι εἶναι μία ἡ γνώση τοῦ Πατέρα καὶ τοῦ Πνεύματος, ὅπως καὶ πράγματι εἶναι μία, καὶ δὲ διαφέρει ἀπολύτως καθόλου, ἔτσι καὶ ἐδῶ ἀνάφερε μία λέξη γιὰ νὰ δηλώσει τὶς δύο ὑποστάσεις. Ἔπειτα πρόσθεσε ὅτι εἶναι καὶ «σφραγίδα». Γιατὶ ἡ σφραγίδα εἶναι κάποιος ἄλλος ἀπὸ τὸ πρωτότυπο· ἄλλος ὅμως ὄχι ἐξ ὁλοκλήρου, ἀλλὰ κατὰ τὴν ὑπόσταση. Ἐπειδὴ καὶ ἐδῶ ἡ σφραγίδα δηλώνει τὸ ἀπαράλλακτο ἐκείνου ποὺ εἶναι σφραγίδα, τὴν ὁμοιότητα σὲ ὅλα.

Ὅταν λοιπὸν τὸν καλεῖ καὶ «μορφὴ» καὶ «σφραγίδα», τί θὰ ποῦν; Ἀλλὰ καὶ ὁ ἄνθρωπος, λέγει, ἔχει λεχθεῖ ὅτι εἶναι εἰκόνα κάποιας εἰκόνας. Τί λοιπόν; Ἔτσι ὅπως εἶναι ὁ Υἱός; Ὄχι, λέγει, ἀλλὰ ὅτι ἡ εἰκόνα δὲ δείχνει τὸ ὅμοιο. Ἂν καὶ βέβαια ἐκεῖνο σύμφωνα μὲ τὸ ὁποῖο λέχθηκε ὅτι ὁ ἄνθρωπος εἶναι εἰκόνα, δείχνει τὸ ὅμοιο ὡς πρὸς ἄνθρωπο. Γιατὶ ἐκεῖνο ποὺ εἶναι ὁ Θεὸς στὸν οὐρανό, αὐτὸ εἶναι ὁ ἄνθρωπος στὴ γῆ, κατὰ τὴν ἐξουσία ἐννοῶ· καὶ ὅπως αὐτὸς ἐξουσιάζει ὅλα ὅσα βρίσκονται στὴ γῆ, ἔτσι καὶ ὁ Θεὸς ἐξουσιάζει ὅλα ὅσα βρίσκονται στὸν οὐρανὸ καὶ στὴ γῆ. Ἄλλωστε ὁ ἄνθρωπος δὲ λέχθηκε ὅτι εἶναι σφραγίδα, οὔτε ἀκτινοβολία, οὔτε μορφή, πράγμα ποὺ φανερώνει τὴν οὐσία ἢ καὶ τὴν ὁμοιότητα ὡς πρὸς τὴν οὐσία. Ὅπως λοιπὸν ἡ μορφὴ τοῦ δούλου δὲ φανερώνει τίποτε ἄλλο, πάρα μόνο ἄνθρωπο ἀπαράλλακτο, ἔτσι καὶ ἡ μορφὴ τοῦ Θεοῦ τίποτε ἄλλο δὲ σημαίνει, παρὰ μόνο τὸ Θεό. «Αὐτός», λέγει, «εἶναι ἀκτινοβολία τῆς δόξας τοῦ Θεοῦ».

Πρόσεχε τί κάνει ὁ Παῦλος. Ἀφοῦ εἶπε, «αὐτὸς εἶναι ἀκτινοβολία τῆς δόξας τοῦ Θεοῦ», πρόσθεσε πάλι, «κάθισε στὰ δε-

ὀνόμασιν οἷοις κέχρηται, οὐδαμοῦ τῆς οὐσίας αὐτῆς ὄνομα εὑρών. Οὔτε γὰρ ἡ μεγαλωσύνη, οὔτε ἡ δόξα τὸ ὄνομα παρίστησιν, ὃ βούλεται εἰπεῖν, ἀλλ' οὐκ ἔχει ὄνομα εὑρεῖν. Τοῦτο γάρ ἐστιν ὃ ἔλεγον ἐξ ἀρχῆς, ὅτι πολλάκις τινὰ νοοῦμεν, καὶ οὐ δυνάμεθα 5 *φράζειν· ἐπεὶ οὐδὲ τό, θεός, ὄνομα οὐσίας ἐστίν, οὐδὲ ἔστιν ὅλως τῆς οὐσίας ἐκείνης ὄνομα εὑρεῖν. Καὶ τί θαυμαστὸν εἰ ἐπὶ Θεοῦ, ὅπου γε οὐδὲ ἐπὶ ἀγγέλου εὕροι τις ἂν ὄνομα τῆς οὐσίας δηλωτικόν; τάχα δὲ οὐδὲ ἐπὶ ψυχῆς· οὐ γάρ μοι δοκεῖ τοῦτο τὸ ὄνομα παραστατικὸν εἶναι τῆς οὐσίας αὐτῆς, ἀλλὰ τοῦ ψύχειν. Τὴν γὰρ* 10 *αὐτὴν καὶ ψυχὴν καὶ καρδίαν καὶ νοῦν καλουμένην ἴδοι τις ἄν· «καρδίαν» γάρ, φησί, «καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός». Οὐ μόνον δὲ ταῦτα, ἀλλὰ καὶ πνεῦμα πολλαχοῦ ἴδοι τις ἂν λεγομένην αὐτήν. «Φέρων τε τὰ πάντα τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ». Ὁρᾷς τί φησι;*

15 3. *Πῶς οὖν, εἰπέ μοι, λέγεις, αἱρετικέ, διὰ τὸ λέγεσθαι παρὰ τῇ Γραφῇ, «εἶπεν ὁ Θεός, γενηθήτω φῶς», ὅτι Πατὴρ ἐπέταξεν, ὁ δὲ Υἱὸς ἐπήκουσεν; Ἀλλ' ἰδοὺ καὶ ἐνταῦθα ῥήματι αὐτὸς ποιεῖ· «φέρων τε» γάρ, φησί, «τὰ πάντα»· τουτέστι, κυβερνῶν, τὰ διαπίπτοντα συγκρατῶν. Τοῦ γὰρ ποιῆσαι τὸν κόσμον οὐχ ἧττόν* 20 *ἐστι τὸ συγκρατεῖν, ἀλλ', εἰ δεῖ τι καὶ θαυμαστὸν εἰπεῖν, καὶ μεῖζον. Τὸ μὲν γὰρ ἐξ οὐκ ὄντων ἐστί τι παράγειν, τὸ δέ, τὰ γεγονότα εἰς τὸ μὴ εἶναι μέλλοντα ἀναχωρεῖν, συνέχειν τε καὶ συνάπτειν πρὸς ἄλληλα διαστασιάζοντα, τοῦτό ἐστι τὸ μέγα καὶ θαυμαστόν, καὶ πολλῆς δυνάμεως τεκμήριον. Εἶτα καὶ τὸ εὔκολον δηλῶν* 25 *εἶπε, «φέρων». Οὐκ εἶπε, 'κυβερνῶν', ἀπὸ μεταφορᾶς τῶν ἁπλῶς τῷ δακτύλῳ τι κινούντων καὶ ποιούντων περιφέρεσθαι. Ἐνταῦθα καὶ τὸν ὄγκον τῆς κτίσεως ἔδειξε μέγαν ὄντα, καὶ τὸ μέγα οὐδὲν αὐτῷ ὄν. Εἶτα πάλιν τὸ ἀπονητὶ δείκνυσιν, εἰπών, «τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ». Καλῶς εἶπε, «τῷ ῥήματι»·*

---

3. Ψαλμ. 50,12.
4. Γεν. 1,3.

ξιὰ τῆς μεγαλωσύνης». Στὰ ὀνόματα ποὺ χρησιμοποιεῖ δὲ βρῆκε πουθενὰ τὸ ὄνομα τῆς ἴδιας τῆς οὐσίας. Γιατὶ οὔτε ἡ μεγαλωσύνη, οὔτε ἡ δόξα παραστάνει τὸ ὄνομα ποὺ θέλει νὰ πεῖ, ἀλλὰ δὲν μπορεῖ νὰ βρεῖ τὸ ὄνομα. Αὐτὸ λοιπὸν εἶναι ποὺ ἔλεγα ἀπὸ τὴν ἀρχή, ὅτι πολλὲς φορὲς σκεπτόμαστε κάποια πράγματα καὶ δὲν μποροῦμε νὰ τὰ ποῦμε. Γιατὶ οὔτε καὶ τὸ «Θεὸς» εἶναι ὄνομα οὐσίας, οὔτε εἶναι δυνατὸ νὰ βρεῖ κανεὶς ἕνα ὄνομα ποὺ νὰ δηλώνει ἐντελῶς τὴν οὐσία ἐκείνη. Καὶ τί θαυμαστὸ ἂν αὐτὸ συμβαίνει στὸ Θεό, ἀφοῦ βέβαια οὔτε σὲ ἄγγελο θὰ μποροῦσε νὰ βρεῖ κανεὶς ὄνομα ποὺ νὰ δηλώνει τὴν οὐσία του; Ἴσως οὔτε καὶ στὴν ψυχή, γιατὶ νομίζω ὅτι αὐτὸ τὸ ὄνομα δὲν παρασταίνει τὴν οὐσία της, ἀλλὰ τὴ ζωή. Τὴν ἴδια δηλαδὴ μπορεῖ νὰ δεῖ κανεὶς νὰ ὀνομάζεται καὶ ψυχὴ καὶ καρδιὰ καὶ νοῦς (γιατὶ λέγει, «κτίσε μέσα μου καρδιὰ καθαρή, Θεέ μου»[3]). Καὶ ὄχι μόνο αὐτά, ἀλλ' εἶναι δυνατὸ νὰ δεῖ κανεὶς νὰ ὀνομάζεται πολλὲς φορὲς καὶ πνεῦμα. «Καὶ αὐτὸς συγκρατεῖ τὰ πάντα μὲ τὴ δύναμη τοῦ λόγου του». Βλέπεις τί λέγει;

3. Πῶς λοιπόν, πές μου, λές, αἱρετικέ, ἐπειδὴ λέγει ἡ Γραφή, «εἶπε ὁ Θεός, νὰ γίνει φῶς»[4], ὅτι ὁ Πατέρας πρόσταξε καὶ ὁ Υἱὸς ὑπάκουσε; Ἀλλὰ νὰ καὶ ἐδῶ αὐτὸς μὲ τὸ λόγο ἐνεργεῖ. Γιατὶ λέγει, «καὶ αὐτὸς φέρει τὰ πάντα»· δηλαδή, κυβερνᾶ, συγκρατεῖ αὐτὰ ποὺ διαλύονται. Γιατὶ ἡ κυβέρνηση τοῦ κόσμου δὲν εἶναι μικρότερο πράγμα ἀπὸ τὴ δημιουργία του, ἀλλά, ἂν πρέπει νὰ ποῦμε κάτι θαυμαστό, εἶναι καὶ μεγαλύτερο. Γιατὶ τὸ ἕνα σημαίνει νὰ δημιουργήσει κάτι ἀπὸ τὸ μηδέν, ἐνῶ τὸ ἄλλο, τὸ νὰ συγκρατεῖ τὰ δημιουργήματα ποὺ πρόκειται νὰ ἐπιστρέψουν στὸ μηδὲν καὶ νὰ τὰ συνενώνει ἐπειδὴ συγκρούονται μεταξύ τους, αὐτὸ εἶναι τὸ μεγάλο καὶ θαυμαστὸ καὶ ἀπόδειξη μεγάλης δύναμης. Στὴ συνέχεια δηλώνοντας καὶ τὸ εὔκολο εἶπε, «αὐτὸς φέρει». Δὲν εἶπε, 'αὐτὸς κυβερνᾶ', ἀπὸ μεταφορὰ ἐκείνων ποὺ ἁπλῶς μὲ τὸ δάκτυλό τους κινοῦν κάτι καὶ τὸ κάνουν νὰ περιφέρεται. Ἐδῶ ἔδειξε καὶ ὅτι τὸ μέγεθος τῆς κτίσης εἶναι μεγάλο καὶ ὅτι γι' αὐτὸν τὸ μεγάλο δὲν εἶναι τίποτε. Ἔπειτα πάλι δείχνει ὅτι αὐτὸ τὸ κάνει χωρὶς κόπο, λέγοντας· «μὲ τὴ δύναμη τοῦ λόγου του». Σωστὰ εἶπε, «μὲ τὸ λόγο του». Ἐπειδὴ σ' ἐμᾶς ὁ λόγος

ἐπειδὴ γὰρ τὸ ρῆμα παρ' ἡμῖν ψιλὸν εἶναι δοκεῖ, δείκνυσιν ὅτι οὐκ ἔστι ψιλὸν ἐπὶ Θεοῦ. Ἀλλ' ὅτι μὲν τῷ ρήματι φέρει, εἶπε, τὸ δὲ πῶς τῷ ρήματι φέρει, οὐκέτι προσέθηκεν· οὐδὲ γὰρ δυνατὸν εἰδέναι.

5 *Εἶτα ἐπήγαγε περὶ τῆς μεγαλειότητος αὐτοῦ. Οὕτω γὰρ καὶ ὁ Ἰωάννης πεποίηκεν· εἰπὼν γὰρ ὅτι Θεός ἐστιν, ἐπήγαγε τῆς κτίσεως τὴν δημιουργίαν. Ὅπερ γὰρ ἐκεῖνος ᾐνίξατο εἰπών, «ἐν ἀρχῇ ἦν ὁ Λόγος», καί, «πάντα δι' αὐτοῦ ἐγένετο», τοῦτο καὶ οὗτος διὰ τοῦ ρήματος καὶ τοῦ εἰπεῖν, «δι' οὗ καὶ τοὺς αἰῶνας ἐποί-*
10 *ησεν», ἐνέφηνε· καὶ γὰρ καὶ δημιουργόν, καὶ πρὸ πάντων ὄντα τῶν αἰώνων αὐτὸν δείκνυσι. Τί οὖν, ὅταν περὶ τοῦ Πατρὸς μὲν λέγῃ ὁ προφήτης, «ἀπὸ τοῦ αἰῶνος καὶ ἕως τοῦ αἰῶνος σὺ εἶ», περὶ δὲ τοῦ Υἱοῦ, ὅτι «πρὸ πάντων ἐστὶ τῶν αἰώνων», καὶ τῶν ἁπάντων δημιουργός, τί ἂν εἴποιεν; μᾶλλον δὲ ὅπερ περὶ τοῦ*
15 *Πατρὸς ἐλέγετο, ὁ ὑπάρχων πρὸ τῶν αἰώνων, τοῦτο καὶ περὶ τοῦ Υἱοῦ ἴδοι τις ἂν εἰρημένον; Καὶ ὥσπερ ἐκεῖνός φησι, «ζωὴ ἦν», τὸ διακρατητικὸν τῆς κτίσεως δηλῶν, ὅτι πάντων αὐτός ἐστιν ἡ ζωή, οὕτω καὶ οὗτός φησι, «φέρων τε τὰ πάντα τῷ ρήματι τῆς δυνάμεως αὐτοῦ»· οὐ καθάπερ Ἕλληνες, καὶ τῆς*
20 *δημιουργίας αὐτῆς, τό γε εἰς αὐτοὺς ἧκον, ἀποστεροῦντες αὐτὸν καὶ τῆς προνοίας, μέχρι σελήνης συγκλείοντες αὐτοῦ τὴν δύναμιν. «Δι' ἑαυτοῦ» γάρ φησί, «καθαρισμὸν ποιησάμενος τῶν ἁμαρτιῶν ἡμῶν».*

Εἰπὼν περὶ τῶν θαυμαστῶν ἐκείνων καὶ μεγάλων, τῶν
25 *ἀνωτάτω, λέγει λοιπὸν καὶ περὶ τῆς εἰς ἀνθρώπους αὐτοῦ κηδεμονίας. Μάλιστα μὲν γὰρ καὶ ἐκεῖνο καθολικὸν ἦν, τό, «φέρων τε τὰ πάντα»· πλὴν ἀλλὰ τοῦτο πολλῷ μεῖζον. Καὶ τοῦτο δὲ καθολικόν· τὸ γὰρ αὐτοῦ μέρος, πάντας ἔσωσεν· ἐπεὶ καὶ ὁ Ἰωάννης εἰπών, «ζωὴ ἦν», καὶ τὴν πρόνοιαν αὐτοῦ δηλώσας, πάλιν*
30 *λέγει, ὅτι «καὶ φῶς», τὸ αὐτὸ τοῦτο δηλῶν. «Δι' ἑαυτοῦ», φησί, «καθαρισμὸν ποιησάμενος τῶν ἁμαρτιῶν ἡμῶν, ἐκάθισεν ἐν δεξιᾷ τῆς μεγαλωσύνης ἐν ὑψηλοῖς». Δύο τίθησι ἐνταῦθα τῆς*

---

5. Ἰω. 1 καὶ 3. 6. Ψαλμ. 89,2.
7. Ἰω. 1,4.

φαίνεται ἁπλός, δείχνει ὅτι δὲν εἶναι ἁπλὸς στὸ Θεό. Ὅτι βέβαια μὲ τὸ λόγο του κυβερνᾶ τὰ πάντα, τὸ εἶπε, τὸ πῶς ὅμως τὰ κυβερνᾶ μὲ τὸ λόγο δὲν τὸ πρόσθεσε αὐτό. Ἄλλωστε δὲν ἦταν δυνατὸ νὰ τὸ ξέρει.

Στὴ συνέχεια πρόσθεσε γιὰ τὴ μεγαλωσύνη του. Ἔτσι ἀκριβῶς ἔκαμε καὶ ὁ Ἰωάννης· ἀφοῦ δηλαδὴ εἶπε ὅτι εἶναι Θεός, πρόσθεσε τὴ δημιουργία τῆς κτίσης. Ὅ,τι δηλαδὴ ὑπαινίχθηκε ἐκεῖνος λέγοντας «στὴν ἀρχὴ ὑπῆρχε ὁ Λόγος» καὶ «ὅλα ἔγιναν μέσω αὐτοῦ»[5], αὐτὸ τὸ φανέρωσε καὶ αὐτὸς μὲ τὸ «λόγο» καὶ μὲ τὸ νὰ πεῖ, «μέσω τοῦ ὁποίου δημιούργησε τοὺς αἰῶνες». Γιατὶ πραγματικὰ δείχνει ὅτι εἶναι δημιουργὸς καὶ ὅτι ὑπῆρχε πρὶν ἀπ' ὅλους τοὺς αἰῶνες. Τί λοιπὸν θὰ μπορούσαμε νὰ ποῦμε, ὅταν ὁ προφήτης λέγει γιὰ τὸν Πατέρα, «πρὶν ἀπ' ὅλους τοὺς αἰῶνες ἐσὺ ὑπάρχεις»[6], καὶ ὅταν γιὰ τὸν Υἱὸ ἐδῶ λέγει ὅτι ὑπάρχει πρὶν ἀπ' ὅλους τοὺς αἰῶνες καὶ ὅτι εἶναι δημιουργὸς τῶν πάντων; Ἢ καλύτερα, ἐκεῖνο ποὺ λεγόταν γιὰ τὸν Πατέρα, ὅτι ὑπάρχει πρὶν ἀπὸ τοὺς αἰῶνες, αὐτὸ θὰ μποροῦσε νὰ δεῖ κανεὶς νὰ λέγεται καὶ γιὰ τὸν Υἱό; Καὶ ὅπως ἐκεῖνος λέγει, «αὐτὸς ἦταν ἡ ζωή»[7], δηλώνοντας τὴ δύναμη ποὺ συγκρατεῖ τὴν κτίση, ἐπειδὴ αὐτὸς εἶναι ἡ ζωὴ ὅλων, ἔτσι καὶ αὐτὸς λέγει, «καὶ αὐτὸς συγκρατεῖ τὰ πάντα μὲ τὴ δύναμη τοῦ λόγου του». Ὄχι ὅπως οἱ Ἕλληνες πού, σύμφωνα μὲ τὶς ἀντιλήψεις τους, ἀφαιροῦν ἀπ' αὐτὸν καὶ τὴν ἴδια τὴ δημιουργία καὶ τὴν πρόνοια, περιορίζοντας τὴ δύναμή του μέχρι τὴ σελήνη. Γιατὶ λέγει, «αὐτὸς ὁ ἴδιος καθάρισε τὶς ἁμαρτίες μας μὲ τὸ θάνατο του».

Ἀφοῦ εἶπε γιὰ τὰ θαυμαστὰ ἐκεῖνα καὶ μεγάλα, τὰ πολὺ ὑψηλά, μιλάει στὴ συνέχεια καὶ γιὰ τὴ φροντίδα του πρὸς τοὺς ἀνθρώπους. Βέβαια καὶ ἐκεῖνο ἦταν καθολικό, τὸ «καὶ αὐτὸς συγκρατεῖ τὰ πάντα», ἀλλ' ὅμως αὐτὸ εἶναι πολὺ μεγαλύτερο. Καὶ αὐτὸ ὅμως εἶναι καθολικό, γιατὶ ὅσο ἐξαρτῶνταν ἀπὸ αὐτὸν ἔσωσε ὅλους τοὺς ἀνθρώπους. Καὶ ὁ Ἰωάννης, ἀφοῦ εἶπε «αὐτὸς ἦταν ἡ ζωὴ» καὶ φανέρωσε τὴν πρόνοιά του, πάλι λέγει ὅτι «εἶναι καὶ φῶς», δηλώνοντας ἀκριβῶς τὸ ἴδιο πράγμα. «Ἀφοῦ καθάρισε», λέγει, «μὲ τὸ θάνατό του τὶς ἁμαρτίες μας, κάθισε στὰ δεξιὰ τῆς μεγαλωσύνης τοῦ Θεοῦ στὰ ὕψη». Ἐδῶ ἀναφέρει δύο

κηδεμονίας αὐτοῦ τεκμήρια μέγιστα· τό τε καθαρίσαι τῶν ἁμαρτιῶν ἡμᾶς, καὶ τὸ δι' ἑαυτοῦ τοῦτο ποιῆσαι. Καὶ πολλαχοῦ ὁρᾷς αὐτὸν ἐπὶ τούτῳ σεμνυνόμενον, οὐ μόνον ἐπὶ τῇ καταλλαγῇ τῇ πρὸς τὸν Θεόν, ἀλλὰ καὶ ἐπὶ τῷ διὰ τοῦ Υἱοῦ τοῦτο γεγενῆσθαι· 5 *καὶ γὰρ οὕτω τὸ μέγα δῶρον μεῖζον γεγένηται τῷ διὰ τοῦ Υἱοῦ. Εἰπὼν γάρ, «ἐκάθισεν ἐν δεξιᾷ», καί, «καθαρισμὸν δι' ἑαυτοῦ ποιησάμενος τῶν ἁμαρτιῶν ἡμῶν», καὶ ἀναμνήσας τοῦ σταυροῦ, ταχέως τὸν περὶ τῆς ἀναστάσεως καὶ τῆς ἀναλήψεως λόγον ἐπήγαγε.*

10 *Καὶ ὅρα τὴν σύνεσιν αὐτοῦ τὴν ἄφατον· οὐκ εἶπεν, 'ἐκελεύσθη καθίσαι', ἀλλ', «ἐκάθισεν». Εἶτα πάλιν, ἵνα μὴ νομίσῃς αὐτὸν ἑστάναι, ἐπάγει· «τίνι γὰρ τῶν ἀγγέλων εἶπέ ποτε, κάθου ἐκ δεξιῶν μου;» «Ἐκάθισε», φησίν, «ἐν δεξιᾷ τῆς μεγαλωσύνης ἐν ὑψηλοῖς». Τί ἐστιν, «ἐν ὑψηλοῖς»; εἰς τόπον περικλείει τὸν* 15 *Θεόν; Ἄπαγε· οὐχ ἵνα τοῦτο ὑποπτεύσωμεν, οὕτως εἴρηκεν· ἀλλ' ὥσπερ εἰπών, «ἐν δεξιᾷ», οὐκ ἐσχημάτισεν αὐτόν, ἀλλὰ τὸ ὁμότιμον ἔδειξε τὸ πρὸς τὸν Πατέρα, οὕτως εἰπών, «ἐν ὑψηλοῖς», οὐκ ἀπέκλεισεν αὐτὸν ἐκεῖ, ἀλλὰ πάντων ἔδειξεν ὑψηλότερον καὶ πάντα ὑπεραναβεβηκότα· ὡσανεὶ ἔλεγεν, εἰς αὐτὸν* 20 *ἔφθασε τὸν θρόνον τὸν πατρικόν. Ὥσπερ οὖν ὁ Πατὴρ ἐν ὑψηλοῖς, οὕτω καὶ αὐτός· ἡ γὰρ συνεδρία οὐδὲν ἕτερον δείκνυσιν, ἢ τὸ ὁμότιμον. Εἰ δὲ λέγουσιν, ὅτι εἶπε, «κάθου», ἐρώμεθα αὐτούς· τί οὖν; ἑστῶτι εἶπεν; Ἀλλ' οὐκ ἂν ἔχοιεν δεῖξαι. Ἄλλως δὲ οὐκ εἶπεν, ὅτι ἐκέλευσεν ἢ προσέταξεν, ἀλλ' ὅτι «εἶπε κάθου»· καὶ* 25 *τοῦτο δι' οὐδὲν ἕτερον, ἀλλ' ἵνα μὴ ἄναρχον αὐτὸν νομίσῃς καὶ ἀναίτιον. Ὅτι γὰρ διὰ τοῦτο οὕτως εἴρηκε, δῆλον ἐκ τοῦ τόπου τῆς καθέδρας· εἰ γὰρ ἐλάττωσιν ἤθελε δηλῶσαι, οὐκ ἂν εἶπεν, «ἐκ δεξιῶν», ἀλλ' 'ἐξ ἀριστερῶν'.*

«Τοσούτῳ κρείττων γενόμενος», φησίν, «ἀγγέλων, ὅσῳ 30 *διαφορώτερον παρ' αὐτοὺς κεκληρονόμηκεν ὄνομα». Τό, «γενόμενος», ἐνταῦθα ἀντὶ τοῦ, 'ἀποδειχθείς', ὡς ἂν εἴποι τις, ἐστίν. Εἶτα καὶ διισχυρίζεται. Πόθεν; Ἀπὸ τοῦ ὀνόματος. Ὁρᾷς ὅτι*

---

8. Ἑβρ. 1,13.

πολὺ μεγάλες ἀποδείξεις τῆς φροντίδας του· τὸ ὅτι καθάρισε τὶς ἁμαρτίες μας καὶ τὸ ὅτι τὸ ἔκαμε αὐτὸ μὲ τὸ δικό του θάνατο. Καὶ παντοῦ τὸν βλέπεις νὰ σεμνύνεται γι' αὐτό, ὄχι μόνο γιὰ τὴ συμφιλίωσή μας μὲ τὸ Θεό, ἀλλὰ καὶ γιὰ τὸ ὅτι αὐτὸ ἔγινε μέσω τοῦ Υἱοῦ· γιατὶ πράγματι ἔτσι τὸ μεγάλο δῶρο γίνεται μεγαλύτερο, μὲ τὸ ὅτι γίνεται «μέσω τοῦ Υἱοῦ». Ἀφοῦ λοιπὸν εἶπε, «κάθισε στὰ δεξία», καί, «καθάρισε τὶς ἁμαρτίες μας», καὶ ἀφοῦ ἀνέφερε τὸ σταυρό, ἀμέσως πρόσθεσε τὸ λόγο γιὰ τὴν ἀνάσταση καὶ τὴν ἀνάληψη.

Καὶ πρόσεχε τὴν ἀπερίγραπτη σύνεσή του. Δὲν εἶπε, 'πῆρε ἐντολὴ νὰ καθίσει', ἀλλά, «κάθισε». Ἔπειτα πάλι, γιὰ νὰ μὴ νομίσεις ὅτι αὐτὸς στάθηκε ὄρθιος, πρόσθεσε· «γιατί σὲ ποιόν ἀπὸ τοὺς ἀγγέλους εἶπε ποτέ, κάθισε στὰ δεξία μου;»[8]. «Κάθισε», λέγει, «στὰ δεξιὰ τῆς μεγαλωσύνης τοῦ Θεοῦ, στὰ ὕψη». Τί σημαίνει, «στὰ ὕψη»; Περικλείει σὲ τόπο τὸ Θεό; Μακριὰ μιὰ τέτοια σκέψη. Δὲ μίλησε ἔτσι, γιὰ νὰ ὑπονοήσουμε αὐτό· ἀλλά, ὅπως ὅταν εἶπε «στὰ δεξιά», δὲν τοῦ ἔδωσε θέση, ἀλλ' ἔδειξε τὸ ἰσότιμο πρὸς τὸν Πατέρα, ἔτσι λέγοντας «στὰ ὕψη», δὲν τὸν ἔκλεισε ἐκεῖ, ἀλλ' ἔδειξε ὅτι εἶναι ὑψηλότερος ἀπ' ὅλους καὶ ὅτι ἀνέβηκε πάνω ἀπ' ὅλα. Σὰν νὰ ἔλεγε· ἔφθασε στὸν ἴδιο τὸ θρόνο τοῦ Πατέρα. Ὅπως λοιπὸν ὁ Πατέρας κάθεται στὰ ὕψη, ἔτσι καὶ αὐτός· γιατὶ ἡ κοινὴ καθέδρα τίποτε ἄλλο δὲν δείχνει, παρὰ μόνο τὴν ἰσοτιμία τους. Ἂν ὅμως λένε ὅτι εἶπε, «κάθισε», θὰ τοὺς ἀπαντήσουμε· Τί λοιπόν; τὸ εἶπε γιατὶ ἦταν ὄρθιος; Ἀλλὰ δὲ θὰ μποροῦσαν νὰ τὸ ἀποδείξουν. Ἄλλωστε δὲν εἶπε ὅτι 'διέταξε' ἢ 'πρόσταξε', ἀλλ' ὅτι «εἶπε, κάθισε». Καὶ αὐτὸ ὄχι γιὰ τίποτε ἄλλο, ἀλλὰ γιὰ νὰ μὴ νομίσεις πὼς αὐτὸς εἶναι χωρὶς ἀρχὴ καὶ χωρὶς αἰτία. Ὅτι λοιπὸν γι' αὐτὸ μίλησε ἔτσι, φαίνεται ἀπὸ τὸν τόπο τῆς καθέδρας· γιατί, ἂν ἤθελε νὰ τὸν μειώσει, δὲ θὰ ἔλεγε «στὰ δεξιά», ἀλλὰ «στὰ ἀριστερά».

«Ἔγινε», λέγει, «τόσο ἀνώτερος ἀπὸ τοὺς ἀγγέλους, ὅσο τὸ ὄνομα ποὺ κληρονόμησε εἶναι πολὺ διαφορετικὸ ἀπὸ τὸ δικό τους». Τὸ «ἔγινε» λέγεται ἐδῶ μὲ τὴ σημασία τοῦ «ἀποδείχθηκε», ὅπως θὰ μποροῦσε νὰ πεῖ κανείς. Στὴ συνέχεια τὸ ἐπιβεβαιώνει αὐτό. Ἀπὸ ποῦ; Ἀπὸ τὸ ὄνομα. Βλέπεις ὅτι γνωρίζει ὅτι

*οἶδε τό, Υἱός, ὄνομα τὴν γνησιότητα δηλοῦν; Καὶ μήν, εἰ μὴ γνήσιος ἦν, οὐκ ἂν τοῦτο εἶπε. Πῶς; Ὅτι δι' οὐδὲν ἕτερον γνήσιός ἐστιν, ἀλλ' ἢ τὸ ἐξ αὐτοῦ εἶναι. Ἀπὸ τούτου τοίνυν ἰσχυρίζεται. Εἰ δὲ χάριτί ἐστιν Υἱός, οὐ μόνον οὐ διαφορώτερος,
5 ἀλλὰ καὶ ἐλάττων ἐστὶν ἀγγέλων· πῶς; Ὅτι καὶ ἄνθρωποι δίκαιοι ἐκλήθησαν υἱοί, καὶ τὸ υἱὸς ὄνομα, ἂν μὴ γνήσιος ᾖ, οὐκ ἰσχύει δεῖξαι τὸ διάφορον. Καὶ δηλῶν ὅτι διαφορά τίς ἐστι κτισμάτων καὶ δημιουργοῦ, ἄκουσον τί φησι· «τίνι γὰρ εἶπέ ποτε τῶν ἀγγέλων, Υἱός μου εἶ σύ, ἐγὼ σήμερον γεγέννηκά σε;» καὶ
10 πάλιν, «ἐγὼ ἔσομαι αὐτῷ εἰς Πατέρα, καὶ αὐτὸς ἔσται μοι εἰς Υἱόν»;*

*Ταῦτα εἴρηται μὲν καὶ εἰς τὴν σάρκα· τὸ γάρ, «ἐγὼ ἔσομαι αὐτῷ εἰς Πατέρα, καὶ αὐτὸς ἔσται μοι εἰς Υἱόν», τῆς ἐνανθρωπήσεώς ἐστι παραστατικόν· τὸ δέ, «Υἱός μου εἶ σύ», οὐδὲν ἕτε-
15 ρον δηλοῖ, ἢ ὅτι ἐξ αὐτοῦ ἐστιν. Ὥσπερ δὲ «ὢν» λέγεται ἀπὸ τοῦ ἐνεστῶτος καιροῦ, οὗτος γὰρ μάλιστα ἁρμόζει αὐτῷ· οὕτω καὶ τό, «σήμερον», ἐνταῦθά μοι δοκεῖ εἰς τὴν σάρκα εἰρῆσθαι. Ὅταν γὰρ αὐτῆς ἐπιλάβηται, πάντα λοιπὸν ἀδεῶς φθέγγεται. Καὶ γὰρ ἡ σὰρξ κοινωνεῖ τῶν ὑψηλῶν, ὥσπεροῦν καὶ ἡ θεότης τῶν ταπει-
20 νῶν.° Ὁ Θεὸς γὰρ ἄνθρωπος γενέσθαι μὴ ἀπαξιώσας καὶ τὸ πρᾶγμα μὴ παραιτησάμενος, πῶς ἂν τὰ ῥήματα παρῃτήσατο;*

*4. «Ταῦτ' οὖν εἰδότες, μηδὲν ἐπαισχυνώμεθα, μὴ μέγα φρονῶμεν. Εἰ γὰρ αὐτὸς Θεὸν ὢν καὶ Δεσπότης καὶ Θεοῦ Υἱός, οὐ παρῃτήσατο μορφὴν δούλου λαβεῖν, πολλῷ μᾶλλον ἡμᾶς ἅπαντα
25 δεῖ ποιεῖν, κἂν ταπεινὰ ᾖ. Πόθεν γάρ, εἰπέ μοι, ἄνθρωπε, μέγα φρονεῖς; ἀπὸ τῶν βιωτικῶν; ἀλλὰ ταῦτα πρὶν ἢ φανῆναι παρατρέχει. Ἀλλ' ἀπὸ τῶν πνευματικῶν; ἀλλ' ἓν καὶ τοῦτό ἐστι κατόρθωμα πνευματικόν, τὸ μὴ μέγα φρονεῖν. Διὰ τί τοίνυν μέγα φρονεῖς; ὅτι κατορθοῖς; Ἄκουσον τοῦ Χριστοῦ λέγοντος, «ὅταν
30 ποιήσητε πάντα, λέγετε, ὅτι ἀχρεῖοι δοῦλοί ἐσμεν· ἃ γὰρ ὠφείλομεν ποιῆσαι, πεποιήκαμεν». Ἀλλὰ διὰ τὸν πλοῦτον μέγα φρονεῖς; διὰ τί, εἰπέ μοι; οὐκ ἤκουσας ὅτι γυμνοὶ εἰσήλθομεν εἰς τὸν*

---

9. Λουκᾶ 17,10.

τὸ ὄνομα Υἱὸς δηλώνει τὴ γνησιότητα; Γιατὶ βέβαια, ἂν δὲν ἦταν γνήσιος Υἱός, δὲ θὰ τὸ ἔλεγε αὐτό. Πῶς; Ἐπειδὴ γιὰ τίποτε ἄλλο δὲν εἶναι γνήσιος, παρὰ μόνο ἐπειδὴ προέρχεται ἀπ' αὐτόν. Ἀπ' αὐτὸ λοιπὸν τὸ ἰσχυρίζεται. Ἂν ὅμως εἶναι κατὰ χάρη Υἱός, ὄχι μόνο δὲν εἶναι πολὺ διαφορετικός, ἀλλ' εἶναι κατώτερος ἀπὸ τοὺς ἀγγέλους. Πῶς; Ἐπειδὴ καὶ ἄνθρωποι δίκαιοι ὀνομάσθηκαν 'υἱοὶ' καὶ τὸ ὄνομα 'υἱός', ἂν δὲν εἶναι γνήσιος, δὲν μπορεῖ ν' ἀποδείξει τὴ διαφορά. Καὶ γιὰ νὰ δηλώσει ὅτι ὑπάρχει κάποια διαφορὰ ἀνάμεσα στὰ κτίσματα καὶ τὸ δημιουργό, ἄκουσε τί λέγει· «γιατὶ σὲ ποιόν ἀπὸ τοὺς ἀποστόλους εἶπε ποτὲ ὁ Θεός, 'εἶσαι ὁ Υἱός μου, ἐγὼ σήμερα σὲ γέννησα;»· καὶ πάλι, «ἐγὼ θὰ εἶμαι ὁ Πατέρας του καὶ αὐτὸς θὰ εἶναι ὁ Υἱός μου».

Αὐτὰ λέχθηκαν γιὰ τὴ σάρκα, γιατὶ τὸ «ἐγὼ θὰ εἶμαι ὁ Πατέρας του καὶ αὐτὸς θὰ εἶναι ὁ Υἱός μου» φανερώνει τὴν ἐνανθρώπησή του, ἐνῶ τὸ «εἶσαι ὁ Υἱός μου» δὲ δηλώνει τίποτε ἄλλο, πάρα μόνο ὅτι κατάγεται ἀπ' αὐτόν. Ὅπως δηλαδὴ λέγεται «ὁ ὢν» ἀπὸ τὸν παρόντα καιρὸ καὶ αὐτὸ κυρίως τὸ ὄνομα τοῦ ταιριάζει, ἔτσι καὶ τὸ «σήμερα» ἐδῶ μοῦ φαίνεται ὅτι ἀναφέρεται στὴ σάρκα. Γιατὶ ὅταν ἀναφέρεται σ' αὐτὴν, μιλάει πλέον χωρὶς φόβο γιὰ ὅλα. Γιατὶ πραγματικὰ ἡ σάρκα μετέχει στὰ ὑψηλά, ὅπως ἀκριβῶς καὶ ἡ θεότητα στὰ ταπεινά. Ἀφοῦ ὁ Θεὸς δὲν ἀπαξίωσε νὰ γίνει ἄνθρωπος καὶ δὲν ἀρνήθηκε τὸ πράγμα, πῶς θὰ ἀρνοῦνταν τὰ λόγια;

4. Γνωρίζοντας λοιπὸν αὐτά, ἂς μὴν ντρεπόμαστε καθόλου οὔτε νὰ ὑπερηφανευόμαστε. Γιατί, ἂν αὐτὸς ποὺ εἶναι Θεὸς καὶ Κύριος καὶ Υἱὸς τοῦ Θεοῦ δὲν ἀρνήθηκε νὰ λάβει μορφὴ δούλου, πολὺ περισσότερο πρέπει ἐμεῖς νὰ κάνουμε τὰ πάντα, ἔστω καὶ ἂν εἶναι ταπεινά. Ἀπὸ ποῦ λοιπόν, πές μου, ἄνθρωπε, ὑπερηφανεύεσαι; ἀπὸ τὰ βιοτικά; Ἀλλὰ αὐτὰ πρὶν φανοῦν φεύγουν. Μήπως ἀπὸ τὰ πνευματικά; Ἀλλὰ ἕνα καὶ μοναδικὸ πνευματικὸ κατόρθωμα ὑπάρχει, τὸ νὰ μὴν ὑπερηφανευόμαστε. Γιατί λοιπὸν ὑπερηφανεύεσαι; ἐπειδὴ κατορθώνεις κάτι; Ἄκουσε τί λέγει ὁ Χριστός· «ὅταν κάνετε ὅλα, νὰ λέτε, 'εἴμαστε ἀνάξιοι δοῦλοι, γιατὶ κάναμε ἐκεῖνο ποὺ ἔπρεπε νὰ κάνουμε'»[9]. Μήπως ὑπερηφανεύεσαι γιὰ τὸν πλοῦτο; Γιατί, πές μου, δὲν ἄκουσες ὅτι γυ-

βίον, γυμνοὶ καὶ ἀπελευσόμεθα; μᾶλλον δέ, οὐχ ὁρᾷς τοὺς πρὸ σοῦ ἐρήμους καὶ γυμνοὺς ἀπελθόντας; Τίς τὰ ἀλλότρια ἔχων μέγα φρονεῖ; Οἱ γὰρ βουλόμενοι αὐτοῖς χρῆσθαι εἰς οἰκείαν μόνην ἀπόλαυσιν, ἀφαιροῦνται αὐτὰ καὶ ἄκοντες, καὶ πρὸ μὲν τῆς 5 τελευτῆς πολλάκις, ἐν δὲ τῇ τελευτῇ πάντως.

Ἀλλ' ἡμεῖς ζῶντες αὐτοῖς, φησίν, ὡς βουλόμεθα, χρώμεθα. Μάλιστα μὲν οὐδένα ἂν τις ἴδοι ταχέως, ὡς βούλεται, τοῖς οὖσι χρώμενον· εἰ δέ τις καὶ χρῷτο ὡς βούλεται, οὐδὲ τοῦτο μέγα· βραχὺς γὰρ ὁ παρὼν καιρὸς πρὸς τοὺς αἰῶνας τοὺς ἀτελευ-10 τήτους. Μέγα φρονεῖς, ἄνθρωπε, ὅτι πλουτεῖς; τίνος ἕνεκεν; τοῦτο γὰρ καὶ λησταῖς παραγίνεται καὶ κλέπταις καὶ ἀνδροφόνοις καὶ μαλακοῖς καὶ πόρνοις καὶ πᾶσι τοῖς πονηροῖς. Διὰ τί οὖν μέγα φρονεῖς; Εἰ μὲν γὰρ εἰς δέον αὐτῷ κέχρησαι, οὐκ ὀφείλεις μέγα φρονεῖν, ἵνα μὴ λυμήνῃ τὴν ἐντολήν· εἰ δὲ οὐκ εἰς δέον, ταύτῃ μά-15 λιστα συστέλλεσθαι δεῖ, ὅτι δοῦλος γέγονας τῶν χρημάτων καὶ κτημάτων καὶ κρατῇ ὑπ' αὐτῶν. Εἰπὲ γάρ μοι, εἴ τις πυρέττων ὕδωρ ἐκπίοι πολύ, τὸ πρὸς βραχὺ μὲν σβεννύον τὴν δίψαν, ὕστερον δὲ ἀνάπτον τὴν φλόγα, μέγα ὀφείλει φρονεῖν; Τί δέ, εἴ τις πλείονα φροντίζει εἰκῇ, διὰ τοῦτο ὀφείλει μέγα φρονεῖν; Διὰ τί, 20 εἰπέ μοι; ἐπειδὴ πολλοὺς ἔχεις δεσπότας; ἐπειδὴ μυρίας μερίμνας; ἐπειδὴ κολακεύουσί σε πολλοί; Ἀλλὰ τοῦτο δουλεύειν ἐστί.

Καὶ ἵνα μάθῃς ὅτι δουλεύεις αὐτοῖς, ἄκουε σαφῶς· τὰ ἄλλα τῶν παθῶν τῶν ἐν ἡμῖν ἔστιν ὅπου χρήσιμά ἐστιν, οἷον ἡ ὀργὴ 25 πολλαχοῦ χρησίμη· «θυμὸς» γάρ, φησίν, «ἄδικος οὐκ ἀθωωθήσεται»· ὥστε ἔστι καὶ δικαίως θυμωθῆναι. Καὶ πάλιν, «ὁ ὀργιζόμενος τῷ ἀδελφῷ αὐτοῦ εἰκῇ, ἔνοχος ἔσται τῇ γεέννῃ». Πάλιν ὁ ζῆλος καλὸν καὶ ἡ ἐπιθυμία, ἡ μέν, ὅταν εἰς παιδοποιίαν γίνηται, ὁ δέ, ὅταν πρὸς τὰ καλὰ τὴν μίμησιν ἔχῃ. Ὥσπερ καὶ Παῦ-30 λος λέγει, «καλὸν δὲ τὸ ζηλοῦσθαι ἐν καλῷ πάντοτε»· καὶ πάλιν,

10. Ἰὼβ 1,21.
11. Σοφ. Σειρ. 1,22.
12. Ματθ. 5,22.
13. Γαλ. 4,18.

μνοὶ ἤρθαμε στὴ ζωὴ καὶ γυμνοὶ θὰ φύγουμε[10]; Ποιός ἔχοντας τὰ ξένα ὑπερηφανεύεται; Γιατί, ὅσοι θέλουν νὰ τὰ χρησιμοποιοῦν γιὰ δική τους μόνο ἀπόλαυση, τὰ χάνουν καὶ χωρὶς τὴ θέλησή τους, καὶ πολλὲς φορὲς βέβαια πρὶν ἀπὸ τὸ θάνατο, κατὰ τὸ θάνατο ὅμως ὁπωσδήποτε.

Ἐμεῖς ὅμως, λέγει, ζοῦμε καὶ τὰ χρησιμοπιοῦμε ὅπως θέλουμε. Καὶ βέβαια κανεὶς δὲ θὰ μποροῦσε εὔκολα νὰ δεῖ κάποιον νὰ χρησιμοποιεῖ τὰ ὑπάρχοντά του ὅπως θέλει. Καὶ ἂν κάποιος τὰ χρησιμοποιεῖ ὅπως θέλει, οὔτε αὐτὸ εἶναι σπουδαῖο. Γιατὶ ὁ καιρὸς εἶναι σύντομος σὲ σύγκριση μὲ τοὺς χωρὶς τέλος αἰῶνες. Ὑπερηφανεύεσαι, ἄνθρωπε, ἐπειδὴ εἶσαι πλούσιος; Γιὰ ποιό λόγο; Ἀφοῦ αὐτὸ συμβαίνει καὶ στοὺς ληστὲς καὶ στοὺς κλέφτες καὶ στοὺς δολοφόνους καὶ στοὺς θηλυπρεπεῖς καὶ στοὺς πόρνους καὶ σὲ ὅλους τοὺς κακούς. Γιατί λοιπὸν ὑπερηφανεύεσαι; Ἂν βέβαια τὸν χρησιμοποιεῖς σωστά, δὲν πρέπει πάλι νὰ ὑπερηφανεύεσαι, γιὰ νὰ μὴν καταστρέψεις τὴν ἐντολή. Ἂν ὅμως δὲν τὸν χρησιμοποιεῖς σωστά, γι' αὐτὸ κυρίως πρέπει νὰ ντρέπεσαι, ἐπειδὴ ἔγινες δοῦλος τῶν χρημάτων καὶ τῶν κτημάτων καὶ ἐξουσιάζεσαι ἀπ' αὐτά. Γιατί πές μου, ἂν κάποιος μὲ πυρεττὸ πιεῖ πολὺ νερό, ποὺ προσωρινὰ σβήνει τὴ δίψα καὶ ὕστερα ἀνάβει τὴ φλόγα, πρέπει νὰ ὑπερηφανεύεται; Τί πάλι, ἂν κάποιος φροντίζει μάταια γιὰ πολλά· πρέπει γι' αὐτὸ νὰ ὑπερηφανεύεται; Πές μου, γιατί; ἐπειδὴ ἔχεις πολλοὺς κυρίους; ἐπειδὴ ἔχεις ἄπειρες μέριμνες; ἐπειδὴ σὲ κολακεύουν οἱ πολλοί; Αὐτὸ ὅμως εἶναι δουλεία σ' αὐτά.

Καὶ γιὰ νὰ μάθεις ὅτι εἶσαι δοῦλος σ' αὐτά, ἄκου καλά. Τὰ ἄλλα πάθη ποὺ ἔχουμε μέσα μας εἶναι κάπου χρήσιμα, ὅπως ἡ ὀργὴ εἶναι πολλὲς φορὲς χρήσιμη. Γιατὶ λέγει, «ὁ ἄδικος θυμὸς δὲ θὰ βρεῖ δικαίωση»[11]. Ἑπομένως ὑπάρχει καὶ δίκαιος θυμός. Καὶ πάλι λέγει, «ὅποιος ὀργίζεται χωρὶς λόγο ἐναντίον τοῦ ἀδελφοῦ του, θὰ εἶναι ἔνοχος στὴ γέεννα»[12]. Ἐπίσης ὁ ζῆλος εἶναι καλὸ ὅπως καὶ ἡ ἐπιθυμία, αὐτὴ ὅταν γίνεται γιὰ γέννηση παιδιοῦ καὶ ἐκεῖνος ὅταν θέλει νὰ μιμηθεῖ τὰ καλά. Ὅπως ἀκριβῶς καὶ ὁ Παῦλος λέγει, «καλὸ ὅμως εἶναι νὰ δείχνετε πάντοτε ζῆλο γιὰ τὸ καλό»[13], καί, «νὰ ζηλεύετε τὰ ἀνώτερα χαρίσμα-

«ζηλοῦτε τὰ χαρίσματα τὰ κρείττονα». Ὥστε ἀμφότερα χρήσιμα. Ἡ μέντοι ἀπόνοια οὐδαμοῦ καλόν, ἀλλὰ πανταχοῦ ἄχρηστον καὶ βλαβερόν. Πλήν, εἰ δεῖ μέγα φρονεῖν, ἐπὶ πενίᾳ, οὐκ ἐπὶ πλούτῳ δεῖ. Διὰ τί; Ὅτι ὁ ἐν ὀλίγοις ζῆν δυνάμενος, τοῦ μὴ δυ-
5 *ναμένου πολλῷ μείζων καὶ κρείττων ἐστίν.*

5. *Εἰπὲ γάρ μοι, εἰ κληθέντων εἰς βασιλικὴν πόλιν τινῶν, οἱ μὲν αὐτῶν μήτε ὑποζυγίων δέοιντο, μήτε οἰκετῶν, μήτε σκιαδίων, μήτε καταγωγίων, μήτε ὑποδημάτων, μήτε σκευῶν, ἀλλ' ἀπόχρη αὐτοῖς ἄρτον μόνον ἔχειν καὶ ὕδωρ ἐκ τῶν πηγῶν λαμ-*
10 *βάνειν, ἐκεῖνοι δὲ λέγοιεν, ὅτι ἐὰν μὴ καὶ ὀχήματα δῶτε καὶ στρωμνὴν ἁπαλὴν οὐ δυνάμεθα παραγενέσθαι, ἐὰν μὴ καὶ πολλοὺς ἔχωμεν τοὺς ἀκολουθοῦντας, ἐὰν μὴ συνεχῶς ἐξῇ διαναπαύεσθαι, οὐ δυνάμεθα, ἐὰν μὴ ὑποζυγίοις χρώμεθα καὶ μικρὸν ὁδεύωμεν τῆς ἡμέρας μέρος· δεῖ δὲ ἡμῖν καὶ ἑτέρων πλειόνων·*
15 *τίνας ἂν θαυμάσαιμεν; ἐκείνους ἢ τούτους; Δῆλον ὅτι τούτους τοὺς οὐδενὸς δεομένους. Οὕτω δὴ καὶ ἐνταῦθα, οἱ μὲν πρὸς τὴν ὁδὸν τοῦ βίου τούτου πολλῶν δέονται, οἱ δὲ οὐδενός. Ὥστε τοὺς ἐπὶ πενίᾳ μᾶλλον ἐχρῆν μέγα φρονεῖν, εἴ γε καὶ ἐχρῆν.*

Ἀλλ' εὐκαταφρόνητός ἐστιν ὁ πένης, φησίν. Οὐκ ἐκεῖνος,
20 *ἀλλ' οἱ τούτου καταφρονοῦντες. Διὰ τί γὰρ ἐγὼ μὴ καταφρονῶ τῶν οὐκ εἰδότων θαυμάζειν ἃ χρή; Ἀλλ' ἂν μὲν ζωγράφος ᾖ τις, πάντων καταγελάσεται τῶν σκωπτόντων αὐτόν, ἕως ἂν ὦσιν ἀμαθεῖς, καὶ οὔτε πρὸς τὰ παρ' ἐκείνων λεγόμενα ἐπιστρέφεται, ἀλλὰ τῇ ἑαυτοῦ ἀρκεῖται μαρτυρίᾳ· ἡμεῖς δὲ τῆς τῶν πολλῶν*
25 *δόξης ἐξαρτήσομεν ἑαυτούς; καὶ ποῦ ταῦτα συγγνώμης ἄξια; Διὰ τοῦτό ἐσμεν ἄξιοι καταφρονεῖσθαι, ὅταν τῶν καταφρονούντων ἡμῶν διὰ τὴν πενίαν μὴ καταφρονῶμεν, μηδὲ ταλανίζωμεν αὐτούς. Καὶ παρίημι ὅσα μὲν ἁμαρτήματα ἀπὸ τοῦ πλούτου τίκτεται, ὅσα δὲ ἀγαθὰ ἀπὸ τῆς πενίας· μᾶλλον δὲ οὐδὲ πλοῦτος, οὐδὲ*
30 *πενία καθ' ἑαυτὸ καλόν, ἀλλὰ παρὰ τοὺς χρωμένους τούτῳ γίνεται. Ὁ Χριστιανὸς δόκιμος ἐν πενίᾳ μᾶλλον διαφαίνεται, ἢ ἐν τῷ*

---

14. Α' Κορ. 12,31.

τα»[14]. Ὥστε καὶ τὰ δύο εἶναι χρήσιμα. Ἡ ἀλαζονεία ὅμως πουθενὰ δὲν εἶναι καλὸ πράγμα, ἀλλὰ παντοῦ ἄχρηστο καὶ βλαβερό. Ἀλλά, ἂν πρέπει κανεὶς νὰ ὑπερηφανεύεται, πρέπει νὰ ὑπερηφανεύεται γιὰ τὴ φτώχεια του καὶ ὄχι γιὰ τὸν πλοῦτο. Γιὰ ποιόν λόγο; Γιατί, ὅποιος μπορεῖ νὰ ζεῖ μὲ λίγα, εἶναι πολὺ ἀνώτερος καὶ καλύτερος ἀπὸ ἐκεῖνον ποὺ δὲν μπορεῖ.

5. Πές μου λοιπόν, ἂν κάποιοι καλοῦνταν σὲ βασιλικὴ πόλη καὶ ἄλλοι δὲ χρειάζονταν ὑποζύγια οὔτε ὑπηρέτες οὔτε ὀμπρέλλες γιὰ τὸν ἥλιο οὔτε καταλύματα οὔτε ὑποδήματα οὔτε σκεύη, ἀλλὰ τοὺς ἔφθανε μόνο νὰ ἔχουν ψωμὶ καὶ νὰ παίρνουν νερὸ ἀπὸ τὶς πηγές, καὶ ἄλλοι ἔλεγαν ὅτι, ἂν δὲ μᾶς δώσετε καὶ ὀχήματα καὶ μαλακὸ στρῶμα, δὲν μποροῦμε νὰ ἔρθουμε, ἂν δὲ μᾶς ἀκολουθοῦν πολλοί, ἂν δὲν εἶναι δυνατὸ νὰ ξεκουραζόμαστε συνεχῶς, ἂν δὲν ἔχουμε ὑποζύγια καὶ ἂν δὲ βαδίζουμε λίγο κάθε ἡμέρα, δὲν μποροῦμε νὰ ἔρθουμε, ἀλλὰ μᾶς χρειάζονται καὶ ἄλλα περισσότερα, ποιούς θὰ θαυμάζαμε; τοὺς πρώτους ἢ τοὺς δεύτερους; Εἶναι φανερὸ τοὺς πρώτους ποὺ δὲν χρειάζονται τίποτε. Ἔτσι ἀκριβῶς καὶ ἐδῶ, ἄλλοι γιὰ τὸ δρόμο αὐτῆς τῆς ζωῆς χρειάζονται πολλὰ καὶ ἄλλοι τίποτε. Ἑπομένως πολὺ περισσότερο ἔπρεπε αὐτοὶ ποὺ ζοῦν μὲ φτώχεια νὰ ὑπερηφανεύονται, ἂν βέβαια ἔπρεπε νὰ τὸ κάνουν αὐτό.

Ἀλλ' ὁ φτωχός, λέγει, εἶναι περιφρονημένος ἀπ' ὅλους. Δὲν εἶναι ἐκεῖνος, ἀλλὰ ὅσοι τὸν περιφρονοῦν. Γιατί λοιπὸν ἐγὼ νὰ μὴν περιφρονῶ ἐκείνους ποὺ δὲν ξέρουν νὰ θαυμάζουν ὅσα πρέπει; Ἀλλά, ἂν κάποιος εἶναι ζωγράφος, θὰ περιφρονήσει ὅλους ἐκείνους ποὺ τὸν χλευάζουν, ὅσο χρόνο θὰ εἶναι ἀμαθεῖς, καὶ οὔτε προσέχει τὰ λεγόμενά τους, ἀλλ' ἀρκεῖται στὴ δική του μαρτυρία, καὶ ἐμεῖς θὰ ἐξαρτηθοῦμε ἀπὸ τὴ γνώμη τῶν πολλῶν; Καὶ πῶς αὐτὰ θὰ κριθοῦν ἄξια συγχώρησης; Γι' αὐτὸ εἴμαστε ἄξιοι περιφρόνησης, ὅταν δὲν περιφρονοῦμε καὶ δὲν ταλανίζουμε ἐκείνους ποὺ μᾶς περιφρονοῦν γιὰ τὴ φτώχεια. Καὶ παραλείπω ὅσα ἁμαρτήματα γenniῶνται ἀπὸ τὸν πλοῦτο καὶ ὅσα ἀγαθὰ ἀπὸ τὴ φτώχεια· ἢ καλύτερα οὔτε ὁ πλοῦτος οὔτε ἡ φτώχεια ἀπὸ μόνα τους εἶναι καλό, ἀλλὰ ἀπὸ ἐκείνους ποὺ τὰ χρησιμοποιοῦν γίνεται αὐτό. Ὁ Χριστιανὸς φαίνεται δόκιμος περισσότερο στὴ

πλούτῳ. Πῶς; Ἐν πενίᾳ μὲν γὰρ ὢν ἀτυφότερος ἔσται, σωφρονέστερος, σεμνότερος, ἐπιεικέστερος, συνετώτερος· ἐν τῷ πλούτῳ δὲ μένων, πολλὰ πρὸς ταῦτα ἔχει τὰ κωλύματα.

Ἴδωμεν οὖν τίνα ἐστὶν ἃ ὁ πλούσιος ἐργάζεται, μᾶλλον δὲ 5 ὁ κακῶς τῷ πλούτῳ κεχρημένος. Ἐκεῖνος ἁρπάζει, πλεονεκτεῖ, βιάζεται. Τί δαί; τοὺς ἔρωτας τοὺς ἀτόπους, τὰς ἀθεμίτους μίξεις, τὰς γοητείας, τὰς φαρμακείας, τὰ ἄλλα πάντα δεινὰ οὐκ ἀπὸ τοῦ πλούτου εὑρήσεις τικτόμενα; Ὁρᾷς ὅτι ἐν πενίᾳ μᾶλλον ἀκοπώτερόν ἐστιν, ἢ ἐν πλούτῳ τὴν ἀρετὴν μετιέναι; Μὴ γάρ μοι, 10 ἐπειδὴ δίκην οὐ διδόασιν ἐνταῦθα οἱ πλούσιοι, νομίσῃς αὐτοὺς μηδὲ ἁμαρτάνειν· ὡς, εἴ γε ἦν εὔκολον πλούσιον δίκην διδόναι, ἐκ τούτων ἂν εὗρες ἐμπεπλησμένα τὰ δεσμωτήρια· ἀλλὰ μετὰ τῶν ἄλλων καὶ τοῦτο ἔχει κακὸν ὁ πλοῦτος, ὅτι ἐν πονηρίᾳ ἀτιμωρητὶ πλημμελῶν ὁ τοῦτον κεκτημένος, οὐδέποτε στήσεται 15 τοῦτο ποιῶν, ἀλλὰ λήψεται τραύματα ἄνευ φαρμάκων, καὶ χαλινὸν οὐδεὶς ἐπιθήσει αὐτῷ. Εἰ δὲ βούλοιτό τις, καὶ πρὸς ἡδονὴν εὑρήσει τὴν πενίαν πλείους παρέχουσαν ἡμῖν τὰς ἀφορμάς. Πῶς; Ὅτι φροντίδων ἀπήλλακται, μίσους, μάχης, φιλονεικίας, ἔριδος, μυρίων δεινῶν.

20 *Μὴ τοίνυν διώκωμεν τὸ πλουτεῖν, μηδὲ τούτους ζηλώσωμεν ἀεὶ τοὺς πολλὰ κεκτημένους, ἀλλ' οἱ μὲν ἔχοντες, εἰς δέον τῷ πλούτῳ χρώμεθα, οἱ δὲ μὴ ἔχοντες, μὴ ἀλγῶμεν διὰ τοῦτο, ἀλλ' εὐχαριστῶμεν ὑπὲρ ἁπάντων τῷ Θεῷ, ὅτι ἡμᾶς ἐν ὀλίγῳ πόνῳ τὸν αὐτὸν τοῖς πλουσίοις ἢ καὶ μείζονα, ἂν θέλωμεν, πα-25 ρασκευάζει μισθὸν λαβεῖν, καὶ ἐξ ὀλίγων μεγάλα κερδανοῦμεν. Ἐπεὶ καὶ ὁ τὰ δύο τάλαντα προσενέγκας ἐθαυμάσθη καὶ ἐτιμήθη ὁμοίως τῷ τὰ πέντε προσενεγκόντι. Τί δήποτε; Ὅτι, εἰ καὶ δύο ἐπιστεύθη τάλαντα, ἀλλὰ τὰ παρ' ἑαυτοῦ πάντα ἐπλήρωσε καὶ τὰ ἐμπιστευθέντα διπλᾶ εἰσήνεγκε. Τί τοίνυν σπεύδομεν πιστευ-30 θῆναι πολλά, ὅταν ἐξῇ δι' ὀλίγων τὰ αὐτὰ καρπώσασθαι ἢ καὶ πλείονα; ὅταν ὁ μὲν πόνος ἐλάττων ᾖ, ὁ δὲ μισθὸς πολλῷ πλείων; Εὐκολώτερον γὰρ πένης ἐκστήσεται τῶν αὐτοῦ, ἢ*

---

15. Βλ. Ματθ. 25,14–23.

φτώχεια παρὰ στὸν πλοῦτο. Πῶς; Ζώντας στὴ φτώχεια θὰ εἶναι πιὸ ταπεινόφρων, πιὸ σώφρων, πιὸ σεμνός, πιὸ ἤπιος, πιὸ συνετός· μένοντας ὅμως στὸν πλοῦτο ἔχει πολλὰ ἐμπόδια γι' αὐτά.

Ἂς δοῦμε λοιπὸν τί κάνει ὁ πλούσιος, ἢ καλύτερα ἐκεῖνος ποὺ κάνει κακὴ χρήση τοῦ πλούτου. Ἐκεῖνος ἁρπάζει, εἶναι ἄπληστος, κάνει χρήση βίας. Τί λοιπόν; τοὺς παράλογους ἔρωτες, τὶς ἀνήθικες μίξεις, τὶς γοητεῖες, τὶς μαγεῖες, ὅλα τὰ ἄλλα κακὰ δὲ θὰ βρεῖς ὅτι προέρχονται ἀπὸ τὸν πλοῦτο; Βλέπεις ὅτι ζώντας σὲ φτώχεια εἶναι πολὺ εὐκολότερο ν' ἀσκήσεις τὴν ἀρετὴ παρὰ σὲ πλοῦτο; Γιατὶ μὴ νομίσεις, σὲ παρακαλῶ, ὅτι δὲν ἁμαρτάνουν οἱ πλούσιοι, ἐπειδὴ δὲν τιμωροῦνται ἐδῶ· γιατί, ἂν ἦταν εὔκολο νὰ τιμωρεῖται ὁ πλούσιος, θὰ ἔβρισκες γεμάτες τὶς φυλακὲς ἀπ' αὐτούς. Ἀλλὰ μαζὶ μὲ τὰ ἄλλα ἔχει καὶ αὐτὸ τὸ κακὸ ὁ πλοῦτος, ὅτι δηλαδὴ ὁ κάτοχός του, ἀφοῦ ἁμαρτάνει μὲ κακία καὶ χωρὶς τιμωρία, ποτὲ δὲ θὰ σταματήσει νὰ τὸ κάνει αὐτό, ἀλλὰ θὰ τραυματισθεῖ χωρὶς φάρμακα καὶ κανεὶς δὲ θὰ τοῦ βάλει χαλινάρι. Καὶ ἂν ἤθελε κανείς, θὰ βρεῖ ὅτι ἡ φτώχεια μᾶς παρέχει περισσότερες ἀφορμὲς γιὰ εὐχαρίστηση. Πῶς; Ἐπειδὴ εἶναι ἀπαλλαγμένη ἀπὸ φροντίδες, μίσος, ἀντιδικίες, φιλονεικίες, ἔριδες, ἀπὸ ἄπειρα κακά.

Ἂς μὴν ἐπιδιώκουμε λοιπὸν νὰ πλουτίζουμε, οὔτε νὰ ζηλεύουμε πάντοτε αὐτοὺς ποὺ ἔχουν πολλά. Ἀλλ' ὅσοι ἔχουμε ἂς κάνουμε καλὴ χρήση τοῦ πλούτου, ὅσον ὅμως δὲν ἔχουμε, ἂς μὴ στενοχωριέμαστε γι' αὐτό, ἀλλὰ ἂς εὐχαριστοῦμε γιὰ ὅλα τὸ Θεό, γιατὶ μᾶς κάνει μὲ λίγο κόπο νὰ λάβουμε τὸν ἴδιο μὲ τοὺς πλούσιους μισθὸ ἢ καὶ μεγαλύτερο, ἂν θέλουμε, καὶ ἀπὸ λίγα νὰ κερδίσουμε μεγάλα. Ἐπειδὴ καὶ ἐκεῖνος ποὺ προσκόμισε τὰ δύο τάλαντα θαυμάσθηκε καὶ τιμήθηκε ὅμοια μ' ἐκεῖνον ποὺ προσκόμισε τὰ πέντε. Γιατί λοιπόν; Γιατί, ἂν καὶ τοῦ ἐμπιστεύθηκε δύο τάλαντα, ἐκπλήρωσε ὅλα τὰ δικά του καὶ πρόσφερε διπλὰ τὰ τάλαντα ποὺ τοῦ ἐμπιστεύθηκε ὁ κύριός του[15]. Γιατί λοιπὸν τρέχουμε νὰ μᾶς ἐμπιστευθοῦν πολλά, ὅταν εἶναι δυνατὸ μὲ λίγα νὰ κερδίσουμε τὰ ἴδια ἢ ἀκόμη καὶ περισσότερα; ὅταν ὁ κόπος εἶναι μικρότερος, ἐνῶ ὁ μισθὸς πολὺ περισσότερος; Γιατὶ πιὸ εὔκολα ὁ φτωχὸς ἐγκαταλείπει τὰ δικά του παρὰ ἕνας πλούσιος ποὺ ἔχει

πλούσιος πολλὰ καὶ μεγάλα κεκτημένος. Ἢ οὐκ ἴστε, ὅτι ὅσῳ ἂν πλείονά τις περιβάληται, τοσούτῳ πλειόνων ἐρᾷ;

Ἵν' οὖν μὴ τοῦτο πάθωμεν, μὴ ζητῶμεν τὸν πλοῦτον, μηδὲ δυσανασχέτως ἔχωμεν πρὸς τὴν πενίαν, μηδὲ σπεύδωμεν 5 πλουτεῖν, ἀλλὰ καὶ οἱ ἔχοντες οὕτως αὐτῷ χρώμεθα, ὡς ὁ Παῦλος ἐκέλευσεν· «οἱ ἔχοντες», φησίν, «ὡς μὴ ἔχοντες, καὶ οἱ χρώμενοι τῷ κόσμῳ τούτῳ, ὡς μὴ καταχρώμενοι», ἵνα τύχωμεν τῶν ἐπηγγελμένων ἀγαθῶν, ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, 10 μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, Ἀμήν.

πολλὰ καὶ μεγάλα. Ἢ δὲν ξέρετε ὅτι ὅσο περισσότερα ἔχει κανεὶς γύρω του, τόσο περισσότερα ἀγαπᾶ;

Γιὰ νὰ μὴν πάθουμε λοιπὸν αὐτό, ἂς μὴν ἐπιζητοῦμε τὸν πλοῦτο, οὔτε νὰ δυσανασχετοῦμε γιὰ τὴ φτώχεια, οὔτε νὰ τρέχουμε νὰ πλουτίζουμε, ἀλλὰ καὶ ὅσοι ἔχουμε πλοῦτο ἂς τὸν χρησιμοποιοῦμε ὅπως παράγγειλε ὁ Παῦλος («ἐκεῖνοι ποὺ ἔχουν», λέγει, «σὰν νὰ μὴν ἔχουν, καὶ ἐκεῖνοι ποὺ ἀσχολοῦνται μὲ τὸν κόσμο σὰν νὰ μὴν ἀσχολοῦνται»[16]), γιὰ νὰ ἐπιτύχουμε τὰ ἀγαθὰ ποὺ μᾶς ὑποσχέθηκε ὁ Θεός, τὰ ὁποῖα εἴθε ὅλοι μας νὰ ἐπιτύχουμε μὲ τὴ χάρη καὶ τὴ φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μαζὶ μὲ τὸν ὁποῖο στὸν Πατέρα καὶ συγχρόνως στὸ ἅγιο Πνεῦμα ἀνήκει ἡ δόξα, ἡ δύναμη καὶ ἡ τιμή, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

---

16. Α' Κορ. 7,29.31.

Ο Μ Ι Λ Ι Α Γ'

(Ἑβρ. 1,6–2,4)

«Ὅταν δὲ πάλιν εἰσαγάγῃ τὸν πρωτότοκον εἰς τὴν οἰκουμένην, λέγει· καὶ προσκυνησάτωσαν αὐτῷ πάντες ἄγγελοι Θεοῦ· καὶ πρὸς μὲν τοὺς ἀγγέλους λέγει· ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς
5 *φλόγα· πρὸς δὲ τὸν Υἱόν· ὁ θρόνος σου, ὁ Θεός, εἰς τὸν αἰῶνα τοῦ αἰῶνος».*

1. Ὁ μὲν Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς τὴν παρουσίαν αὐτοῦ τὴν ἔνσαρκον ἔξοδον καλεῖ· οἷον ὡς ὅταν λέγῃ, «ἐξῆλθεν ὁ σπείρων τοῦ σπεῖραι»[1]· καὶ πάλιν, «ἐγὼ ἐκ τοῦ Πατρός μου ἐξῆλθον,
10 καὶ ἥκω»[2]· καὶ πολλαχοῦ τοῦτο ἴδοι τις ἄν. Ὁ δὲ Παῦλος εἴσοδον αὐτὴν καλεῖ λέγων· «ὅταν δὲ πάλιν εἰσαγάγῃ τὸν πρωτότοκον εἰς τὴν οἰκουμένην»· εἰσαγωγὴν ταύτην λέγων τὴν τῆς σαρκὸς ἀνάληψιν. Τί δήποτε δὲ περὶ αὐτοῦ διαφόρως τῷ λόγῳ κέχρηνται, καὶ κατὰ τί οὕτως εἴρηται; Δῆλόν ἐστι καὶ ἀπ' αὐτῶν τῶν
15 σημαινομένων. Ὁ μὲν γὰρ Χριστὸς ἔξοδον τὴν ἑαυτοῦ παρουσίαν εἰκότως καλεῖ· ἔξω γὰρ ἦμεν τοῦ Θεοῦ. Καὶ καθάπερ ἐν τοῖς βασιλείοις οἱ δεσμῶται καὶ προσκεκρουκότες τῷ βασιλεῖ, ἔξω ἑστήκασιν, ὁ δὲ βουλόμενος αὐτοὺς καταλλάξαι, οὐκ ἔνδον τούτους εἰσάγων, ἀλλ' αὐτὸς ἐξιὼν ἔξω τούτοις διαλέγεται, ἕως
20 ἂν αὐτοὺς καταστήσας ἀξίους τῆς ὄψεως τοῦ βασιλέως εἰσαγάγῃ, οὕτω καὶ ὁ Χριστὸς ἐποίησεν. Ἐξελθὼν γὰρ πρὸς ἡμᾶς, τουτέστι, σάρκα ἀναλαβών, καὶ διαλεχθεὶς τὰ παρὰ τοῦ βασιλέως, οὕτως ἡμᾶς εἰσήγαγε, καὶ καθαρίσας τῶν ἁμαρτημάτων καὶ καταλλάξας. Διὰ τοῦτο ἔξοδον αὐτὴν καλεῖ.

25 Ὁ δὲ Παῦλος εἴσοδον αὐτὴν ὀνομάζει, ἀπὸ μεταφορᾶς τῶν κληρονομούντων, καὶ νομὴν παραλαμβανόντων καὶ κτῆσίν τινα· τὸ γὰρ εἰπεῖν, «ὅταν δὲ πάλιν εἰσαγάγῃ τὸν πρωτότοκον εἰς τὴν

1. Ματθ. 13,13. 2. Ἰω. 16,28.

Ο Μ Ι Λ Ι Α Γ'

('Εβρ. 1,3–5)

«Καὶ ὅταν πάλι παρουσιάζει τὸν πρωτότοκο στὴν οἰκουμένη λέγει· ἂς τὸν προσκυνήσουν ὅλοι οἱ ἄγγελοι τοῦ Θεοῦ. Καὶ γιὰ τοὺς ἀγγέλους λέγει· αὐτὸς ποὺ κάνει τοὺς ἀγγέλους του σὰν ἀνέμους καὶ ἐκείνους ποὺ τὸν ὑπηρετοῦν σὰν πύρινη φλόγα. Ἐνῶ στὸν Υἱό του λέγει· ὁ θρόνος σου, σὺ ποὺ εἶσαι Θεός, θὰ παραμείνει στοὺς αἰῶνες τῶν αἰώνων».

1. Ὁ Κύριός μας Ἰησοῦς Χριστὸς ὀνομάζει ἔξοδο τὴν ἔνσαρκο ἔλευσή του, ὅπως ὅταν λέγει, «ἐξῆλθε ὁ σπορέας νὰ σπείρει»[1]· καὶ πάλι, «ἐγὼ ἐξῆλθα ἀπὸ τὸν Πατέρα μου καὶ ἦρθα στὸν κόσμο»[2]· καὶ σὲ πολλὰ σημεῖα μπορεῖ κανεὶς νὰ τὸ δεῖ αὐτό. Ὁ Παῦλος ὅμως τὴν ὀνομάζει εἴσοδο λέγοντας, «καὶ ὅταν πάλι εἰσάγει τὸν πρωτότοκο στὴν οἰκουμένη», ἐννοώντας εἴσοδο τὴν ἀνάληψη τῆς σάρκας. Γιατὶ ὅμως μιλοῦν διαφορετικὰ γιὰ τὸ ἴδιο πράγμα καὶ γιὰ ποιά αἰτία λέχθηκαν αὐτά; Φαίνεται ἀπὸ τὴν ἴδια τὴ σημασία τῶν λόγων. Ὁ Χριστὸς δηλαδὴ σωστὰ ὀνομάζει τὸν ἐρχομό του ἔξοδο, ἐπειδὴ ἤμασταν ἔξω ἀπὸ τὸ Θεό. Καὶ ὅπως στὰ βασιλικὰ ἀνάκτορα οἱ φυλακισμένοι καὶ ἀντίπαλοι τοῦ βασιλιᾶ στέκουν ἀπ' ἔξω καὶ ἐκεῖνος ποὺ θέλει νὰ τοὺς συμφιλιώσει δὲν τοὺς εἰσάγει μέσα, ἀλλ' ὁ ἴδιος βγαίνει ἔξω καὶ μιλάει μαζί τους, ὥσπου νὰ τοὺς κάνει ἄξιους νὰ δοῦν τὸ βασιλιά, τὸ ἴδιο ἔκαμε καὶ ὁ Χριστός. Πρῶτα λοιπὸν ἐξῆλθε πρὸς ἐμᾶς, δηλαδὴ ἔλαβε σάρκα, καὶ ἀφοῦ μᾶς εἶπε τὰ σχετικὰ μὲ τὸ βασιλιά, τότε μᾶς εἰσήγαγε, ἀφοῦ μᾶς καθάρισε τὰ ἁμαρτήματα καὶ μᾶς συμφιλίωσε. Γι' αὐτὸ ὀνομάζει τὴ σάρκωσή του ἔξοδο.

Ὁ Παῦλος ὅμως τὴν ὀνομάζει εἴσοδο, ἀπὸ μεταφορὰ ἐκείνων ποὺ κληρονομοῦν καὶ παραλαμβάνουν κάποια νομὴ καὶ κτῆμα. Γιατὶ λέγοντας, «καὶ ὅταν πάλι εἰσάγει τὸν πρωτότοκο

*οἰκουμένην», τοῦτό ἐστι δηλοῦντος, ὅταν ἐγχειρίσῃ αὐτῷ τὴν οἰκουμένην· τότε γὰρ αὐτὴν ἐκτήσατο πᾶσαν, ὅτε καὶ ἐγνώσθη. Οὐ περὶ τοῦ Θεοῦ δὲ Λόγου φησὶ ταῦτα, ἀλλὰ περὶ τοῦ κατὰ σάρκα Χριστοῦ· εἰκότως. Εἰ γὰρ ἐν τῷ κόσμῳ ἦν, κατὰ τὸν Ἰωάννην,
5 καὶ ὁ κόσμος δι' αὐτοῦ ἐγένετο, πῶς ἑτέρως ἂν εἰσήχθη, ἀλλ' ἢ ἐν σαρκί;*

*«Καὶ προσκυνησάτωσαν αὐτῷ», φησί, «πάντες ἄγγελοι Θεοῦ». Ἐπειδὰν μέγα τι καὶ ὑψηλὸν λέγειν μέλλῃ, προκατασκευάζει αὐτὸ καὶ ποιεῖ εὐπαράδεκτον τῷ τὸν Πατέρα ποιῆσαι
10 εἰσαγαγόντα τὸν Υἱόν. Σκόπει δέ· εἶπεν ἀνωτέρω, ὅτι οὐ διὰ προφητῶν ἐλάλησεν ἡμῖν, ἀλλὰ διὰ τοῦ Υἱοῦ· ἔδειξεν ὅτι κρείττων ἀγγέλων ὁ Υἱός, καὶ ἀπὸ τοῦ ὀνόματος δὲ τοῦτο κατασκευάσας, καὶ ἀπὸ τοῦ τὸν Πατέρα ποιῆσαι εἰσάγοντα τὸν Υἱόν. Ἐνταῦθα δὲ λοιπὸν καὶ ἀφ' ἑτέρου κατασκευάζει. Ποίου δὴ τούτου;
15 Ἀπὸ τῆς προσκυνήσεως· τοῦτο δὲ καὶ ὅσῳ κρείττων ἐστὶ δείκνυσιν· ὅσῳ γὰρ Δεσπότης δούλου. Διὸ καὶ ὡς ἂν εἴ τις εἰσαγαγὼν τινα εἰς οἰκίαν βασιλέως, τοὺς προεστῶτας αὐτῆς εὐθέως κελεύει προσκυνεῖν αὐτῷ, οὕτω καὶ αὐτὸς ποιεῖ, περὶ τοῦ κατὰ σάρκα λέγων τὴν ἐν κόσμῳ εἰσαγωγήν, καὶ τό, «προσκυνησάτωσαν
20 αὐτῷ πάντες ἄγγελοι Θεοῦ», διὰ τοῦτο ἐπάγων. Ἆρα οὖν ἄγγελοι μόνον, οὐχὶ δὲ καὶ ἄλλαι δυνάμεις; Ἄπαγε· ἄκουσον γὰρ τῶν ἑξῆς· «καὶ πρὸς μὲν τοὺς ἀγγέλους αὐτοῦ φησίν, ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα· πρὸς δὲ τὸν Υἱόν, ὁ θρόνος σου, ὁ Θεός, εἰς τὸν αἰῶνα
25 τοῦ αἰῶνος».*

*Ἰδοὺ ἡ μεγίστη διαφορά· ὅτι οἱ μὲν κτιστοί, ὁ δὲ ἄκτιστος. Καὶ διὰ τί πρὸς μὲν τοὺς ἀγγέλους αὐτοῦ φησιν, ὁ ποιῶν, πρὸς δὲ τὸν Υἱὸν διὰ τί οὐκ εἶπεν, ὁ ποιῶν; καίτοι ἐνῆν τὴν διαφορὰν οὕτως εἰπεῖν· πρὸς μὲν τοὺς ἀγγέλους αὐτοῦ λέγει, «ὁ ποιῶν τοὺς
30 ἀγγέλους αὐτοῦ πνεύματα», πρὸς δὲ τὸν Υἱόν, «Κύριος ἔκτισέ με»· καὶ πάλιν, «Κύριον αὐτὸν καὶ Χριστὸν ὁ Θεὸς ἐποίησεν».*

στὴν οἰκουμένη», αὐτὸ δηλώνει, ὅταν τοῦ ἀναθέτει τὴν οἰκουμένη· τότε δηλαδὴ τὴν ἀπέκτησε ὁλόκληρη, ὅταν ἔγινε γνωστὸς σ' αὐτήν. Καὶ δὲν τὰ λέγει αὐτὰ γιὰ τὸ Θεὸ Λόγο, ἀλλὰ γιὰ τὸ Χριστὸ ποὺ σαρκώθηκε. Καὶ σωστά. Γιατί, ἂν ἦταν μέσα στὸν κόσμο, ὅπως λέγει ὁ Ἰωάννης, καὶ ὁ κόσμος μέσω αὐτοῦ δημιουργήθηκε, πῶς ἦταν δυνατὸ νὰ ἔρθει ἀλλιῶς, ἂν δὲν ἔπαιρνε σάρκα;

«Καὶ ἂς τὸν προσκυνήσουν», λέγει, «ὅλοι οἱ ἄγγελοι τοῦ Θεοῦ». Ὅταν πρόκειται νὰ πεῖ κάτι μεγάλο καὶ ὑψηλό, τὸ προετοιμάζει καὶ τὸ κάνει εὐπρόσδεκτο παρουσιάζοντας τὸν Πατέρα νὰ εἰσάγει τὸν Υἱό. Καὶ πρόσεχε. Εἶπε παραπάνω ὅτι δὲ μᾶς μίλησε μέσω τῶν προφητῶν, ἀλλὰ μέσω τοῦ Υἱοῦ. Ἔδειξε ὅτι ὁ Υἱὸς εἶναι ἀνώτερος ἀπὸ τοὺς ἀγγέλους καὶ τὸ ἀπέδειξε αὐτὸ ἀπὸ τὸ ὄνομα καὶ ἀπὸ τὸ ὅτι παρουσίασε τὸν Πατέρα νὰ εἰσάγει στὸν κόσμο τὸν Υἱό. Ἐδῶ πλέον τὸ ἀποδεικνύει καὶ ἀπὸ ἄλλο πράγμα. Ποιό λοιπὸν εἶναι αὐτό; Ἀπὸ τὴν προσκύνηση. Καὶ αὐτὸ δείχνει πόσο ἀνώτερος εἶναι· ὅσο δηλαδὴ ὁ κύριος ἀπὸ τὸ δοῦλο. Γι' αὐτὸ ὅπως ἕνας, ποὺ εἰσάγει κάποιον στὰ ἀνάκτορα τοῦ βασιλιᾶ, προστάζει ἀμέσως νὰ τὸν προσκυνήσουν ὅλοι οἱ ἀξιωματοῦχοι τῶν ἀνακτόρων, ἔτσι κάνει καὶ αὐτός· μιλάει γιὰ τὴν εἴσοδο στὸν κόσμο τοῦ Λόγου ποὺ σαρκώθηκε καὶ γι' αὐτὸ προσθέτει τό, «ἂς τὸν προσκυνήσουν ὅλοι οἱ ἄγγελοι τοῦ Θεοῦ». Ἄραγε μόνο οἱ ἄγγελοι καὶ ὄχι οἱ ἄλλες δυνάμεις; Μακριὰ μιὰ τέτοια σκέψη. Γιατὶ ἄκουσε τὰ ἑπόμενα· «καὶ γιὰ τοὺς ἀγγέλους του λέγει, αὐτὸς ποὺ κάνει τοὺς ἀγγέλους του σὰν ἀνέμους καὶ ἐκείνους ποὺ τὸν ὑπηρετοῦν σὰν πύρινη φλόγα· ἐνῶ γιὰ τὸν Υἱό του, ὁ θρόνος σου, σὺ ποὺ εἶσαι Θεός, θὰ παρείνει στοὺς αἰῶνες τῶν αἰώνων».

Νὰ ἡ πιὸ μεγάλη διαφορά· ἐκεῖνοι δηλαδὴ εἶναι κτιστοί, ἐνῶ αὐτὸς ἄκτιστος. Καὶ γιατί γιὰ τοὺς ἀγγέλους του λέγει, «αὐτὸς ποὺ κάνει», ἐνῶ γιὰ τὸν Υἱό του δὲν εἶπε «αὐτὸς ποὺ κάνει»; Ἂν καὶ βέβαια μποροῦσε νὰ πεῖ ἔτσι τὴ διαφορά· γιὰ τοὺς ἀγγέλους του λέγει, «αὐτὸς ποὺ κάνει τοὺς ἀγγέλους του σὰν ἀνέμους», ἐνῶ γιὰ τὸν Υἱό, «ὁ Κύριος μὲ δημιούργησε»· καὶ πάλι, «ὁ Θεὸς τὸν ἔκαμε Κύριο καὶ Χριστό». Ἀλλὰ οὔτε ἐκεῖνο λέ-

Ἀλλ' οὔτε ἐκεῖνο περὶ τοῦ Χριστοῦ Κυρίου Υἱοῦ εἴρηται, οὔτε τοῦτο περὶ τοῦ Θεοῦ Λόγου, ἀλλὰ περὶ τοῦ κατὰ σάρκα. Ἔνθα γὰρ τὴν ἀληθῆ διαφορὰν ἠβούλετο δηλοῦν, οὐκέτι ἀγγέλους περιέλαβε μόνον, ἀλλὰ καὶ πᾶσαν τὴν ἄνω δύναμιν τὴν λειτουργι-
5 *κήν. Ὁρᾷς πῶς διαιρεῖ καὶ μεθ' ὅσης τῆς σαφηνείας κτίσματα καὶ κτίστην, λειτουργοὺς καὶ δεσπότην, καὶ κληρονόμον καὶ γνήσιον Υἱὸν καὶ δούλους; Πρὸς δὲ τὸν Υἱόν φησιν, «ὁ θρόνος σου, ὁ Θεός, εἰς τὸν αἰῶνα τοῦ αἰῶνος». Ἰδοὺ βασιλείας σύμβολον. «Ῥάβδος εὐθύτητος ἡ ῥάβδος τῆς βασιλείας σου». Ἰδοὺ πά-*
10 *λιν καὶ ἄλλο βασιλείας σύμβολον. Εἶτα πάλιν εἰς τὸ κατὰ σάρκα· «ἠγάπησας δικαιοσύνην καὶ ἐμίσησας ἀνομίαν· διὰ τοῦτο ἔχρισέ σε ὁ Θεός, ὁ Θεός σου». Τί ἐστι, «Θεός σου»; Ἐπειδὴ γὰρ μέγα ἐφθέγξατο, πάλιν αὐτὸ παραμυθεῖται.*

Ἐνταῦθα καὶ Ἰουδαίους καὶ τοὺς Παύλου τοῦ Σαμοσατέ-
15 *ως καὶ Ἀρειανοὺς καὶ Μάρκελλον καὶ Σαβέλλιον ἔβαλε καὶ Μαρκίωνα. Πῶς; Ἰουδαίους μέν, δύο τὸν αὐτὸν δεικνύς, καὶ Θεὸν καὶ ἄνθρωπον· τοὺς δὲ ἄλλους, τοὺς Παύλου λέγω τοῦ Σαμοσατέως, τῷ περὶ τῆς αἰωνίου ὑπάρξεως ταῦτα διαλέγεσθαι καὶ τῆς ἀκτίστου οὐσίας· πρὸς γὰρ ἀντιδιαστολὴν τοῦ, ἐποίησε,*
20 *τό, «ὁ θρόνος σου ὁ Θεὸς εἰς τὸν αἰῶνα τοῦ αἰῶνος», τέθεικε. Πρός τε Ἀρειανοὺς τοῦτό τε αὐτὸ πάλιν, καὶ ὅτι οὐ δοῦλος· εἰ δὲ κτίσμα, δοῦλος. Πρὸς δὲ Μάρκελλον καὶ τοὺς ἄλλους, ὅτι δύο ἐστὶ ταῦτα πρόσωπα διῃρημένα κατὰ τὴν ὑπόστασιν· πρὸς δὲ Μαρκιωνιστάς, ὅτι ἡ θεότης οὐ χρίεται, ἀλλ' ἡ ἀνθρωπότης.*
25 *Εἶτα, «παρὰ τοὺς μετόχους σου», φησί. Τίνες δέ εἰσιν οἱ μέτοχοι, ἀλλ' ἢ οἱ ἄνθρωποι; Τουτέστι, τὸ Πνεῦμα οὐκ ἐκ μέτρου ἔλαβεν ὁ Χριστός.*

2. Ὁρᾷς πῶς συνάπτει ἀεὶ τῷ περὶ τῆς ἀκτίστου φύσεως καὶ τὸν περὶ τῆς οἰκονομίας λόγον; Τί τούτου σαφέστερον; Εἶδες
30 *πῶς οὐκ ἔστι τὸ αὐτό, κτίσμα καὶ γέννημα; οὐ γὰρ ἂν διεῖλε, καὶ πρὸς ἀντιδιαστολὴν τοῦ, «ἐποίησεν», ἐπήγαγε τό, «πρὸς δὲ τὸν Υἱὸν εἶπεν, ὁ θρόνος σου, ὁ Θεός, εἰς τὸν αἰῶνα τοῦ αἰῶνος»·*

---

3. Ἰω. 3,34.

χθηκε γιὰ τὸ Χριστὸ Κύριο Υἱό, οὔτε αὐτὸ γιὰ τὸ Θεὸ Λόγο, ἀλλὰ γιὰ τὴ σάρκωση. Γιατί, ὅπου ἤθελε νὰ φανερώσει τὴν πραγματικὴ διαφορὰ δὲν περιέλαβε μόνο τοὺς ἀγγέλους, ἀλλὰ καὶ ὅλες τὶς οὐράνιες δυνάμεις ποὺ τὸν ὑπηρετοῦν. Βλέπεις μὲ ποιό τρόπο καὶ μὲ πόση σαφήνεια ξεχωρίζει κτίσματα καὶ κτίστη, ὑπηρέτες καὶ κύριο, κληρονόμο καὶ γνήσιο Υἱὸ καὶ δούλους; Στὸν Υἱὸ ὅμως λέγει, «ὁ θρόνος σου, σὺ ποὺ εἶσαι Θεός, θὰ παραμείνει στοὺς αἰῶνες τῶν αἰώνων». Νὰ σύμβολο βασιλείας. «Τὸ σκῆπτρο τῆς εὐθύτητας εἶναι τὸ σκῆπτρο τῆς βασιλείας σου». Νὰ πάλι καὶ ἄλλο σύμβολο βασιλείας. Ἔπειτα πάλι στὸ Λόγο ποὺ σαρκώθηκε· «ἀγάπησες τὴ δικαιοσύνη καὶ μίσησες τὴν παρανομία. Γι' αὐτὸ σὲ ἔχρισε ὁ Θεός, ὁ Θεός σου». Τί σημαίνει, «ὁ Θεός σου»; Ἐπειδὴ δηλαδὴ εἶπε κάτι μεγάλο, πάλι τὸ μετριάζει.

Ἐδῶ ἔβαλε ἐναντίον τῶν Ἰουδαίων, καὶ ἐναντίον τῶν ὀπαδῶν τοῦ Παύλου τοῦ Σαμοσατέα, τῶν ὀπαδῶν τοῦ Ἀρείου, καὶ ἐναντίον τοῦ Μαρκέλλου, τοῦ Σαβελλίου καὶ τοῦ Μαρκίωνα. Πῶς; Ἐναντίον τῶν Ἰουδαίων, δείχνοντας πῶς ὁ ἴδιος εἶναι καὶ Θεὸς καὶ ἄνθρωπος. Ἐναντίον τῶν ἄλλων, δηλαδὴ τῶν ὀπαδῶν τοῦ Παύλου τοῦ Σαμοσατέα, λέγοντας αὐτὰ γιὰ τὴν αἰώνια ὕπαρξη καὶ τὴν ἄκτιστη οὐσία του· γιατὶ τὸ «ὁ θρόνος σου, σὺ ποὺ εἶσαι Θεός, θὰ παραμείνει στοὺς αἰῶνες τῶν αἰώνων», τὸ ἀνέφερε σὲ ἀντιδιαστολὴ πρὸς τὸ «ἔκαμε». Ἐναντίον τῶν ὀπαδῶν τοῦ Ἀρείου λέγει πάλι τὸ ἴδιο καὶ ὅτι δὲν εἶναι δοῦλος· ἂν ὅμως εἶναι κτίσμα, εἶναι δοῦλος. Πρὸς τὸν Μάρκελλο καὶ τοὺς ἄλλους, ὅτι αὐτὰ τὰ πρόσωπα εἶναι δύο, διαφορετικὰ κατὰ τὴν ὑπόσταση. Πρὸς τοὺς Μαρκιωνιστές, ὅτι δὲ χρίεται ἡ θεία φύση, ἀλλὰ ἡ ἀνθρώπινη. Ἔπειτα λέγει, «περισσότερο ἀπὸ τοὺς μετόχους σου». Ποιοί ὅμως εἶναι οἱ μέτοχοι, παρὰ οἱ ἄνθρωποι; Δηλαδή, ὁ Χριστὸς δὲν ἔλαβε τὸ Πνεῦμα μὲ μέτρο[3].

2. Βλέπεις πῶς συνδέει πάντοτε στὸ λόγο γιὰ τὴν ἄκτιστη φύση καὶ τὸ λόγο γιὰ τὴν οἰκονομία; Τί ὑπάρχει σαφέστερο ἀπ' αὐτό; Εἶδες πῶς δὲν εἶναι τὸ ἴδιο, κτίσμα καὶ γέννημα; Γιατὶ δὲ θὰ τὰ ξεχώριζε καὶ πρὸς ἀντιδιαστολὴ τοῦ «ἔκαμε» δὲ θὰ πρόσθετε τό, «στὸν Υἱό του ὅμως εἶπε, ὁ θρόνος σου, σὺ ποὺ εἶσαι

οὐδ' ἂν διαφορώτερον ὄνομα ἐκάλει τὸ Υἱὸς ὄνομα, εἰ τοῦ αὐτοῦ ἦν σημεῖον. Ποῖον γὰρ τὸ διάφορον; εἰ γὰρ τὸ κτίσμα καὶ γέννημα ταὐτόν, ἐκεῖνοι δὲ ἐποιήθησαν, τί τὸ διαφορώτερον; Ἰδοὺ πάλιν τό, «ὁ Θεός», μετὰ τοῦ ἄρθρου. Καὶ πάλιν φησί· «κατ' ἀρχάς 5 σύ, Κύριε, τὴν γῆν ἐθεμελίωσας, καὶ ἔργα τῶν χειρῶν σού εἰσιν οἱ οὐρανοί. Αὐτοὶ ἀπολοῦνται, σὺ δὲ διαμενεῖς· καὶ πάντες ὡς ἱμάτιον παλαιωθήσονται καὶ ὡσεὶ περιβόλαιον ἑλίξεις αὐτούς, καὶ ἀλλαγήσονται· σὺ δὲ ὁ αὐτὸς εἶ, καὶ τὰ ἔτη σου οὐκ ἐκλείψουσιν».

10 *Ἵνα μὴ ἀκούσας, «ὅταν δὲ εἰσαγάγῃ τὸν πρωτότοκον εἰς τὴν οἰκουμένην», ὡς δῶρον νομίσῃς εἶναι ὕστερον αὐτῷ προσδοθέν, τοῦτο καὶ ἄνω προδιωρθώσατο, καὶ πάλιν ἐπιδιορθοῦται λέγων, «κατ' ἀρχάς»· οὐχὶ νῦν, ἀλλ' ἄνωθεν. Ἰδοὺ πάλιν καὶ τὸν Σαμοσατέα Παῦλον καιρίᾳ πλήττει πληγῇ καὶ Ἄρειον, ἃ περὶ 15 τοῦ Πατρός ἐστι, ταῦτα ἁρμόσας τῷ Υἱῷ. Μετὰ δὲ τούτου καί τι ἄλλο πάρεργον ᾐνίξατο, καὶ μεῖζον τούτου· καὶ γὰρ τὴν μετασχημάτισιν τοῦ κόσμου παρεδήλωσε λέγων· «ὡς ἱμάτιον παλαιωθήσονται καὶ ὡσεὶ περιβόλαιον ἑλίξεις αὐτούς, καὶ ἀλλαγήσονται». Ὃ καὶ ἐν τῇ πρὸς Ρωμαίους φησίν, ὅτι μετασχηματίσει τὸν 20 κόσμον. Καὶ τὸ εὔκολον δηλῶν, ἐπήγαγεν, «ἑλίξεις». Ὥσπερ γὰρ ἂν εἴ τις περιβόλαιον ἑλίξῃ, οὕτως αὐτὸς τὸν κόσμον καὶ ἑλίξει καὶ ἀλλάξει. Εἰ δὲ τὴν ἐπὶ τὸ βέλτιον καὶ τὸ κρεῖττον μετασχημάτισιν καὶ δημιουργίαν οὕτως εὐκόλως ἐργάζεται, ἐπὶ τῆς ἐλάττονος δημιουργίας ἑτέρου ἐδεῖτο; Μέχρι τίνος οὐκ αἰσχύνε- 25 σθε; Ἅμα δὲ καὶ παραμυθία μεγίστη τοῦτό ἐστι, τὸ γνῶναι ὅτι οὐκ ἔσται οὕτω τὰ πράγματα, ἀλλὰ τὰ πάντα μεταβολὴν λήψεται, καὶ πάντα ἐναλλαγήσεται, αὐτὸς δὲ μένει διαπαντὸς ζῶν, καὶ ἀπείρως ζῶν· «καὶ τὰ ἔτη σου», φησίν, «οὐκ ἐκλείψουσιν».*

«Τίνι δὲ τῶν ἀγγέλων εἴρηκέ ποτε, κάθου ἐκ δεξιῶν μου, 30 ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου;». Ἰδοὺ πάλιν αὐτοὺς παραθαρρύνει, εἴ γε μέλλοιεν οἱ ἐχθροὶ αὐτῶν

Θεός, θὰ παραμείνει στοὺς αἰῶνες τῶν αἰώνων»· οὔτε τὸ ὄνομα «Υἱὸς» θὰ τὸ ἀποκαλοῦσε ἀνώτερο ὄνομα, ἂν σήμαινε τὸ ἴδιο πράγμα. Γιατὶ ποιά εἶναι ἡ διαφορά; Ἂν δηλαδὴ τὸ κτίσμα καὶ τὸ γέννημα εἶναι τὸ ἴδιο, καὶ ἐκεῖνοι δημιουργήθηκαν, ποιά εἶναι ἡ διαφορά; Νὰ πάλι τὸ «ὁ Θεὸς» μὲ τὸ ἄρθρο. Καὶ πάλι λέγει· «στὴν ἀρχὴ ἐσύ, Κύριε, στερέωσες τὴ γῆ καὶ ἔργο τῶν χεριῶν σου εἶναι οἱ οὐρανοί. Αὐτοὶ θὰ ἐξαφανισθοῦν, σὺ ὅμως θὰ παραμένεις. Ὅλοι θὰ παλιώσουν σὰν ροῦχο, σὰν μανδύα θὰ τοὺς τυλίξεις καὶ θὰ ἀλλάξουν σὰν ροῦχο. Ἐσὺ ὅμως παραμένεις ὁ ἴδιος καὶ τὰ χρόνια σου δὲ θὰ τελειώσουν ποτέ».

Γιὰ νὰ μὴ νομίσεις, ἀκούοντας «καὶ ὅταν παρουσιάζει τὸν πρωτότοκο στὴν οἰκουμένη», ὅτι εἶναι δῶρο ποὺ τοῦ δόθηκε τελευταῖα, αὐτὸ καὶ παραπάνω τὸ διόρθωσε, καὶ πάλι τὸ διορθώνει λέγοντας, «στὴν ἀρχή»· ὄχι τώρα, ἀλλὰ ἀπὸ τὴν ἀρχή. Νὰ πάλι καταφέρει καίριο πλῆγμα καὶ στὸν Παῦλο τὸ Σαμοσατέα καὶ στὸν Ἄρειο προσαρμόζοντας στὸν Υἱὸ αὐτὰ ποὺ λέγονται γιὰ τὸν Πατέρα. Μαζὶ μ' αὐτὸ ὅμως ὑπαινίχθηκε καὶ κάποιο ἄλλο πρόσθετο ἔργο, μεγαλύτερο ἀπ' αὐτό. Ὑπαινίχθηκε δηλαδὴ τὴ μεταμόρφωση τοῦ κόσμου λέγοντας· «ὅλοι θὰ παλιώσουν σὰν ροῦχο, σὰν μανδύα θὰ τοὺς τυλίξεις καὶ θ' ἀλλάξουν σὰν ροῦχο». Αὐτὸ τὸ λέγει καὶ στὴν πρὸς Ρωμαίους, ὅτι δηλαδὴ θὰ μεταμορφώσει τὸν κόσμο. Καὶ γιὰ νὰ δηλώσει πόσο εὔκολο εἶναι τὸ πράγμα πρόσθεσε, «θὰ τοὺς τυλίξεις». Ὅπως δηλαδὴ θὰ τύλιγε κάποιος ἕνα μανδύα, ἔτσι αὐτὸς θὰ τυλίξει καὶ θὰ ἀλλάξει τὸν κόσμο. Ἂν ὅμως κάνει τόσο εὔκολα τὴν πρὸς τὸ καλύτερο καὶ τὸ ἀνώτερο μεταμόρφωση καὶ δημιουργία, θὰ χρειαζόταν κάποιον ἄλλον στὴν κατώτερη δημιουργία; Μέχρι πότε δὲ θὰ ντρέπεστε; Συγχρόνως ὅμως αὐτὸ εἶναι καὶ πάρα πολὺ μεγάλη παρηγοριά, ἡ γνώση ὅτι δὲ θὰ εἶναι ἔτσι τὰ πράγματα, ἀλλὰ τὰ πάντα θὰ μεταβληθοῦν καὶ ὅλα θ' ἀλλάξουν, ἐνῶ αὐτὸς παραμένει διαρκῶς ζωντανός, καὶ αἰώνια ζεῖ. «Καὶ τὰ χρόνια σου», λέγει, «δὲ θὰ τελειώσουν ποτέ».

«Σὲ ποιόν ἀπὸ τοὺς ἀγγέλους εἶπε ποτέ, κάθισε στὰ δεξιά μου, ὥσπου νὰ θέσω τοὺς ἐχθρούς σου ὑποπόδιο τῶν ποδιῶν σου;». Νὰ πάλι τοὺς ἐνθαρρύνει, ἀφοῦ πρόκειται οἱ ἐχθροί τους

ἡττηθήσεσθαι, καὶ ἐχθροὶ αὐτῶν οἱ αὐτοί εἰσιν, οἳ καὶ τοῦ Χριστοῦ. Τοῦτο πάλιν βασιλείας, τοῦτο ὁμοτιμίας, τοῦτο τιμῆς, οὐκ ἀδυναμίας, τὸ τὸν Πατέρα ὀργίζεσθαι ὑπὲρ τῶν εἰς τὸν Υἱὸν γεγενημένων· τοῦτο πολλῆς ἀγάπης δεῖγμα καὶ γνησιότητος τῆς ὡς 5 ἀπὸ πατρὸς πρὸς υἱόν. Ὁ γὰρ ὀργιζόμενος ὑπὲρ αὐτοῦ, πῶς ἀλλότριος αὐτοῦ ἐστιν;

«Ἕως ἂν θῶ τοὺς ἐχθρούς σου». Ὅπερ καὶ ἐν τῷ δευτέρῳ ψαλμῷ φησίν· «ὁ κατοικῶν ἐν οὐρανοῖς ἐκγελάσεται αὐτούς, καὶ ὁ Κύριος ἐκμυκτηριεῖ αὐτούς. Τότε λαλήσει πρὸς αὐ-10 τοὺς ἐν ὀργῇ αὐτοῦ, καὶ ἐν τῷ θυμῷ αὐτοῦ ταράξει αὐτούς». Καὶ πάλιν αὐτός φησι· «τοὺς μὴ θελήσαντάς με βασιλεῦσαι ἐπ' αὐτούς, ἀγάγετε ὧδε ἐνώπιόν μου, καὶ κατασφάξατε αὐτούς». Ὅτι γὰρ αὐτοῦ ἐστι τὰ ῥήματα, ἄκουσον τί φησι καὶ ἑτέρωθι· «ποσάκις ἠθέλησα ἐπισυναγαγεῖν τὰ τέκνα σου, καὶ οὐκ ἠθελήσατε; 15 Ἰδοὺ ἀφίεται ὑμῖν ὁ οἶκος ὑμῶν ἔρημος». Καὶ πάλιν, «ἀρθήσεται ἀφ' ὑμῶν ἡ βασιλεία, καὶ δοθήσεται ἔθνει ποιοῦντι τοὺς καρποὺς αὐτῆς»· καὶ πάλιν, «ὁ πεσὼν ἐπὶ τὸν λίθον τοῦτον, συνθλασθήσεται· ἐφ' ὃν δ' ἂν πέσῃ, λικμήσει αὐτόν». Ἄλλως δέ, ὁ μέλλων ἐκεῖ κρίνειν αὐτούς, πολλῷ μᾶλλον αὐτοὺς δίκην ἐνταῦθα τῆς εἰς 20 αὐτὸν παροινίας ἀπήτησεν. Ὥστε τιμῆς μόνης ἐστὶ τῆς εἰς τὸν Υἱόν, τό, «ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου».

«Οὐχὶ πάντες εἰσὶ λειτουργικὰ πνεύματα, εἰς διακονίαν ἀποστελλόμενα διὰ τοὺς μέλλοντας κληρονομεῖν σωτηρίαν;». Τί 25 θαυμαστόν, φησίν, εἰ τῷ Υἱῷ λειτουργοῦσιν, ὅταν καὶ πρὸς τὴν ἡμετέραν σωτηρίαν λειτουργῶσιν; Ὅρα πῶς ἐπαίρει αὐτῶν τὰ φρονήματα καὶ πολλὴν δείκνυσι τοῦ Θεοῦ τὴν εἰς ἡμᾶς τιμήν, εἴπερ ἀγγέλους τοὺς ὑπὲρ ἡμᾶς ταύτην ἔταξεν ἔχειν διακονίαν, τὴν ὑπὲρ ἡμῶν. Ὡς ἂν εἴποι τις, εἰς τοῦτο κέχρηται αὐτοῖς, φησί, 30 τοῦτο ἀγγέλων λειτουργία, τὸ διακονεῖν τῷ Θεῷ εἰς σωτηρίαν ἡμετέραν. Ὥστε ἀγγελικὸν ἔργον τοῦτό ἐστι, τὸ πάντα ποιεῖν εἰς σωτηρίαν τῶν ἀδελφῶν· μᾶλλον δὲ αὐτοῦ τοῦ Χριστοῦ τὸ ἔργον

---

4. Ψαλμ. 2,4-5. 5. Λουκᾶ 19,27. 6. Λουκᾶ 13,34.
7. Ματθ. 21,43. 8. Ματθ. 21,44

νὰ ἡττηθοῦν καὶ ἐχθροί τους εἶναι οἱ ἴδιοι ποὺ εἶναι καὶ ἐχθροὶ τοῦ Χριστοῦ. Αὐτὸ πάλι εἶναι γνώρισμα βασιλικῆς ἐξουσίας, ἰσοτιμίας, τιμῆς, ὄχι ἀδυναμίας, τὸ νὰ ὀργίζεται ὁ Πατέρας γι' αὐτὰ ποὺ γίνονται στὸν Υἱό. Αὐτὸ εἶναι δεῖγμα πολλῆς ἀγάπης καὶ γνησιότητας, σὰν ἀπὸ πατέρα πρὸς υἱό. Ἐκεῖνος δηλαδὴ ποὺ ὀργίζεται γι' αὐτόν, πῶς εἶναι ξένος ἀπ' αὐτόν;

«Ὥσπου νὰ θέσω τοὺς ἐχθρούς σου». Αὐτὸ λέγει καὶ στὸν δεύτερο ψαλμό· «αὐτὸς ποὺ κατοικεῖ στοὺς οὐρανοὺς θὰ τοὺς περιπαίξει, καὶ ὁ Κύριος θὰ τοὺς κάνει καταγέλαστους. Τότε θὰ τοὺς μιλήσει μὲ ὀργὴ καὶ θὰ τοὺς συγκλονίσει μὲ τὴν ἔκρηξη τοῦ θυμοῦ του»[4]. Καὶ πάλι αὐτὸς λέγει· «αὐτούς, ποὺ δὲ μὲ θέλησαν γιὰ βασιλιά τους, φέρτε τους ἐδῶ καὶ σφάξτε τους μπροστά μου»[5]. Τὸ ὅτι βέβαια εἶναι δικά του τὰ λόγια, ἄκουσε τί λέγει καὶ ἀλλοῦ· «πόσες φορὲς θέλησα νὰ μαζέψω τὰ παιδιά σου, καὶ δὲν τὸ θελήσατε! Γι' αὐτὸ θὰ ἐρημωθεῖ ὁ τόπος σας»[6]. Καὶ πάλι· «θ' ἀφαιρεθεῖ ἀπὸ σᾶς ἡ βασιλεία καὶ θὰ δοθεῖ σ' ἔθνος ποὺ θὰ παράγει τοὺς καρποὺς τῆς βασλείας»[7]. Καὶ πάλι· «ὅποιος θὰ πέσει πάνω σ' αὐτὸν τὸ λίθο θὰ συντριβεῖ· καὶ σ' ὅποιον πάνω πέσει, θὰ τὸν κάνει κομμάτια[8]. Ἄλλωστε αὐτὸς ποὺ πρόκειται νὰ τοὺς κρίνει ἐκεῖ, πολὺ περισσότερο θὰ τοὺς τιμωρήσει ἐδῶ γιὰ τὴν ἀπρέπειά τους πρὸς αὐτόν. Ἑπομένως τό, «ὥσπου νὰ θέσω τοὺς ἐχθρούς σου ὑποπόδιο τῶν ποδιῶν σου», εἶναι ἀπόδειξη τιμῆς μόνο πρὸς τὸν Υἱό.

«Δὲν εἶναι ὅλοι οἱ ἄγγελοι πνεύματα ποὺ ὑπηρετοῦν τὸ Θεὸ καὶ ἀποστέλλονται γιὰ νὰ βοηθήσουν ἐκείνους ποὺ πρόκειται νὰ κληρονομήσουν σωτηρία;». Τί τὸ παράξενο, λέγει, ἂν ὑπηρετοῦν τὸν Υἱό, ὅταν βοηθοῦν καὶ γιὰ τὴ δική μας σωτηρία; Πρόσεχε πῶς ἐξυψώνει τὸ φρόνημά τους καὶ δείχνει τὴ μεγάλη τιμὴ ποὺ μᾶς κάνει ὁ Θεός, ἐφόσον ὅρισε τοὺς ἀγγέλους, ποὺ εἶναι ἀνώτεροι ἀπὸ μᾶς, νὰ ἔχουν αὐτὴ τὴν ὑπηρεσία ποὺ εἶναι πρὸς ὄφελός μας. Ὅπως θα μποροῦσε νὰ πεῖ κάποιος· σ' αὐτὸ τοὺς χρησιμοποιεῖ, λέγει, αὐτὴ εἶναι ἡ ὑπηρεσία τῶν ἀγγέλων, τὸ νὰ διακονοῦν τὸ Θεὸ γιὰ τὴ δική μας σωτηρία. Ὥστε αὐτὸ εἶναι τὸ ἔργο τῶν ἀγγέλων, τὸ νὰ κάνουν τὰ πάντα γιὰ τὴ σωτηρία τῶν ἀδελφῶν· ἢ καλύτερα τὸ ἔργο εἶναι τοῦ Χριστοῦ, γιατὶ αὐτὸς

ἐστίν· αὐτὸς μὲν γὰρ ὡς Δεσπότης σώζει, οὗτοι δὲ ὡς δοῦλοι. Καὶ ἡμεῖς εἰ καὶ δοῦλοι, ἀλλὰ σύνδουλοι ἀγγέλων. Τί κεχήνατε πρὸς τοὺς ἀγγέλους, φησί; Δοῦλοί εἰσι τοῦ Υἱοῦ τοῦ Θεοῦ, καὶ πολλαχοῦ δι' ἡμᾶς πέμπονται, καὶ προς σωτηρίαν τὴν ἡμετέραν 5 λειτουργοῦσιν· ὥστε ὁμόδουλοι ἡμῶν εἰσιν. Ἐννοήσατε πῶς οὐ πολλὴν δίδωσι τοῖς κτίσμασι διαφοράν· καίτοι πολὺ τὸ μέσον ἀγγέλων καὶ ἀνθρώπων· ἀλλ' ὅμως πλησίον ἡμῶν αὐτοὺς κατάγει, μονονουχὶ λέγων· ἡμῖν κάμνουσι, δι' ἡμᾶς περιτρέχουσιν, ἡμῖν, ὡς ἂν εἴποι τις, ὑπηρετοῦσιν. Αὕτη ἐστὶν ἡ διακονία αὐ- 10 τῶν, τὸ δι' ἡμᾶς πανταχοῦ πέμπεσθαι.

3. Καὶ τούτων τῶν ὑποδειγμάτων μεστὴ μὲν ἡ Παλαιά, μεστὴ δὲ καὶ ἡ Καινή. Ὅταν γὰρ ἄγγελοι ποιμένας εὐαγγελίζωνται, ὅταν τὴν Μαριάμ, ὅταν τὸν Ἰωσήφ, ὅταν ἐπὶ τοῦ μνήματος καθέζωνται, ὅταν πέμπτωνται εἰπεῖν τοῖς μαθηταῖς, «ἄνδρες Γαλι- 15 λαῖοι, τί ἑστήκατε βλέποντες εἰς τὸν οὐρανόν;», ὅταν Πέτρον ἀπολύωσι τοῦ δεσμωτηρίου, ὅταν Φιλίππῳ διαλέγωνται, πῶς ἡμῖν οὐχ ὑπουργοῦσιν; Ἐννόησον τοίνυν τὴν τιμήν, ὅση τυγχάνει, ὅταν ὡς πρὸς φίλους πέμπῃ διακόνους τοὺς ἀγγέλους ὁ Θεός, ὅταν Κορνηλίῳ ἄγγελος φαίνηται, ὅταν πάντας τοὺς ἀποστόλους 20 ἀπὸ τοῦ δεσμωτηρίου ἄγγελος ἐκβάλλῃ καὶ λέγῃ· «πορευθέντες στῆτε καὶ λαλεῖτε ἐν τῷ ἱερῷ τῷ λαῷ τὰ ῥήματα τῆς ζωῆς ταύτης». Τί τὰ ἄλλα λέγω; καὶ αὐτῷ Παύλῳ ἄγγελος φαίνεται.

Ὁρᾷς αὐτοὺς διακονοῦντας ἡμῖν διὰ τὸν Θεὸν καὶ εἰς τὰ μέγιστα διακονοῦντας; Διὰ τοῦτό φησιν ὁ Παῦλος· «πάντα ὑ- 25 μῶν, εἴτε ζωή, εἴτε θάνατος, εἴτε κόσμος, εἴτε ἐνεστῶτα, εἴτε μέλλοντα». Ἐπέμφθη μὲν οὖν καὶ ὁ Υἱός, ἀλλ' οὐχ ὡς διάκονος, οὐδὲ ὡς λειτουργός, ἀλλ' ὡς Υἱὸς καὶ μονογενής, καὶ τὰ αὐτὰ τῷ Πατρὶ βουλόμενος. Μᾶλλον δὲ οὐδὲ ἐπέμφθη· οὐ γὰρ ἐκ τόπου εἰς τόπον μετέβη, ἀλλὰ σάρκα ἀνέλαβεν· οὗτοι δὲ τόπους ἀμεί- 30 βουσι, καὶ τοὺς προτέρους ἀφέντες ἐν οἷς εἰσιν, οὕτως εἰς ἑτέρους ἔρχονται ἐν οἷς οὐκ ἦσαν. Καὶ τοῦτο δὲ πάλιν παραθαρρύνων αὐτοὺς λέγει· τί δεδοίκατε; ἄγγελοι διακονοῦσιν ἡμῖν.

Καὶ εἰπὼν περὶ τοῦ Υἱοῦ, καὶ τὰ κατὰ τὴν οἰκονομίαν, καὶ τὰ κατὰ τὴν δημιουργίαν, καὶ τὰ κατὰ τὴν βασιλείαν, καὶ τὸ ὁμό-

9. Πράξ. 1,11. 10. Πράξ. 5,20. 11. Α' Κορ. 3,22.

ὡς Κύριος σώζει, ἐνῶ αὐτοὶ εἶναι δοῦλοι. Καὶ ἐμεῖς εἴμαστε δοῦλοι καὶ σύνδουλοι τῶν ἀγγέλων. Γιατί, λέγει, βλέπετε μὲ ἀνοικτὸ τὸ στόμα πρὸς τοὺς ἀγγέλους; Δοῦλοι εἶναι τοῦ Υἱοῦ τοῦ Θεοῦ καὶ πολλὲς φορὲς στέλνονται γιὰ μᾶς καὶ ὑπηρετοῦν γιὰ τὴ δική μας σωτηρία. Ὥστε εἶναι ὁμόδουλοί μας. Σκεφθεῖτε πῶς δὲ δίνει μεγάλη διαφορὰ στὰ κτίσμτα, ἂν καὶ εἶναι μεγάλη ἡ ἀπόσταση ἀνάμεσα στοὺς ἀγγέλους καὶ στοὺς ἀνθρώπους. Ὅμως τοὺς κατεβάζει κοντά μας, σὰν νὰ λέγει· γιὰ μᾶς κουράζονται, γιὰ μᾶς τρέχουν, ἐμᾶς, ὅπως θὰ μποροῦσε νὰ πεῖ κάποιος, ὑπηρετοῦν. Αὐτὴ εἶναι ἡ ὑπηρεσία τους, τὸ νὰ στέλνονται παντοῦ γιὰ μᾶς.

3. Καὶ μ' αὐτὰ τὰ παραδείγματα εἶναι γεμάτη καὶ ἡ Παλαιὰ καὶ ἡ Καινὴ Διαθήκη. Ὅταν δηλαδὴ φέρνουν χαρμόσυνο ἄγγελμα στοὺς ποιμένες, στὴ Μαρία, στὸν Ἰωσήφ, ὅταν κάθονται στὸ μνῆμα, ὅταν στέλνονται νὰ ποῦν στοὺς μαθητές, «Γαλιλαῖοι, τί σταθήκατε καὶ κοιτάζετε στὸν οὐρανό;»[9], ὅταν ἐλευθερώνουν τὸν Πέτρο ἀπὸ τὴ φυλακή, ὅταν μιλοῦν στὸ Φίλιππο, πῶς δὲ μᾶς ὑπηρετοῦν; Σκέψου λοιπὸν πόση εἶναι ἡ τιμή, ὅταν ὁ Θεὸς στέλνει διακόνους τοὺς ἀγγέλους σὰν πρὸς φίλους, ὅταν ἄγγελος παρουσιάζεται στὸν Κορνήλιο, ὅταν ἄγγελος βγάζει ὅλους τοὺς ἀποστόλους ἀπὸ τὴ φυλακὴ καὶ λέγει· «πηγαίνετε, σταθεῖτε στὸ ναὸ καὶ κηρύτετε στὸ λαὸ γιὰ τὴ νέα αὐτὴ ζωή»[10]. Καὶ γιατὶ λέγω τὰ ἄλλα; Καὶ στὸν ἴδιο τὸν Παῦλο ἄγγελος παρουσιάζεται.

Βλέπεις ὅτι μᾶς ὑπηρετοῦν γιὰ τὸ Θεό, καὶ ὅτι μᾶς ὑπηρετοῦν στὰ πολὺ μεγάλα πράγματα; Γι' αὐτὸ λέγει ὁ Παῦλος· «ὅλα εἶναι δικά σας, εἴτε ἡ ζωή, εἴτε ὁ θάνατος, εἴτε ὁ κόσμος, εἴτε τὰ παρόντα, εἴτε τὰ μελλοντικά»[11]. Στάλθηκε βέβαια καὶ ὁ Υἱός, ὄχι ὅμως ὡς διάκονος οὔτε ὡς ὑπηρέτης, ἀλλ' ὡς Υἱὸς καὶ μονογενὴς καὶ θέλοντας τὰ ἴδια μὲ τὸν Πατέρα. Ἢ καλύτερα δὲν στάλθηκε, γιατὶ δὲν πῆγε ἀπὸ τόπο σὲ τόπο, ἀλλ' ἀνέλαβε σάρκα. Οἱ ἄγγελοι ὅμως ἀλλάζουν τόπους καὶ ἀφήνοντας τοὺς πρώτους στοὺς ὁποίους βρίσκονται, ἔτσι ἔρχονται σὲ ἄλλους στοὺς ὁποίους δὲν ἦταν. Καὶ ἐνθαρρύνοντας πάλι αὐτοὺς λέγει· γιατί φοβᾶστε; οἱ ἄγγελοι μᾶς ὑπηρετοῦν.

Καὶ ἀφοῦ εἶπε γιὰ τὸν Υἱὸ καὶ τὰ σχετικὰ μὲ τὴν οἰκονομία τοῦ Θεοῦ, τὴ δημιουργία καὶ τὴ βασιλεία, καὶ ἀφοῦ ἔδειξε τὴν

τιμον δείξας, καὶ ὅτι ὡς Δεσπότης κρατεῖ, οὐχὶ τῶν ἀνθρώπων μόνον, ἀλλὰ καὶ τῶν ἄνω δυνάμεων, λοιπὸν παρακαλεῖ αὐτούς, κατασκευάσας τὸν λόγον, ὥστε προσέχειν ἡμᾶς τοῖς ἀκουσθεῖσι, καί φησι· «διὸ χρὴ περισσοτέρως ἡμᾶς προσέχειν τοῖς ἀκου-
5 σθεῖσιν». Ἐνταῦθα βουλόμενος εἰπεῖν, ὅτι δεῖ περισσοτέρως τοῦ νόμου προσέχειν, ἐσιώπησεν αὐτό, δῆλον δὲ ὅμως τοῦτο ποιεῖ ἐν τῇ κατασκευῇ, οὐκ ἐν συμβουλῇ, οὐδὲ ἐν παρακλήσει· οὕτω γὰρ ἄμεινον ἦν. «Εἰ γὰρ ὁ δι' ἀγγέλων λαληθεὶς λόγος», φησίν, «ἐγένετο βέβαιος, καὶ πᾶσα παράβασις καὶ παρακοὴ ἔλαβεν ἔνδικον
10 μισθαποδοσίαν, πῶς ἡμεῖς ἐκφευξόμεθα, τηλικαύτης ἀμελήσαντες σωτηρίας; ἥτις ἀρχὴν λαβοῦσα λαλεῖσθαι διὰ τοῦ Κυρίου, εἰς ἡμᾶς ὑπὸ τῶν ἀκουσάντων ἐβεβαιώθη».

Διὰ τί «περισσοτέρως ἡμᾶς δεῖ προσέχειν τοῖς ἀκουσθεῖσιν»; οὐχὶ κἀκεῖνα Θεοῦ καὶ ταῦτα; Ἢ τοίνυν περισσοτέρως τοῦ
15 νόμου φησίν, ἢ ὅτι μεγάλως· οὐχὶ συγκρίνων, μὴ γένοιτο. Ἐπειδὴ γὰρ ὑπὸ τοῦ χρόνου τοῦ πολλοῦ μεγάλην εἶχον περὶ τῆς Παλαιᾶς ὑπόληψιν, ταῦτα δὲ ὡς νέα ἔτι καταπεφρόνητο, δείκνυσιν ἐκ περιουσίας, ὅτι τούτοις δεῖ μᾶλλον προσέχειν. Πῶς; Μονονουχὶ λέγων, ὅτι τοῦ Θεοῦ μὲν καὶ ταῦτα κἀκεῖνα, ἀλλ' οὐχ
20 ὁμοίως. Καὶ τοῦτο ἡμῖν ὕστερον δείκνυσι· τέως δὲ ἐπιπολαιότερον αὐτὸ κατασκευάζει, ὕστερον δὲ φανερώτερον, λέγων· «εἰ γὰρ ἡ πρώτη ἐκείνη ἦν ἄμεμπτος»· καὶ πάλιν, «τὸ γὰρ παλαιούμενον καὶ γηράσκον ἐγγὺς ἀφανισμοῦ»· καὶ πολλὰ ἕτερα τοιαῦτα. Ἀλλ' οὔπω τολμᾷ τοιοῦτον οὐδὲν εἰπεῖν ἐν προοιμίοις, ἕως
25 ἂν προκαταλάβῃ καὶ κατάσχῃ ταῖς πλείοσι προκατασκευαῖς τὸν ἀκροατήν.

Διὰ τί τοίνυν «δεῖ περισσοτέρως ἡμᾶς προσέχειν», εἰπέ. «Μήποτε», φησί, «παραρρυῶμεν». Τουτέστι, μὴ ἀπολώμεθα, μὴ ἐκπέσωμεν. Καὶ δείκνυσιν ἐνταῦθα τὸ χαλεπὸν τῆς ἐκπτώσε-
30 ως, ὅτι δύσκολον τὸ παραρρυὲν πάλιν ἐπανελθεῖν, καθότι ἐκ ῥαθυμίας τοῦτο συνέβη. Ἔλαβε δὲ τὴν λέξιν ἀπὸ τῶν Παροι-

---

12. Ἑβρ. 8,7.13.

ἰσοτιμία του πρὸς τὸν Πατέρα καὶ ὅτι ὡς Κύριος ἐξουσιάζει ὄχι μόνο τοὺς ἀνθρώπους, ἀλλὰ καὶ τὶς οὐράνιες δυνάμεις, στὴ συνέχεια τοὺς προτρέπει, μιλώντας ἔτσι, ὥστε νὰ προσέχουμε σ' αὐτὰ ποὺ ἀκούσαμε, καὶ λέγει· «γι' αὐτὸ πρέπει ἐμεῖς νὰ προσέχουμε περισσότερο σ' αὐτὰ ποὺ ἀκούσαμε». Ἐδῶ ἤθελε νὰ πεῖ ὅτι πρέπει νὰ τὰ προσέχουμε περισσότερο ἀπὸ τὸ νόμο, ἀλλὰ τὸ παρασιώπησε· τὸ κάνει ὅμως φανερὸ μ' αὐτὸ ποὺ λέγει, ὄχι μὲ συμβουλὴ οὔτε μὲ προτροπή, γιατὶ ἔτσι ἦταν καλύτερα. «Ἂν δηλαδὴ ὁ λόγος ποὺ κηρύχθηκε μέσω ἀγγέλων», λέγει, «ἀποδείχθηκε ἀληθινὸς καὶ κάθε παράβαση καὶ παρακοὴ τιμωρήθηκε δίκαια, πῶς ἐμεῖς θὰ ξεφύγουμε τὴν τιμωρία, ἂν ἀμελήσουμε γιὰ μιὰ τόσο μεγάλη σωτηρία; Ἡ σωτηρία αὐτὴ ἄχισε νὰ κηρύσσεται ἀπὸ τὸν Κύριο καὶ βεβαιώθηκε σὲ μᾶς ἀπὸ ἐκείους ποὺ τὴν ἄκουσαν».

Γιατί πρέπει ἐμεῖς νὰ προσέχουμε περισσότερο σ' αὐτὰ ποὺ ἀκούσαμε; Δὲν εἶναι καὶ ἐκεῖνα καὶ αὐτὰ τοῦ Θεοῦ; Ἢ λοιπὸν λέγει ὅτι πρέπει νὰ τὰ ἀκοῦμε περισσότερο ἀπὸ τὸ νόμο ἢ ὅτι σὲ μεγαλύτερο βαθμό· δὲν κάνει σύγκριση, μακριὰ μιὰ τέτοια σκέψη. Ἐπειδὴ λοιπὸν ἀπὸ τὸν πολὺ χρόνο εἶχαν μεγάλη ὑπόληψη γιὰ τὴν Παλαιὰ Διαθήκη, ἐνῶ αὐτὰ σὰν νέα ἀκόμη τὰ περιφρονοῦσαν, δείχνει μὲ κῦρος ὅτι σ' αὐτὰ πρέπει νὰ προσέχουν περισσότερο. Πῶς; Σὰν νὰ λέγει ὅτι τοῦ Θεοῦ εἶναι βέβαια καὶ αὐτὰ καὶ ἐκεῖνα, ἀλλ' ὄχι μὲ ὅμοιο τρόπο. Καὶ αὐτὸ μᾶς τὸ δείχνει ὕστερα. Πρῶτα ὅμως τὸ δείχνει λιγότερο καθαρὰ καὶ στὴ συνέχεια πιὸ φανερά, λέγοντας· «γιατί, ἂν ἐκείνη ἡ πρώτη διαθήκη ἦταν ἄμεμπτη»· καὶ πάλι, «γιατὶ ἐκεῖνο ποὺ παλιώνει καὶ γερνάει πλησιάζει νὰ ἐξαφανισθεῖ»[12], καὶ πολλὰ ἄλλα τέτοια. Ἀλλὰ δὲν τολμᾶ ἀκόμη νὰ πεῖ κάτι τέτοιο στὴν ἀρχή, μέχρι ποὺ νὰ προσελκύσει καὶ νὰ κερδίσει τὴν ἐμπιστοσύνη τοῦ ἀκροατῆ μὲ τὶς περισσότερες προετοιμασίες.

Γιατί λοιπόν, πές μας, πρέπει νὰ προσέχουμε περισσότερο; «Μὴ τυχόν», λέγει, «καὶ ἀπομακρυνθοῦμε ἀπ' αὐτά». Δηλαδή, νὰ μὴν καταστραφοῦμε, νὰ μὴν πέσουμε. Καὶ δείχνει ἐδῶ πόσο φοβερὸ πράγμα εἶναι ἡ πτώση, γιατὶ εἶναι δύσκολο ἐκεῖνο ποὺ ἀπομακρύνθηκε νὰ ἐπιστρέψει πάλι, ἐπειδὴ αὐτὸ ἔγινε ἀπὸ ρα-

μιῶν. «Υἱὲ» γάρ, φησί, «μὴ παραρρυῇς»· καὶ τὸ εὔκολον τοῦ ὀλίσθου δεικνύς, καὶ τὸ χαλεπὸν τῆς ἀπωλείας· τουτέστιν, οὐκ ἀκίνδυνος ἡμῖν ἡ παρακοή. Καὶ δι' ὧν μὲν κατασκευάζει δείκνυσιν ὅτι μείζων ἡ κόλασις. Ἀφίησι δὲ πάλιν αὐτὴν ἐν τῇ περιζητή-
5 σει καὶ οὐκ ἐν τῷ συμπεράσματι. Καὶ γὰρ τοῦτό ἐστιν ἀνεπαχθῆ τὸν λόγον ποιεῖν, μὴ ἀφ' ἑαυτοῦ πανταχοῦ τὴν κρίσιν ἐπάγοντα ἀποφαίνεσθαι, ἀλλὰ κύριον ἀφιέναι τὸν ἀκροατήν, ἵνα αὐτὸς ἐνέγκῃ τὴν ψῆφον· ὅπερ καὶ εὐγνωμονεστέρους ἐποίει γενέσθαι. Ποιεῖ δὲ αὐτὸ καὶ ἐν τῇ Παλαιᾷ ὁ προφήτης Νάθαν, καὶ ἐν τῷ
10 Ματθαίῳ ὁ Χριστὸς λέγων· «τί ποιήσει τοῖς γεωργοῖς τοῦ ἀμπελῶνος ἐκείνου;» καὶ αὐτοὺς ἀναγκάζων τὴν ψῆφον ἐξενεγκεῖν· τοῦτο γὰρ ἡ μεγίστη νίκη.

Εἶτα, εἰπών, «εἰ γὰρ ὁ δι' ἀγγέλων λαληθεὶς λόγος ἐγένετο βέβαιος», οὐκ ἐπήγαγε, 'πολλῷ μᾶλλον ὁ διὰ τοῦ Χριστοῦ', ἀλλὰ
15 τοῦτο μὲν εἴασεν, εἶπε δὲ τὸ ἔλαττον· «πῶς ἡμεῖς ἐκφευξόμεθα, τηλικαύτης ἀμελήσαντες σωτηρίας;». Καὶ ὅρα πῶς ποιεῖται τὴν σύγκρισιν· «εἰ γὰρ ὁ δι' ἀγγέλων λόγος λαληθείς», φησίν. Ἐκεῖ, «δι' ἀγγέλων», ἐνταῦθα δέ, «διὰ τοῦ Κυρίου»· κἀκεῖ μὲν λόγος, ἐνταῦθα δὲ σωτηρία. Εἶτα, ἵνα μὴ εἴπῃ τις, 'Τί δαί; ἃ σὺ λέγεις,
20 ὦ Παῦλε, ταῦτα τοῦ Χριστοῦ ἐστι;' προλαμβάνει καὶ ἀποδείκνυσι τὸ ἀξιόπιστον ἔχοντα. Τῷ τε παρ' ἐκείνου γὰρ ἀκηκοέναι αὐτὰ τὸ ἀξιόπιστον δείκνυσι, καὶ τῷ νῦν ὑπὸ τοῦ Θεοῦ αὐτὰ λέγεσθαι, οὐχ ἁπλῶς φωνῆς φερομένης, καθάπερ ἐπὶ Μωϋσέως, ἀλλὰ σημείων γινομένων καὶ πραγμάτων μαρτυρούντων.

25 4. Τί δέ ἐστιν, «εἰ γὰρ ὁ δι' ἀγγέλων λαληθεὶς λόγος ἐγένετο βέβαιος»; Καὶ ἐν τῇ πρὸς Γαλάτας οὕτω πως φησί· «διαταγεὶς δι' ἀγγέλων ἐν χειρὶ μεσίτου»· καὶ πάλιν, «ἐλάβετε τὸν νόμον εἰς διαταγὰς ἀγγέλων, καὶ οὐκ ἐφυλάξατε»· καὶ πανταχοῦ δι' ἀγγέλων αὐτόν φησι δίδοσθαι. Τινὲς μὲν οὖν τὸν Μωϋσέα φασὶν αἰ-

---

13. Παροιμ. 3,21. 14. Ματθ. 21,40.
15. Γαλ. 3,19. 16. Πράξ. 7,53.

θυμία. Αὐτὴ τὴ λέξη τὴν πῆρε ἀπὸ τὶς Παροιμίες. Γιατὶ λέγει, «υἱέ μου, πρόσεχε μὴν ἀπομακρυνθεῖς ἀπὸ τὸ δρόμο μου»[13]. Δείχνει ἔτσι καὶ τὸ εὔκολο τοῦ ὀλισθήματος καὶ τὸ φοβερὸ τῆς καταστροφῆς· δηλαδή, δὲν εἶναι ἀκίνδυνη γιὰ μᾶς ἡ παρακοή. Καὶ μὲ ὅσα προσθέτει δείχνει ὅτι εἶναι μεγαλύτερη ἡ τιμωρία. Αὐτὴν ὅμως τὴν ἀφήνει πάλι στὴν ἀναζήτηση καὶ ὄχι στὸ συμπέρασμα. Γιατὶ πραγματικὰ αὐτὸ κάνει τὸ λόγο λιγότερο ἐνοχλητικό, νὰ μὴν προσθέτει μόνος του τὴν ἀπόφαση, ἀλλὰ ν' ἀφήνει τὴν ἐξουσία στὸν ἀκροατή, γιὰ νὰ βγάλει αὐτὸς τὴν ἀπόφαση. Τὸ ἴδιο κάνει καὶ ὁ προφήτης Νάθαν στὴν Παλαιὰ Διαθήκη καὶ ὁ Χριστὸς στὸ εὐαγγέλιο τοῦ Ματθαίου λέγοντας, «τί θὰ κάνει στοὺς γεωργοὺς ἐκείνου τοῦ ἀμπελιοῦ;»[14], ἀναγκάζοντας τοὺς ἴδιους τοὺς ἀκροατὲς νὰ βγάλουν τὴν ἀπόφαση. Γιατὶ αὐτὸ εἶναι ἡ πιὸ μεγάλη νίκη.

Ἔπειτα, ἀφοῦ εἶπε, «ἂν λοιπὸν ὁ λόγος ποὺ κηρύχθηκε μέσω τῶν ἀγγέλων ἀποδείχθηκε ἀληθινός», δὲν πρόσθεσε, 'πολὺ περισσότερο εἶναι αὐτὸς ποὺ κηρύχθηκε ἀπὸ τὸ Χριστό'. Ἀλλ' αὐτὸ τὸ ἄφησε καὶ εἶπε τὸ μικρότερο, «πῶς ἐμεῖς θὰ ξεφύγουμε τὴν τιμωρία, ἂν ἀμελήσουμε γιὰ μιὰ τόσο μεγάλη σωτηρία;». Καὶ πρόσεχε πῶς κάνει τὴ σύγκριση. «Ἂν λοιπόν», λέγει, «ὁ λόγος ποὺ κηρύχθηκε μέσω τῶν ἀγγέλων». Ἐκεῖ «μέσω τῶν ἀγγέλων», ἐδῶ ὅμως «μέσω τοῦ Κυρίου»· καὶ ἐκεῖ λόγος, ἐδῶ ὅμως σωτηρία. Ἔπειτα, γιὰ νὰ μὴν πεῖ κανείς, 'Τί λοιπόν, ὅσα λέγεις ἐσύ, Παῦλε, εἶναι τοῦ Χριστοῦ;' τὸν προλαβαίνει καὶ δείχνει ὅτι ἔχει τὸ ἀξιόπιστο. Γιατὶ καὶ τὸ ὅτι τὰ ἄκουσε ἐκεῖνος αὐτὰ δείχνει τὸ ἀξιόπιστο καὶ μὲ τὸ ὅτι αὐτὰ λέγονται τώρα ἀπὸ τὸ Θεό, ὄχι ἁπλῶς μὲ φωνὴ ποὺ κατέβαινε ἀπὸ τὸν οὐρανό, ὅπως συνέβηκε στὴν περίπτωση τοῦ Μωυσῆ, ἀλλὰ μὲ σημεῖα ποὺ γίνονταν καὶ πράγματα ποὺ παρεῖχαν τὴν ἐπιβεβαίωση.

4. Τί σημαίνει ὅμως, «ἂν λοιπὸν ὁ λόγος ποὺ κηρύχθηκε μέσω τῶν ἀγγέλων ἀποδείχθηκε ἀληθινός»; Καὶ στὴν πρὸς Γαλάτας λέγει περίπου τὸ ἴδιο· «ὁ νόμος δόθηκε μέσω ἀγγέλων μὲ τὸ χέρι ἑνὸς μεσίτη»[15]. Καὶ πάλι, «πήρατε τὸ νόμο μέσω ἀγγέλων καὶ δὲν τὸν τηρήσατε»[16]. Καὶ παντοῦ λέγει ὅτι ὁ νόμος ἔχει δοθεῖ

νίττεσθαι· ἀλλ' οὐκ ἔχει λόγον· ἀγγέλους γὰρ ἐνταῦθα πολλούς φησι. Καὶ ἀγγέλους δὲ ἐνταῦθα τούτους φησὶ τοὺς ἐν τῷ οὐρανῷ. Τί οὖν ἐστιν εἰπεῖν; Ἤτοι τὴν δεκάλογόν φησι μόνον· ἐκεῖ γὰρ Μωϋσῆς ἐλάλει, καὶ ὁ Θεὸς ἀπεκρίνετο· ἢ ὅτι παρῆσαν ἄγγελοι,
5 *τοῦ Θεοῦ διαταττομένου· ἢ ὅτι περὶ τῶν ἐν τῇ Παλαιᾷ λεγομένων καὶ πραττομένων ἁπάντων, ὡς ἀγγέλων κοινωνησάντων ἐν τούτοις ταῦτά φησι. Πῶς δὲ ἀλλαχοῦ φησιν, ὅτι «ὁ νόμος διὰ Μωϋσέως ἐδόθη», ἐνταῦθα δὲ δι' ἀγγέλων; φησὶ γάρ, «καὶ κατέβη ὁ Θεὸς ἐν γνόφῳ».*

10 *«Εἰ γὰρ ὁ δι' ἀγγέλων λαληθεὶς λόγος ἐγένετο βέβαιος». Τί ἐστι, «βέβαιος»; Ἀληθής, ὡς ἂν τις εἴποι, καὶ πιστός· διότι ἐν τῷ προσήκοντι καιρῷ πάντα ἐξέβη τὰ λεχθέντα· ἢ τοίνυν τοῦτό φησιν, ἢ ὅτι ἐκράτησε, καὶ αἱ ἀπειλαὶ εἰς ἔργον ἤρχοντο· ἢ λόγον φησὶ τὰ προστάγματα. Πολλὰ γὰρ χωρὶς νόμου προσέταξαν ἄγ-*
15 *γελοι παρὰ Θεοῦ πεμπόμενοι· οἷον ἐπὶ τοῦ κλαυθμῶνος, ἐπὶ τῶν Κριτῶν, ἐπὶ τοῦ Σαμψών. Διὰ γὰρ τοῦτο οὐκ εἶπε, 'νόμος', ἀλλά, «Λόγος». Καὶ τάχα μοι δοκεῖ τοῦτο λέγειν δηλῶν διὰ τούτου μᾶλλον τὰ διὰ τῶν ἀγγέλων οἰκονομηθέντα. Τί οὖν ἐροῦμεν; Ὅτι παρῆσαν οἱ ἄγγελοι τότε οἱ τὸ ἔθνος ἐμπεπιστευμένοι, καὶ*
20 *αὐτοὶ τὰς σάλπιγγας ἐποίουν καὶ τὰ ἕτερα, τὸ πῦρ, τὸν γνόφον.*

«Καὶ πᾶσα παράβασις», φησί, «καὶ παρακοὴ ἔλαβεν ἔνδικον μισθαποδοσίαν». Οὐχ ἡ μέν, ἡ δὲ οὔ, ἀλλὰ πᾶσα. Οὐδὲν ἀνεκδίκητον ἔμεινε, φησίν, ἀλλ' «ἔλαβεν ἔνδικον μισθαποδοσίαν»· ἀντὶ τοῦ, κόλασιν. Καὶ τί δήποτε οὕτως εἶπεν; Οὕτως
25 *ἔθος τῷ Παύλῳ, μὴ πολὺν τῶν λέξεων ποιεῖσθαι λόγον, ἀλλ' ἀδιαφόρως καὶ ἐπὶ εὐφήμων τιθέναι κακέμφατα· οἷον καὶ ἀλλαχοῦ φησιν, «αἰχμαλωτίζοντες πᾶν νόημα εἰς τὴν ὑπακοὴν τοῦ Χριστοῦ». Καὶ πάλιν ἀλλαχοῦ τὴν ἀντιμισθίαν τέθεικεν ἀντὶ κολάσεως, καὶ ἐνταῦθα τὴν κόλασιν μισθὸν καλεῖ. «Εἰ δίκαιον»,*
30 *φησί, «παρὰ τῷ Θεῷ ἀνταποδοῦναι τοῖς θλίβουσιν ὑμᾶς θλῖψιν,*

---

17. Ἐξ. 19,20.
18. Κριτ. 2,1.
19. Β' Κορ. 10,5.
20. Β' Θεσ. 1,6.

μέσω ἀγγέλων. Μερικοὶ λοιπὸν ἰσχυρίζονται ὅτι ἐννοεῖ τὸ Μωυσῆ. Ἀλλ' αὐτὸ δὲν εὐσταθεῖ, γιατὶ ἐδῶ μιλάει γιὰ πολλοὺς ἀγγέλους. Καὶ ἀγγέλους ἐννοεῖ ἐδῶ ἐκείνους ποὺ βρίσκονται στὸν οὐρανό. Τί λοιπὸν μποροῦμε νὰ ποῦμε; Ἢ τὸ δεκάλογο ἐννοεῖ μόνο (γιατὶ ἐκεῖ ὁ Μωυσῆς μιλοῦσε καὶ ὁ Θεὸς ἀπαντοῦσε), ἢ ὅτι ἦταν παρόντες ἄγγελοι ποὺ τοὺς πρόσταζε ὁ Θεός, ἢ ὅτι μιλάει ἔτσι γιὰ ὅλα ὅσα λέγονται καὶ γίνονται στὴν Παλαιὰ Διαθήκη, ἐπειδὴ συμμετεῖχαν σὲ ὅλα ἄγγελοι. Πῶς ὅμως ἀλλοῦ λέγει ὅτι «ὁ νόμος δόθηκε μέσω τοῦ Μωυσῆ»[17] καὶ ἐδῶ ὅτι δόθηκε μέσω τῶν ἀγγέλων; Γιατὶ λέγει· «καὶ κατέβηκε ὁ Θεὸς μέσα σὲ γνόφο»[17].

«Ἂν λοιπὸν ὁ λόγος ποὺ κηρύχθηκε μέσω τῶν ἀγγέλων ἀποδείχθηκε βέβαιος». Τί σημαίνει «βέβαιος»; Ἀληθινός, ὅπως θὰ μποροῦσε νὰ πεῖ κανείς, καὶ πιστός, γιατὶ στὸν κατάλληλο καιρὸ πραγματοποιήθηκαν ὅλα ὅσα λέχθηκαν. Ἢ λοπὸν αὐτὸ ἐννοεῖ, ἢ ὅτι ἐπικράτησε καὶ οἱ ἀπειλὲς πραγματοποιοῦνταν· ἢ «λόγο» ἐννοεῖ τὰ προστάγματα. Γιατὶ οἱ ἄγγελοι, ἀποστελλόμενοι ἀπὸ τὸ Θεό, πρόσταζαν πολλὰ ἔξω ἀπὸ τὸ νόμο· ὅπως στὴν περίπτωση τοῦ «κλαυθμώνα»[18], τῶν Κριτῶν καὶ τοῦ Σαμψών. Γι' αὐτὸ λοιπὸν δὲν εἶπε 'νόμος', ἀλλὰ «λόγος». Καὶ νομίζω πὼς ἴσως τὸ λέγει αὐτὸ γιὰ νὰ δηλώσει μ' αὐτὸ μᾶλλον τὰ ὅσα οἰκονομήθηκαν μέσω ἀγγέλων. Τί λοιπὸν θὰ ποῦμε; Ὅτι παραβρίσκονταν τότε οἱ ἄγγελοι ποὺ εἶχαν ἀναλάβει τὸ ἔθνος, καὶ αὐτοὶ ἔκαναν τὶς σάλπιγγες καὶ τὰ ἄλλα, τὴ φωτιά, τὸ γνόφο.

«Καὶ κάθε παράβαση», λέγει, «καὶ παρακοὴ τιμωρήθηκε δίκαια». Ὄχι ἡ μία καὶ ἡ ἄλλη ὄχι, ἀλλὰ κάθε. Τίποτε δὲν ἔμεινε χωρὶς ἀνταπόδοση, λέγει, ἀλλὰ «ἔλαβε δίκαιη ἀνταπόδοση», ἀντὶ νὰ πεῖ 'τιμωρία'. Καὶ γιατί εἶπε ἔτσι; Ἔτσι συνηθίζει ὁ Παῦλος, νὰ μὴν κάνει μεγάλη διάκριση στὶς λέξεις, ἀλλ' ἀδιάφορα καὶ σὲ εὔφημα πράγματα νὰ χρησιμοποιεῖ κακόηχα· ὅπως καὶ ἀλλοῦ λέγει, «αἰχμαλωτίζουμε κάθε σκέψη καὶ τὴν κάνουμε νὰ ὑπακούει στὸ Χριστό»[19]. Καὶ πάλι ἀλλοῦ ἀνέφερε τὴν ἀνταμοιβὴ ἀντὶ γιὰ τὴν κόλαση, καὶ ἐδῶ καλεῖ μισθὸ τὴν τιμωρία. «Εἶναι δίκαιο στὸ Θεό», λέγει, «ν' ἀνταποδώσει θλίψη σ' ἐκείνους ποὺ σᾶς στενοχωροῦν καὶ σ' ἐσᾶς ποὺ θλίβεστε ἀνακούφιση»[20].

καὶ ὑμῖν τοῖς θλιβομένοις ἄνεσιν». Τουτέστιν, οὐ παρεφθάρη τὸ δίκαιον, ἀλλ' ἐπεξῆλθεν ὁ Θεός, καὶ τὴν δίκην περιέτρεψεν ἐπὶ τοὺς ἡμαρτηκότας· καίτοι τῶν ἁμαρτημάτων οὐ πάντων εἰς φανερὸν γινομένων, εἰ μὴ παραβαθείη τὰ διατεταγμένα.

5 *«Πῶς οὖν ἡμεῖς», φησίν, «ἐκφευξόμεθα, τηλικαύτης ἀμελήσαντες σωτηρίας;». Διὰ τούτου ἐδήλωσεν, ὅτι οὐ πολλή τις ἦν ἐκείνη ἡ σωτηρία. Καλῶς δὲ καὶ τό, «τηλικαύτης», προσέθηκεν. Οὐ γὰρ ἐκ πολέμων, φησίν, ἡμᾶς διασώσει νῦν, οὐδὲ τὴν γῆν καὶ τὰ ἐν τῇ γῇ ἀγαθὰ παρέξει, ἀλλὰ θανάτου κατάλυσις ἔσται, ἀλλὰ 10 διαβόλου ἀπώλεια, ἀλλ' οὐρανῶν βασιλεία, ἀλλὰ ζωὴ αἰώνιος. Ταῦτα γὰρ πάντα ἐν συντόμῳ ἐνέφηνεν εἰπών, «τηλικαύτης ἀμελήσαντες σωτηρίας. Εἶτα καὶ τὸ ἀξιόπιστον ἐπάγει· «ἥτις ἀρχὴν λαβοῦσα λαλεῖσθαι διὰ τοῦ Κυρίου»· τουτέστι, παρ' αὐτῆς τῆς πηγῆς ἔσχε τὴν ἀρχήν· οὐκ ἄνθρωπος αὐτὴν διεπόρθμευσεν εἰς 15 τὴν γῆν, οὐ κτιστὴ δύναμις, ἀλλ' αὐτὸς ὁ Μονογενής.*

«Ὑπὸ τῶν ἀκουσάντων εἰς ἡμᾶς ἐβεβαιώθη». Τί ἐστιν, «ἐβεβαιώθη»; Ἐπιστεύθη ἢ ἐξέβη· τὸν γὰρ ἀρραβῶνα, φησίν, ἔχομεν· τουτέτιν, οὐκ ἐσβέσθη, οὐκ ἔληξεν, ἀλλὰ κρατεῖ καὶ περιγίνεται. Τὸ δὲ αἴτιον, ἡ θεία δύναμις ἐνεργεῖ. Τί ἐστιν, «ὑπὸ 20 τῶν ἀκουσάντων»; Τουτέστιν, οἱ παρὰ τοῦ Κυρίου ἀκούσαντες αὐτοὶ ἡμᾶς ἐβεβαίωσαν. Μέγα τοῦτο καὶ ἀξιόπιστον. Ὅπερ καὶ Λουκᾶς φησιν ἐν ἀρχῇ τοῦ εὐαγγελίου· «καθὼς παρέδοσαν ἡμῖν οἱ ἀπ' ἀρχῆς αὐτόπται καὶ ὑπηρέται γενόμενοι τοῦ λόγου». Πῶς οὖν ἐβεβαιώθη; τί οὖν, εἰ οἱ ἀκούσαντες ἔπλασαν, φησί; Τοῦτο 25 τοίνυν ἀναιρῶν, καὶ δεικνὺς οὐκ ἀνθρωπίνην τὴν χάριν, ἐπήγαγε, «συνεπιμαρτυροῦντος τοῦ Θεοῦ». Οὐκ ἂν γάρ, εἰ ἔπλασαν, ὁ Θεὸς αὐτοῖς ἐμαρτύρησε. Μαρτυροῦσι μὲν κἀκεῖνοι, μαρτυρεῖ δὲ καὶ ὁ Θεός.

Πῶς μαρτυρεῖ; Οὐ λόγῳ, οὐδὲ φωνῇ· ἦν μὲν γὰρ καὶ τοῦτο 30 πιστόν· ἀλλὰ πῶς; «Σημείοις καὶ τέρασι καὶ ποικίλαις δυνάμεσι». Καλῶς τό, «ποικίλαις δυνάμεσι», τέθεικε, τὴν ἀφθονίαν

---

21. Λουκᾶ 1,2.

Δηλαδή, δὲ χάθηκε ἡ δικαιοσύνη, ἀλλὰ τὴν ἐφάρμοσε ὁ Θεὸς καὶ ἔστρεψε τὴν τιμωρία σ' αὐτοὺς ποὺ ἁμάρτησαν. Ὅμως τὰ ἁμαρτήματα δὲ γίνονται ὅλα στὰ φανερά, ἐκτὸς ἂν παραβιασθοῦν οἱ ἐντολές.

«Πῶς λοιπὸν ἐμεῖς», λέγει, «θὰ ξεφύγουμε τὴν τιμωρία, ἂν ἀμελήσουμε γιὰ μιὰ τόσο μεγάλη σωτηρία;». Μ' αὐτὸ δήλωσε ὅτι δὲν ἦταν μεγάλη ἐκείνη ἡ σωτηρία. Καὶ σωστὰ πρόσθεσε καὶ τὸ «τόσο μεγάλη». Γιατί, λέγει, δὲ θὰ μᾶς σώσει τώρα ἀπὸ πολέμους, οὔτε θὰ μᾶς δώσει τὴ γῆ καὶ τὰ ἀγαθά της, ἀλλὰ θὰ καταργηθεῖ ὁ θάνατος, θ' ἀφανισθεῖ ὁ διάβολος, θὰ μᾶς δοθεῖ ἡ βασιλεία τῶν οὐρανῶν, ἡ αἰώνια ζωή. Ὅλα λοιπὸν αὐτὰ τὰ δήλωσε μὲ συντομία λέγοντας, «ἂν ἀμελήσουμε γιὰ μιὰ τόσο μεγάλη σωτηρία». Στὴ συνέχεια προσθέτει καὶ τὸ ἀξιόπιστο· «ἡ σωτηρία αὐτὴ ἄρχισε νὰ κηρύττεται ἀπὸ τὸν Κύριο». Δηλαδή, ἀπὸ τὴν ἴδια τὴν πηγὴ ἔχει τὴν ἀρχή της· δὲν τὴ διαβίβασε στὴ γῆ ἄνθρωπος, οὔτε κτιστὴ δύναμη, ἀλλ' ὁ ἴδιος ὁ Μονογενής.

«Καὶ βεβαιώθηκε σὲ μᾶς ἀπὸ ἐκείνους ποὺ τὴν ἄκουσαν». Τί σημαίνει, «Βεβαιώθηκε»; Πιστεύθηκε ἢ πραγματοποιήθηκε. Γιατί, λέγει, ἔχουμε τὸν ἀρραβώνα· δηλαδή, δὲν ἔσβησε, δὲν ἔληξε, ἀλλ' ἐξακολουθεῖ νὰ ἰσχύει καὶ νὰ ἐπικρατεῖ. Καὶ ἡ αἰτία εἶναι ἡ ἐνέργεια τῆς θείας δύναμης. Τί σημαίνει, «ἀπὸ ἐκείνους ποὺ τὴν ἄκουσαν»; Δηλαδή, ἐκεῖνοι ποὺ τὴν ἄκουσαν ἀπὸ τὸν Κύριο, αὐτοὶ μᾶς τὴ βεβαίωσαν. Αὐτὸ εἶναι μεγάλο καὶ ἀξιόπιστο. Τὸ ἴδιο λέγει καὶ ὁ Λουκᾶς στὴν ἀρχὴ τοῦ Εὐαγγελίου· «ὅπως μᾶς παρέδωσαν ἐκεῖνοι ποὺ ἀπὸ τὴν ἀρχὴ ἦταν αὐτόπτες μάρτυρες καὶ ὑπηρέτες τοῦ κηρύγματος»[21]. Πῶς λοιπὸν βεβαιώθηκε; Καὶ τί γίνεται, λέγει, ἂν τὰ ἔπλασαν ἐκεῖνοι ποὺ τὰ ἄκουσαν; Ἀναιρώντας λοιπὸν αὐτὸ καὶ δείχνοντας πὼς ἡ χάρη δὲν εἶναι ἀνθρώπινη, πρόσθεσε· «καὶ ὁ Θεὸς ἔδινε τὴ μαρτυρία του». Ἂν δηλαδὴ τὰ ἔπλασαν ἐκεῖνοι, δὲ θὰ ἦταν δυνατὸ νὰ δώσει μαρτυρία σ' αὐτοὺς ὁ Θεός. Μαρτυροῦν δηλαδὴ ἐκεῖνοι, μαρτυρεῖ ὅμως καὶ ὁ Θεός.

Πῶς μαρτυρεῖ ὁ Θεός; Ὄχι μὲ λόγο οὔτε μὲ φωνὴ (γιατὶ ἦταν καὶ αὐτὸ ἀξιόπιστο), ἀλλὰ πῶς; «Μὲ σημεῖα καὶ τέρατα καὶ μὲ διάφορα θαύματα». Σωστὰ ἀνάφερε τὸ «καὶ μὲ διάφορα θαύ-

τῶν χαρισμάτων δηλῶν· ὅπερ οὐ γεγένηται ἐπὶ τῶν προτέρων, οὐδὲ τοσαῦτα σημεῖα, καὶ οὕτω διάφορα. Τουτέστιν, οὐχ ἁπλῶς ἐπιστεύσαμεν ἐκείνοις, ἀλλὰ διὰ σημείων καὶ τεράτων. Ὥστε οὐκ ἐκείνοις πιστεύομεν, ἀλλ' αὐτῷ τῷ Θεῷ. «Καὶ Πνεύματος 5 ἁγίου μερισμοῖς, κατὰ τὴν αὐτοῦ θέλησιν». Τί οὖν, ὅτι καὶ γόητες σημεῖα ποιοῦσι, καὶ Ἰουδαῖοι ἐν Βεελζεβοὺλ ἔλεγον αὐτὸν ἐκβάλλειν τὰ δαιμόνια; Ἀλλ' οὐ τοιαῦτα ποιοῦσι σημεῖα· διὰ τοῦτο εἶπε, «ποικίλαις δυνάμεσιν». Ἐκεῖνα γὰρ οὐ δύναμις, ἀλλ' ἀσθένεια καὶ φαντασία καὶ διάκενα πράγματα. Διὰ τοῦτο εἶπε, «Πνεύ- 10 ματος ἁγίου μερισμοῖς κατὰ τὴν αὐτοῦ θέλησιν».

5. Ἐνταῦθα καί τι ἄλλο αἰνίττεσθαί μοι δοκεῖ· εἰκὸς γὰρ μὴ εἶναι πολλοὺς ἐκεῖ χαρίσματα ἔχοντας, ἐκλελοιπέναι δὲ ταῦτα, ἅτε νωθροτέρων αὐτῶν γενομένων. Ἵνα οὖν αὐτοὺς καὶ ἐν τούτῳ παραμυθήσηται καὶ μὴ ἀφῇ καταπεσεῖν, τὸ πᾶν ἀνέθηκε 15 τῇ τοῦ Θεοῦ βουλῇ· αὐτὸς οἶδε τίνι τί συμφέρει, φησί, καὶ οὕτω καταμερίζει τὴν χάριν· ὅπερ καὶ ἐν τῇ πρὸς Κορινθίους ποιεῖ λέγων· «ὁ Θεὸς ἔθετο ἕνα ἕκαστον ἡμῶν, καθὼς ἠθέλησε»· καὶ πάλιν, «ἑκάστῳ δὲ ἡ φανέρωσις τοῦ Πνεύματος δίδοται πρὸς τὸ συμφέρον, κατὰ τὴν αὐτοῦ θέλησιν». Δείκνυσιν ὅτι τὸ χάρισμα 20 κατὰ τὴν τοῦ Πατρός ἐστιν θέλησιν. Πολλάκις δὲ καὶ δι' ἀκάθαρτον βίον καὶ νωθῆ οὐκ ἔλαβον πολλοὶ χάρισμα· ἐνίοτε δὲ καὶ καλὸν βίον ἔχοντες καὶ καθαρὸν οὐκ ἔλαβον· τί δήποτε; Ὥστε μὴ ἐκτραχηλισθῆναι, ὥστε μὴ φυσωθῆναι, ὥστε μὴ ῥαθυμοτέρους γενέσθαι, ὥστε μὴ πλέον ἐπαρθῆναι. Εἰ γὰρ καὶ χωρὶς χα- 25 ρίσματος αὐτὴ τοῦ καθαροῦ βίου ἡ συνείδησις ἱκανὴ ἐπᾶραι, πολλῷ μᾶλλον, ὅταν καὶ ἡ χάρις προσῇ. Ὥστε τοῖς ταπεινοῖς καὶ τοῖς ἀφελέσι μᾶλλον ἐδίδοτο· καὶ μάλιστα τοῖς ἀφελέσιν· «ἐν ἀφελότητι» γάρ, φησί, «καὶ ἐν ἀγαλλιάσει καρδίας». Καὶ γὰρ καὶ ταύτῃ προέτρεψεν αὐτοὺς μᾶλλον· καὶ εἰ ῥαθυμότεροι ἦσαν, κα- 30 τένυξεν.

---

22. Α΄ Κορ. 12,18.7.
23. Πράξ. 2,46.

ματα», γιὰ νὰ δηλώσει τὴν ἀφθονία τῶν χαρισμάτων, πράγμα ποὺ δὲν ἔγινε στοὺς προηγουμένους, οὔτε ἔγιναν τόσα θαύματα καὶ τόσο διαφορετικά. Δηλαδή, δὲν πιστέψαμε ἁπλῶς σ' ἐκείνους, ἀλλὰ μὲ σημεῖα καὶ τέρατα. Ἑπομένως δὲν πιστεύουμε σ' ἐκείνους, ἀλλὰ στὸν ἴδιο τὸ Θεό. «Καὶ μὲ τὸ διαμοιρασμὸ τῶν χαρισμάτων τοῦ ἁγίου Πνεύματος, σύμφωνα μὲ τὸ θέλημά του». Τί λοιπὸν σημαίνει αὐτό, τὴ στιγμὴ ποὺ καὶ οἱ γόητες κάνουν θαύματα καὶ οἱ Ἰουδαῖοι ἔλεγαν ὅτι μὲ τὴ δύναμη τοῦ Βεελζεβοὺλ ὁ Χριστὸς βγάζει τὰ δαιμόνια; Ἀλλὰ δὲν κάνουν τέτοια θαύματα· γι' αὐτὸ εἶπε, «μὲ ποικίλες δυνάμεις». Γιατὶ ἐκεῖνα δὲν ἦταν δύναμη, ἀλλ' ἀδυναμία καὶ φαντασία καὶ μάταια πράγματα. Γι' αὐτὸ εἶπε, «μὲ τὸ διαμοιρασμὸ τῶν χαρισμάτων τοῦ ἁγίου Πνεύματος, σύμφωνα μὲ τὸ θέλημά του».

5. Ἐδῶ νομίζω πὼς ὑπονοεῖ καὶ κάτι ἄλλο. Φυσικὸ δηλαδὴ ἦταν νὰ μὴν ὑπῆρχαν ἐκεῖ πολλοὶ μὲ χαρίσματα καὶ νὰ εἶχαν ἐκλείψει αὐτά, ἐπειδὴ αὐτοὶ ἔγιναν νωθρότεροι. Γιὰ νὰ τοὺς παρηγορήσει καὶ σ' αὐτὸ καὶ γιὰ νὰ μὴν τοὺς ἀφήσει νὰ πέσουν, ἀνέθεσε τὰ πάντα στὴ θέληση τοῦ Θεοῦ. Αὐτός, λέγει, ξέρει τί συμφέρει στὸν καθένα καὶ ἔτσι καταμερίζει τὴ χάρη, πράγμα ποὺ κάνει καὶ στὴν πρὸς Κορινθίους λέγοντας· «ὁ Θεὸς τοποθέτησε τὸν καθένα μας, ὅπως θέλησε», καί, «στὸν καθένα ὅμως δίνεται ἡ φανέρωση τοῦ ἁγίου Πνεύματος γιὰ κάποιο καλό, σύμφωνα μὲ τὴ θέληση τοῦ Θεοῦ»[22]. Δείχνει ὅτι τὸ χάρισμα δίνεται σύμφωνα μὲ τὴ θέληση τοῦ Πατέρα. Πολλὲς φορὲς ὅμως πολλοὶ δὲν ἔλαβαν χάρισμα ἀπὸ ἀκάθαρτο καὶ νωθρὸ βίο, καὶ μερικὲς φορές, ἂν καὶ εἶχαν καλὸ καὶ καθαρὸ βίο, δὲν ἔλαβαν· γιὰ ποιό λόγο; Γιὰ νὰ μὴν ἐκτραποῦν, νὰ μὴν ὑπερηφανευθοῦν, νὰ μὴ γίνουν ραθυμότεροι, νὰ μὴ ἀλαζονευθοῦν περισσότερο. Γιατί, ἂν καὶ χωρὶς χάρισμα ἡ ἴδια ἡ συνείδηση τοῦ καθαροῦ βίου μπορεῖ νὰ ὁδηγήσει σὲ ἔπαρση, πολὺ περισσότερο ὅταν ὑπάρχει καὶ ἡ χάρη. Ὥστε τὰ χαρίσματα δίνονταν περισσότερο στοὺς ταπεινοὺς καὶ στοὺς ἁπλοϊκούς, καὶ πιὸ πολὺ στοὺς ἁπλοϊκούς· γιατὶ λέγει, «μὲ ἁπλότητα καὶ ἀγαλλίαση καρδιᾶς»[23]. Πραγματικὰ καὶ μὲ τὸν τρόπο αὐτὸν τοὺς προέτρεψε περισσότερο· καὶ ἂν ἦταν ραθυμότεροι, τοὺς παρακίνησε.

Ὁ γὰρ ταπεινὸς καὶ μὴ μεγάλα περὶ ἑαυτοῦ φανταζόμενος, σπουδαιότερος γίνεται, ὅταν λάβῃ χάρισμα, ἅτε παρ' ἀξίαν εἰληφώς, καὶ οὐκ ἄξιον ἑαυτὸν εἶναι κρίνων· ὁ δέ τι κατωρθωκέναι νομίζων, ὀφειλὴν εἶναι τὸ πρᾶγμα ἡγούμενος καὶ πεφυσίωται. 5 Ὥστε ὁ Θεὸς συμφερόντως τὸ πρᾶγμα οἰκονομεῖ τοῦτο. Ὅπερ καὶ ἐν τῇ Ἐκκλησίᾳ συμβαῖνον ἴδοι τις ἄν· ὁ μὲν γὰρ ἔχει λόγον διδασκαλικόν, ὁ δὲ οὐδὲ διᾶραι τὸ στόμα δύναται. Μηδεὶς τοίνυν λυπείσθω διὰ τοῦτο· «ἑκάστῳ γὰρ ἡ φανέρωσις τοῦ Πνεύματος δίδοται πρὸς τὸ συμφέρον». Εἰ γὰρ ἄνθρωπος οἰκοδεσπότης 10 οἶδε τίνι ἐγχειρίσει, πολλῷ μᾶλλον ὁ Θεὸς ὁ ἐπιστάμενος τὸν νοῦν τῶν ἀνθρώπων, ὁ τὰ πάντα εἰδὼς πρὶν γενέσεως αὐτῶν. Ἕν ἐστι μόνον τὸ λύπης ἄξιον, τὸ ἁμαρτάνειν, ἄλλο δὲ οὐδέν.

Μὴ εἴπῃς, 'διὰ τί οὐκ ἔχω χρήματα; ἤ, εἰ εἶχον, παρέσχον ἂν τοῖς πένησιν'. Οὐκ οἶδας, εἰ εἶχες, εἰς μὴ μᾶλλον καὶ πλεονέ-15 κτης ἦς· νῦν μὲν γὰρ ταῦτα λέγεις, ἐν δὲ τῇ πείρᾳ γενόμενος, ἕτερος ἂν ἦς. Ἐπεὶ καὶ ὅταν ὦμεν κεκορεσμένοι, νομίζομεν ὅτι δυνάμεθα νηστεύειν, ὅταν δὲ μικρὸν διαλείπωμεν, ἕτερος ἡμᾶς ἐπεισέρχεται λογισμός. Πάλιν, ὅταν ὦμεν ἐκτὸς τῆς μέθης, νομίζομεν δύνασθαι περιγενέσθαι τοῦ πάθους, ὅταν δὲ ἁλῶμεν ὑπ' 20 αὐτῆς, οὐκέτι. Μὴ εἴπῃς, 'εἰς τί οὐκ ἔσχον χάρισμα διδασκαλικόν;' ἤ, 'εἰ εἶχον, μηρίους ἂν ᾠκοδόμησα'. Οὐκ οἶδας, εἰ εἶχες, μὴ εἰς κρίμα σοι ἐγένετο, μὴ βασκανία, μὴ ὄκνος παρεσκεύαζε τὸ τάλαντον κρύπτειν. Νῦν μὲν οὖν ἁπάντων τούτων ἀπήλλαξαι, καὶ τὸ σιτομέτριον ἐὰν μὴ δῷς, οὐκ ἐγκαλῇ· τότε δὲ μυρίοις ἂν 25 ὑπεύθυνος ἦς. Ἄλλως δέ, οὐδὲ νῦν ἐκτὸς εἶ τοῦ χαρίσματος. Δεῖξον ἐν τῷ μικρῷ, οἷος ἦς, εἰ ἐκεῖνο εἶχες· «εἰ γὰρ ἐν τῷ μικρῷ οὐ γίνεσθε», φησί, «πιστοί, πῶς τὸ μέγα ὑμῖν τις δώσει;»· δεῖξον ὡς ἡ χήρα· δύο γὰρ ὀβολοὺς εἶχεν ἐκείνη, καὶ ὅλα κατέβαλεν, ὅσα ἐκέκτητο.

---

24. Λουκᾶ 16,11.

Γιατὶ αὐτὸς ποὺ εἶναι ταπεινὸς καὶ δὲν ἔχει μεγάλη ἰδέα γιὰ τὸν ἑαυτό του γίνεται πιὸ ἐπιμελής, ὅταν λάβει ἕνα χάρισμα, ἐπειδὴ τὸ ἔλαβε χωρὶς ν' ἀξίζει καὶ ἐπειδὴ θεωρεῖ τὸν ἑαυτό του ἀνάξιο γι' αὐτό. Αὐτὸς ὅμως ποὺ νομίζει ὅτι ἔχει κατορθώσει κάτι, θεωρεῖ ὅτι τὸ πράγμα εἶναι ὀφειλὴ πρὸς αὐτὸν καὶ φουσκώνει ἀπὸ ἀλαζονεία. Ὥστε ὁ Θεὸς οἰκονομεῖ τὸ πράγμα αὐτὸ ὅπως συμφέρει. Αὐτὸ μπορεῖ νὰ τὸ δεῖ κανεὶς νὰ συμβαίνει καὶ στὴν ἐκκλησία· γιατὶ ἄλλος μπορεῖ νὰ κηρύττει καὶ ἄλλος οὔτε τὸ στόμα του μπορεῖ ν' ἀνοίξει. Κανεὶς λοιπὸν ἂς μὴ λυπᾶται γι' αὐτό, γιατὶ «στὸν καθένα δίνεται ἡ φανέρωση τοῦ ἁγίου Πνεύματος γιὰ κάποιο καλό». Ἂν δηλαδὴ ἕνας οἰκοδεσπότης γνωρίζει τί νὰ ἐμπιστευθεῖ στὸν καθένα, πολὺ περισσότερο ὁ Θεὸς ποὺ γνωρίζει καλὰ τὸ νοῦ τῶν ἀνθρώπων καὶ ξέρει τὰ πάντα πρὶν γεννηθοῦν αὐτοί. Ἕνα εἶναι μόνο τὸ ἄξιο λύπης, ἡ ἁμαρτία, καὶ κανένα ἄλλο.

Μὴ πεῖς, 'γιατί δὲν ἔχω χρήματα;' ἤ, 'ἂν εἶχα θὰ ἔδινα στοὺς φτωχούς'. Δὲν ξέρεις, ἂν εἶχες, ἂν δὲν ἤσουν καὶ περισσότερο πλεονέκτης· τώρα βέβαια τὰ λὲς αὐτά, ἀλλὰ ὅταν τὰ ἀποκτήσεις, θὰ γίνεις ἄλλος ἄνθρωπος. Γιατὶ καὶ ὅταν εἴμαστε χορτασμένοι νομίζουμε πὼς μποροῦμε νὰ νηστεύουμε· ὅταν ὅμως ἀφήσουμε νὰ περάσει ἕνα μικρὸ χρονικὸ διάστημα μᾶς ἔρχεται ἄλλη σκέψη. Πάλι, ὅταν δὲν εἴμαστε μεθυσμένοι νομίζουμε πὼς μποροῦμε νὰ νικήσουμε τὸ πάθος τῆς μέθης· ὅταν ὅμως μᾶς κυριέψει, δὲν ἔχουμε πιὰ τὴν ἴδια γνώμη. Μὴ πεῖς, 'γιατί δὲν ἔχω τὸ χάρισμα τῆς διδασκαλίας;' ἤ, 'ἂν τὸ εἶχα θὰ οἰκοδομοῦσα πάρα πολλούς'. Δὲν ξέρεις, ἂν τὸ εἶχες, μήπως ἀπέβαινε πρὸς καταδίκη σου, μήπως ὁ φθόνος ἢ ἡ ὀκνηρία γίνονταν αἰτία νὰ κρυβεῖ τὸ τάλαντο. Τώρα βέβαια εἶσαι ἀπαλλαγμένος ἀπ' ὅλα αὐτὰ καὶ ἂν δὲν δώσεις τὴν κανονισμένη μερίδα τροφῆς δὲν κατηγορεῖσαι, τότε ὅμως θὰ γίνεις ὑπεύθυνος γιὰ ἄπειρα πράγματα. Ἄλλωστε οὔτε τώρα εἶσαι ἔξω ἀπὸ τὸ χάρισμα. Δεῖξε στὸ μικρό, ποιός θὰ ἤσουν ἂν ἔχεις τὸ χάρισμα ἐκεῖνο· γιατὶ λέγει, «ἂν στὸ μικρὸ δὲ φαίνεστε ἀξιόπιστοι, πῶς θὰ σᾶς ἐμπιστευθεῖ κάποιος τὸ μεγάλο;»[24]. Δεῖξε ὅπως ἡ χήρα· γιατὶ δύο ὀβολοὺς εἶχε ἐκείνη καὶ ὅλα ὅσα εἶχε τὰ ἔδωσε.

Χρήματα ζητεῖς; δεῖξον ὅτι τῶν ὀλίγων καταφρονεῖς, ἵνα σοι πιστεύσω καὶ περὶ τῶν πολλῶν· εἰ δὲ μηδὲ τούτων καταφρονεῖς, πολλῷ μᾶλλον οὐδὲ ἐκείνων. Πάλιν, ἐν τῷ λόγῳ δεῖξον ὅτι κέχρησαι δεόντως τῇ παραινέσει καὶ τῇ συμβουλῇ. Οὐκ ἔχεις 5 εὐγλωττίαν τὴν ἔξωθεν; οὐκ ἔχεις νοημάτων ἀφθονίαν; ἀλλ' ὅμως ταῦτα τὰ κοινὰ οἶδας. Παῖδα ἔχεις, γείτονα ἔχεις, φίλον ἔχεις, ἀδελφὸν ἔχεις, οἰκείους ἔχεις· κἂν δημοσίᾳ ἐπὶ τῆς ἐκκλησίας μὴ δύνῃ λόγον ἀποτεῖναι μακρόν, τούτοις ἰδίᾳ δύνασαι παραινεῖν· ἐνταῦθα οὐ ῥητορείας χρεία, οὐδὲ μακρᾶς ἀποτάσεως· 10 δεῖξον ἐπὶ τούτων, ὅτι εἰ καὶ λόγον εἶχες, οὐκ ἂν ἠμέλησας. Εἰ δὲ ἐν τῷ μικρῷ οὐ σπουδάζεις, πῶς σοι πιστεύσω περὶ τοῦ μεγάλου; Ὅτι γὰρ τοῦτο ἕκαστος δύναται, ἄκουσον πῶς καὶ λαϊκοῖς τοῦτο ἐπέτρεψεν ὁ Παῦλος· «ἕκαστος», φησίν, «οἰκοδομεῖτε εἷς τὸν ἕνα, καθὼς καὶ ποιεῖτε»· καί, «παρακαλεῖτε ἀλλήλους ἐν 15 τοῖς λόγοις τούτοις».

Οἶδεν ὁ Θεὸς πῶς ἑκάστῳ διανείμῃ. Μὴ σὺ τοῦ Μωϋσέως εἶ βελτίων; Ἄκουσον πῶς ἀποδυσπετεῖ. «Μὴ ἐγὼ δύναμαι», φησί, «βατάζειν αὐτούς, ὅτι εἶπές μοι, ἆρον αὐτούς, ὡσεὶ ἄραι τιθηνὸς τὸν θηλάζοντα;» Τί οὖν ὁ Θεός; Ἐξεῖλεν ἀπὸ τοῦ 20 πνεύματος αὐτοῦ, καὶ ἔδωκε τοῖς ἄλλοις, δεικνὺς ὅτι οὐδὲ ὅτε ἐβάσταζεν αὐτούς, αὐτοῦ τοῦτο τὸ χάρισμα ἦν, ἀλλὰ τοῦ Πνεύματος. Εἰ τὸ χάρισμα εἶχες, πολλάκις ἂν ἐπήρθης, πολλάκις ἂν ἐξετράπης· οὐκ οἶδας σὺ σαυτόν, ὡς ὁ Θεός σε οἶδε. Μὴ λέγωμεν, 'εἰς τί τοῦτο, καὶ διὰ τί τοῦτο;' ὅταν οἰκονομῇ ὁ Θεός, μὴ 25 ἀπαιτῶμεν αὐτὸν εὐθύνας· τοῦτο γὰρ ἐσχάτης ἀσεβείας καὶ ἀπονοίας ἐστί. Δοῦλοί ἐσμεν, καὶ δοῦλοι πολὺ τοῦ Δεσπότου διεστηκότες, οὐδὲ τὰ ἐν ποσὶν ἐπιστάμενοι.

Μὴ δὴ τὴν βουλὴν τοῦ Θεοῦ περιεργαζώμεθα, ἀλλ' ὅπερ δέδωκε, τοῦτο φυλάττωμεν, κἂν μικρὸν ᾖ, κἂν ἔσχατον, καὶ 30 πάντως εὐδοκιμήσομεν· μᾶλλον δέ, οὐδὲν μικρὸν τῶν τοῦ Θεοῦ δωρεῶν ἐστιν· ἀλγεῖς ὅτι οὐκ ἔχεις χάρισμα διδασκαλίας; Εἰπὲ

---

25. Α' Θεσ. 5,11 καὶ 4,18.
26. Ἀριθμ. 11,12.

Ζητᾶς χρήματα; Δεῖξε ὅτι περιφρονεῖς τὰ λίγα, γιὰ νὰ σοῦ ἐμπιστευθῶ καὶ γιὰ τὰ πολλά· ἂν ὅμως δὲν περιφρονεῖς αὐτά, πολὺ περισσότερο δὲ θὰ περιφρονήσεις καὶ ἐκεῖνα. Πάλι, στὸ λόγο δεῖξε ὅτι χρησιμοποιεῖς ὅπως πρέπει τὴν παραίνεση καὶ τὴ συμβουλή. Δὲν ἔχεις τὴν ἐξωτερικὴ εὐγλωττία; δὲν ἔχεις πλοῦτο νοημάτων; Ἀλλ' ὅμως ξέρεις αὐτὰ τὰ κοινά. Ἔχεις παιδί, γείτονα, φίλο, ἀδελφό, συγγενεῖς. Ἂν δὲν μπορεῖς νὰ βγάλεις δημόσια στὴν ἐκκλησία μακρὸ λόγο, μπορεῖς νὰ τοὺς συμβουλεύεις αὐτοὺς ἰδιαιτέρως. Ἐδῶ δὲ χρειάζεται ρητορεία οὔτε πολλὰ λόγια· δεῖξε σ' αὐτοὺς ὅτι, ἂν εἶχες εὐγλωττία λόγου, δὲν θ' ἀδιαφοροῦσες. Ἂν στὸ μικρὸ δὲ φροντίζεις, πῶς θὰ σοῦ ἐμπιστευθῶ γιὰ τὸ μεγάλο; Τὸ ὅτι λοιπὸν αὐτὸ τὸ μπορεῖ ὁ καθένας, ἄκουσε πῶς τὸ ἐπέτρεψε ὁ Παῦλος καὶ στοὺς λαϊκούς· «νὰ οἰκοδομεῖτε», λέγει, «ὁ ἕνας τὸν ἄλλον, ὅπως καὶ κάνετε» καὶ «νὰ παρηγορεῖ ὁ ἕνας τὸν ἄλλον μὲ τὰ λόγια αὐτά»[25].

Ὁ Θεὸς γνωρίζει πῶς νὰ μοιράσει στὸν καθένα τὰ χαρίσματα. Μήπως εἶσαι ἐσὺ καλύτερος ἀπὸ τὸ Μωυσῆ; Ἄκουσε πῶς δυσανασχετεῖ. «Μήπως ἐγώ», λέγει «μπορῶ νὰ βαστάζω τὸ λαὸ αὐτόν, ἐπειδὴ μοῦ εἶπες, πάρε τὸ λαὸ αὐτόν, ὅπως ἡ τροφὸς παίρνει στὴν ἀγκαλιά της τὸ νήπιο ποὺ θηλάζει;»[26]; Καὶ τί ἔκαμε ὁ Θεός; Ἀφαίρεσε ἀπ' αὐτὸν τὴ χάρη καὶ τὴν ἔδωσε στοὺς ἄλλους, δείχνοντας ὅτι οὔτε ὅταν βάσταζε τὸ λαὸ ἦταν δικό του τὸ χάρισμα, ἀλλὰ τοῦ Πνεύματος. Ἂν εἶχες τὸ χάρισμα πολλὲς φορὲς θὰ ὑπερηφανευόσουν, πολλὲς φορὲς θὰ εἶχες παρεκτραπεῖ· δὲν ξέρεις ἐσὺ τὸν ἑαυτό σου, ὅπως σὲ ξέρει ὁ Θεός. Ἂς μὴ λέμε, 'σὲ τί ἀποβλέπει αὐτὸ καὶ γιατί γίνεται αὐτό;' Ὅταν οἰκονομεῖ ὁ Θεός, ἂς μὴν τοῦ ζητοῦμε εὐθύνες. Γιατὶ αὐτὸ εἶναι γνώρισμα τῆς χειρότερης ἀσέβειας καὶ ἀνοησίας. Δοῦλοι εἴμαστε, καὶ μάλιστα δοῦλοι ποὺ διαφέρουμε πολὺ ἀπὸ τὸν Κύριο καὶ δὲ γνωρίζουμε αὐτὰ ποὺ συμβαίνουν κάθε ἡμέρα.

Ἂς μὴν περιεργαζόμαστε τὴν ἀπόφαση τοῦ Θεοῦ, ἀλλὰ ἐκεῖνο ποὺ μᾶς ἔδωσε ἂς τὸ διατηροῦμε, εἴτε εἶναι μικρὸ εἴτε εἶναι τὸ πιὸ ἀσήμαντο, καὶ ὁπωσδήποτε θὰ προκόψουμε. Ἢ καλύτερα, τίποτε δὲν εἶναι μικρὸ ἀπὸ τὶς δωρεὲς τοῦ Θεοῦ. Στενοχωριέσαι γιατὶ δὲν ἔχεις τὸ χάρισμα τῆς διδασκαλίας; Πές μου λοι-

δή μοι, τί σοι δοκεῖ μεῖζον εἶναι, χάρισμα διδασκαλίας, ἢ χάρισμα ἰαμάτων; Πάντως τοῦτο. Τί δέ, τοῦ νόσους ἀπελαύνειν οὐ δοκεῖ σοι μεῖζον εἶναι τὸ τυφλοὺς ὀμματοῦν; οὐ δοκεῖ σοι μεῖζον εἶναι τὸ νεκροὺς ἀνιστᾶν; Τί δέ, εἰπέ μοι; τοῦ λόγῳ τοῦτο ποιεῖν οὐ δοκεῖ σοι μεῖζον εἶναι τὸ σκιαῖς καὶ σουδαρίοις τοῦτο ἐργάζεσθαι; Τί οὖν θέλεις, εἰπέ μοι, σκιαῖς καὶ σουδαρίοις νεκροὺς ἀνιστᾶν, ἢ τὸ χάρισμα τῆς διδασκαλίας ἔχειν; Πάντως ἐκεῖνο ἐρεῖς, τὸ σκιαῖς καὶ σουδαρίοις νεκροὺς ἀνιστᾶν.

6. Ἂν οὖν σοι δείξω, ὅτι πολλῷ τούτου μεῖζόν ἐστιν ἕτερον χάρισμα, καὶ ἐξόν σοι λαβεῖν, οὐ λαμβάνων, δικαίως καὶ τούτων ἀπεστέρησαι, τί ἐρεῖς; Πλὴν τοῦτο τὸ χάρισμα οὐχ ἑνί, οὐδὲ δευτέρῳ, ἀλλὰ πᾶσιν ἔξεστιν ἔχειν. Οἶδα ὅτι κεχήνατε καὶ ἐξεπλάγητε, εἴ γε μέλλοιτε ἀκούσεσθαι, ὅτι ἔξεστιν ὑμῖν μεῖζον χάρισμα ἔχειν τοὺς νεκροὺς ἀνιστᾶν, καὶ τυφλοὺς ὀμματοῦν, καὶ ἐκεῖνα ποιεῖν ἃ καὶ ἐπὶ τῶν ἀποστόλων· καὶ τάχα καὶ ἄπιστον ὑμῖν εἶναι δοκεῖ. Τί οὖν τοῦτό ἐστι τὸ χάρισμα; Ἡ ἀγάπη. Ἀλλὰ πιστεύσατέ μοι· οὐκ ἐμὸς γὰρ οὗτος ὁ λόγος, ἀλλὰ τοῦ Χριστοῦ διὰ Παύλου φθεγγομένου. Τί γάρ φησι; «Ζηλοῦτε τὰ χαρίσματα τὰ κρείττονα, καὶ ἔτι καθ' ὑπερβολὴν ὁδὸν ὑμῖν δείκνυμι». Τί ἐστιν, «ἔτι καθ' ὑπερβολήν»; Ὃ λέγει τοιοῦτόν ἐστι· Κορίνθιοι μέγα ἐφρόνουν ἐπὶ τοῖς χαρίσμασι τότε, καὶ οἱ ἔχοντες γλώσσας, τὸ ἐλάχιστον χάρισμα, ἐφυσιοῦντο κατὰ τῶν λοιπῶν. Λέγει οὖν, ὅλως θέλετε χαρίσματα; ἐγὼ δείκνυμι ὑμῖν ὁδὸν χαρισμάτων, οὐχ ἁπλῶς ὑπερέχουσαν, ἀλλὰ καθ' ὑπερβολήν. Εἶτά φησιν, «ἐὰν ταῖς γλώσσαις τῶν ἀγγέλων λαλῶ, ἀγάπην δὲ μὴ ἔχω, οὐδέν εἰμι· καὶ ἐὰν ἔχω πίστιν, ὥστε ὄρη μεθιστάνειν, ἀγάπην δὲ μὴ ἔχω, οὐδέν εἰμι».

Εἶδες χάρισμα; Οὐκοῦν ζήλωσον τοῦτο τὸ χάρισμα. Τοῦτο τοὺς νεκροὺς ἐγείρειν μεῖζον· τοῦτο τῶν ἄλλων ἁπάντων πολλῷ

---

27. Α΄ Κορ. 12,31.
28. Α΄ Κορ. 13,1.2.

πόν, τί νομίζεις πῶς εἶναι μεγαλύτερο, τὸ χάρισμα τῆς διδασκαλίας ἢ τὸ χάρισμα τῆς θεραπείας ἀσθενειῶν; Ἀσφαλῶς τὸ δεύτερο. Τί ὅμως, δὲ νομίζεις πὼς ἀπὸ τὴ θεραπεία τῶν ἀσθενειῶν μεγαλύτερο εἶναι τὸ νὰ ἀνοίγει κανεὶς τὰ μάτια τῶν τυφλῶν; δὲ νομίζεις πὼς μεγαλύτερο εἶναι νὰ ἀνασταίνει νεκρούς; Καὶ πές μου ἀκόμη, δὲ νομίζεις πὼς εἶναι μεγαλύτερο τὸ νὰ τὸ κάνει αὐτὸ μὲ σκιὲς καὶ σουδάρια, ἀπὸ τὸ νὰ τὸ κάνει μὲ λόγια; Τί λοιπὸν θέλεις, πές μου, ν' ἀνασταίνεις νεκροὺς μὲ σκιὲς καὶ σουδάρια ἢ νὰ ἔχεις τὸ χάρισμα τῆς διδασκαλίας; Ὁπωσδήποτε θὰ πεῖς τὸ πρῶτο, νὰ ἀνασταίνεις δηλαδὴ νεκροὺς μὲ σκιὲς καὶ σουδάρια.

6. Ἂν λοιπὸν σοῦ δείξω πὼς πολὺ ἀνώτερο ἀπ' αὐτὸ εἶναι ἄλλο χάρισμα, καὶ ἐνῶ μπορεῖ νὰ τὸ λάβεις δὲν τὸ λαμβάνεις, καὶ γι' αὐτὸ δικαίως χάνεις καὶ αὐτά, τί θὰ πεῖς; Ἀλλὰ τὸ χάρισμα αὐτὸ εἶναι δυνατὸ νὰ τὸ ἔχει ὄχι ἕνας οὔτε δύο, ἀλλ' ὅλοι οἱ ἄνθρωποι. Ξέρω ὅτι αἰσθανθήκατε κατάπληξη καὶ μεγάλη ἀπορία, ἀφοῦ πρόκειται ν' ἀκούσετε ὅτι μπορεῖτε νὰ ἔχετε χάρισμα ἀνώτερο ἀπὸ τὸ νὰ ἀνασταίνετε νεκρούς, ν' ἀνοίγετε τὰ μάτια τῶν τυφλῶν καὶ νὰ κάνετε ἐκεῖνα ποὺ γίνονταν καὶ στὴν ἐποχὴ τῶν ἀποστόλων· καὶ ἴσως τὸ θεωρεῖτε αὐτὸ ἀναξιόπιστο. Ποιό λοιπὸν εἶναι αὐτὸ τὸ χάρισμα; Ἡ ἀγάπη. Ὅμως πιστέψτε με, γιατὶ ὁ λόγος αὐτὸς δὲν εἶναι δικός μου, ἀλλὰ τοῦ Χριστοῦ, ποὺ μιλάει μέσω τοῦ Παύλου. Τί λοιπὸν λέγει; «Ὁ ζῆλος σας νὰ εἶναι γιὰ τὰ ἀνώτερα χαρίσματα. Σᾶς δείχνω καὶ ἕναν πολὺ ἀνώτερο δρόμο»[27]. Τί σημαίνει, «καὶ ἕναν πολὺ ἀνώτερο δρόμο»; Αὐτὸ ποὺ λέγει σημαίνει τὸ ἑξῆς· οἱ Κορίνθιοι τότε ὑπερηφανεύονταν γιὰ τὰ χαρίσματα καὶ ὅσοι εἶχαν τὸ χάρισμα νὰ μιλοῦν διάφορες γλῶσσες, τὸ μικρότερο χάρισμα, φέρονταν ἀλαζονικὰ στοὺς ἄλλους. Λέγει λοιπόν, θέλετε γενικὰ χαρίσματα; ἐγὼ σᾶς δείχνω ἕνα δρόμο χαρισμάτων, ὄχι ἁπλῶς ἀνώτερο, ἀλλὰ πολὺ ἀνώτερο. Στὴ συνέχεια λέγει· «ἂν μπορῶ νὰ μιλῶ τὶς γλῶσσες τῶν ἀγγέλων, ἀλλὰ δὲν ἔχω ἀγάπη, δὲν εἶμαι τίποτε. Καὶ ἂν ἔχω πίστη, ὥστε νὰ μετακινῶ βουνά, ἀλλὰ δὲν ἔχω ἀγάπη, δὲν εἶμαι τίποτε»[28].

Εἶδες χάρισμα; Λοιπὸν ζήλεψε αὐτὸ τὸ χάρισμα. Αὐτὸ εἶναι ἀνώτερο ἀπὸ τὸ ν' ἀνασταίνεις νεκρούς· αὐτὸ εἶναι πολὺ κα-

βέλτιον. Καὶ ὅτι τοῦτο οὕτως ἔχει, ἄκουσον τί φησιν ὁ Χριστὸς τοῖς μαθηταῖς διαλεγόμενος· «ἐν τούτῳ γνώσονται πάντες, ὅτι ἐμοὶ μαθηταί ἐστε, ἐὰν ἀγαπᾶτε ἀλλήλους». Εἶτα, δεικνὺς ἐν ποίῳ, οὐκ εἶπε τὰ θαύματα, ἀλλὰ τί; «Ἐὰν ἀγάπην ἔχητε ἐν ἀλ-
5 *λήλοις». Καὶ πάλιν πρὸς τὸν Πατέρα φησίν· «ἐν τούτῳ γνώσονται, ὅτι σύ με ἀπέστειλας, ἐὰν ὦσιν ἕν». Καὶ αὐτὸς ἔλεγε πρὸς τοὺς μαθητάς· «ἐντολὴν καινὴν δίδωμι ὑμῖν, ἵνα ἀγαπᾶτε ἀλλήλους». Τῶν τοίνυν τοὺς νεκροὺς ἀνιστώντων σεμνότερος ὁ τοιοῦτος καὶ λαμπρότερος· εἰκότως. Ἐκεῖνο μὲν γὰρ ὅλον τῆς*
10 *τοῦ Θεοῦ χάριτός ἐστι, τοῦτο δὲ καὶ τῆς σῆς σπουδῆς. Τοῦτο ὄντως Χριστιανοῦ· τοῦτο δείκνυσι τὸν τοῦ Χριστοῦ μαθητήν, τὸν ἐσταυρωμένον, τὸν οὐδὲν ἔχοντα κοινὸν ἐν τῇ γῇ· τούτου χωρὶς οὐδὲ μαρτύριον ὠφελῆσαί τι δύναται.*

Καὶ ἵνα μάθῃς, ὅρα τοῦτο σαφῶς· ἔλαβε δύο κορυφὰς ἀρε-
15 *τῶν ὁ μακάριος Παῦλος, μᾶλλον δὲ τρεῖς· τὰς ἐν τοῖς σημείοις, τὰς ἐν τῇ γνώσει, τὰς ἐν τῷ βίῳ· καὶ ταύτης ἄνευ οὐδὲν ἔφησεν εἶναι ταῦτα. Πῶς δὲ οὐδέν ἐστι ταῦτα, ἐγὼ λέγω. «Ἐὰν ψωμίσω μου», φησί, «τὰ ὑπάρχοντα, ἀγάπην δὲ μὴ ἔχω, οὐδέν εἰμι». Ἔστι γὰρ καὶ ψωμίζοντα μὴ εἶναι ἀγαπητικόν, καὶ χρήματα κε-*
20 *νοῦντα. Καὶ εἴρηται μὲν ἡμῖν ταῦτα ἀρκούντως ἐν τῷ τόπῳ τῷ περὶ τῆς ἀγάπης, κἀκεῖ παραπέμπομεν τοὺς ἐντυγχάνοντας· τέως δέ, ὅπερ ἔφην, ζηλώσωμεν τὸ χάρισμα, ἀγαπήσωμεν ἀλλήλους, καὶ οὐδενὸς ἑτέρου δεηθησόμεθα πρὸς τὴν τῆς ἀρετῆς κατόρθωσιν, ἀλλὰ πάντα ἡμῖν ἔσται εὔκολα χωρὶς ἱδρώτων, καὶ ἅπαντα*
25 *κατορθώσομεν μετὰ πολλῆς τῆς σπουδῆς.*

Ἀλλ' ἰδοὺ καὶ νῦν, φησί, ἀγαπῶμεν ἀλλήλους· ὁ μὲν γὰρ ἔχει φίλους δύο ἢ τρεῖς, ὁ δὲ τέτταρας. Ἀλλὰ τοῦτο οὐκ ἔστι διὰ τὸν Θεὸν ἀγαπᾶν, ἀλλὰ διὰ τὸ φιλεῖσθαι· τὸ δὲ διὰ τὸν Θεὸν ἀγαπᾶν, οὐ ταύτην ἔχει τὴν ἀρχὴν τῆς ἀγάπης, ἀλλὰ πρὸς πάντας,
30 *ὡς πρὸς ἀδελφούς, ὁ τοιοῦτος διακείσεται, τοὺς μὲν ὁμοπίστους, ἅτε γνησίους ὄντας ἀδελφούς, φιλῶν, τοὺς δὲ αἱρετικοὺς καὶ*

---

29. Ἰω. 13,35. 30. Ἰω. 17,21.
31. Ἰω. 13,34. 32. Α' Κορ. 13,3.

λύτερο ἀπ' ὅλα τὰ ἄλλα. Καὶ ὅτι τὸ πρᾶγμα εἶναι ἔτσι, ἄκουσε τί λέγει ὁ Χριστὸς μιλώντας στοὺς μαθητές· «ἀπ' αὐτὸ θὰ γνωρίσουν ὅλοι ὅτι εἶστε μαθητές μου, ἂν ἔχετε ἀγάπη ἀναμεταξύ σας»[29]. Στὴ συνέχεια, γιὰ νὰ δείξει μὲ ποιό πρᾶγμα, δὲν ἀνέφερε τὰ θαύματα, ἀλλὰ τί; «Ἂν ἔχετε ἀγάπη μεταξύ σας». Καὶ πάλι πρὸς τὸν Πατέρα λέγει· «ἀπ' αὐτὸ θὰ μάθουν ὅτι μ' ἔστειλες ἐσύ, ἂν εἶναι ἑνωμένοι»[30]. Καὶ αὐτὸς ἔλεγε πρὸς τοὺς μαθητές του· «σᾶς δίνω μιὰ νέα ἐντολή, νὰ ἀγαπᾶτε ὁ ἕνας τὸν ἄλλον»[31]. Ἀπὸ ἐκείνους λοιπὸν ποὺ ἀνασταίνουν νεκροὺς αὐτὸς εἶναι πιὸ σεβαστὸς καὶ πιὸ λαμπρός. Καὶ σωστά. Γιατὶ ἐκεῖνο τὸ χάρισμα ἀνήκει ὁλόκληρο στὴ χάρη τοῦ Θεοῦ, ἐνῶ αὐτὸ καὶ στὴ δική σου προσπάθεια. Αὐτὸ πράγματι εἶναι γνώρισμα τοῦ Χριστιανοῦ· αὐτὸ δείχνει τὸ μαθητὴ τοῦ Χριστοῦ, αὐτὸν ποὺ βασανίζεται, αὐτὸν ποὺ δὲν ἔχει κανένα κοινὸ στὴ γῆ. Χωρὶς αὐτὸ οὔτε τὸ μαρτύριο μπορεῖ νὰ ὠφελήσει σὲ κάτι.

Καὶ γιὰ νὰ μάθεις, πρόσεχε αὐτό καλά. Ὁ Παῦλος ἔλαβε δύο ἢ καλύτερα τρεῖς κορυφαῖες ἀρετές, νὰ ἐνεργεῖ θαύματα, νὰ γνωρίζει τὰ πάντα, νὰ ζεῖ ἐνάρετα, χωρὶς τὴν ἀγάπη ὅμως εἶπε ὅτι αὐτὰ δὲν εἶναι τίποτε. Καὶ πῶς αὐτὰ δὲν ἀξίζουν τίποτε, ἐγὼ θὰ τὸ πῶ. «Ἂν μοιράσω», λέγει, «ὅλα τὰ ὑπάρχοντά μου στοὺς φτωχούς, ἀλλὰ δὲν ἔχω ἀγάπη, δὲν εἶμαι τίποτε»[32]. Γιατὶ εἶναι δυνατὸ καὶ ὅταν ἀκόμη μοιράζει καὶ προσφέρει κανεὶς τὰ χρήματά του νὰ μὴν ἔχει ἀγάπη. Αὐτὰ ὅμως σᾶς λέχθηκαν ἱκανοποιητικὰ στὸ μέρος περὶ τῆς ἀγάπης, καὶ ἐκεῖ παραπέμπω τοὺς ἀναγνῶστες. Τώρα ὅμως, ὅπως εἶπα, ἂς ἐπιθυμήσουμε μὲ ζῆλο αὐτὸ τὸ χάρισμα, ἂς ἀγαπήσουμε ὁ ἕνας τὸν ἄλλον, καὶ δὲν θὰ χρειασθοῦμε τίποτε ἄλλο γιὰ τὴν ἐπίτευξη τῆς ἀρετῆς, ἀλλ' ὅλα σὲ μᾶς θὰ εἶναι εὔκολα χωρὶς κόπους καὶ ὅλα θὰ τὰ κατορθώσουμε πολὺ γρήγορα.

Ἀλλὰ νὰ καὶ τώρα, λέγει, ἀγαπᾶμε ὁ ἕνας τὸν ἄλλον· γιατὶ ὁ ἕνας ἔχει δύο ἢ τρεῖς φίλους καὶ ὁ ἄλλος τέσσερις. Αὐτὸ ὅμως δὲν εἶναι ἀγάπη γιὰ τὸ Θεό, ἀλλὰ γιὰ νὰ ἀγαπιέται κανεὶς ὁ ἴδιος, ἐνῶ ἡ ἀγάπη γιὰ τὸ Θεὸ δὲν ἔχει αὐτὴ τὴν ἀρχή, ἀλλ' αὐτὸς θὰ συμπεριφέρεται σ' ὅλους σὰν νὰ ἦταν ἀδελφοί του· τοὺς ὁμοπίστους, ἐπειδὴ εἶναι γνήσιοι ἀδελφοί, θὰ τοὺς ἀγαπάει, ἐνῶ τοὺς

Ἕλληνας καὶ Ἰουδαίους, ὡς ἀδελφοὺς μὲν κατὰ τὴν φύσιν, φαύλους δὲ τυγχάνοντας καὶ ἀχρήστους, ἐλεῶν, καὶ τηκόμενος ὑπὲρ αὐτῶν καὶ δακρύων.

Ἐν τούτῳ ὅμοιοι ἐσόμεθα τῷ Θεῷ, ἐὰν πάντας ἀγαπῶ-
5 *μεν, καὶ τοὺς ἐχθρούς, οὐκ ἐὰν σημεῖα ποιῶμεν. Ἐπεὶ καὶ τὸν Θεὸν θαυμάζομεν μὲν καὶ ὅταν θαύματα ἐργάζηται, πολλῷ δὲ πλέον, ὅταν φιλανθρωπεύηται, ὅταν ἀνεξικακῇ. Εἰ τοίνυν καὶ ἐπὶ τοῦ Θεοῦ ἐκεῖνο πολλοῦ θαύματος ἄξιον, πολλῷ μᾶλλον ἐπ' ἀνθρώπων εὔδηλον ὅτι τοῦτο ἡμᾶς θαυμαστοὺς ἀπεργάζεται.*
10 *Τοῦτο τοίνυν ζηλώσωμεν· καὶ Παύλου καὶ Πέτρου καὶ τῶν μυρίους ἀναστησάντων νεκροὺς οὐδὲν ἔλαττον ἕξομεν, κἂν πυρετὸν ἀπελάσαι μὴ δυνώμεθα· ἐκείνης δὲ χωρίς, κἂν αὐτῶν τῶν ἀποστόλων μείζονα ἐργασώμεθα σημεῖα, κἂν μυρίοις κινδύνοις ἑαυτοὺς ὑπὲρ τῆς πίστεως παραβάλωμεν, οὐδὲν ἡμῖν ἔσται ὄφε-*
15 *λος. Καὶ ταῦτα οὐκ ἐγὼ λέγω, ἀλλ' αὐτὸς ὁ τῆς ἀγάπης τρόφιμος ταῦτα ἐπίσταται· ἐκείνῳ τοίνυν πειθώμεθα.*

Οὕτω γὰρ δυνησόμεθα ἐπιτυχεῖν τῶν ἐπηγγελμένων ἀγαθῶν, ὧν γένοιτο πάντας ἡμᾶς μετασχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρί, ἅμα τῷ
20 *ἁγίῳ Πνεύματι, δόξα, κράτος, τιμή, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.*

αἱρετικούς, τοὺς εἰδωλολάτρες καὶ τοὺς Ἰουδαίους, ἐπειδὴ εἶναι ἀδελφοὶ κατὰ τὴ φύση ἀλλὰ φαῦλοι καὶ ἀχρεῖοι, θὰ τοὺς εὐσπλαχνίζεται, θὰ λειώνει καὶ θὰ κλαίει γι' αὐτούς.

Μ' αὐτὸ θὰ γίνουμε ὅμοιοι μὲ τὸ Θεό, ἂν τοὺς ἀγαπᾶμε ὅλους, ἀκόμη καὶ τοὺς ἐχθρούς μας, καὶ ὄχι ἂν κάνουμε θαύματα. Γιατὶ καὶ τὸ Θεὸ τὸν θαυμάζουμε καὶ ὅταν ἐνεργεῖ θαύματα, τὸν θαυμάζουμε ὅμως πολὺ περισσότερο ὅταν κάνει φιλανθρωπίες καὶ ὅταν δείχνει ἀνεξικακία. Ἐὰν λοιπὸν καὶ στὴν περίπτωση τοῦ Θεοῦ αὐτὸ εἶναι πολὺ ἀξιοθαύμαστο, πολὺ περισσότερο στὴν περίπτωση τῶν ἀνθρώπων εἶναι ὁλοφάνερο ὅτι αὐτὸ μᾶς καθιστᾶ ἀξιοθαύμαστους. Αὐτὸ λοιπὸν ἂς ποθήσουμε μὲ ζῆλο. Ἔτσι δὲ θὰ ἔχουμε τίποτε λιγότερο ἀπὸ τὸν Παῦλο καὶ τὸν Πέτρο καὶ ἀπὸ ἐκείνους ποὺ ἀνάστησαν ἄπειρους νεκρούς, ἔστω καὶ ἂν δὲν μποροῦμε νὰ σβήσουμε πυρετό. Χωρὶς τὴν ἀγάπη ὅμως, καὶ ἂν ἀκόμη ἐνεργήσουμε μεγαλύτερα θαύματα ἀπὸ τοὺς ἀποστόλους καὶ ἂν ριψοκινδυνέψουμε ἄπειρες φορὲς γιὰ χάρη τῆς πίστης, δὲ θὰ ἔχουμε κανένα ὄφελος. Καὶ αὐτὰ δὲν τὰ λέγω ἐγώ, ἀλλὰ τὰ γνωρίζει καλὰ ἐκεῖνος ὁ τρόφιμος τῆς ἀγάπης. Σ' ἐκεῖνον λοιπὸν ἂς πιστεύουμε.

Ἔτσι ἀσφαλῶς θὰ μπορέσουμε νὰ ἐπιτύχουμε τὰ ἀγαθὰ ποὺ μᾶς ἔχει ὑποσχεθεῖ ὁ Θεός, στὰ ὁποῖα εἴθε νὰ μετάσχουμε ὅλοι μας, μὲ τὴ χάρη καὶ τὴ φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μαζὶ μὲ τὸν ὁποῖο στὸν Πατέρα καὶ συγχρόνως στὸ ἅγιο Πνεῦμα ἀνήκει ἡ δόξα, ἡ δύναμη καὶ ἡ τιμή, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

Ο Μ Ι Λ Ι Α Δ'

(Ἑβρ. 2,5–15)

«Οὐ γὰρ ἀγγέλοις ὑπέταξε τὴν οἰκουμένην τὴν μέλλουσαν, περὶ ἧς λαλοῦμεν· διεμαρτύρατο δέ πού τις, λέγων· 'τί ἐστιν ἄνθρωπος ὅτι μιμνήσκῃ αὐτοῦ; ἢ υἱὸς ἀνθρώπου ὅτι ἐπισκέπτῃ αὐτόν; Ἠλάττωσας αὐτὸν βραχύ τι παρ' ἀγγέλους'».

5 *1.* *Ἠβουλόμην γνῶναι σαφῶς, εἴ τινες μετὰ τῆς προσηκούσης σπουδῆς τῶν λεγομένων ἀκούουσιν, εἰ μὴ παρὰ τὴν ὁδὸν τὰ σπέρματα ῥίπτομεν· οὕτω γὰρ ἂν προθυμότερον τὴν διδασκαλίαν ἐποιησάμην. Ἐροῦμεν γάρ, κἂν μηδεὶς ἀκούῃ, διὰ τὸν ἐπικείμενον παρὰ τοῦ Σωτῆρος φόβον. Διαμάρτυραι γάρ, φησί, τῷ*
10 *λαῷ τούτῳ· κἂν μὴ ἀκούσωσιν, αὐτὸς ἀνεύθυνος ἔσῃ. Εἰ δὲ ἐπεπείσμην περὶ τῆς ὑμετέρας σπουδῆς, οὐ διὰ τὸν φόβον ἔλεγον μόνον, ἀλλὰ καὶ μεθ' ἡδονῆς τοῦτο ἐποίουν. Νῦν μὲν γὰρ κἂν μηδεὶς ἀκούῃ, κἂν ἐμοὶ τὸ πρᾶγμα ἀκίνδυνον ᾖ τὸ ἐμαυτοῦ πληροῦντι, ἀλλ' ὅμως οὐ μεθ' ἡδονῆς ὁ πόνος γίνεται. Τί γὰρ ὄφε-*
15 *λος, ὅταν μὴ ἐγκαλῶμαι μὲν ἐγώ, ὠφελῆται δὲ μηδείς;*

Εἰ δέ τινες μέλλοιεν προσέχειν, οὐ τοσαύτην ἀπὸ τοῦ μὴ κολάζεσθαι ληψόμεθα ὄνησιν, ὅσην ἀπὸ τῆς προκοπῆς τῆς ὑμετέρας. Πῶς οὖν εἴσομαι τοῦτο; Ἐπιτηρήσας ὑμῶν τινας τοὺς οὐ πάνυ προσέχοντας, τούτους ἐρήσομαι κατ' ἰδίαν συντυχών, κἂν
20 *εὕρω τινὰ τῶν εἰρημένων κατέχοντας (οὐ λέγω πάντα· τοῦτο γὰρ ὑμῖν οὐ σφόδρα εὔκολον), ἀλλὰ ἂν ὀλίγα ἐκ πολλῶν, εὔδηλον ὅτι περὶ τῶν πολλῶν οὐδὲ ἀμφιβάλλω λοιπόν. Καὶ ἐχρῆν μὲν ἡμᾶς,*

ΟΜΙΛΙΑ Δ'

(Ἑβρ. 2,5–15)

«Γιατὶ ὁ Θεὸς δὲν ὑπέταξε στοὺς ἀγγέλους τὸν μελλοντικὸ κόσμο, γιὰ τὸν ὁποῖο μιλᾶμε. Καὶ τὸ διαβεβαίωσε αὐτὸ ἕνας ποὺ λέγει κάπου· 'τί εἶναι ὁ ἄνθρωπος, ὥστε νὰ τὸν θυμᾶσαι; ἢ τί εἶναι ὁ υἱὸς τοῦ ἀνθρώπου, ὥστε νὰ τὸν φροντίζεις; Τὸν ἔκαμες γιὰ λίγο κατώτερο ἀπὸ τοὺς ἀγγέλους'».

1. Θὰ ἤθελα νὰ ξέρω καλά, ἂν μερικοὶ ἀκοῦν μὲ τὴν ἀνάλογη προσοχὴ τὰ λεγόμενα, ἢ μήπως ρίχνω τὰ σπέρματα στὸ δρόμο· γιατὶ ἔτσι θὰ ἔκανα μὲ περισσότερη προθυμία τὴν ὁμιλία. Γιατὶ θὰ μιλήσω, ἔστω καὶ ἂν δὲν ἀκούει κανείς, ἐξαιτίας τοῦ φόβου ποὺ ἀπειλεῖται ἀπὸ τὸν Σωτῆρα. Διακήρυξε, λέγει, στὸ λαὸ αὐτόν, καὶ ἂν δὲν ἀκούσουν, ἐσὺ θὰ εἶσαι ἀνεύθυνος. Ἂν ὅμως ἤμουν βέβαιος γιὰ τὸ δικό σας ἐνδιαφέρον, δὲ θὰ μιλοῦσα μόνο ἀπὸ φόβο, ἀλλὰ θὰ τὸ ἔκανα καὶ μὲ εὐχαρίστηση. Τώρα ὅμως, ἂν καὶ δὲν ἀκούει κανεὶς καὶ τὸ πράγμα γιὰ μένα εἶναι ἀκίνδυνο, ἀφοῦ κάνω μὲ τὸ παραπάνω ὅτι ἐξαρτᾶται ἀπὸ μένα, ὁ κόπος δὲ γίνεται μὲ εὐχαρίστηση. Γιατὶ ποιό τὸ ὄφελος, ὅταν δὲν κατηγοροῦμαι βέβαια ἐγώ, ἀλλὰ δὲν ὠφελεῖται κανείς;

Ἂν ὅμως θελήσουν νὰ προσέχουν μερικοί, δὲ θὰ κερδίσω τόσο ἀπὸ τὸ ὅτι δὲ θὰ ἐπιτιμηθῶ, ὅσο ἀπὸ τὴ δική σας προκοπή. Πῶς λοιπὸν θὰ τὸ γνωρίσω αὐτό; Ὅταν συναντήσω ἰδιαιτέρως ὅσους ἀπὸ σᾶς παρατηρήσω ὅτι δὲν προσέχουν πολύ, θὰ τοὺς ἐρωτήσω καὶ ἂν βρῶ ὅτι κατέχουν κάποια ἀπὸ τὰ λεχθέντα (δὲ λέγω ὅλα, γιατὶ αὐτὸ δὲν εἶναι πολὺ εὔκολο γιὰ σᾶς), ἀλλὰ καὶ ἂν ἀκόμη κατέχουν λίγα ἀπὸ τὰ πολλά, εἶναι ὁλοφάνερο πὼς στὴ συνέχεια οὔτε γιὰ τὰ πολλὰ θ' ἀμφιβάλλω. Καὶ ἔπρεπε βέβαια χωρὶς δική μου προειδοποίηση καὶ χωρὶς δική σας προφύλαξη

μὴ προειπόντας τοῦτο, ἀφυλάκτοις ὑμῖν ἐπιτεθῆναι· πλὴν ἀλλ' ἀγαπητόν, εἰ καὶ οὕτω δυνηθείημεν ἐπιτυχεῖν· μᾶλλον δέ, καὶ οὕτω δύναμαι ἀφυλάκτοις ἐπιθέσθαι.

Ὅτι μὲν γὰρ ἐρήσομαι, προεῖπον, πότε δὲ ἐρήσομαι, οὐκέ- 5 *τι δῆλον καθίστημι· ἴσως γὰρ σήμερον, ἴσως δὲ αὔριον, ἴσως δὲ μετὰ εἴκοσιν ἢ καὶ τριάκοντα ἡμέρας, ἴσως δὲ μετὰ ἐλάττους, ἴσως δὲ καὶ μετὰ πλείους. Οὕτω καὶ ὁ Θεὸς τὴν ἡμέραν ἡμῶν τῆς τελευτῆς ἄδηλον ἐποίησε· καὶ οὔτε εἰ σήμερον, οὔτε εἰ αὔριον, οὔτε εἰ μετὰ ἐνιαυτὸν ὅλον, οὔτε εἰ μετὰ πλείονα ἔτη ἐπι-* 10 *στήσεται, δῆλον ἡμῖν ἀφῆκεν εἶναι, ἵνα τῷ τῆς προσδοκίας ἀδήλῳ διαπαντὸς ἐν ἀρετῇ κατέχωμεν ἑαυτούς· καὶ ὅτι μὲν ἀπελευσόμεθα, εἶπεν, πότε δέ, οὐκέτι. Οὕτω κἀγώ, ὅτι μὲν ἐρήσομαι, εἶπον, πότε δέ, οὐ προσέθηκα, βουλόμενος ὑμᾶς ἐν φροντίδι εἶναι διαπαντός. Καὶ μή τις λεγέτω, ὅτι 'πρὸ τεσσάρων ἑβδομά-* 15 *δων καὶ πέντε καὶ πλειόνων ταῦτα ἤκουσα, καὶ κατέχειν οὐ δύναμαι'· τὸν γὰρ ἀκούοντα οὕτω βούλομαι κατέχειν, ὡς ἄληστον ἔχειν τὴν μνήμην, καὶ μὴ ἐξίτηλον, μηδὲ ἀποπτύειν τὰ λεγόμενα. Βούλομαι γὰρ ὑμᾶς κατέχειν, οὐχ ἵνα ἐμοὶ εἴπητε, ἀλλ' ἵνα ὑμεῖς κερδάνητε· καὶ τοῦτο ἐμοί ἐστι τὸ σπουδαζόμενον. Ἀλλ' ἐπεὶ* 20 *ὅσα ἐχρῆν εἰπεῖν εἰς ἀσφάλειαν, ἡμῖν εἴρηται, ἀναγκαῖον λοιπὸν ἄρξασθαι τῆς ἀκολουθίας.*

Τί δὴ οὖν πρόκειται ἡμῖν εἰπεῖν σήμερον; «Οὐ γὰρ ἀγγέλοις», φησίν, «ὑπέταξε τὴν οἰκουμένην τὴν μέλλουσαν, περὶ ἧς λαλοῦμεν». Ἆρα μὴ περὶ ἑτέρας τινὸς διαλέγεται οἰκουμένης; 25 *Οὐκ ἔστιν, ἀλλὰ περὶ ταύτης. Διὰ γὰρ τοῦτο προσέθηκε, «περὶ ἧς λαλοῦμεν», ἵνα μὴ ἀφῇ τὸν νοῦν πλανηθέντα ἑτέραν τινὰ ἐπιζητεῖν. Πῶς οὖν αὐτὴν μέλλουσαν καλεῖ; Ὥσπερ καὶ ἑτέρωθί φησιν, «ὅς ἐστι τύπος τοῦ μέλλοντος»[1], περὶ τοῦ Ἀδὰμ καὶ τοῦ Χριστοῦ λέγων ἐν τῇ πρὸς Ρωμαίους ἐπιστολῇ, πρὸς τοὺς χρό-* 30 *νους τοῦ Ἀδὰμ μέλλοντα τὸν κατὰ σάρκα Χριστὸν καλῶν (καὶ γὰρ ἔμελλεν)· οὕτω καὶ νῦν, ἐπειδὴ εἶπεν, «ὅταν δὲ εἰσαγάγῃ τὸν πρωτότοκον εἰς τὴν οἰκουμένην»[2], ἵνα μὴ νομίσῃς ἑτέραν οἰκου-*

---

1. Ρωμ. 5,14.
2. Ἑβρ. 1,6.

νὰ σᾶς ἐρωτήσω, ἀλλ' ὅμως εἶναι εὐχάριστο ἂν μπορέσω καὶ ἔτσι νὰ ἐπιτύχω αὐτό· ἢ καλύτερα καὶ ἔτσι μπορῶ χωρὶς δική σας προφύλαξη νὰ σᾶς κάνω τὴν ἐρώτηση.

Γιὰ τὸ ὅτι λοιπὸν θὰ σᾶς ἐρωτήσω σᾶς τὸ προεῖπα. Πότε ὅμως θὰ σᾶς ἐρωτήσω, δὲν τὸ φανερώνω ἀκόμη· ἴσως σήμερα, ἴσως αὔριο, ἴσως ὕστερα ἀπὸ εἴκοσι ἢ καὶ τριάντα ἡμέρες, ἴσως ὅμως ὕστερα ἀπὸ λιγότερες καὶ ἴσως ὕστερα ἀπὸ περισσότερες. Ἔτσι καὶ ὁ Θεὸς ἔκαμε ἄγνωστη τὴν ἡμέρα τοῦ θανάτου μας. Καὶ οὔτε ἂν συμβεῖ σήμερα ἢ αὔριο, οὔτε ἂν συμβεῖ ὕστερα ἀπὸ ἕναν ὁλόκληρο χρόνο ἢ ὕστερα ἀπὸ περισσότερα χρόνια ἐπέτρεψε νὰ μᾶς εἶναι γνωστή, ὥστε μὲ τὸ ἄγνωστο τῆς προσδοκίας νὰ κρατᾶμε τὸν ἑαυτό μας πάντοτε στὴν ἀρετή. Καὶ ὅτι θὰ πεθάνουμε τὸ εἶπε, πότε ὅμως δὲν τὸ εἶπε. Ἔτσι καὶ ἐγὼ εἶπα ὅτι θὰ ἐρωτήσω, δὲν πρόσθεσα ὅμως πότε, θέλοντας νὰ φροντίζετε γι' αὐτὸ πάντοτε. Καὶ ἂς μὴ λέγει κανεὶς ὅτι τὰ ἄκουσα αὐτὰ πρὶν ἀπὸ τέσσερις ἢ πέντε ἢ καὶ περισσότερες ἑβδομάδες καὶ δὲν μπορῶ νὰ τὰ θυμᾶμαι. Γιατὶ ἔτσι θέλω νὰ τὰ κατέχει αὐτὰ ὁ ἀκροατής, ὥστε νὰ τὰ θυμᾶται πάντοτε καὶ νὰ μὴν ξεχνάει, οὔτε νὰ περιφρονεῖ τὰ λεγόμενα. Θέλω λοιπὸν νὰ τὰ κατέχετε, ὄχι γιὰ νὰ τὰ πεῖτε σὲ μένα, ἀλλὰ γιὰ νὰ κερδίσετε ἐσεῖς· καὶ αὐτὸ εἶναι ποὺ ἐνδιαφέρει ἐμένα. Ἀλλ' ἐπειδὴ εἶπα ὅσα ἔπρεπε νὰ πῶ γιὰ νὰ σᾶς προφυλάξω, εἶναι ἀνάγκη πλέον νὰ ἔρθω στὴ συνέχεια.

Τί λοιπὸν πρόκειται νὰ ποῦμε σήμερα; «Γιατὶ ὁ Θεός», λέγει, «δὲν ὑπέταξε στοὺς ἀγγέλους τὸν μελλοντικὸ κόσμο, γιὰ τὸν ὁποῖο μιλᾶμε». Ἄραγε μήπως μιλάει γιὰ κάποιον ἄλλον κόσμο; Δὲν εἶναι δυνατό, ἀλλὰ μιλάει γι' αὐτόν. Γι' αὐτὸ καὶ πρόσθεσε, «γιὰ τὸν ὁποῖο μιλᾶμε», γιὰ νὰ μὴν ἀφήσει τὸ νοῦ νὰ πλανηθεῖ καὶ νὰ ἐπιζητεῖ κάποιον ἄλλον κόσμο. Πῶς λοιπὸν τὸν ὀνομάζει μελλοντικό; Ὅπως καὶ ἀλλοῦ λέγει, «αὐτὸς εἶναι ἡ προτύπωση τοῦ μελλοντικοῦ γενάρχη»[1], μιλώντας γιὰ τὸν Ἀδὰμ καὶ τὸ Χριστὸ στὴν πρὸς Ρωμαίους ἐπιστολή, καλώντας, σὲ σύγκριση πρὸς τοὺς χρόνους τοῦ Ἀδάμ, μελλοντικὸ τὸν κατὰ σάρκα Χριστὸ (γιατὶ πραγματικὰ ἦταν μελλοντικός)· ἔτσι καὶ τώρα· ἐπειδὴ εἶπε, «ὅταν ὅμως παρουσιάζει τὸν πρωτότοκο στὸν κόσμο»[2], γιὰ νὰ μὴ νομίσεις ὅτι ἐννοεῖ ἄλλον κόσμο, τὸ βεβαιώνει καὶ ἀπὸ

μένην λέγειν αὐτόν, πολλαχόθεν μὲν αὐτὸ καὶ ἄλλοθεν βεβαιοῦται, καὶ ἀπ' αὐτοῦ δὲ τοῦ εἰπεῖν αὐτὴν «μέλλουσαν»· ἔμελλε γὰρ ἡ οἰκουμένη· ὁ Υἱὸς τοῦ Θεοῦ ἦν ἀεί. Ταύτην οὖν τὴν μέλλουσαν ἔσεσθαι οὐκ ἀγγέλοις ὑπέταξεν, ἀλλὰ τῷ Χριστῷ. Ὅτι δὲ πρὸς 5 τὸν Υἱὸν εἴρηται, φησί, δῆλον· οὐδὲ γὰρ ἐκεῖνο ἄν τις εἴποι, ὅτι πρὸς ἀγγέλους.

Εἶτα καὶ ἑτέραν παράγει μαρτυρίαν, καί φησι· «διεμαρτύρατο δέ πού τις, λέγων». Διὰ τί μὴ τὸ ὄνομα τοῦ προφήτου εἶπεν, ἀλλ' ἔκρυψεν αὐτό; Καὶ ἐν ἑτέραις δὲ μαρτυρίαις τοῦτο ποιεῖ· ὡς 10 ὅταν λέγῃ, «ὅταν δὲ πάλιν εἰσαγάγῃ τὸν πρωτότοκον εἰς τὴν οἰκουμένην, λέγει, καὶ προσκυνησάτωσαν αὐτῷ πάντες ἄγγελοι Θεοῦ»· καὶ πάλιν, «ἐγὼ ἔσομαι αὐτῷ εἰς Πατέρα. Καὶ πρὸς μὲν τοὺς ἀγγέλους λέγει, ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα· πρὸς δὲ τὸν Υἱόν, καὶ καταρχὰς σύ, Κύριε, τὴν γῆν ἐθεμελίω- 15 σας». Οὕτω καὶ ἐνταῦθά φησι, «διεμαρτύρατο δέ πού τις, λέγων». Τοῦτο δὲ αὐτὸ οἶμαι, τὸ κρύπτειν καὶ μὴ τιθέναι τὸν εἰρηκότα τὴν μαρτυρίαν, ἀλλ' ὡς περιφερομένην καὶ κατάδηλον οὖσαν εἰσάγειν, δεικνύντος ἐστὶν αὐτοὺς σφόδρα ἐμπείρους εἶναι τῶν Γραφῶν. «Τί ἐστιν ἄνθρωπος, ὅτι μιμνήσκῃ αὐτοῦ; ἢ υἱὸς 20 ἀνθρώπου, ὅτι ἐπισκέπτῃ αὐτόν; Ἠλάττωσας αὐτὸν βραχύ τι παρ' ἀγγέλους· δόξῃ καὶ τιμῇ ἐστεφάνωσας αὐτόν, καὶ κατέστησας αὐτὸν ἐπὶ τὰ ἔργα τῶν χειρῶν σου· πάντα ὑπέταξας ὑποκάτω τῶν ποδῶν αὐτοῦ».

2. Ταῦτα δέ, εἰ καὶ εἰς τὴν κοινὴν ἀνθρωπότητα εἴρηται, ἀλλ' 25 ὅμως κυριώτερον ἁρμόσειεν ἂν τῷ Χριστῷ κατὰ σάρκα· τὸ γάρ, «πάντα ὑπέταξας ὑποκάτω τῶν ποδῶν αὐτοῦ», ἐκείνου μᾶλλόν ἐστιν, ἢ ἡμῶν. Ὁ γὰρ Υἱὸς τοῦ Θεοῦ οὐδὲν ἡμᾶς ὄντας ἐπεσκέψατο, καὶ τὸ ἐξ ἡμῶν ἀναλαβὼν καὶ ἑνώσας ἑαυτῷ, πάντων ἀνώτερος γέγονεν. «Ἐν γὰρ τῷ ὑποτάξαι», φησίν, «αὐτῷ τὰ 30 πάντα, οὐδὲν ἀφῆκεν αὐτῷ ἀνυπότακτον. Νῦν δὲ οὔπω ὁρῶμεν αὐτῷ τὰ πάντα ὑποτεταγμένα». Ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· ἐπειδὴ εἶπεν, «ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου», εἰκὸς δὲ ἦν αὐτοὺς ἔτι ἀσχάλλειν, εἶτα μετὰ ταῦτα ὀλί-

---

3. Ἑβρ. 1,6.5.7.10. 4. Ψαλμ. 8,5–7. 5. Ἑβρ. 1,13.

πολλὰ ἄλλα σημεῖα καὶ ἀπὸ τὸ ὅτι τὸν ὀνόμασε μελλοντικό. Γιατὶ ἦταν μελλοντικὸς ὁ κόσμος, ἐνῶ ὁ Υἱὸς τοῦ Θεοῦ ὑπῆρχε πάντοτε. Αὐτὸν λοιπὸν τὸν μελλοντικὸ κόσμο δὲν τὸν ὑπέταξε στοὺς ἀγγέλους, ἀλλὰ στὸ Χριστό. Καὶ ὅτι λέχθηκε γιὰ τὸν Υἱό, λέγει, εἶναι φανερό· γιατὶ κανεὶς δὲ θὰ μποροῦσε νὰ πεῖ ὅτι λέχθηκε γιὰ τοὺς ἀγγέλους.

Ἔπειτα φέρνει καὶ ἄλλη μαρτυρία καὶ λέγει· «καὶ τὸ διαβεβαίωσε αὐτὸ κάποιος ποὺ λέγει κάπου». Γιατί δὲν ἀνέφερε τὸ ὄνομα τοῦ προφήτη ἀλλὰ τὸ ἀπέκρυψε; Καὶ σὲ ἄλλες μαρτυρίες τὸ κάνει αὐτό· ὅπως ὅταν λέγει, «καὶ πάλι ὅταν παρουσιάζει τὸν πρωτότοκο στὴν οἰκουμένη λέγει, νὰ τὸν προσκυνήσουν ὅλοι οἱ ἄγγελοι τοῦ Θεοῦ», καὶ «ἐγὼ θὰ εἶμαι ὁ Πατέρας του». Καὶ γιὰ τοὺς ἀγγέλους βέβαια λέγει, «ἐκεῖνος ποὺ κάνει τοὺς ἀγγέλους του σὰν ἀνέμους», ἐνῶ γιὰ τὸν Υἱό, ἐσύ, Κύριε, στὴν ἀρχὴ θεμελίωσες τὴ γῆ»[3]. Ἔτσι καὶ ἐδῶ λέγει, «καὶ τὸ διαβεβαίωσε αὐτὸ κάποιος ποὺ λέγει κάπου». Αὐτὸ ἀκριβῶς, δηλαδὴ τὸ νὰ κρύβει καὶ νὰ μὴν ἀναφέρει τὸ ὄνομα αὐτοῦ ποὺ εἶπε τὴ μαρτυρία, ἀλλα νὰ τὴν παρουσιάζει σὰν νὰ ἦταν διαδεδομένη καὶ πολὺ γνωστή, νομίζω πὼς δείχνει ὅτι αὐτοὶ γνώριζαν πολὺ καλὰ τὶς Γραφές. «Τί εἶναι ὁ ἄνθρωπος, ὥστε νὰ τὸν θυμᾶσαι; ἢ τί εἶναι ὁ υἱός τοῦ ἀνθρώπου, ὥστε νὰ τὸν φροντίζεις; Τὸν ἔκαμες λίγο κατώτερο ἀπὸ τοὺς ἀγγέλους, τὸν στεφάνωσες μὲ δόξα καὶ τιμὴ καὶ τὸν ἔκαμες κυρίαρχο τῶν ἔργων σου· ὅλα τὰ ὑπέταξες κάτω ἀπὸ τὰ πόδια του»[4].

2. Αὐτὰ ἂν καὶ λέχθηκαν γιὰ ὅλους τοὺς ἀνθρώπους, θὰ ταίριαζαν ὅμως καλύτερα στὸν κατὰ σάρκα Χριστό. Γιατὶ τὸ «ὅλα τὰ ὑπέταξες κάτω ἀπὸ τὰ πόδια του», ἀνήκει μᾶλλον σ' ἐκεῖνον, παρὰ σὲ μᾶς. Γιατὶ ὁ Υἱὸς τοῦ Θεοῦ χωρὶς νὰ εἴμαστε τίποτε μᾶς ἐπισκέφθηκε καί, ἀφοῦ ἀνέλαβε αὐτὸ ποὺ ἦταν δικό μας καὶ τὸ ἕνωσε στὸν ἑαυτό του, ἔγινε ἀνώτερος ἀπ' ὅλους. «Ἀφοῦ λοιπόν», λέγει, «ὅλα τὰ ὑπέταξε σ' αὐτόν, δὲν ἄφησε τίποτε ποὺ νὰ μὴν τὸ ὑποτάξει σ' αὐτόν. Ἀλλὰ ὡς τώρα δὲ βλέπουμε νὰ εἶναι ὅλα ὑποταγμένα σ' αὐτόν». Αὐτὸ ποὺ λέγει σημαίνει τὸ ἑξῆς· ἐπειδὴ εἶπε, «ὥσπου νὰ θέσω τοὺς ἐχθρούς σου ὑποπόδιο τῶν ποδιῶν σου»[5] καὶ ἦταν φυσικὸ ν' ἀδημονοῦν ἀκόμη, ἔπειτα,

γα τινὰ παρενθείς, ταύτην τὴν μαρτυρίαν ἐπήγαγε βεβαιοῦσαν ἐκείνην. Ἵνα γὰρ μὴ λέγωσι, 'Πῶς τοὺς ἐχθροὺς ἔθηκεν ὑπὸ τοὺς πόδας αὐτοῦ, τοσαῦτα παθόντων ἡμῶν;' ἱκανῶς μὲν καὶ ἐν τῷ προτέρῳ αὐτὸ ᾐνίξατο· τὸ γάρ, «ἕως», οὐ τὸ εὐθέως ἐδήλου 5 γινόμενον, ἀλλὰ τὸ ἐν χρόνῳ· ἐνταῦθα δὲ αὐτὸ ἐπεξέρχεται. Μὴ γάρ, ἐπειδὴ οὐδέπω ὑπετάγησαν, φησί, νομίσῃς μηδὲ ὑποτάττεσθαι· ὅτι μὲν γὰρ δεῖ ὑποταγῆναι, δῆλον· καὶ γὰρ ἡ προφητεία διὰ τοῦτο εἴρηται· «ἐν γὰρ τῷ ὑποτάξαι αὐτῷ», φησί, «τὰ πάντα, οὐδὲν ἀφῆκεν αὐτῷ ἀνυπότακτον.

10 *Πῶς οὖν οὐ πάντα ὑποτέτακται; Ὅτι μέλλει ὑποτάσσεσθαι. Εἰ τοίνυν πάντα μὲν ὑποταγῆναι ὀφείλει, οὔπω δὲ ὑποτέτακται, μὴ ἄσχαλλε μηδὲ θορυβοῦ. Εἰ μὲν γὰρ τοῦ τέλους παραγενομένου, καὶ πάντων ὑποταγέντων, ταῦτα ἔπασχες, εἰκότως ἤλγεις· νῦν δὲ οὔπω ὁρῶμεν αὐτῷ τὰ πάντα ὑποτεταγμένα, 15 οὔπω ἐκράτησεν ὁ βασιλεὺς καθαρῶς. Τί τοίνυν θορυβῇ, πάσχων κακῶς; οὔπω πάντων περιγέγονε τὸ κήρυγμα, οὔπω καιρὸς τέλεον ὑποταγῆναι. Εἶτα πάλιν ἑτέρα παράκλησις· ἤδη ὁ μέλλων πάντας ἔχειν ὑποτεταγμένους, καὶ αὐτὸς ἀπέθανε καὶ μυρία πέπονθε. «Τὸν δὲ βραχύ τι παρ' ἀγγέλους ἠλαττωμένον 20 βλέπομεν», φησίν, «Ἰησοῦν, διὰ τὸ πάθημα τοῦ θανάτου». Εἶτα τὰ χρηστὰ πάλιν, «δόξῃ καὶ τιμῇ ἐστεφανωμένον».*

Εἶδες πῶς αὐτῷ πάντα ἥρμοσε; καὶ γὰρ τό, «βραχύ», αὐτῷ ἂν ἁρμόσειε μᾶλλον, τῷ τρεῖς ἡμέρας γενομένῳ ἐν τῷ ᾅδῃ μόνας, ἀλλ' οὐχ ἡμῖν τοῖς ἐπιπολὺ φθειρομένοις· ὁμοίως καὶ τό, 25 «δόξῃ καὶ τιμῇ», ἐκείνῳ πολλῷ πλέον, ἢ ἡμῖν ἁρμόσει. Πάλιν αὐτοὺς ἀναμιμνήσκει τοῦ σταυροῦ, δύο ταῦτα κατορθῶσαι σπουδάζων, καὶ τὴν κηδεμονίαν αὐτοῦ δεῖξαι, καὶ πεῖσαι αὐτοὺς πάντα φέρειν γενναίως, εἰς τὸν διδάσκαλον ἀφορῶντας. Εἰ γὰρ ὁ προσκυνούμενος ὑπ' ἀγγέλων, φησίν, ἠνέσχετο βραχύ τι παρ' ἀγγέλους ἔχειν διὰ σέ, πολλῷ μᾶλλον σὺ ὅταν ἀγγέλων ἐλάτ-

ἀφοῦ στὸ μεταξὺ ἀνέφερε μερικὰ ἄλλα, πρόσθεσε αὐτὴ τὴ μαρτυρία ποὺ βεβαίωνε ἐκείνην. Γιὰ νὰ μὴ λένε δηλαδή, 'πῶς ἔθεσε τοὺς ἐχθροὺς κάτω ἀπὸ τὰ πόδια του, ἀφοῦ ἐμεῖς πάθαμε τόσο πολλά;' ἀρκετὰ βέβαια τὸ ὑπαινίχθηκε καὶ στὸ προηγούμενο (γιατὶ τὸ «ὥσπου» δὲ φανέρωνε αὐτὸ ποὺ γίνεται ἀμέσως, ἀλλ' ἐκεῖνο ποὺ γίνεται μὲ τὸ πέρασμα τοῦ χρόνου), ἀλλ' ἐδῶ τὸ ἐξηγεῖ καλύτερα. Νὰ μὴ νομίσεις, λέγει, ἐπειδὴ δὲν ἔχουν ὑποταχθεῖ ἀκόμη, ὅτι δὲν ὑποτάσσονται· γιατὶ ὅτι πρέπει νὰ ὑποταχθοῦν εἶναι φανερό. Ἄλλωστε καὶ ἡ προφητεία γι' αὐτὸ ἔχει λεχθεῖ· «ἀφοῦ λοιπόν», λέγει, «ὑπέταξε τὰ πάντα σ' αὐτόν, δὲν ἄφησε τίποτε ποὺ νὰ μὴν τὸ ἔχει ὑποτάξει σ' αὐτόν».

Πῶς λοιπὸν δὲν ἔχουν ὅλα ὑποταχθεῖ σ' αὐτόν; Γιατὶ πρόκειται νὰ ὑποταχθοῦν. Ἀφοῦ λοιπὸν ὅλα πρέπει νὰ ὑποταχθοῦν, ἀλλὰ δὲν ἔχουν ὑποταχθεῖ ἀκόμη, νὰ μὴ στενοχωριέσαι οὔτε ν' ἀνησυχεῖς. Γιατί, ἂν εἶχε φθάσει τὸ τέλος καὶ ὅλα εἶχαν ὑποταχθεῖ, καὶ σὺ ἔπασχες αὐτά, σωστὰ θὰ στενοχωριόσουν. Τώρα ὅμως δὲ βλέπουμε ἀκόμη νὰ ἔχουν ὑποταχθεῖ ὅλα σ' αὐτόν, ὁ βασιλιὰς δὲν ἐξουσιάζει ἀκόμη καθαρά. Γιατί λοιπὸν ἀνησυχεῖς ποὺ ὑποφέρεις; Δὲν ἐπικράτησε σὲ ὅλους τὸ κήρυγμα, δὲν εἶναι ἀκόμη ὁ καιρὸς γιὰ ὁλοκληρωτικὴ ὑποταγή. Στὴ συνέχεια πάλι ἄλλη παρηγοριά· ἤδη καὶ αὐτὸς ποὺ πρόκειται νὰ ὑποτάξει ὅλους πέθανε καὶ ἔπαθε ἄπειρα κακά. «Βλέπουμε ὅμως», λέγει, «ὅτι ὁ Ἰησοῦς, ποὺ ἔγινε γιὰ ἕνα μικρὸ χρονικὸ διάστημα κατώτερος ἀπὸ τοὺς ἀγγέλους, ἐξ αἰτίας τοῦ θανάτου του». Ἔπειτα τὰ καλὰ πάλι, «εἶναι στεφανωμένος μὲ δόξα καὶ τιμή».

Εἶδες πῶς τὰ προσάρμοσε ὅλα σ' αὐτόν; Πράγματι τὸ «γιὰ λίγο» θὰ ταίριαζε περισσότερο σ' αὐτόν, ποὺ ἔμεινε στὸν ἅδη μόνο γιὰ τρεῖς ἡμέρες, καὶ ὄχι σὲ μᾶς ποὺ φθειρόμαστε γιὰ πολύ. Τὸ ἴδιο καὶ τὸ «μὲ δόξα καὶ τιμὴ» θὰ ταιριάσει καλύτερα σ' ἐκεῖνον, παρὰ σὲ μᾶς. Πάλι τοὺς θυμίζει τὸ σταυρό, προσπαθώντας νὰ ἐπιτύχει δύο πράγματα· νὰ δείξει τὴ φροντίδα του καὶ νὰ τοὺς πείσει νὰ ὑποφέρουν τὰ πάντα μὲ γενναιότητα, ἔχοντας στραμμένο τὸ νοῦ τους στὸ διδάσκαλο. Γιατί, ἂν ὁ προσκυνούμενος ἀπὸ τοὺς ἀγγέλους, λέγει, ἀνέχθηκε νὰ εἶναι γιὰ λίγο κατώτερος ἀπ' αὐτοὺς γιὰ χάρη σου, πολὺ περισσότερο πρέπει ἐσύ, ποὺ εἶσαι

των, πάντα φέρειν ὀφείλεις δι᾽ αὐτόν. Εἶτα δείκνυσιν, ὅτι «δόξα καὶ τιμὴ» ὁ σταυρός ἐστιν· ὥσπεροῦν καὶ αὐτὸς «δόξαν» αὐτὸν καλεῖ λέγων· «ἦλθεν ἡ ὥρα, ἵνα δοξασθῇ ὁ Υἱὸς τοῦ ἀνθρώπου». Εἰ οὖν ἐκεῖνος τὰ διὰ τοὺς δούλους «δόξαν» καλεῖ, πολλῷ μᾶλλον σὺ τὰ διὰ τὸν Δεσπότην.

Ὁρᾷς τοῦ σταυροῦ τὸν καρπὸν ὅσος; Μὴ φοβηθῇς τὸ πρᾶγμα· σκυθρωπὸν μὲν γὰρ εἶναί σοι δοκεῖ, μυρία δὲ τίκτει ἀγαθά. Δείκνυσιν ἐκ τούτων τοῦ πειρασμοῦ τὸ ὄφελος. Εἶτά φησιν, «ὅπως χάριτι Θεοῦ ὑπὲρ παντὸς γεύσηται θανάτου».
10 *«Ὅπως», φησί, «χάριτι Θεοῦ». Κἀκεῖνος μὲν διὰ τὴν χάριν τοῦ Θεοῦ τὴν εἰς ἡμᾶς ταῦτα πέπονθεν· «ὅς γε τοῦ ἰδίου Υἱοῦ οὐκ ἐφείσατο», φησίν, «ἀλλ᾽ ὑπὲρ ἡμῶν πάντων παρέδωκεν αὐτόν». Τίνος ἕνεκεν; Οὐκ ὤφειλε τοῦτο ἡμῖν, ἀλλὰ χάριτι πεποίηκε. Καὶ πάλιν ἐν τῇ πρὸς Ρωμαίους ἐπιστολῇ φησι, «πολλῷ μᾶλλον*
15 *ἡ χάρις τοῦ Θεοῦ καὶ ἡ δωρεὰ ἐν χάριτι τῇ τοῦ ἑνὸς ἀνθρώπου Ἰησοῦ Χριστοῦ εἰς τοὺς πολλοὺς ἐπερίσσευσεν». «Ὅπως χάριτι Θεοῦ ὑπὲρ παντὸς γεύσηται θανάτου»· οὐχὶ τῶν πιστῶν μόνον, ἀλλὰ καὶ τῆς οἰκουμένης ἁπάσης· αὐτὸς μὲν γὰρ ὑπὲρ πάντων ἀπέθανε.*

20 *Τί δέ, εἰ μὴ πάντες ἐπίστευσαν; Αὐτὸς τὸ ἑαυτοῦ πεπλήρωκε. Καὶ κυρίως εἶπεν, «ὑπὲρ παντὸς γεύσηται θανάτου». Καὶ οὐκ εἶπεν, ἀποθάνῃ· ὥσπερ γὰρ ὄντως γευσάμενος, οὕτω μικρὸν ἐν αὐτῷ ποιήσας διάστημα, εὐθέως ἀνέστη. Τῷ μὲν οὖν εἰπεῖν, «διὰ τὸ πάθημα τοῦ θανάτου», τὸν ὄντως θάνατον ἐσήμανε, τῷ*
25 *δέ, «ἀγγέλων κρείττων», τὴν ἀνάστασιν ἐδήλωσε. Καθάπερ γὰρ ἰατρὸς οὐκ ἔχων ἀνάγκην τῶν τῷ ἀρρώστῳ παρεσκευασμένων σιτίων ἀπογεύσασθαι, διὰ τὴν περὶ ἐκεῖνον κηδεμονίαν πρότερον αὐτὸς ἀπογεύεται, ἵνα πείσῃ τὸν ἄρρωστον θαρσοῦντα κατατολμῆσαι τῆς βρώσεως, οὕτω καὶ ὁ Χριστός· ἐπειδὴ πάντες ἄν-*
30 *θρωποι τὸν θάνατον ἐδεδοίκεσαν, πείθων αὐτοὺς κατατολμᾶν τοῦ θανάτου, καὶ αὐτὸς ἀπεγεύσατο αὐτοῦ, οὐκ ἔχων ἀνάγκην. «Ἔρχεται γάρ», φησίν, «ὁ τοῦ κόσμου τούτου ἄρχων, καὶ οὐχ*

---

6. Ἰω. 11,4. 7. Ρωμ. 8,32.
8. Ρωμ 5,15. 9. Ἰω. 14,30.

κατώτερος ἀπὸ τοὺς ἀγγέλους, νὰ ὑποφέρεις τὰ πάντα γιὰ χάρη του. Ἔπειτα δείχνει ὅτι ἡ δόξα καὶ ἡ τιμὴ εἶναι ὁ σταυρός, ὅπως ἀκριβῶς καὶ αὐτὸς τὸν ἀποκαλεῖ δόξα, λέγοντας· «ἦρθε ἡ ὥρα γιὰ νὰ δοξασθεῖ ὁ Υἱὸς τοῦ ἀνθρώπου»[6]. Ἂν λοιπὸν ἐκεῖνος καλεῖ δόξα τὰ παθήματά του γιὰ τοὺς δούλους, πολὺ περισσότερο πρέπει ἐσὺ νὰ καλεῖς τὰ παθήματά σου δόξα γιὰ τὸν Κύριο.

Βλέπεις πόσος εἶναι ὁ καρπὸς τοῦ σταυροῦ; Μὴ φοβηθεῖς γι' αὐτὸ τὸ πράγμα. Τὸ θεωρεῖς βέβαια δύσκολο, ἀλλὰ γεννάει ἄπειρα ἀγαθά. Δείχνει ἀπ' αὐτὰ τὸ ὄφελος τοῦ πειρασμοῦ. Ἔπειτα λέγει, «ἡ χάρη τοῦ Θεοῦ» λέγει, «θέλησε». Καὶ ἐκεῖνος βέβαια ἔπαθε αὐτὰ γιὰ νὰ φανεῖ ἡ χάρη τοῦ Θεοῦ σὲ μᾶς. «Ὁ Θεός», λέγει, «δὲ λυπήθηκε οὔτε τὸν Υἱό του, ἀλλὰ τὸν παρέδωσε σὲ θάνατο γιὰ χάρη ὅλων μας»[7]. Γιὰ ποιό λόγο; Δὲ μᾶς τὸ χρωστοῦσε αὐτό, ἀλλὰ τὸ ἔκαμε ἀπὸ χάρη. Καὶ πάλι στὴν πρὸς Ρωμαίους ἐπιστολὴ λέγει· «ἡ χάρη τοῦ Θεοῦ καὶ ἡ δωρεὰ ποὺ ἦρθε μέσω τῆς χάριτος ἑνὸς ἀνθρώπου, τοῦ Ἰησοῦ Χριστοῦ, ἦταν μὲ τὸ παραπάνω ἄφθονη γιὰ τοὺς πολλούς»[8]. Ἡ χάρη τοῦ Θεοῦ θέλησε νὰ γευθεῖ τὸ θάνατο γιὰ τὸ καλὸ κάθε ἀνθρώπου»· ὄχι γιὰ τὸ καλὸ τῶν πιστῶν μόνο ἀλλὰ καὶ τῆς οἰκουμένης ὁλόκληρης. Γιατὶ αὐτὸς πέθανε γιὰ χάρη ὅλων.

Τί σημασία ὅμως ἔχει ἂν δὲν πίστεψαν ὅλοι; Αὐτὸς ἔκαμε τὸ δικό του χρέος. Καὶ μὲ κυριολεξία εἶπε, «νὰ γευθεῖ τὸ θάνατο γιὰ κάθε ἄνθρωπο». Καὶ δὲν εἶπε 'νὰ πεθάνει'· γιατί, σὰν νὰ γεύθηκε πράγματι τὸ θάνατο, ἀφοῦ παρέμεινε σ' αὐτὸν γιὰ τόσο μικρὸ διάστημα, ἀμέσως ἀναστήθηκε. Μὲ τὸ νὰ πεῖ λοιπὸν «ἐξαιτίας τοῦ θανάτου του» δήλωσε τὸν πραγματικὸ θάνατο, ἐνῶ μὲ τὸ «ἀνώτερος τῶν ἀγγέλων» φανέρωσε τὴν ἀνάσταση. Ὅπως ὁ γιατρὸς δηλαδὴ δὲν ἔχει ἀνάγκη νὰ γευθεῖ τὰ παρασκευασμένα γιὰ τὸν ἄρρωστο φαγητά, ἀλλὰ ἐξαιτίας τῆς φροντίδας του γι' αὐτὸν τὰ δοκιμάζει πρῶτα ὁ ἴδιος, γιὰ νὰ πείσει τὸν ἄρρωστο νὰ πάρει θάρρος καὶ νὰ δεχθεῖ τὸ φαγητό, αὐτὸ ἔκαμε καὶ ὁ Χριστός· ἐπειδὴ ὅλοι οἱ ἄνθρωποι φοβήθηκαν τὸ θάνατο, γιὰ νὰ τοὺς πείσει νὰ τὸν περιφρονοῦν, γεύθηκε καὶ ὁ ἴδιος τὸ θάνατο, ἂν καὶ δὲν εἶχε ἀνάγκη. «Γιατὶ ἔρχεται», λέγει, «ὁ ἄρχοντας τοῦ κόσμου αὐτοῦ, καὶ δὲν ἔχει ἐπάνω μου καμμιὰ δύναμη»[9]. Ἔτσι

εὑρίσκει ἐν ἐμοὶ οὐδέν». Οὕτω καὶ τό, «χάριτι», καὶ τό, «ὑπὲρ παντὸς γεύσηται θανάτου», τοῦτο συνίστησιν. «Ἔπρεπε γὰρ αὐτῷ, δι' ὃν τὰ πάντα καὶ δι' οὗ τὰ πάντα, πολλοὺς υἱοὺς εἰς δόξαν ἀγαγόντα, τὸν ἀρχηγὸν τῆς σωτηρίας αὐτῶν διὰ παθημάτων 5 τελειῶσαι».

3. Περὶ τοῦ Πατρὸς ἐνταῦθα λέγει. Ὁρᾷς πῶς πάλιν τό, «δι' οὗ», αὐτῷ ἁρμόζει; Οὐκ ἂν τοῦτο ἐποίησεν, εἴ γε ἐλαττώσεως ἦν καὶ τῷ Υἱῷ μόνον προσῆκον. Ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· ἄξια, φησί, τῆς φιλανθρωπίας αὐτοῦ πεποίηκε τῷ τὸν πρωτότοκον 10 λαμπρότερον ἀποδεῖξαι πάντων, καὶ ὥσπερ ἀθλητὴν γενναῖον καὶ τοὺς ἄλλους ὑπερέχοντα, τοῖς ἑτέροις ὑπόδειγμα θεῖναι. «Τὸν ἀρχηγὸν τῆς σωτηρίας αὐτῶν»· τουτέστι, τὸν αἴτιον τῆς σωτηρίας. Ὁρᾷς ὅσον τὸ μέσον; καὶ οὗτος Υἱός, καὶ ἡμεῖς υἱοί· ἀλλ' ὁ μὲν σώζει, ἡμεῖς δὲ σωζόμεθα. Εἶδες πῶς ἡμᾶς καὶ συνά-15 γει καὶ διίστησι; «Πολλούς», φησίν, «υἱοὺς εἰς δόξαν ἀγαγόντα». Ἐνταῦθα συνήγαγε· «τὸν ἀρχηγὸν τῆς σωτηρίας αὐτῶν»· καὶ πάλιν διέστησε· «διὰ παθημάτων τελειῶσαι». Ἄρα τὰ παθήματα τελείωσις καὶ αἰτία τῆς σωτηρίας.

Ὁρᾷς ὅτι τὸ παθεῖν κακῶς, οὐκ ἔστιν ἐγκαταλελειμμένων; 20 Εἰ δὲ τούτῳ πρώτῳ τετίμηκε τὸν Υἱὸν ὁ Θεός, τῷ διὰ παθημάτων αὐτὸν ἀγαγεῖν, ὄντως τοῦ τὸν κόσμον ποιῆσαι καὶ ἐκ μὴ ὄντων παραγαγεῖν αὐτόν, τὸ σάρκα ἀναλαβόντα παθεῖν ἅπερ ἔπαθε, πολλῷ μεῖζόν ἐστι. Καὶ τοῦτο μὲν οὖν φιλανθρωπίας, ἐκεῖνο δὲ πολλῷ πλέον. Καὶ δεικνὺς καὶ αὐτὸς τοῦτο αὐτό, φησίν, «ἵνα 25 ἐνδείξηται ἐν τοῖς αἰῶσι τοῖς ἐπερχομένοις τὸν ὑπερβάλλοντα πλοῦτον τῆς χρηστότητος αὐτοῦ, καὶ συνήγειρε καὶ συνεκάθισεν ἐν τοῖς ἐπουρανίοις ἐν Χριστῷ Ἰησοῦ».

«Ἔπρεπε γὰρ αὐτῷ, δι' ὃν τὰ πάντα καὶ δι' οὗ τὰ πάντα, πολλοὺς υἱοὺς εἰς δόξαν ἀγαγόντα, τὸν ἀρχηγὸν τῆς σωτηρίας 30 αὐτῶν διὰ παθημάτων τελειῶσαι». Ἔπρεπε γὰρ αὐτῷ, φησί, τῷ κηδεμόνι ὄντι, καὶ πάντα εἰς τὸ εἶναι παραγαγόντι, ἐκδοῦναι τὸν Υἱὸν ὑπὲρ τῆς τῶν λοιπῶν σωτηρίας, τὸν ἕνα ὑπὲρ τῶν πολ-

---

10. Ἐφ. 2,7.6.

καὶ τὸ «μὲ τὴ χάρη τοῦ Θεοῦ» καὶ τὸ «νὰ γευθεῖ τὸ θάνατο, γιὰ τὸ καλὸ κάθε ἀνθρώπου», αὐτὸ σημαίνει. «Ἔπρεπε λοιπὸν ὁ Θεός, ἐξαιτίας τοῦ ὁποίου καὶ διὰ τοῦ ὁποίου ὑπάρχουν τὰ πάντα, προκειμένου νὰ ὁδηγήσει πολλοὺς υἱοὺς στὴ δόξα, νὰ κάνει τὸν ἀρχηγὸ τῆς σωτηρίας τους τέλειο μὲ τὰ παθήματα».

3. Ἐδῶ μιλάει γιὰ τὸν Πατέρα. Βλέπεις πῶς πάλι τό, «διὰ τοῦ ὁποίου», ἁρμόζει σ' αὐτόν; Δὲ θὰ τὸ ἔκαμε αὐτό, ἂν ἦταν μειωτικὸ καὶ ἅρμοζε στὸν Υἱὸ μόνο. Αὐτὸ ποὺ λέγει σημαίνει τὸ ἑξῆς· Ἐνέργησε, λέγει, ὅπως ἀξίζει στὴ φιλανθρωπία του μὲ τὸ ν' ἀποδείξει τὸν πρωτότοκο Υἱό του λαμπρότερο ἀπ' ὅλους, καὶ σὰν ἀθλητὴ γενναῖο καὶ ἀνώτερο ἀπ' ὅλους νὰ τὸν θέσει παράδειγμα γιὰ τοὺς ἄλλους. «Τὸν ἀρχηγὸ τῆς σωτηρίας τους»· δηλαδή, τὸν αἴτιο τῆς σωτηρίας. Βλέπεις πόση εἶναι ἡ διαφορά; Καὶ αὐτὸς Υἱὸς καὶ ἐμεῖς υἱοί, ἀλλ' αὐτὸς σώζει καὶ ἐμεῖς σωζόμαστε. Εἶδες πῶς μᾶς ἑνώνει καὶ πῶς μᾶς χωρίζει; «Ὁδήγησε» λέγει, «πολλοὺς υἱοὺς σὲ δόξα». Ἐδῶ μᾶς συνένωσε· «τὸν ἀρχηγὸ τῆς σωτηρίας τους»· καὶ πάλι μᾶς χώρισε. «Νὰ τὸν κάνει τέλειο μὲ τὰ παθήματα». Ἄρα τὰ παθήματα εἶναι τελείωση καὶ αἰτία τῆς σωτηρίας.

Βλέπεις ὅτι τὰ παθήματα δὲν εἶναι δεῖγμα ἀνθρώπων ἐγκαταλελειμμένων; Ἂν ὅμως ὁ Θεὸς τίμησε μ' αὐτὸ πρῶτα τὸν Υἱό, δηλαδὴ μὲ τὸ νὰ τὸν ὁδηγήσει στὴ δόξα μὲ τὰ παθήματα, πραγματικὰ τὸ ὅτι ἀνέλαβε σάρκα καὶ ἔπαθε ὅσα ἔπαθε εἶναι πολὺ μεγαλύτερο ἀπὸ τὸ ὅτι ἔκαμε τὸν κόσμο καὶ τὸν δημιούργησε ἀπὸ τὸ μηδέν. Καὶ αὐτὸ βέβαια εἶναι ἔργο φιλανθρωπίας, ἀλλ' ἐκεῖνο εἶναι πολὺ περισσότερο. Καὶ γιὰ νὰ δείξει αὐτὸ ἀκριβῶς καὶ ὁ Παῦλος λέγει· «γιὰ νὰ δείξει στοὺς μελλοντικοὺς αἰῶνες τὸν ὑπερβολικὸ πλοῦτο τῆς ἀγαθότητάς του, μᾶς ἀνέστησε μαζὶ μὲ τὸν Ἰησοῦ Χριστὸ καὶ μᾶς ἔβαλε νὰ καθίσουμε μαζὶ μ' αὐτὸν στὰ ἐπουράνια»[10].

«Ἔπρεπε λοιπὸν ὁ Θεός, ἐξ αἰτίας τοῦ ὁποίου καὶ διὰ τοῦ ὁποίου ὑπάρχουν τὰ πάντα, προκειμένου νὰ ὁδηγήσει πολλοὺς υἱοὺς στὴ δόξα, νὰ κάνει τὸν ἀρχηγὸ τῆς σωτηρίας τους τέλειο μὲ τὰ παθήματα». Ἔπρεπε δηλαδή, λέγει, αὐτὸς ποὺ τὰ φροντίζει καὶ τὰ δημιούργησε ὅλα, νὰ παραδώσει τὸν Υἱό του γιὰ τὴ

λῶν. Ἀλλ' οὐκ εἶπεν οὕτως, ἀλλά, «διὰ παθημάτων τελειῶσαι», δεικνὺς ὅτι ὁ παθὼν ὑπέρ τινος, οὐκ ἐκεῖνον ὠφελεῖ μόνον, ἀλλὰ καὶ αὐτὸς λαμπρότερος γίνεται καὶ τελειότερος. Καὶ τοῦτο δὲ πρὸς τοὺς πιστούς, φησί, παραθαρρύνων αὐτούς. Καὶ γὰρ ὁ Χρι-5 στὸς τότε ἐδοξάσθη, ὅτε ἔπαθεν. Ὅταν δὲ εἴπω, ὅτι ἐδοξάσθη, μὴ νομίσῃς δόξης πρόσληψιν αὐτῷ γίνεσθαι· ἐκείνην γὰρ τὴν τῆς φύσεως εἶχεν ἀεί, οὐδὲν προσλαβών.

«Ὅ τε γὰρ ἁγιάζων», φησί, «καὶ οἱ ἁγιαζόμενοι, ἐξ ἑνὸς πάντες». Δι' ἣν αἰτίαν οὐκ ἐπαισχύνεται ἀδελφοὺς αὐτοὺς κα-10 λεῖν». Ἰδοὺ πάλιν πῶς συνάγει τιμῶν αὐτοὺς καὶ παραμυθούμενος καὶ ἀδελφοὺς αὐτοὺς ποιῶν τοῦ Χριστοῦ, κατὰ τοῦτο τὸ ἐξ ἑνὸς εἶναι. Εἶτα πάλιν ἀσφαλιζόμενος καὶ δεικνὺς ὅτι τὸ κατὰ σάρκα φησίν, ἐπήγαγε τό, «ὁ ἁγιάζων, καὶ οἱ ἁγιαζόμενοι». Ὁρᾷς ὅσον τὸ μέσον; ὁ μὲν γὰρ ἁγιάζει, ἡμεῖς δὲ ἁγιαζόμεθα. 15 Καὶ ἀνωτέρω τὸν ἀρχηγὸν τῆς σωτηρίας αὐτῶν ἔφη. Εἷς γὰρ Θεός, ἐξ οὗ τὰ πάντα. «Δι' ἣν αἰτίαν οὐκ ἐπαισχύνεται ἀδελφοὺς αὐτοὺς καλεῖν». Ὁρᾷς πῶς πάλιν δείκνυσι τὴν ὑπεροχήν; Τῷ γὰρ εἰπεῖν, «οὐκ ἐπαισχύνεται», δείκνυσιν οὐ τῆς τοῦ πράγματος φύσεως, ἀλλὰ τῆς φιλοστοργίας τοῦ μὴ ἐπαισχυνομένου τὸ πᾶν 20 ὄν, καὶ τῆς ταπεινοφροσύνης τῆς πολλῆς. Εἰ γὰρ καὶ ἐξ ἑνός, ἀλλ' ὁ μὲν ἁγιάζει, ἡμεῖς δὲ ἁγιαζόμεθα. Πολὺ δὲ τὸ μέσον· καὶ ὁ μὲν ἐκ τοῦ Πατρός, ὡς Υἱὸς γνήσιος, τουτέστιν, ἐκ τῆς οὐσίας αὐτοῦ· ἡμεῖς δὲ ὡς κτίσμα, τουτέστιν ἐξ οὐκ ὄντων. Ὥστε πολὺ τὸ μέσον. Διό φησιν, «οὐκ ἐπαισχύνεται ἀδελφοὺς αὐτοὺς καλεῖν, 25 λέγων· ἀπαγγελῶ τὸ ὄνομά σου τοῖς ἀδελφοῖς μου». Τὴν γὰρ σάρκα ἐνδυσάμενος, ἐνεδύσατο καὶ τὴν ἀδελφότητα καὶ συνεῖλθεν ὁμοῦ τῇ σαρκὶ καὶ ἡ ἀδελφότης.

Ἀλλὰ τοῦτο μὲν εἰκότως παράγει· τὸ δέ, «ἐγὼ ἔσομαι πε-

σωτηρία τῶν ἄλλων, τὸν ἕνα γιὰ χάρη τῶν πολλῶν. Ὅμως δὲν εἶπε αὐτό, ἀλλὰ «νὰ τὸν κάνει τέλειο μὲ τὰ παθήματα», γιὰ νὰ δείξει ὅτι ὅποιος πάθει γιὰ χάρη κάποιου ἄλλου δὲν ὠφελεῖ αὐτὸν μόνο, ἀλλὰ καὶ ὁ ἴδιος γίνεται λαμπρότερος καὶ τελειότερος. Καὶ αὐτὸ τὸ εἶπε στοὺς πιστούς, λέγει, γιὰ νὰ τοὺς ἐνθαρρύνει. Καθόσον καὶ ὁ Χριστὸς τότε δοξάσθηκε, ὅταν ἔπαθε. Ὅταν λέγω ὅτι δοξάσθηκε, νὰ μὴ νομίσεις ὅτι αὐτὸς προσέλαβε δόξα. Γιατὶ τὴ δόξα τῆς φύσης τὴν εἶχε πάντοτε καὶ δὲν ἔλαβε τίποτε τότε.

«Γιατὶ καὶ ἐκεῖνος ποὺ ἁγιάζει», λέγει, «καὶ ἐκεῖνοι ποὺ ἁγιάζονται κατάγονται ὅλοι ἀπὸ τὸν ἴδιο Πατέρα. Γιὰ τὸ λόγο αὐτὸν δὲν ντρέπεται νὰ τοὺς ὀνομάζει ἀδελφούς». Νὰ πάλι πῶς ἑνώνει τιμώντας αὐτοὺς καὶ παρηγορώντας καὶ κάνοντάς τους ἀδελφοὺς τοῦ Χριστοῦ, σύμφωνα μ' αὐτό, μὲ τὸ ὅτι κατάγονται ὅλοι ἀπὸ τὸν ἴδιο Πατέρα. Στὴ συνέχεια πάλι βεβαιώνοντας αὐτὸ καὶ γιὰ νὰ δείξει, ὅτι ἐννοεῖ τὴν κατὰ σάρκα ἕνωση, πρόσθεσε τὸ «ἐκεῖνος ποὺ ἁγιάζει καὶ ἐκεῖνοι ποὺ ἁγιάζονται». Βλέπεις πόση εἶναι ἡ διαφορά; Γιατὶ ἐκεῖνος ἁγιάζει καὶ ἐμεῖς ἁγιαζόμαστε. Καὶ παραπάνω τὸν ὀνόμασε ἀρχηγὸ τῆς σωτηρίας τους. Γιατὶ ἕνας εἶναι ὁ Θεὸς ἀπὸ τὸν ὁποῖο προέρχονται τὰ πάντα. «Γιὰ τὸ λόγο αὐτὸν δὲν ντρέπεται νὰ τοὺς ὀνομάζει ἀδελφούς». Βλέπεις πάλι πῶς δείχνει τὴν ὑπεροχή; Γιατὶ μὲ τὸ νὰ πεῖ «δὲν ντρέπεται», δείχνει ὅτι τὰ πᾶν δὲν προέρχεται ἀπὸ τὴ φύση τοῦ πράγματος, ἀλλὰ ἀπὸ τὴ φιλοστοργία ἐκείνου ποὺ δὲν ντρέπεται καὶ τὴν πολλή του ταπεινοφροσύνη. Ἂν καὶ ὅλοι δηλαδὴ καταγόμαστε ἀπὸ ἕναν Πατέρα, αὐτὸς ὅμως ἁγιάζει καὶ ἐμεῖς ἁγιαζόμαστε. Εἶναι μεγάλη ἡ διαφορά· αὐτὸς προέρχεται ἀπὸ τὸν Πατέρα, ὡς Υἱὸς γνήσιος, δηλαδὴ ἀπὸ τὴν οὐσία του· ἐμεῖς ὅμως ὡς κτίσμα, δηλαδὴ ἀπὸ τὸ μηδέν. Ἐπομένως εἶναι μεγάλη ἡ διαφορά. Γι' αὐτὸ λέγει, «δὲν ντρέπεται νὰ τοὺς ὀνομάζει ἀδελφοὺς λέγοντας· θὰ διαλαλήσω τὸ ὄνομά σου στοὺς ἀδελφούς μου». Γιατί, ὅταν ντύθηκε τὴ σάρκα, ντύθηκε καὶ τὴν ἀδελφότητα, καὶ συνεισῆλθε μαζὶ μὲ τὴ σάρκα καὶ ἡ ἀδελφικὴ σχέση.

Καὶ αὐτὸ βέβαια εὔλογα τὸ λέγει, ὅμως τό, «ἐγὼ θὰ ἐμπι-

ποιθὼς ἐπ' αὐτῷ», τί βούλεται; Καὶ τὸ μετὰ ταῦτα δὲ εἰκότως· «ἰδοὺ ἐγὼ καὶ τὰ παιδία ἅ μοι ἔδωκεν ὁ Θεός». Ὥσπερ γὰρ ἐνταῦθα πατέρα δείκνυσιν ἑαυτόν, οὕτως ἐκεῖ ἀδελφόν· «ἀπαγγελῶ», φησί, «τὸ ὄνομά σου τοῖς ἀδελφοῖς μου»· καὶ πάλιν τὴν 5 ὑπεροχὴν δείκνυσι καὶ πολὺ τὸ μέσον, διὰ τῶν ἑξῆς· «ἐπεὶ οὖν τὰ παιδία», φησί, «κεκοινώνηκεν αἵματος καὶ σαρκός».

4. Ὁρᾶς ποῦ φησι τὸ ὅμοιον; κατὰ τὴν σάρκα. «Παραπλησίως καὶ αὐτὸς μετέσχε τῶν αὐτῶν». Αἰσχυνέσθωσαν πάντες οἱ αἱρετικοί, ἐγκαλυπτέσθωσαν οἱ δοκήσει λέγοντες αὐτὸν παραγενέ- 10 σθαι καὶ οὐκ ἀληθείᾳ. Οὐ γὰρ εἶπεν, ὅτι μετέσχε τούτων, μόνον, καὶ ἐσίγησε· καίτοι καὶ εἰ οὕτως εἶπεν, ἱκανὸν ἦν· ἀλλ' ἕτερόν τι μεῖζον ἐνέφηνε, τό, «παραπλησίως», προσθείς. Οὐ φαντασίᾳ οὐδὲ εἰκόνι, φησίν, ἀλλ' ἀληθείᾳ· ἐπεὶ τό, «παραπλησίως», οὐ σώζεται. Εἶτα, δείξας τὴν ἀδελφότητα, καὶ τὴν αἰτίαν τίθησι τῆς 15 οἰκονομίας· «ὅπως διὰ τοῦ θανάτου», φησί, «καταργήσῃ τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου, τουτέστι, τὸν διάβολον». Ἐνταῦθα τὸ θαυμαστὸν δείκνυσιν, ὅτι δι' οὗ ἐκράτησεν ὁ διάβολος, διὰ τούτου ἡττήθη, καὶ ὅπερ ἰσχυρὸν ἦν αὐτῷ ὅπλον κατὰ τῆς οἰκουμένης, ὁ θάνατος, τούτῳ αὐτὸν ἔπληξεν ὁ Χριστός· καὶ τὸ πολὺ 20 τῆς δυνάμεως τοῦ νικήσαντος ἐμφαίνει. Ὁρᾷς ὅσον ὁ θάνατος εἰργάσατο καλόν;

«Καὶ ἀπαλλάξῃ», φησί, «τούτους, ὅσοι φόβῳ θανάτου διὰ παντὸς τοῦ ζῆν ἔνοχοι ἦσαν δουλείας». Τίνος ἕνεκεν φρίττετε, φησί, τί δεδοίκατε τὸν καταργηθέντα; οὐκέτι φοβερός ἐστιν, 25 ἀλλὰ πεπάτηται, καταπεφρόνηται, εὐτελής ἐστι καὶ οὐδενὸς ἄξιος. Τί δέ ἐστιν, «ὅσοι φόβῳ θανάτου διὰ παντὸς τοῦ ζῆν ἔνοχοι ἦσαν δουλείας»; τί τοῦτο, φησίν; Ὅτι ὁ τὸν θάνατον δεδοικώς, δοῦλός ἐστι, καὶ πάντα ὑφίσταται ὑπὲρ τοῦ μὴ ἀποθανεῖν· ἢ ἐκεῖνο, ὅτι πάντες δοῦλοι ἦσαν τοῦ θανάτου, φησί, καὶ τῷ μηδέ- 30 πω αὐτὸν λελύσθαι ἐκρατοῦντο· ἤ, εἰ μὴ τοῦτο, ὅτι φόβῳ διηνεκεῖ συνέζων οἱ ἄνθρωποι. Ἀεὶ γὰρ ἀποτεθνήξεσθαι προσδο-

στευθῶ τὸν ἑαυτό μου σ' αὐτόν», τί τὸ θέλει; Καὶ τὸ ἑπόμενο εὔλογα τὸ εἶπε· «νὰ ἐγὼ καὶ τὰ παιδιὰ ποὺ μοῦ ἔδωσε ὁ Θεός». Ὅπως δηλαδὴ ἐδῶ δείχνει τὸν ἑαυτό του Πατέρα, ἔτσι ἐκεῖ τὸν δείχνει ἀδελφό· «θὰ διαλαλήσω», λέγει, «τὸ ὄνομά σου στοὺς ἀδελφούς μου». Καὶ πάλι δείχνει τὴν ὑπεροχὴ καὶ τὴ μεγάλη διαφορὰ μὲ τὰ ἑπόμενα ποὺ λέγει. «Ἐπειδὴ λοιπὸν τὰ παιδιά», λέγει, «ἔχουν αἷμα καὶ σάρκα».

4. Βλέπεις ὅτι ἐννοεῖ τὴν ὁμοιότητα; Ὡς πρὸς τὴ σάρκα. «Παρόμοια καὶ αὐτὸς πῆρε τὰ ἴδια». Ἂς ντρέπονται ὅλοι οἱ αἱρετικοί, ἂς κρυφτοῦν ὅσοι λέγουν ὅτι ὁ Ἰησοῦς ἦρθε φαινομενικὰ καὶ ὄχι πραγματικά. Γιατὶ δὲν εἶπε μόνο ὅτι πῆρε τὰ ἴδια καὶ ὕστερα σιώπησε (ἂν καὶ βέβαια κι αὐτὸ νὰ ἔλεγε θὰ ἦταν ἀρκετό), ἀλλὰ φανέρωσε κάποιο ἄλλο μεγαλύτερο προσθέτοντας τὸ «παρόμοια». Οὔτε φανταστικὰ οὔτε εἰκονικά, λέγει, ἀλλὰ πραγματικά· γιατὶ τὸ «παρόμοια» δὲν ἐπιδέχεται ἀμφισβήτηση. Στὴ συνέχεια δείχνει τὴν ἀδελφικὴ σχέση καὶ ἀναφέρει τὴν αιτία τῆς οἰκονομίας τοῦ πράγματος. «Γιὰ νὰ καταργήσει», λέγει, «μὲ τὸ θάνατό του ἐκεῖνον ποὺ ἐξουσίαζε τὸ θάνατο, δηλαδὴ τὸ διάβολο». Ἐδῶ δείχνει κάτι ποὺ εἶναι ἄξιο θαυμασμοῦ, ὅτι δηλαδὴ μ' ἐκεῖνο ποὺ ἐξουσίασε ὁ διάβολος, μ' ἐκεῖνο ἡττήθηκε, καὶ ἐκεῖνο ποὺ ἦταν ἰσχυρὸ ὅπλο του ἐναντίον τῆς οἰκουμένης, ὁ θάνατος, μ' αὐτὸ τὸν ἔπληξε ὁ Χριστός· ἀκόμη φανερώνει καὶ τὴ μεγάλη δύναμη τοῦ νικητῆ. Βλέπεις πόσο καλὸ προξένησε ὁ θάνατος;

«Καὶ νὰ ἐλευθερώσει ἐκείνους», λέγει, «ποὺ ἀπὸ τὸ φόβο τοῦ θανάτου ἦταν ὑποδουλωμένοι σ' ὅλη τους τὴ ζωή». Γιὰ ποιό λόγο τρομάζετε, λέγει, γιατί φοβᾶστε αὐτὸν ποὺ καταργήθηκε; Δὲν εἶναι πιὰ φοβερός, ἀλλὰ καταπατήθηκε, ἐξευτελίσθηκε, εἶναι ἀσήμαντος καὶ τιποτένιος. Τί ὅμως σημαίνει τὸ «ὅσοι ἀπὸ φόβο τοῦ θανάτου ἦταν ὑποδουλωμένοι σὲ ὅλη τους τὴ ζωή»; Τί ἐννοεῖ αὐτό; Ὅτι, ὅποιος φοβᾶται τὸ θάνατο, εἶναι δοῦλος καὶ δέχεται τὰ πάντα γιὰ νὰ μὴν πεθάνει· ἢ τὸ ἄλλο ἐννοεῖ, ὅτι δηλαδὴ ὅλοι ἦταν δοῦλοι τοῦ θανάτου καὶ ἐξουσιάζονταν ἀπ' αὐτὸν ποὺ δὲν εἶχε ἀκόμη καταλυθεῖ· ἤ, ἂν δὲν εἶναι αὐτό, ὅτι οἱ ἄνθρωποι ζοῦσαν διαρκῶς μὲ φόβο. Γιατί, περιμένοντας πάντοτε

κῶντες καὶ τὸν θάνατον δεδοικότες, οὐδεμιᾶς ἡδονῆς αἴσθησιν λαβεῖν ἠδύνατο, τοῦ φόβου τούτου παρόντος αὐτοῖς· τοῦτο γὰρ ᾐνίξατο εἰπών, «διὰ παντὸς τοῦ ζῆν».

Δείκνυσιν ἐνταῦθα τοὺς θλιβομένους, τοὺς ἐλαυνομένους, 5 *τοὺς διωκομένους, τοὺς καὶ πατρίδος καὶ οὐσίας καὶ τῶν ἄλλων ἁπάντων ἀποστερουμένους, ἥδιον διάγοντας καὶ ἐλευθεριώτερον ἐκείνων τῶν ἐν τρυφῇ τὸ πάλαι τυγχανόντων, τῶν μηδὲν τοιούτων παθόντων, τῶν εὐθηνουμένων· εἴ γε ἐκεῖνοι μὲν διὰ παντὸς τοῦ ζῆν ὑπὸ τῷ φόβῳ τούτῳ ἦσαν καὶ δοῦλοι, αὐτοὶ δὲ* 10 *τούτου εἰσὶν ἀπηλλαγμένοι, καὶ γελῶντες τοῦτο, ὅπερ ἐκεῖνοι πεφρίκασιν. Ὥσπερ γὰρ εἴ τις δεσμώτην μέλλοντα τὴν ἐπὶ θάνατον ἄγεσθαι, καὶ ἀεὶ τοῦτο προσδοκῶντα, λιπαίνοι πολλῇ τῇ τρυφῇ· τοιοῦτόν τι ἦν τὸ παλαιὸν ὁ θάνατος. Νῦν δὲ ταὐτὸν γέγονεν, οἷον ἂν εἴ τις τὸν φόβον ἐκεῖνον ἐκβαλών, μετὰ τῆς τρυφῆς* 15 *ἀθλεῖν προτρέποι, καὶ τὸν ἀγῶνα προτιθείς, ἐπαγγέλλοιτο μηκέτι εἰς θάνατον, ἀλλ' εἰς βασιλείαν ἀγαγεῖν.*

Τίνων οὖν ἠθέλησας σὺ γενέσθαι, τῶν ἐν τῷ δεσμωτηρίῳ λιπαινομένων μετὰ τοῦ καθ' ἑκάστην ἡμέραν τὴν ἀπόφασιν προσδοκᾶν, ἢ τῶν ἀθλούντων πολλὰ καὶ πονούντων ἑκοντί, 20 *ὥστε τὸ διάδημα τῆς βασιλείας ἀναδήσασθαι; Ὁρᾷς πῶς αὐτῶν ἦρε τὴν ψυχὴν καὶ μετεώρους εἰργάσατο; Δείκνυσι δὲ οὐ τὸν θάνατον μόνον πεπαυμένον, ἀλλὰ διὰ τούτου κἀκεῖνον τὸν ἄσπονδον πρὸς ἡμᾶς ἀεὶ τὸν πόλεμον ἐπανῃρημένον καὶ ἐπιδεικνύμενον, τὸν διάβολον λέγω, καταργηθέντα· ὁ γὰρ θάνατον μὴ δεδοι-* 25 *κώς, ἔξω τῆς τυραννίδος ἐστὶ τοῦ διαβόλου. Εἰ γὰρ δέρμα ὑπὲρ δέρματος, καὶ πάντα δοίη ἄν τις ὑπὲρ τῆς ψυχῆς αὐτοῦ, ὅταν καὶ ταύτης κρίνῃ τις καταφρονεῖν, τίνος ἔσται δοῦλος λοιπόν; Οὐδένα δέδοικεν, οὐδένα φοβεῖται, πάντων ἐστὶν ἀνώτερος καὶ πάντων ἐλευθεριώτερος. Ὁ γὰρ τῆς ψυχῆς τῆς ἑαυτοῦ καταφρονῶν,* 30 *πολλῷ μᾶλλον τῶν ἄλλων. Ὅταν δὲ εὕρῃ ψυχὴν τοιαύτην ὁ διάβολος, οὐδὲν ἐργάσασθαι δυνήσεται ἐν αὐτῇ τῶν ἑαυτοῦ. Τί*

---

11. Ἰὼβ 2,4.

ὅτι θὰ πεθάνουν καὶ φοβούμενοι τὸ θάνατο, δὲν μποροῦσαν νὰ γνωρίσουν καμμιὰ εὐχαρίστηση, ἐπειδὴ εἶχαν τὸ φόβο αὐτόν. Γιατὶ αὐτὸ ὑπαινίχθηκε λέγοντας «σὲ ὅλη τους τὴ ζωή».

Ἐδῶ δείχνει ὅτι ὅσοι ταλαιπωροῦνται, ὅσοι πιέζονται, ὅσοι διώκονται, ὅσοι δὲν ἔχουν πατρίδα καὶ περιουσία καὶ ὅλα τὰ ἄλλα, ζοῦν πιὸ εὐχάριστα καὶ πιὸ ἐλεύθερα ἀπὸ ἐκείνους ποὺ παλαιότερα ζοῦσαν μὲ ἀπολαύσεις, ποὺ δὲν ἔπαθαν τίποτε τέτοιο, ποὺ εὐημεροῦσαν. Γιατὶ ἐκεῖνοι, περνώντας ὅλη τους τὴ ζωὴ κάτω ἀπ' αὐτὸν τὸ φόβο, ἦταν καὶ δοῦλοι, ἐνῶ αὐτοὶ εἶναι ἀπαλλαγμένοι ἀπὸ τὸ φόβο αὐτὸν καὶ περιφρονοῦν ἐκεῖνο ποὺ ἔτρεμαν ἐκεῖνοι. Ὅπως κάποιος δηλαδὴ ποὺ ἐνθαρρύνει μὲ πολλὴ εὐγένεια τὸν φυλακισμένο ποὺ πρόκειται νὰ θανατωθεῖ καὶ τὸ περιμένει πάντοτε αὐτό, κάτι τέτοιο ἦταν τὴν παλιὰ ἐποχὴ ὁ θάνατος. Τώρα ὅμως ἔγινε τὸ ἴδιο, ὅπως ἂν κάποιος, διώχνοντας αὐτὸν τὸ φόβο, τὸν προέτρεπε μὲ εὐγένεια ν' ἀγωνίζεται, καί, ὁρίζοντας καὶ τὸν ἀγώνα, ὑποσχόταν νὰ τὸν ὁδηγήσει ὄχι στὸ θάνατο, ἀλλὰ στὴ βασιλεία.

Ἀπὸ ποιούς λοιπὸν θὰ ἤθελες νὰ εἶσαι; Ἀπὸ τοὺς φυλακισμένους ποὺ ἐνθαρρύνονται καὶ καθημερινὰ περιμένουν τὴν ἀπόφαση, ἢ ἀπ' αὐτοὺς ποὺ ἀγωνίζονται πολὺ καὶ κουράζονται μὲ τὴ θέλησή τους γιὰ νὰ φορέσουν τὸ διάδημα τῆς βασιλείας; Βλέπεις πῶς ἐνθάρρυνε τὴν ψυχή τους καὶ τοὺς ἀνέβασε ψηλά; Καὶ δείχνει ὅτι ὄχι μόνο ὁ θάνατος ἔχει καταλυθεῖ, ἀλλ' ὅτι μ' αὐτὸν ἔχει καταργηθεῖ καὶ ἐκεῖνος ποὺ ἐπιχειροῦσε καὶ κάνει πάντοτε τὸν ἄσπονδο πόλεμο ἐναντίον μας, δηλαδὴ ὁ διάβολος. Γιατὶ ἐκεῖνος ποὺ δὲ φοβᾶται τὸ θάνατο εἶναι ἔξω ἀπὸ τὴν τυραννικὴ ἐξουσία τοῦ διαβόλου. Ἂν κάποιος δηλαδὴ γιὰ νὰ σώσει τὸ δέρμα του θὰ ἔδινε ἄλλο δέρμα καὶ γιὰ νὰ σώσει τὴ ζωή του θὰ ἔδινε τὰ πάντα[11], ὅταν κανεὶς ἀποφασίζει νὰ περιφρονήσει ἀκόμη καὶ τὴ ζωή του, τίνος θὰ εἶναι στὴ συνέχεια δοῦλος; Κανέναν δὲ φοβᾶται, κανέναν δὲν τρέμει· ἀπ' ὅλους εἶναι ἀνώτερος καὶ ἀπ' ὅλους εἶναι περισσότερο ἐλεύθερος. Γιατί, ἐκεῖνος ποὺ περιφρονεῖ τὴ ζωή του, πολὺ περισσότερο περιφρονήσει τὰ ἄλλα. Ὅταν ὁ διάβολος βρεῖ μιὰ τέτοια ψυχή τίποτε ἀπὸ τὰ δικά του δὲ θὰ μπορέσει νὰ κάνει σ' αὐτήν. Τί δηλαδή,

γάρ, εἰπέ μοι; χρημάτων ζημίαν ἀπειλήσει καὶ ἀτιμίαν καὶ πατρίδος ἔκπτωσιν; ἀλλὰ ταῦτα μικρὰ τῷ μηδὲ τὴν ψυχὴν τιμίαν τιθεμένῳ, κατὰ τὸν μακάριον Παῦλον.

Ὁρᾷς ὅτι τοῦ θανάτου τὴν τυραννίδα ἐκβαλών, συγκατέ-
5 *λυσε καὶ τοῦ διαβόλου τὴν ἰσχύν; ὁ γὰρ περὶ ἀναστάσεως μυρία φιλοσοφεῖν εἰδώς, πῶς δέδοικε θάνατον; πῶς φρίττει λοιπόν; Μὴ τοίνυν ἀσχάλλετε λέγοντες, 'διὰ τί τὰ καὶ τὰ πεπόνθαμεν;' οὕτω γὰρ λαμπροτέρα ἡ νίκη γίνεται· οὐκ ἂν δὲ ἦν λαμπρά, εἰ μὴ θανάτῳ τὸν θάνατον ἔλυσε. Τὸ δὲ θαυμαστὸν τοῦτό ἐστιν, ὅτι δι'*
10 *αὐτῶν αὐτὸν ἐνίκησε, δι' ὧν ἴσχυσε, τὸ εὔπορον αὐτοῦ πανταχοῦ καὶ εὐμήχανον δεικνύς. Μὴ δὴ προδῶμεν τὴν δοθεῖσαν ἡμῖν δωρεάν· «οὐ γὰρ ἐλάβομεν», φησί, «πνεῦμα δειλίας, ἀλλὰ πνεῦμα δυνάμεως καὶ ἀγάπης καὶ σωφρονισμοῦ». Στῶμεν οὖν γενναίως καταγελῶντες τοῦ θανάτου.*

15 5. *Ἀλλὰ γὰρ ἐπῆλθέ μοι στενάξαι πικρόν, ποῦ μὲν ὁ Χριστὸς ἡμᾶς ἀνήγαγε, ποῦ δὲ ἑαυτοὺς κατηγάγομεν. Ὅταν γὰρ ἴδω τοὺς κοπετοὺς τοὺς κατὰ τὴν ἀγοράν, τὰς οἰμωγάς, ἃς ἐπὶ τοῖς ἐξερχομένοις ποιοῦνται τοῦ βίου, τὰς ὀλολυγάς, τὰς ἀσχημοσύνας τὰς ἄλλας, πιστεύσατε, αἰσχύνομαι καὶ Ἕλληνας καὶ Ἰουδαίους καὶ*
20 *αἱρετικοὺς τοὺς ὁρῶντας, καὶ πάντας ἁπλῶς τοὺς διὰ τοῦτο καταγελῶντας ἡμῶν· ὅσα γὰρ ἂν εἴπω λοιπόν, εἰκῇ ἐρῶ περὶ ἀναστάσεως φιλοσοφῶν. Τί δήποτε; Ὅτι οὐ τοῖς λεγομένοις παρ' ἐμοῦ προσέχουσιν Ἕλληνες, ἀλλὰ τοῖς γινομένοις παρ' ὑμῶν· εὐθέως γὰρ ἐροῦσι· πότε τούτων τις καταφρονῆσαι θανάτου δυ-*
25 *νήσεται, μηδὲ ἕτερον τεθνεῶτα δυνάμενος ἰδεῖν;*

Καλὰ τὰ εἰρημένα ὑπὸ τοῦ Παύλου, καλά, καὶ τῶν οὐρανῶν ἄξια, καὶ τῆς τοῦ Θεοῦ φιλανθρωπίας· τί γάρ φησι; «Καὶ ἀπαλλάξει τούτους, ὅσοι φόβῳ θανάτου διὰ παντὸς τοῦ ζῆν ἔνοχοι ἦσαν δουλείας». Ἀλλ' οὐκ ἀφίετε ταῦτα πιστεύεσθαι ὑμεῖς,
30 *μαχόμενοι διὰ τῶν ἔργων αὐτοῖς· καίτοι πολλὰ ἐπιτειχίσαντος τοῦ Θεοῦ γίνεσθαι πρὸς τοῦτο, ἵνα ἀνέλῃ τὴν πονηρὰν ταύτην*

---

12. Πράξ. 20,24.
13. Β' Τιμ. 1,7.

πές μου, θὰ τὴ φοβερίσει μὲ ἀπώλεια χρημάτων καὶ ἀτίμωση καὶ ἐξορία ἀπὸ τὴν πατρίδα; Αὐτὰ ὅμως εἶναι ἀσήμαντα γι' αὐτὸν ποὺ δὲ θεωρεῖ τὴ ζωή του πολύτιμη, σύμφωνα μὲ τὸν ἀπόστολο Παῦλο[12].

Βλέπεις ὅτι ἀπομάκρυνε τὴν τυραννία τοῦ θανάτου καὶ συγχρόνως διέλυσε τὴ δύναμη τοῦ διαβόλου; Γιατὶ ἐκεῖνος ποὺ γνωρίζει νὰ φιλοσοφεῖ πολὺ γιὰ τὴν ἀνάσταση, πῶς θὰ φοβᾶται τὸ θάνατο καὶ πῶς θὰ τρομάζει στὴ συνέχεια; Μὴ στενοχωριέστε λοιπὸν λέγοντας, 'γιὰ ποιό λόγο τὰ πάθαμε αὐτὰ καὶ ἐκεῖνα;' γιατὶ ἔτσι ἡ νίκη γίνεται λαμπρότερη. Δὲ θὰ ἦταν ὅμως λαμπρή, ἂν δὲν κατέλυε τὸ θάνατο μὲ τὸ θάνατο. Καὶ τὸ θαυμαστὸ εἶναι τοῦτο, ὅτι τὸν νίκησε μ' αὐτὰ μὲ τὰ ὁποῖα ἦταν δυνατὸς αὐτός, δείχνοντας παντοῦ τὴν ἐφευρετικότητα καὶ ἐπινοητικότητά του. Ἂς μὴν ἀρνηθοῦμε λοιπὸν τὴ δωρεὰ ποὺ μᾶς δόθηκε. «Γιατὶ δὲ λάβαμε», λέγει, «πνεῦμα δειλίας, ἀλλὰ πνεῦμα δύναμης καὶ ἀγάπης καὶ σωφρονισμοῦ»[13]. Ἂς σταθοῦμε λοιπὸν γενναῖα, περιφρονώντας τὸ θάνατο.

5. Ἀλλὰ μοῦ ἦρθε ν' ἀναστενάξω πικρά, ἀναλογιζόμενος ποῦ μᾶς ἀνέβασε ὁ Χριστὸς καὶ ποῦ κατεβάσαμε ἐμεῖς τὸν ἑαυτό μας. Γιατί, ὅταν βλέπω τοὺς θρήνους ποὺ γίνονται στὴν ἀγορά, τὶς κραυγὲς ποὺ βγάζουν γιὰ ἐκείνους ποὺ πεθαίνουν, τὶς ὀδυρμούς, τὶς ἄλλες ἀσχημοσύνες, πιστέψτε με, ντρέπομαι καὶ τοὺς ἐθνικοὺς καὶ τοὺς Ἰουδαίους καὶ τοὺς αἱρετικοὺς ποὺ βλέπουν καὶ ὅλους γενικὰ ἐκείνους ποὺ μᾶς περιγελοῦν γι' αὐτό. Ὅσα κι ἂν πῶ τώρα, θὰ τὰ πῶ στὰ χαμένα φιλοσοφώντας γιὰ τὴν ἀνάσταση. Γιατί; Ἐπειδὴ οἱ ἐθνικοὶ δὲν προσέχουν αὐτὰ ποὺ λέγω, ἀλλ' αὐτὰ ποὺ κάνετε ἐσεῖς· ἀμέσως δηλαδὴ θὰ ποῦν· 'Πότε κάποιος ἀπ' αὐτοὺς θὰ μπορέσει νὰ περιφρονήσει τὸ θάνατο, τὴ στιγμὴ ποὺ δὲν μπορεῖ νὰ δεῖ ἄλλον πεθαμένο';

Τὰ λεγόμενα ἀπὸ τὸν Παῦλο εἶναι καλὰ καὶ ἄξια τῶν οὐρανῶν καὶ τῆς φιλανθρωπίας τοῦ Θεοῦ. Τί λέγει δηλαδή; «Καὶ νὰ ἐλευθερώσει ἐκείνους ποὺ ἀπὸ τὸ φόβο τοῦ θανάτου ἦταν ὑποδουλωμένοι σὲ ὅλη τους τὴ ζωή». Ἀλλὰ σεῖς δὲν ἀφήνετε νὰ πιστεύονται αὐτά, γιατὶ τὰ πολεμᾶτε μὲ τὰ ἔργα σας, ἂν καὶ ὁ Θεὸς ἀντέταξε πολλὰ ἐναντίον αὐτοῦ τοῦ πράγματος, γιὰ νὰ ἐξαλείψει

συνήθειαν. Εἰπὲ γάρ μοι, τί βούλονται αἱ λαμπάδες αἱ φαιδραί; οὐχ ὡς ἀθλητὰς αὐτοὺς προπέμπομεν; τί δὲ οἱ ὕμνοι; οὐχὶ τὸν Θεὸν δοξάζομεν καὶ εὐχαριστοῦμεν, ὅτι λοιπὸν ἐστεφάνωσε τὸν ἀπελθόντα, ὅτι τῶν πόνων ἀπήλλαξεν, ὅτι τῆς δειλίας ἐκβαλὼν 5 ἔχει παρ' ἑαυτῷ; οὐ διὰ τοῦτο ὕμνοι; οὐ διὰ τοῦτο ψαλμῳδίαι; Ταῦτα πάντα χαιρόντων ἐστίν· «εὐθυμεῖ» γάρ, φησί, «τίς; ψαλλέτω». Ἀλλ' οὐ τούτοις προσέχουσιν Ἕλληνες.

Μὴ γάρ μοι, φησίν, εἴπῃς τὸν ἐκτὸς τοῦ πάθους φιλοσοφοῦντα, τοῦτο γὰρ οὐδὲν μέγα οὐδὲ θαυμαστόν, ἀλλὰ δεῖξόν μοι 10 τὸν ἐν αὐτῷ τῷ πάθει φιλοσοφοῦντα, καὶ τότε πιστεύσω τῇ ἀναστάσει. Καὶ τὸ μὲν βιωτικὰς γυναῖκας τοῦτο ποιεῖν, θαυμαστὸν οὐδέν· καίτοι γε καὶ αὐτὸ δεινόν· καὶ γὰρ καὶ αὗται τὴν αὐτὴν ἀπαιτοῦνται φιλοσοφίαν· διὸ καὶ Παῦλός φησι, «περὶ δὲ τῶν κεκοιμημένων οὐ θέλω ὑμᾶς ἀγνοεῖν, ἵνα μὴ λυπῆσθε, καθὼς καὶ 15 οἱ λοιποὶ οἱ μὴ ἔχοντες ἐλπίδα». Οὐχὶ μονάζουσιν ἔγραφε ταῦτα οὐδὲ ἀειπαρθένοις, ἀλλὰ καὶ κοσμικαῖς γάμῳ ὁμιλησάσαις καὶ βιωτικοῖς. Πλὴν ἀλλ' οὐχ οὕτω δεινὸν τοῦτο· ὅταν δέ τις, ἢ γυνὴ ἢ ἀνὴρ ἐσταυρῶσθαι τῷ κόσμῳ λέγων, ὁ μὲν τρίχας τίλλῃ, ἡ δὲ κωκύῃ μεγάλα, τί τούτου ἀσχημονέστερον; Πιστεύσατέ μοι λέ-20 γοντι, εἴ γε ὡς ἐχρῆν ἐγίνετο, πολὺν ἔδει χρόνον τοὺς τοιούτους εἴργεσθαι τῶν οὐδῶν τῶν τῆς ἐκκλησίας. Οἱ γὰρ ὄντως ἄξιοι πένθους, οὗτοί εἰσιν οἱ τὸν θάνατον δεδοικότες ἔτι καὶ φρίττοντες, οἱ τῇ ἀναστάσει διαπιστοῦντες.

Ἀλλ' οὐ τῇ ἀναστάσει διαπιστῶ, φησίν, ἀλλὰ τὴν συνή-25 θειαν ἐπιζητῶ. Διὰ τί οὖν, εἰπέ μοι, ὅταν ἀποδημῇ, καὶ ἀποδημίαν μακράν, οὐ τὰ αὐτὰ ποιεῖς; Ἀλλὰ κλαίω καὶ τότε, φησί, καὶ θρηνῶ ἐπιζητοῦσα. Ἀλλ' ἐκεῖνο μὲν ὄντως συνήθειαν ἐπιζητούσης ἐστί, τοῦτο δὲ ἀπεγνωκυίας τὴν ἐπάνοδον. Ἐννόησον τί ψάλλεις κατὰ τὸν καιρὸν ἐκεῖνον· «ἐπίστρεψον, ψυχή μου, εἰς 30 τὴν ἀνάπαυσίν σου, ὅτι Κύριος εὐηργέτησέ σε»· καὶ πάλιν, «οὐ

---

14. Ἰακ. 5,13. 15. Α' Θεσ. 4,13.

αὐτὴ τὴν κακὴ συνήθεια. Γιατὶ πές μου· τί θέλουν οἱ φαιδρὲς λαμπάδες; Δὲν τοὺς προπέμπουμε σὰν ἀθλητές; Καὶ τί θέλουν οἱ ὕμνοι; Δὲ δοξάζουμε τὸ Θεὸ καὶ δὲν τὸν εὐχαριστοῦμε ἐπειδὴ ἤδη στεφάνωσε τὸν νεκρό, τὸν ἀπάλλαξε ἀπὸ τοὺς κόπους, ἀπομάκρυνε τὸ φόβο του καὶ τὸν ἔχει κοντά του; Δὲν ἀναπέμπονται γι' αὐτὸ οἱ ὕμνοι; δὲν λέγονται γι' αὐτὸ οἱ ψαλμωδίες; Ὅλα αὐτὰ εἶναι ἐκδηλώσεις ἀνθρώπων ποὺ χαίρονται· γιατὶ λέγει, «βρίσκεται κάποιος σὲ εὐθυμία; Ἂς ψάλλει»[14]. Ἀλλὰ οἱ ἐθνικοὶ δὲν προσέχουν σ' αὐτά.

Μὴ λοιπόν, λέγει, μοῦ πεῖς ἐκεῖνον ποὺ φιλοσοφεῖ ἐκτὸς πάθους, γιατὶ αὐτὸ δὲν εἶναι καθόλου σπουδαῖο οὔτε θαυμαστό, ἀλλὰ δεῖξε μου αὐτὸν ποὺ φιλοσοφεῖ στὴ διάρκεια τοῦ πάθους, καὶ τότε θὰ πιστέψω στὴν ἀνάσταση. Καὶ νὰ τὸ κάνουν βέβαια αὐτὸ οἱ γυναῖκες τοῦ κόσμου δὲν εἶναι καθόλου παράξενο, ἂν καὶ αὐτὸ εἶναι φοβερό· γιατὶ καὶ ἀπ' αὐτὲς ἀπαιτεῖται ἡ ἴδια φιλοσοφία. Γι' αὐτὸ καὶ ὁ Παῦλος λέγει· «δὲν θέλω νὰ ἔχετε ἄγνοια γι' αὐτοὺς ποὺ πέθαναν, γιὰ νὰ μὴ λυπᾶστε καὶ σεῖς ὅπως καὶ οἱ ἄλλοι ποὺ δὲν ἔχουν ἐλπίδα»[15]. Δὲν τὰ ἔγραφε σὲ μοναχοὺς αὐτὰ οὔτε σὲ παρθένους, ἀλλὰ καὶ σὲ κοσμικὲς γυναῖκες ποὺ ἦταν παντρεμένες καὶ ζοῦσαν μέσα στὸν κόσμο. Ἀλλὰ δὲν εἶναι τόσο φοβερὸ αὐτό· ὅταν ὅμως κάποια γυναίκα ἢ κάποιος ἄνδρας, ἐνῶ λέγουν ὅτι ἔχουν σταυρωθεῖ γιὰ τὸν κόσμο, ὁ ἄνδρας βγάζει τὶς τρίχες καὶ ἐκείνη ὀδύρεται πολύ, τί ὑπάρχει πιὸ ἄσχημο ἀπ' αὐτό; Πιστέψτε με ποὺ λέγω αὐτά· ἂν γινόταν ὅπως ἔπρεπε νὰ γίνεται, γιὰ πολὺ χρόνο θὰ ἔπρεπε νὰ εἶναι γι' αὐτοὺς κλειστὲς οἱ πόρτες τῆς ἐκκλησίας. Γιατὶ ἐκεῖνοι ποὺ πραγματικὰ εἶναι ἄξιοι γιὰ πένθος εἶναι αὐτοὶ ποὺ ἀκόμη φοβοῦνται καὶ τρέμουν τὸ θάνατο, ποὺ δυσπιστοῦν γιὰ τὴν ἀνάσταση.

Ἀλλά, λέγει, δὲ δυσπιστῶ γιὰ τὴν ἀνάσταση, ἀλλὰ ἐπιζητῶ τὴ συνήθεια τοῦ πράγματος. Γιατί λοιπόν, πές μου, ὅταν φεύγεις σὲ ταξίδι, καὶ μάλιστα σὲ ταξίδι μακρινό, δὲν κάνεις τὰ ἴδια; Κλαίω καὶ τότε, λέγει, καὶ ἐπιζητῶ τοὺς θρήνους. Ἀλλ' ἐκεῖνο εἶναι ἀπόδειξη ἐκείνης ποὺ πραγματικὰ ἐπιζητεῖ τὴ συνήθεια, ἐνῶ αὐτὸ ἐκείνης ποὺ ἔχασε τὴν ἐλπίδα της γιὰ τὴν ἐπιστροφή. Σκέψου τί ψάλλεις τὴν ὥρα ἐκείνη· «ξαναγύρισε, ψυχή μου,

φοβηθήσομαι κακά, ὅτι σὺ μετ' ἐμοῦ εἶ»· καὶ πάλιν, «σύ μου εἶ καταφυγὴ ἀπὸ θλίψεως τῆς περιεχούσης με». Ἐννόησον τί βούλονται οὗτοι οἱ ψαλμοί. Ἀλλ' οὐ προσέχεις, ἀλλὰ μεθύεις ὑπὸ τοῦ πένθους. Κἂν ἐν τοῖς ἑτέρων κηδεύμασι κατανόησον ἀκρι-
5 *βῶς, ἵνα ἔχῃς φάρμακον ἐν τοῖς σοῖς. «Ἐπίστρεψον, ψυχή μου, εἰς τὴν ἀνάπαυσίν σου, ὅτι Κύριος εὐηργέτησέ σε», λέγεις, καὶ δακρύεις; οὐχὶ σκηνὴ ταῦτά ἐστιν, οὐχ ὑπόκρισις; Εἰ μὲν γὰρ ὄντως πιστεύεις οἷς λέγεις, περιττῶς πενθεῖς· εἰ δὲ παίζεις καὶ ὑποκρίνῃ καὶ μύθους αὐτὰ εἶναι νομίζεις, τί καὶ ψάλλεις; τί καὶ*
10 *ἀνέχῃ τῶν παραγινομένων; διὰ τί μὴ ἀπελαύνεις τοὺς ψάλλοντας; Ἀλλὰ μαινομένων τοῦτο, φησί. Κἀκεῖνο πολλῷ μᾶλλον.*

Τέως μὲν οὖν παραινῶ· τοῦ χρόνου δὲ προϊόντος σφοδρότερον τῷ πράγματι χρήσομαι· καὶ γὰρ μειζόνως δέδοικα, μὴ τούτῳ τῷ τρόπῳ χαλεπή τις νόσος ἐν τῇ Ἐκκλησίᾳ ὑπεισέλθῃ.
15 *Τοῦτον μὲν οὖν τὸν κοπετὸν ὕστερον ἐπανορθωσώμεθα· τέως δὲ παραγγέλλω καὶ διαμαρτύρομαι καὶ πλουσίοις καὶ πένησι, καὶ γυναιξὶ καὶ ἀνδράσι. Γένοιτο μὲν οὖν πάντας ὑμᾶς ἀπενθήτους τὸν βίον ἐξελθεῖν, καὶ κατὰ νόμον τὸν προσήκοντα πατέρας ὑπὸ τῶν υἱῶν γεγηρακότας προπέμπεσθαι καὶ μητέρας ὑπὸ θυ-*
20 *γατέρων καὶ ἐγγόνων καὶ μετεγγόνων ἐν λιπαρῷ τῷ γήρᾳ, καὶ μηδαμοῦ γενέσθαι ἄωρον θάνατον. Γένοιτο μὲν οὖν τοῦτο, καὶ τοῦτο εὔχομαι, καὶ τοὺς προέδρους δὲ καὶ πάντας ὑμᾶς ὑπὲρ ἀλλήλων παρακαλῶ δεηθῆναι τοῦ Θεοῦ, καὶ κοινὴν ποιήσασθαι ταύτην εὐχήν· εἰ δέ, ὅπερ ἀπείη μηδὲ συμβαίη, πικρός τις γένηται*
25 *θάνατος (πικρὸς δὲ λέγω, οὐ τῇ φύσει· οὐδὲ γάρ ἐστι λοιπὸν πικρὸς ὁ θάνατος· ὕπνου γὰρ οὐδὲν διενήνοχεν· ἀλλὰ πικρὸς λέγω, πρὸς τὴν ἡμετέραν διάθεσιν)· εἰ οὖν οὗτος συμβαίη, καί τινες τὰς θρηνούσας ταύτας μισθώσαιντο, πιστεύσατέ μοι λέγοντι, οὐκ ἄλλως γὰρ ἐρῶ, ἀλλ' ὡς ἔχω· ὁ βουλόμενος ὀργιζέσθω· πολὺν*

---

16. Ψαλμ. 114,7.
17. Ψαλμ. 22,4.
18. Ψαλμ. 31,7.

στὴν ἀνάπαυσή σου, γιατὶ ὁ Κύριος σὲ ἔχει εὐεργετήσει»[16]· καὶ πάλι, «δὲ θὰ φοβηθῶ κανένα κακό, γιατὶ ἐσὺ εἶσαι μαζί μου»[17]· καὶ πάλι, «ἐσὺ εἶσαι ἡ καταφυγή μου στὸν καιρὸ τῆς θλίψης ποὺ μὲ ἔχει κυριεύσει»[18]. Σκέψου τὸ νόημα αὐτῶν τῶν ψαλμῶν. Δὲν προσέχεις ὅμως, ἀλλὰ μεθᾶς ἀπὸ τὸ πένθος. Τουλάχιστο μελέτησε καλὰ στὶς κηδεῖες τῶν ἄλλων, γιὰ νὰ ἔχεις φάρμακο στὶς δικές σου. «Ξαναγύρισε, ψυχή μου, στὴν ἀνάπαυσή σου, γιατὶ ὁ Κύριος σὲ ἔχει εὐεργετήσει», λέγεις καὶ δακρύζεις; Δὲν εἶναι θεατρινισμὸς αὐτὰ καὶ ὑποκρισία; Γιατί, ἂν πράγματι πιστεύεις σ' αὐτὰ ποὺ λέγεις, εἶναι περιττὸ νὰ πενθεῖς· ἂν ὅμως παίζεις καὶ ὑποκρίνεσαι καὶ τὰ θεωρεῖς αὐτὰ παραμύθια, γιατί ψάλλεις; γιατί ἀνέχεσαι αὐτοὺς ποὺ παρευρίσκονται ἐκεῖ; γιατί δὲ διώχνεις αὐτοὺς ποὺ ψάλλουν; Αὐτό, λέγει, εἶναι ἀπόδειξη παρανοϊκῶν ἀνθρώπων. Καὶ ἐκεῖνο πολὺ περισσότερο.

Τώρα λοιπὸν συμβουλεύω· ἀργότερα ὅμως μὲ τὴν πάροδο τοῦ χρόνου θὰ χρησιμοποιήσω αὐστηρότερα τὸ πράγμα. Γιατὶ πραγματικὰ φοβᾶμαι πάρα πολύ, μήπως μ' αὐτὸν τὸν τρόπο εἰσχωρήσει κάποια φοβερὴ ἀρρώστια στὴν ἐκκλησία. Αὐτὸν λοιπὸν τὸ θρῆνο θὰ τὸν διορθώσουμε ἀργότερα. Τώρα ὅμως παραγγέλλω καὶ διακηρύττω σὲ πλούσιους καὶ φτωχούς, σὲ γυναῖκες καὶ σὲ ἄνδρες. Εἴθε λοιπὸν ὅλοι σας νὰ φύγετε ἀπὸ τὴ ζωὴ χωρὶς νὰ σᾶς πενθήσουν, καὶ σύμφωνα μὲ τὸ νόμο ποὺ ἁρμόζει οἱ πατέρες ἀφοῦ γεράσουν νὰ προπέμπονται ἀπὸ τοὺς υἱούς τους καὶ οἱ μητέρες ἀπὸ τὶς θυγατέρες καὶ τὰ ἐγγόνια καὶ τὰ δισέγγονά τους σὲ βαθιὰ γηρατειά, καὶ πουθενὰ νὰ μὴ συμβαίνει πρόωρος θάνατος. Εἴθε λοιπὸν νὰ γίνει αὐτό, καὶ αὐτὸ εὔχομαι, καὶ παρακαλῶ τοὺς ἐπισκόπους καὶ ὅλους ἐσᾶς νὰ προσευχηθεῖτε στὸ Θεὸ ὁ ἕνας γιὰ τὸν ἄλλον καὶ νὰ κάνετε ὅλοι μαζὶ αὐτὴ τὴν προσευχή. Ἂν ὅμως, πράγμα ποὺ εἴθε νὰ μὴν τύχει καὶ νὰ μὴ συμβεῖ, γίνει κάποιος πικρὸς θάνατος (καὶ πικρὸς ἐννοῶ ὄχι ὡς πρὸς τὴ φύση, γιατὶ δὲν εἶναι πιὰ πικρὸς ὁ θάνατος, καθόσον δὲν διαφέρει καθόλου ἀπὸ τὸν ὕπνο, ἀλλὰ πικρὸς ἐννοῶ ὡς προς τὴ δική μας διάθεση), ἂν λοιπὸν συμβεῖ αὐτὸς ὁ θάνατος καὶ μερικοὶ πληρώσουν αὐτὲς ποὺ θρηνοῦν, πιστέψτε με ποὺ τὸ λέγω, γιατὶ δὲ θὰ τὸ πῶ διαφορετικά, ἀλλὰ ὅπως μπορῶ, καὶ ὅποιος θέλει ἂς

αὐτὸν χρόνον τῆς Ἐκκλησίας ἀπείρξω ὡς τὸν εἰδωλολάτρην. Εἰ γὰρ τὸν πλεονέκτην εἰδωλολάτρην καλεῖ ὁ Παῦλος, πολλῷ μᾶλλον τὸν ἐπὶ πιστοῦ τὰ τῶν εἰδωλολατρῶν ἐπεισφέροντα.

Τίνος γὰρ ἕνεκεν, εἰπέ μοι, πρεσβυτέρους καλεῖς καὶ τοὺς 5 *ψάλλοντας; οὐχ ὥστε παραμυθήσασθαι, οὐχ ὥστε τιμῆσαι τὸν ἀπελθόντα; Τί τοίνυν αὐτὸν ὑβρίζεις; τί δὲ παραδειγματίζεις; τί δὲ παίζεις, ὥσπερ ἐν σκηνῇ; Ἡμεῖς ἐρχόμεθα τὰ περὶ ἀναστάσεως φιλοσοφοῦντες, πάντας παιδεύοντες, καὶ τοὺς μηδέπω πεπληγμένους, διὰ τῆς εἰς ἐκεῖνον τιμῆς, εἴ ποτε συμβαίη τι τοιοῦ-* 10 *τον, φέρειν γενναίως· σὺ δὲ ἄγεις τοὺς τὰ ἡμέτερα καθαιροῦντας, τό γε αὐτῶν μέρος;*

6. Τί τούτου τοῦ γέλωτος καὶ τῆς χλευασίας χεῖρον; τί ταύτης τῆς ἀνωμαλίας βαρύτερον; Αἰσχύνθητε καὶ ἐντράπητε· εἰ δὲ μὴ βούλεσθε ἡμεῖς οὐκ ἀνεχόμεθα ἤθη τοιαῦτα ὀλέθρια τῇ ἐκκλη- 15 *σίᾳ ἐπεισαγαγεῖν· «τοὺς γὰρ ἁμαρτάνοντας», φησίν, «ἐνώπιον πάντων ἔλεγχε». Κἀκείναις δὲ ταῖς ταλαιπώροις καὶ ἀθλίαις δι᾽ ὑμῶν ἀπαγορεύομεν, μηδέποτε ταῖς τῶν πιστῶν ἐκφοραῖς ἐπεισιέναι, ἵνα μὴ ὄντως τὰ οἰκεῖα αὐτὰς ἀναγκάσωμεν θρηνεῖν κακά, καὶ παιδεύσωμεν μὴ ἐν ἀλλοτρίοις ταῦτα ποιεῖν, ἀλλὰ τὰς* 20 *οἰκείας συμφορὰς μᾶλλον ὀδύρεσθαι· καὶ γὰρ καὶ πατὴρ φιλόστοργος, ὅταν υἱὸν ἄτακτον ἔχῃ, οὐκ ἐκείνῳ μόνον παραινεῖ μὴ πλησιάζειν τοῖς πονηροῖς, ἀλλὰ καὶ ἐκείνους φοβεῖ. Ἰδοὺ τοίνυν καὶ ὑμῖν κἀκείναις δι᾽ ὑμῶν παραινῶ, ὥστε μήτε ὑμᾶς καλεῖν τὰς τοιαύτας, μήτε ἐκείνας παραγίνεσθαι.*

25 *Καὶ γένοιτο μὲν τὸν λόγον τι ἐργάσασθαι πλέον καὶ τὴν ἀπειλὴν ἰσχῦσαι· εἰ δέ, ὅπερ ἀπείη, καταφρονηθῶμεν, ἀναγκασθησόμεθα λοιπὸν εἰς ἔργον ἀγαγεῖν τὴν ἀπειλήν, ὑμᾶς μὲν τοῖς νόμοις παιδεύοντες τοῖς ἐκκλησιαστικοῖς, ἐκείνας δὲ ὡς ἐκείναις προσῆκόν ἐστιν. Εἰ δέ τις ἀπαυθαδιαζόμενος καταφρονεῖ, ἀκου-* 30 *έτω τοῦ Χριστοῦ λέγοντος καὶ νῦν· «ἐὰν ὁ ἀδελφός σου ἁμαρτήσῃ εἰς σέ, ὕπαγε, ἔλεγξον αὐτὸν μεταξὺ σοῦ καὶ αὐτοῦ μόνου·*

---

19. Κολ. 3,5.
20. Α´ Τιμ. 5,20.

ὀργίζεται· θὰ τὸν ἀπομακρύνω γιὰ πολὺ χρόνο ἀπὸ τὴν ἐκκλησία σὰν τὸν εἰδωλολάτρη. Γιατί, ἂν ὁ Παῦλος ὀνομάζει εἰδωλολάτρη τὸν πλεονάκτη[19], πολὺ περισσότερο αὐτὸν ποὺ εἰσάγει στὴν περίπτωση τοῦ πιστοῦ τὶς εἰδωλολατρικὲς συνήθειες.

Γιὰ ποιό λόγο, πές μου, καλεῖς τοὺς πρεσβυτέρους καὶ τοὺς ψάλτες; Ὄχι γιὰ νὰ παρηγορήσεις, ὄχι γιὰ νὰ τιμήσεις αὐτὸν ποὺ πέθανε; Γιατί λοιπὸν τὸν ὑβρίζεις; γιατί τὸν διαπομπεύεις; καὶ γιατί παίζεις ὅπως στὴ θεατρικὴ σκηνή; Ἐμεῖς ἐρχόμαστε φιλοσοφώντας τὰ σχετικὰ μὲ τὴν ἀνάσταση, διδάσκοντας ὅλους, καὶ αὐτοὺς ποὺ δὲν ἔχουν πληγεῖ ἀκόμη, μὲ τὴν τιμὴ ποὺ ἀποδίδουν σ' ἐκεῖνον, ἂν ποτὲ συνέβαινε κάτι τέτοιο, νὰ ὑποφέρουν μὲ γενναιότητα, καὶ σὺ φέρνεις αὐτοὺς ποὺ καταργοῦν τὰ δικά μας, ὅσο βέβαια μποροῦν;

6. Τί ὑπάρχει χειρότερο ἀπ' αὐτὴ τὴ γελοιοποίηση καὶ τὸ χλευασμό; τί εἶναι βαρύτερο ἀπ' αὐτὴ τὴν ἀνωμαλία; Κοκκινίστε καὶ ντραπεῖτε. Ἂν ὅμως δὲ θέλετε, ἐγὼ δὲν ἀνέχομαι νὰ εἰσάγετε τέτοιες ὀλέθριες συνήθειες στὴν ἐκκλησία. «Ἐκείνους ποὺ ἁμαρτάνουν», λέγει, «νὰ τοὺς ἐλέγχεις ἐνώπιον ὅλων»[20]. Ἀλλὰ καὶ ἐκεῖνες τὶς ταλαίπωρες καὶ ἄθλιες γυναῖκες μιλώντας σὲ σᾶς τὶς ἀπαγορεύουμε νὰ ἔρχονται στὶς ἐκφορὲς τῶν πιστῶν, γιὰ νὰ μὴν τὶς ἀναγκάσουμε πραγματικὰ νὰ θρηνοῦν τὰ δικά τους κακὰ καὶ νὰ τὶς μάθουμε νὰ μὴ τὰ κάνουν αὐτὰ σὲ ξένα κακά, ἀλλὰ νὰ ὀδύρονται περισσότερο γιὰ τὶς δικές τους συμφορές. Γιατὶ καὶ ὁ φιλόστοργος πατέρας, ὅταν ἔχει παιδὶ ἄτακτο, δὲ συμβουλεύει μόνο αὐτὸ νὰ μὴν πλησιάζει τοὺς κακούς, ἀλλὰ καὶ ἐκείνους φοβερίζει. Νὰ λοιπὸν συμβουλεύω καὶ σᾶς καὶ ἐκεῖνες, μιλώντας σὲ σᾶς, ὥστε οὔτε ἐσεῖς νὰ καλεῖτε αὐτὲς τὶς γυναῖκες οὔτε ἐκεῖνες νὰ ἔρχονται.

Καὶ εἴθε ὁ λόγος νὰ ἐπιτύχει κάτι περισσότερο καὶ ἡ ἀπειλὴ νὰ τὸ κατορθώσει. Ἂν ὅμως, πράγμα ποὺ εὔχομαι νὰ μὴ συμβεῖ, μὲ περιφρονήσετε, θ' ἀναγκασθῶ νὰ πραγματοποιήσω στὸ μέλλον τὴν ἀπειλή, τιμωρώντας ἐσᾶς μὲ τοὺς ἐκκλησιαστικοὺς νόμους καὶ ἐκεῖνες ὅπως τὶς ταιριάζει. Καὶ ἂν κάποιος δείχνοντας αὐθάδεια τὰ περιφρονεῖ αὐτά, ἂς ἀκούει τὸ Χριστὸ ποὺ λέγει καὶ τώρα· «ἂν ὁ ἀδελφός σου σφάλλει ἀπέναντί σου, πήγαινε

εἰ δὲ μὴ πείθοιτο, παράλαβε μετὰ σεαυτοῦ ἕνα ἢ δύο· εἰ δὲ καὶ οὕτως ἀντιλέγοι, εἰπὲ τῇ Ἐκκλησίᾳ· εἰ δὲ καὶ τῆς Ἐκκλησίας παρακούσειεν, ἔστω σοι ὡς ὁ ἐθνικὸς καὶ ὁ τελώνης». Εἰ δὲ τὸν εἰς ἐμὲ ἁμαρτάνοντα, ἐπειδὰν μὴ πείθοιτο, οὕτως ἀποστρέφε-
5 *σθαι κελεύει, τὸν εἰς ἑαυτὸν ἁμαρτάνοντα καὶ εἰς τὸν Θεὸν πῶς ἔχειν ὀφείλω, ὑμεῖς κρίνατε· ὑμεῖς γὰρ ἡμῶν καταγινώσκετε οὐ μαλακῶς προσφερομένων ὑμῖν.*

Εἰ δέ τις καταφρονεῖ τῶν δεσμῶν τῶν παρ' ἡμῶν, πάλιν αὐτὸν ὁ Χριστὸς παιδευέτω λέγων· «ὅσα ἂν δήσητε ἐπὶ τῆς γῆς,
10 *ἔσται δεδεμένα ἐν τῷ οὐρανῷ· καὶ ὅσα ἂν λύσητε ἐπὶ τῆς γῆς, ἔσται λελυμένα ἐν τῷ οὐρανῷ». Εἰ γὰρ καὶ ἡμεῖς ταλαίπωροι καὶ οὐδαμινοὶ καὶ τοῦ καταφρονεῖσθαι ἄξιοι, ὥσπερ οὖν καὶ ἄξιοι, ἀλλ' οὐχ ἑαυτοὺς ἐκδικοῦμεν, οὐδὲ ὀργὴν ἀμυνόμεθα, ἀλλὰ τῆς ὑμετέρας σωτηρίας φροντίζομεν. Αἰδέσθητε, παρακα-*
15 *λῶ, καὶ ἐντράπητε· εἰ γὰρ φίλον τις φέρει σφοδρότερον τοῦ δέοντος ἐπιφερόμενον, τὸν σκοπὸν ἐξετάζων, καὶ ὅτι εὐνοϊκῶς, ἀλλ' οὐκ ἀλαζονευόμενος τοῦτο ποιεῖ, πολλῷ μᾶλλον διδάσκαλον ἐπιπλήττοντα, καὶ διδάσκαλον οὐδὲ αὐτὸν ἐξ αὐθεντίας ταῦτα λέγοντα, οὐδὲ ὡς ἐν τάξει ἄρχοντος, ἀλλ' ὡς ἐν τάξει κηδεμόνος.*
20 *Οὐ γὰρ ἐξουσίαν ἐπιδείξασθαι βουλόμενοι, ταῦτα λέγομεν (πῶς γὰρ οἱ μηδὲ εἰς πεῖραν αὐτῶν ἐλθεῖν εὐχόμενοι;), ἀλλ' ὑπὲρ ὑμῶν ἀλγοῦντες καὶ κοπτόμενοι.*

Σύγγνωτε δή, καὶ μηδεὶς καταφρονείτω τῶν δεσμῶν τῶν ἐκκλησιαστικῶν· οὐ γὰρ ἄνθρωπός ἐστιν ὁ δεσμῶν, ἀλλ' ὁ Χρι-
25 *στὸς ὁ τὴν ἐξουσίαν ταύτην ἡμῖν δεδωκὼς καὶ κυρίους ποιῶν ἀνθρώπους τῆς τοσαύτης τιμῆς. Ἡμεῖς μὲν γὰρ εἰς τὸ λύειν βουλόμεθα κατακεχρῆσθαι τῇ ἐξουσίᾳ· μᾶλλον δέ, οὐδὲ τούτου ἀνάγκην ἔχειν βουλόμεθα· οὐδένα γὰρ βουλόμεθα εἶναι δεσμώτην παρ' ἡμῖν· οὐχ οὕτως ἐσμὲν ἄθλιοι καὶ ταλαίπωροι, εἰ καὶ*
30 *σφόδρα οὐδαμινοί τινές ἐσμεν. Εἰ δὲ ἀναγκασθείημεν, σύγγνωτε· οὐ γὰρ ἑκόντες οὐδὲ βουλόμενοι, ἀλλὰ μᾶλλον ὑμῶν τῶν δεδε-*

---

21. Ματθ. 18,15–17.
22. Ματθ. 18,18.

καὶ ἔλεγξέ τον ὅταν θὰ εἶστε οἱ δυό σας μόνοι. Ἂν ὅμως δὲ σ' ἀκούσει, πάρε μαζί σου ἕναν ἢ δύο ἄλλους. Ἂν καὶ ἔτσι ἀντιλέγει, νὰ τὸ πεῖς στὴν ἐκκλησία· ἂν ὅμως παρακούσει καὶ τὶς συμβουλὲς τῆς ἐκκλησίας, τότε πιὰ ἂς εἶναι γιὰ σένα ὅπως ὁ εἰδωλολάτρης ἢ ὁ τελώνης»[21]. Ἂν λοιπὸν αὐτὸν ποὺ ἁμαρτάνει σὲ μένα, ὅταν δὲν ὑπακούσει, προστάζει ἔτσι νὰ τὸν ἀποστρέφομαι, ἐσεῖς νὰ κρίνετε πῶς πρέπει νὰ συμπεριφέρομαι σ' ἐκεῖνον ποὺ ἁμαρτάνει στὸν ἑαυτό του καὶ στὸ Θεό· γιατὶ ἐσεῖς μὲ κατηγορεῖτε ὅτι δὲν φέρομαι ἤπια σὲ σᾶς.

Ἂν κάποιος περιφρονεῖ τοὺς περιορισμοὺς ποὺ ἐπιβάλλω, ἂς τὸν συνετίζει πάλι ὁ Χριστὸς ποὺ λέγει· «ὅσα δέσετε στὴ γῆ, θὰ εἶναι δεμένα στὸν οὐρανό· καὶ ὅσα λύσετε στὴ γῆ, θὰ εἶναι λυμένα στὸν οὐρανό»[22]. Ἂν καὶ βέβαια ἐγὼ εἶμαι ταλαίπωρος καὶ τιποτένιος καὶ ἄξιος γιὰ περιφρόνηση, ὅπως καὶ πραγματικὰ εἶμαι, ὅμως δὲν ἐκδικοῦμαι ὁ ἴδιος οὔτε ἀνταποδίδω ὀργή, ἀλλὰ φροντίζω γιὰ τὴ δική σας σωτηρία. Κοκκινίστε, παρακαλῶ, καὶ ντραπεῖτε. Γιατί, ἂν κάποιος ἀνέχεται τὸ φίλο ὅταν τὸν ἐπικρίνει αὐστηρότερα ἀπ' ὅσο πρέπει, ἐξετάζοντας τὸ σκοπό του καὶ ἐπειδὴ τὸ κάνει αὐτὸ ἀπὸ φιλικὴ διάθεση καὶ ὄχι ἀπὸ ἀλαζονεία, πολὺ περισσότερο ὀφείλει ν' ἀνέχεται τὸ διδάσκαλο ὅταν τὸν ἐπιπλήττει, καὶ μάλιστα τὸ διδάσκαλο ποὺ οὔτε ὁ ἴδιος τὰ λέγει αὐτὰ αὐθεντικὰ οὔτε σὰν ἄρχοντας, ἀλλὰ σὰν κηδεμόνας. Γιατὶ δὲν τὰ λέγω αὐτὰ θέλοντας νὰ ἐπιδείξω ἐξουσία (πῶς θὰ τὰ ἔλεγα ἐγὼ ποὺ εὔχομαι νὰ μὴν τὰ γνωρίσετε αὐτά;), ἀλλ' ἐπειδὴ στενοχωριέμαι καὶ κόπτομαι γιὰ σᾶς.

Συγχωρῆστε με λοιπὸν γιὰ τὰ λεγόμενα καὶ κανεὶς ἂς μὴν περιφρονεῖ τὰ ἐκκλησιαστικὰ δεσμά. Γιατὶ δὲν εἶναι ἄνθρωπος αὐτὸς ποὺ δένει, ἀλλ' ὁ Χριστὸς ποὺ μᾶς ἔδωσε αὐτὴ τὴν ἐξουσία καὶ κάνει τοὺς ἀνθρώπους ἄξιους μιᾶς τόσο μεγάλης τιμῆς. Ἐμεῖς βέβαια θέλουμε νὰ χρησιμοποιοῦμε τὴν ἐξουσία στὸ νὰ λύνουμε τὰ δεσμά· ἢ καλύτερα οὔτε τὴν ἀνάγκη αὐτοῦ τοῦ πράγματος θέλουμε νὰ ἔχουμε. Γιατὶ δὲ θέλουμε νὰ ὑπάρχει σὲ μᾶς κανένας δεμένος· δὲν εἴμαστε τόσο ἄθλιοι καὶ ταλαίπωροι, ἂν καὶ εἴμαστε πάρα πολὺ ἀσήμαντοι. Ἂν ὅμως ἀναγκασθοῦμε, συγχωρῆστε μας. Γιατὶ δὲ θέτουμε τὰ δεσμὰ ἀπὸ εὐχαρίστηση

μένων ἀλγοῦντες, τὰ δεσμὰ περιβάλλομεν. Εἰ δέ τις καταφρονοίη τούτων, ἐπιστήσεται ὁ τῆς κρίσεως καιρὸς ὁ διδάσκων αὐτόν. Τὸ δὲ λοιπὸν οὐ βούλομαι εἰπεῖν, ἵνα μὴ πλήξω τὴν διάνοιαν ὑμῶν.

5 *Ἡμεῖς μὲν γὰρ πρῶτον μὲν εὐχόμεθα εἰς ἀνάγκην μὴ ἐλθεῖν· εἰ δὲ ἔλθοιμεν, τὸ ἑαυτῶν πληροῦμεν, περιβάλλομεν τὰ δεσμά. Εἰ δέ τις διαρρήξειε ταῦτα, ἐγὼ τὸ ἐμαυτοῦ πεποίηκα καὶ ἀνεύθυνός εἰμι λοιπόν, ὁ δὲ λόγος ἔσται σοι πρὸς τὸν ἐμοὶ κελεύσαντα δῆσαι. Οὐδὲ γὰρ εἰ, βασιλέως προκαθημένου, τῶν δορυφόρων 10 τῶν παρεστώτων τις ἐκελεύσθη δῆσαί τινα τῶν ἐν τῇ τάξει καὶ τὰ δεσμὰ περιβαλεῖν, ἐκεῖνος δὲ οὐ μόνον ἀπώσαιτο τοῦτον, ἀλλὰ καὶ συντρίψειε τὰ δεσμά, ὁ δορυφόρος ἐστὶν ὁ τὴν ὕβριν πεπονθώς, ἀλλ' ὁ βασιλεὺς πολλῷ μᾶλλον ὁ κελεύσας. Εἰ γὰρ τὰ εἰς τοὺς πιστοὺς γινόμενα αὐτὸς οἰκειοῦται, ὅταν τοὺς εἰς τὸ 15 διδάσκειν τεταγμένους ὑβρίζητε, πολλῷ μᾶλλον ὡς αὐτὸς ὑβριζόμενος διακείσεται. Ἀλλὰ μὴ γένοιτό τινα τῶν ἐπὶ τῆς ἐκκλησίας ταύτης εἰς ἀνάγκην τῶν δεσμῶν τούτων ἐλθεῖν. Ὥσπερ γὰρ τὸ μὴ ἁμαρτάνειν καλόν, οὕτω τὸ φέρειν ἐπιτίμησιν χρήσιμον.*

20 *Φέρωμεν τοίνυν τὴν ἐπίπληξιν, καὶ σπουδάζωμεν τὸ μὴ ἁμαρτάνειν, εἰ δὲ ἁμάρτοιμεν, φέρωμεν τὴν ἐπιτίμησιν. Ὥσπερ γὰρ καλὸν μὲν τὸ μὴ πλήττεσθαι, εἰ δὲ τοῦτο γένοιτο, τὸ φάρμακον ἐπιτεθῆναι τῇ πληγῇ χρήσιμον, οὕτω καὶ ἐνταῦθα. Ἀλλὰ μὴ γένοιτό τινα τῶν τοιούτων δεηθῆναι φαρμάκων· «πεπείσμεθα δὲ 25 περὶ ὑμῶν τὰ κρείττονα καὶ ἐχόμενα σωτηρίας, εἰ καὶ οὕτω λαλοῦμεν». Σφοδρότερον δὲ διελέχθημεν ὑπὲρ πλείονος ἀσφαλείας. Βέλτιον γὰρ ἐμὲ θρασύν τινα καὶ ἀπηνῆ καὶ αὐθάδη ὑποπτεύεσθαι παρ' ὑμῶν, ἢ ὑμᾶς τὰ τῷ Θεῷ μὴ δοκοῦντα ποιεῖν. Πιστεύομεν δὲ τῷ Θεῷ, ὅτι οὐκ ἀνόνητος ὑμῖν αὕτη ἡ ἐπιτίμησις 30 ἔσται, ἀλλ' οὕτω μεταβληθήσεσθε, ὡς τούτους τοὺς λόγους εἰς τὰ ὑμέτερα ἐγκώμια ἀναλίσκεσθαι καὶ εἰς τοὺς ἐπαίνους.*

---

23. Ἑβρ. 6,9.

οὔτε ἐπειδὴ θέλουμε, ἀλλ' ἐπειδὴ λυπούμαστε γιὰ σᾶς τοὺς δεμένους. Καὶ ἂν κάποιος τὰ περιφρονεῖ, θὰ ἔρθει ὁ καιρὸς τῆς κρίσης ποὺ θὰ τὸν διδάξει. Τὴ συνέχεια δὲ θέλω νὰ τὴν πῶ γιὰ νὰ μὴν πλήξω τὸ νοῦ σας.

Ἐγὼ λοιπὸν πρῶτα εὔχομαι νὰ μὴν ἔρθω στὴν ἀνάγκη· ἂν ὅμως ἔρθω, ἐκπληρώνω τὸ καθῆκον μου, θέτω τὰ δεσμά. Καὶ ἂν κάποιος σπάσει τὰ δεσμά, ἐγὼ ἔκαμα τὸ χρέος μου καὶ εἶμαι ἀνεύθυνος γιὰ τὴ συνέχεια· γι' αὐτὸ ὅμως θ' ἀπολογηθεῖς σ' ἐκεῖνον ποὺ μὲ πρόσταξε νὰ σὲ δέσω. Γιατὶ ἄν, ἐνῶ ὁ βασιλιὰς κάθεται πρῶτος, πάρει κάποιος ἀπὸ τοὺς παρόντες σωματοφύλακες ἐντολὴ νὰ δέσει κάποιον ἀπὸ τοὺς στρατιωτικοὺς καὶ νὰ τοῦ θέσει τὰ δεσμά, καὶ αὐτὸς ὄχι μόνο τὸν ἀπωθήσει ἀλλὰ καὶ σπάσει τὰ δεσμά, δὲ θὰ ὑβρισθεῖ ὁ σωματοφύλακας, ἀλλὰ πολὺ περισσότερο ὁ βασιλιὰς ποὺ ἔδωσε τὴν ἐντολή. Ἂν λοιπὸν ὅσα γίνονται στοὺς πιστοὺς ὁ Θεὸς τὰ θεωρεῖ ὅτι γίνονται στὸν ἑαυτό του, ὅταν ὑβρίζετε αὐτοὺς ποὺ πῆραν τὴν ἐντολὴ νὰ διδάσκουν, πολὺ περισσότερο θὰ συμπεριφερθεῖ σὰν νὰ ὑβρίζεται ὁ ἴδιος. Ἀλλ' εἴθε κανεὶς ἀπ' ὅσους βρίσκονται στὴν ἐκκλησία αὐτὴ νὰ μὴν ἔρθει στὴν ἀνάγκη αὐτῶν τῶν δεσμῶν. Γιατί, ὅπως τὸ νὰ μὴν ἁμαρτάνει κανεὶς εἶναι καλό, ἔτσι τὸ νὰ ἀνέχεται τὴν ἐπιτίμηση εἶναι χρήσιμο.

Ἂς ἀνεχόμαστε λοιπὸν τὴν ἐπίπληξη καὶ ἂς φροντίζουμε νὰ μὴν ἁμαρτάνουμε. Ἂν ὅμως ἁμαρτήσουμε, ἂς ἀνεχόμαστε τὴν ἐπιτίμηση. Γιατί, ὅπως εἶναι καλὸ βέβαια νὰ μὴ πληγώνεται κανείς, ἀλλὰ ἂν συμβεῖ αὐτὸ εἶναι χρήσιμο νὰ μπαίνει τὸ φάρμακο πάνω στὴν πληγή, ἔτσι πρέπει νὰ γίνεται καὶ ἐδῶ. Μακάρι ὅμως νὰ μὴ χρειασθεῖ κανεὶς ἀπ' αὐτὰ τὰ φάρμακα. «Γιὰ σᾶς ὅμως, ἂν καὶ μιλάω μ' αὐτὸν τὸν τρόπο, εἶμαι πεπεισμένος ὅτι ἀξίζετε γιὰ καλύτερα πράγματα ποὺ ὁδηγοῦν στὴ σωτηρία»[23]. Μίλησα ὅμως αὐστηρότερα γιὰ περισσότερη ἀσφάλεια. Γιατὶ εἶναι προτιμότερο νὰ μὲ θεωρεῖτε θρασὺ καὶ σκληρὸ καὶ αὐθάδη, παρὰ νὰ μὴν κάνετε αὐτὰ ποὺ ἀρέσουν στὸ Θεό. Καὶ πιστεύω στὸ Θεὸ ὅτι δὲ θὰ ὑπάρξει σὲ σᾶς ἀνώφελη αὐτὴ ἡ ἐπιτίμηση, ἀλλὰ θ' ἀλλάξετε τόσο, ὥστε νὰ χρησιμοποιεῖτε αὐτὰ τὰ λόγια στὰ δικά σας ἐγκώμια καὶ τοὺς ἐπαίνους.

Γένοιτο δὲ ἡμᾶς βιοῦν κατὰ τὸ δοκοῦν τῷ Θεῷ, ἵνα καταξιωθῶμεν ἅπαντες τυχεῖν τῶν ἀγαθῶν, ὧν ἐπηγγείλατο ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτόν, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα κράτος, τιμή, νῦν καὶ 5 ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Εὔχομαι νὰ ζοῦμε ὅπως ἀρέσει στὸ Θεό, γιὰ νὰ ἀξιωθοῦμε ὅλοι νὰ ἐπιτύχουμε τὰ ἀγαθὰ ἐκεῖνα, ποὺ ὑποσχέθηκε ὁ Θεὸς σ' ἐκείνους ποὺ τὸν ἀγαποῦν, μὲ τὴ βοήθεια τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μαζὶ μὲ τὸν ὁποῖο στὸν Πατέρα καὶ συγχρόνως στὸ ἅγιο Πνεῦμα ἀνήκει ἡ δόξα, ἡ δύναμη καὶ ἡ τιμή, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

Ο Μ Ι Λ Ι Α Ε'

(Ἑβρ. 2,16–3,6)

«Οὐ γὰρ δήπου ἀγγέλων ἐπιλαμβάνεται, ἀλλὰ σπέρματος Ἀβραὰμ ἐπιλαμβάνεται. Ὅθεν ὤφειλε κατὰ πάντα τοῖς ἀδελφοῖς ὁμοιωθῆναι».

1. Τὴν πολλὴν τοῦ Θεοῦ φιλανθρωπίαν ὁ Παῦλος δεῖξαι βου-
5 λόμενος, καὶ τὴν ἀγάπην ἣν περὶ τὸ γένος ἔσχε τὸ ἀνθρώπινον, μετὰ τὸ εἰπεῖν, «ἐπεὶ οὖν τὰ παιδία κεκοινώνηκεν αἵματος καὶ σαρκός, καὶ αὐτὸς παραπλησίως μετέσχε τῶν αὐτῶν»[1], ἐπεξέρχεται τούτῳ τῷ χωρίῳ καί φησιν· «οὐ γὰρ δήπου ἀγγέλων ἐπιλαμβάνεται»· μὴ γὰρ ἁπλῶς πρόσχῃς τῷ λεχθέντι, μηδὲ ψιλόν τι
10 πρᾶγμα τοῦτο εἶναι νομίσῃς, τὸ τὴν ἐξ ἡμῶν σάρκα αὐτὸν ἀναλαβεῖν· οὐ γὰρ ἀγγέλοις τοῦτο ἐχαρίσατο· διὸ καὶ οὕτως εἴρηκεν· «οὐ γὰρ δήπου ἀγέλων ἐπιλαμβάνεται, ἀλλὰ σπέρματος Ἀβραάμ». Τί ἐστιν ὅ φησιν; Οὐκ ἀγγέλου φύσιν ἀνεδέξατο, ἀλλ' ἀνθρώπου. Τί δέ ἐστιν, «ἐπιλαμβάνεται»; Οὐκ ἐκείνης, φησίν,
15 ἐδράξατο τῆς φύσεως τῶν ἀγγέλων, ἀλλὰ τῆς ἡμετέρας.

Διὰ τί δὲ οὐκ εἶπεν, ἀνέλαβεν, ἀλλὰ ταύτῃ τῇ λέξει ἐχρήσατο, τῇ, «ἐπιλαμβάνεται»; Ἀπὸ μεταφορᾶς τῶν διωκόντων τοὺς ἀποστρεφομένους αὐτούς, καὶ πάντα ποιούντων, ὥστε καταλαβεῖν φεύγοντας καὶ ἐπιλαβέσθαι ἀποπηδώντων. Φεύγουσαν γὰρ
20 ἀπ' αὐτοῦ τὴν ἀνθρωπίνην φύσιν, καὶ πόρρω φεύγουσαν («ἦμεν γὰρ τοῦ Θεοῦ μακαράν», φησίν, «ἀπηλλοτριωμένοι καὶ ἄθεοι ὄντες ἐν τῷ κόσμῳ»[2]), αὐτὸς καταδιώξας κατέλαβεν. Ἐντεῦθεν δείκνυται ὅτι φιλανθρωπία μόνη καὶ ἀγάπη καὶ κηδεμονία τοῦτο πεποίηκεν. Ὥσπερ οὖν ὅταν λέγῃ, «οὐχὶ πάντες εἰσὶ λειτουργικὰ

1. Ἑβρ. 2,14. 2. Ἐφ. 2,12.

Ο Μ Ι Λ Ι Α Ε'

(Ἑβρ. 2,16–3,6)

«Γιατὶ δὲν ἔρχεται νὰ βοηθήσει ἀγγέλους, ἀλλὰ τοὺς ἀπογόνους τοῦ Ἀβραάμ. Ἑπομένως ἔπρεπε νὰ γίνει σὲ ὅλα ὅμοιος μὲ τοὺς ἀδελφούς του».

1. Θέλοντας ὁ Παῦλος νὰ δείξει τὴ μεγάλη φιλανθρωπία τοῦ Θεοῦ καὶ τὴν ἀγάπη ποὺ εἶχε γιὰ τὸ ἀνθρώπινο γένος, ἀφοῦ εἶπε, «ἐπειδὴ λοιπὸν τὰ παιδιὰ ἔχουν αἷμα καὶ σάρκα, παρόμοια καὶ αὐτὸς πῆρε τὰ ἴδια»[1], διασαφηνίζει τὸ χωρίο αὐτὸ καὶ λέγει· «γιατὶ δὲν ἔρχεται νὰ βοηθήσει ἀγγέλους». Μὴν ἐκλάβεις ἐπιπόλαια αὐτὸ ποὺ λέχθηκε οὔτε νὰ θεωρήσεις πὼς αὐτὸ εἶναι κάποιο ἁπλὸ πράγμα, τὸ ὅτι δηλαδὴ αὐτὸς ἔλαβε τὴ δική μας σάρκα· γιατὶ δὲν τὸ χάρισε αὐτὸ στοὺς ἀγγέλους. Γι' αὐτὸ καὶ μίλησε ἔτσι· «γιατὶ δὲν ἔρχεται νὰ βοηθήσει ἀγγέλους, ἀλλὰ τοὺς ἀπογόνους τοῦ Ἀβραάμ». Τί σημαίνει αὐτὸ ποὺ λέγει; Δὲν ἀνέλαβε τὴ φύση τοῦ ἀγγέλου, ἀλλὰ τοῦ ἀνθρώπου. Καὶ τί σημαίνει «ἐπιλαμβάνεται»; Δὲν συνέλαβε, λέγει τὴ φύση τῶν ἀγγέλων, ἀλλὰ τὴ δική μας.

Γιατὶ δὲν εἶπε «ἀνέλαβε», ἀλλὰ χρησιμοποίησε τὴ λέξη «ἐπιλαμβάνεται»; Ἀπὸ μεταφορὰ ἐκείνων ποὺ καταδιώκουν ὅσους τοὺς ἀποστρέφονται καὶ κάνουν τὰ πάντα γιὰ νὰ τοὺς ἐμποδίσουν ἐνῶ φεύγουν καὶ νὰ τοὺς συλλάβουν καθὼς τρέχουν. Φεύγοντας δηλαδὴ ἀπ' αὐτὸν ἡ ἀνθρώπινη φύση καὶ μάλιστα φεύγοντας πολὺ μακριὰ (γιατὶ λέγει, «ἤμασταν κάποτε μακριὰ ἀπὸ τὸ Θεό, ἀποξενωμένοι καὶ ἄθεοι μέσα στὸν κόσμο»[2]), αὐτὸς τὴν καταδίωξε καὶ τὴ συνέλαβε. Ἀπὸ ἐδῶ ἀποδεικνύεται πὼς αὐτὸ τὸ ἔκαμε μόνο ἀπὸ φιλανθρωπία καὶ ἀγάπη καὶ ἐνδιαφέρον γιὰ μᾶς. Ὅπως λοιπὸν ὅταν λέγει, «δὲν εἶναι ὅλοι οἱ ἄγγελοι πνεύματα ποὺ ὑπηρετοῦν τὸ Θεὸ καὶ ἀποστέλλονται ἀπ' αὐτὸν

πνεύματα, εἰς διακονίαν ἀποστελλόμενα διὰ τοὺς μέλλοντας κληρονομεῖν σωτηρίαν;», τὸ περισπούδαστον αὐτῷ τῆς ἀνθρωπίνης φύσεως δείκνυσι, καὶ ὅτι πολὺς τῷ Θεῷ ὁ λόγος αὐτῆς, οὕτω καὶ ἐνταῦθα τὸ πολὺ μεῖζον τίθησιν ἀπὸ συγκρίσεως λέ-
5 *γων· «οὐ γὰρ ἀγγέλων ἐπιλαμβάνεται».*

Καὶ γὰρ ὄντως μέγα καὶ θαυμαστὸν καὶ ἐκπλήξεως γέμον, τὴν ἐξ ἡμῶν σάρκα ἄνω καθῆσθαι καὶ προσκυνεῖσθαι ὑπ' ἀγγέλων καὶ ἀρχαγγέλων καὶ τῶν Σεραφὶμ καὶ τῶν Χερουβίμ. Τοῦτο πολλάκις εἰς νοῦν ἐγὼ λαβών, ἐξίσταμαι καὶ μεγάλα περὶ τοῦ
10 *ἀνθρωπίνου γένους φαντάζομαι· μεγάλα γὰρ ὁρῶ καὶ λαμπρὰ τὰ προοίμια καὶ πολλὴν τῷ Θεῷ τὴν σπουδὴν ὑπὲρ τῆς φύσεως τῆς ἡμετέρας. Καὶ οὐκ εἶπεν 'ἀνθρώπων' ἁπλῶς 'ἐπιλαμβάνεται', ἀλλὰ βουλόμενος αὐτοὺς ἐπᾶραι, καὶ δεῖξαι μέγα τὸ γένος αὐτῶν καὶ τίμιον, φησίν· «ἀλλὰ σπέρματος Ἀβραὰμ ἐπιλαμβάνεται».*

15 *«Ὅθεν ὤφειλε κατὰ πάντα τοῖς ἀδελφοῖς ὁμοιωθῆναι». Τί ἐστι, «κατὰ πάντα;» Ἐτέχθη, φησίν, ἐτράφη, ηὐξήθη, ἔπαθε πάντα ἅπερ ἐχρῆν, τέλος ἀπέθανε· τοῦτό ἐστι, «κατὰ πάντα τοῖς ἀδελφοῖς ὁμοιωθῆναι». Ἐπειδὴ γὰρ πολλὰ διελέχθη περὶ τῆς μεγαλειότητος αὐτοῦ καὶ τῆς ἄνω δόξης, λοιπὸν τὸν περὶ τῆς οἰ-*
20 *κονομίας λόγον κινεῖ· καὶ θέα μεθ' ὅσης συνέσεως καὶ δυνάμεως, πῶς αὐτὸν δείκνυσι πολλὴν τιθέμενον τὴν σπουδήν, ὥστε ἡμῖν ὁμοιωθῆναι, ὅπερ κηδεμονίας ἦν πολλῆς. Εἰπὼν γὰρ ἀνωτέρω, «ἐπεὶ οὖν τὰ παιδία κεκοινώνηκεν αἵματος καὶ σαρκός, καὶ αὐτὸς παραπλησίως μετέσχε τῶν αὐτῶν», καὶ ἐνταῦθά φησι,*
25 *«κατὰ πάντα τοῖς ἀδελφοῖς ὁμοιωθῆναι»· μονονουχὶ λέγων, ὁ οὕτω μέγας, ὁ ὢν «ἀπαύγασμα τῆς δόξης», ὁ ὢν «χαρακτὴρ τῆς ὑποστάσεως», ὁ τοὺς αἰῶνας πεποιηκώς, ὁ ἐν δεξιᾷ τοῦ Πατρὸς καθήμενος, οὗτος ἠθέλησε καὶ ἐσπούδασεν ἀδελφὸς ἡμῶν ἐν ἅπασι γενέσθαι, καὶ διὰ τοῦτο ἀγγέλους ἀφῆκε καὶ τὰς ἄνω δυ-*
30 *νάμεις, καὶ πρὸς ἡμᾶς κατῆλθε, καὶ ἡμῶν ἐπελάβετο.*

Σκόπει δὲ καὶ ὅσα εἰργάσατο ἀγαθά· θάνατον ἔλυσε, τοῦ διαβόλου τῆς τυραννίδος ἐξέβαλεν ἡμᾶς, δουλείας ἀπήλλαξεν,

---

3. Ἑβρ. 1,14.
4. Ἑβρ. 1,14.

γιὰ νὰ βοηθήσουν ἐκείνους ποὺ πρόκειται νὰ κληρονομήσουν τὴ σωτηρία;»[3] ἀποδεικνύει τὴ μεγάλη του φροντίδα γιὰ τὴν ἀνθρώπινη φύση καὶ ὅτι ὁ Θεὸς ἐνδιαφέρεται πολὺ γι' αὐτήν, ἔτσι καὶ ἐδῶ τὸ πολὺ μεγαλύτερο τὸ ἀναφέρει μὲ τὴ σύγκριση ποὺ κάνει λέγοντας· «γιατὶ δὲν ἔρχεται νὰ βοηθήσει ἀγγέλους».

Πραγματικὰ εἶναι μεγάλο καὶ θαυμαστὸ καὶ ἐκπληκτικὸ νὰ κάθεται στὸν οὐρανὸ ἡ σάρκα ποὺ εἶναι ἀπὸ μᾶς καὶ νὰ προσκυνεῖται ἀπὸ τοὺς ἀγγέλους καὶ τοὺς ἀρχαγγέλους καὶ τὰ Σεραφὶμ καὶ τὰ Χερουβίμ. Ὅταν τὸ σκέπτομαι αὐτὸ πολλὲς φορές, ἐκπλήσσομαι καὶ φαντάζομαι μεγάλα πράγματα γιὰ τὸ ἀνθρώπινο γένος. Γιατὶ βλέπω μεγάλα καὶ λαμπρὰ τὰ προοίμια καὶ μεγάλο τὸ ἐνδιαφέρον τοῦ Θεοῦ γιὰ τὴ δική μας φύση. Καὶ δὲν εἶπε ἁπλῶς ὅτι ἔρχεται νὰ βοηθήσει τοὺς ἀνθρώπους, ἀλλά, θέλοντας νὰ τοὺς ἐξυψώσει καὶ νὰ δείξει τὸ γένος τους μεγάλο καὶ τίμιο, λέγει· «ἀλλ' ἔρχεται νὰ βοηθήσει τοὺς ἀπογόνους τοῦ Ἀβραάμ».

«Ἑπομένως ἔπρεπε νὰ γίνει σὲ ὅλα ὅμοιος μὲ τοὺς ἀδελφούς του». Τί σημαίνει, «σὲ ὅλα»; Γεννήθηκε, λέγει, τράφηκε, μεγάλωσε, ἔπαθε ὅλα ὅσα ἔπρεπε, καὶ τέλος πέθανε. Αὐτὸ σημαίνει τὸ «ἔπρεπε νὰ γίνει σὲ ὅλα ὅμοιος μὲ τοὺς ἀδελφούς του». Ἀφοῦ λοιπὸν εἶπε πολλὰ γιὰ τὴ μεγαλωσύνη του καὶ τὴν οὐράνια δόξα του, στὴ συνέχεια κάνει λόγο γιὰ τὴν οἰκονομία τοῦ Θεοῦ. Καὶ πρόσεχε μὲ πόση σύνεση καὶ δύναμη, πῶς τὸν παρουσιάζει νὰ προσπαθεῖ πολύ, ὥστε νὰ γίνει ὅμοιος μὲ μᾶς, πράγμα ποὺ δείχνει τὸ μεγάλο του ἐνδιαφέρον. Γιατί, ἀφοῦ εἶπε παραπάνω, «ἐπειδὴ λοιπὸν τὰ παιδιὰ ἔχουν αἷμα καὶ σάρκα, καὶ αὐτὸς πῆρε κατὰ παρόμοιο τρόπο τὰ ἴδια»[4], καὶ ἐδῶ λέγει, «ἔπρεπε νὰ γίνει σὲ ὅλα ὅμοιος μὲ τοὺς ἀδελφούς του». Σὰν νὰ ἔλεγε· αὐτὸς ποὺ εἶναι τόσο μεγάλος, ἡ ἀκτινοβολία τῆς δόξας τοῦ Θεοῦ, ἡ σφραγίδα τῆς ὑπόστασής του, αὐτὸς ποὺ δημιούργησε τὸν κόσμο, ποὺ κάθεται στὰ δεξιὰ τοῦ Πατέρα, αὐτὸς θέλησε καὶ φρόντισε νὰ γίνει σὲ ὅλα ἀδελφός μας καὶ γι' αὐτὸ ἄφησε τοὺς ἀγγέλους καὶ τὶς οὐράνιες δυνάμεις καὶ κατέβηκε σ' ἐμᾶς καὶ ἦρθε νὰ μᾶς βοηθήσει.

Πρόσεχε καὶ πόσα ἀγαθὰ χάρισε· κατέλυσε τὸ θάνατο, μᾶς ἔβγαλε ἀπὸ τὴν τυραννία τοῦ διαβόλου, μᾶς ἐλευθέρωσε ἀπὸ τὴ

ἀδελφὸς γενόμενος ἐτίμησεν· οὐ τῇ ἀδελφότητι δὲ μόνον τετίμηκεν, ἀλλὰ καὶ ἑτέροις μυρίοις· καὶ γὰρ ἀρχιερεὺς ἡμῶν γενέσθαι ἠθέλησε πρὸς τὸν Πατέρα· ἐπάγει γάρ, «ἵνα ἐλεήμων γένηται καὶ πιστὸς ἀρχιερεὺς τὰ πρὸς τὸν Θεόν». Διὰ τοῦτο, φησί, τὴν σάρκα 5 ἀνέλαβε τὴν ἡμετέραν, διὰ φιλανθρωπίαν μόνον, ἵνα ἐλεήσῃ ἡμᾶς. Οὐδὲ γάρ ἐστιν ἄλλη τις αἰτία τῆς οἰκονομίας, ἢ μόνη αὕτη· εἶδε γὰρ χαμαὶ ἐρριμμένοις ἀπολλυμένους, ὑπὸ τοῦ θανάτου τυραννουμένους, καὶ ἠλέησεν.

«Εἰς τὸ ἱλάσκεσθαι», φησί, «τὰς ἁμαρτίας τοῦ λαοῦ, ἵνα 10 ἐλεήμων γένηται καὶ πιστὸς ἀρχιερεύς· τί ἐστι, «πιστός»; Ἀληθής, δυνάμενος· ἀρχιερεὺς γάρ ἐστι μόνος πιστὸς ὁ Υἱός, δυνάμεως τούτους, ὧν ἐστιν ἀρχιερεύς, ἀπαλλάξαι τῶν ἁμαρτημάτων. Ἵν' οὖν προσενέγκῃ θυσίαν δυναμένην ἡμᾶς καθαρίσαι, διὰ τοῦτο γέγονεν ἄνθρωπος. Ἐπήγαγε γοῦν, «τὰ πρὸς τὸν Θεόν»· του-15 τέστι, τῶν πρὸς τὸν Θεὸν ἕνεκεν. Ἐκπεπολεμωμένοι ἦμεν, φησί, τῷ Θεῷ, κατεγνωσμένοι, ἠτιμωμένοι· οὐδεὶς ἦν ὁ προσοίσων ὑπὲρ ἡμῶν θυσίαν· εἶδεν ἡμᾶς ἐν τούτοις ὄντας καὶ ἠλέησεν, οὐ καταστήσας ἡμῖν ἀρχιερέα, ἀλλ' αὐτὸς γενόμενος ἀρχιερεὺς πιστός. Εἶτα, δεικνὺς πῶς πιστός, ἐπήγαγεν, «εἰς τὸ ἱλάσκεσθαι 20 τὰς ἁμαρτίας τοῦ λαοῦ». «Ἐν ᾧ γὰρ πέπονθε», φησίν, «αὐτὸς πειρασθείς, δύναται τοῖς πειραζομένοις βοηθῆσαι».

2. Πάνυ ταπεινὸν τοῦτο καὶ εὐτελὲς καὶ ἀνάξιον τοῦ Θεοῦ. «Ἐν ᾧ γὰρ πέπονθε», φησίν, «αὐτός». Περὶ τοῦ σαρκωθέντος ἐνταῦθά φησι, τάχα δὲ καὶ πρὸς πληροφορίαν τῶν ἀκουόντων 25 εἴρηται καὶ διὰ τὴν αὐτῶν ἀσθένειαν. Ὃ δὲ λέγει, τοῦτό ἐστι· δι' αὐτῆς τῆς πείρας ὧν ἐπάθομεν ἦλθε· νῦν οὐκ ἀγνοεῖ τὰ πάθη τὰ ἡμέτερα· οὐ γὰρ ὡς Θεὸς μόνον οἶδεν, ἀλλὰ καὶ ὡς ἄνθρωπος ἔγνω διὰ τῆς πείρας ἧς ἐπειράσθη· ἔπαθε πολλά, οἶδε συμπάσχειν. Καίτοι γε ἀπαθὴς ὁ Θεός ἐστιν· ἀλλὰ τὰ τῆς σαρκώσεως 30 ἐνταῦθα διηγεῖται· ὡς ἂν εἰ ἔλεγε, καὶ αὐτὴ ἡ σὰρξ ἡ τοῦ Χριστοῦ

δουλεία, μᾶς τίμησε ἀφοῦ ἔγινε ἀδελφός μας. Καὶ δὲ μᾶς τίμησε μόνο μὲ τὸ νὰ γίνει ἀδελφός μας, ἀλλὰ καὶ μὲ πολλὰ ἄλλα. Γιατὶ θέλησε νὰ γίνει καὶ ἀρχιερέας μας πρὸς τὸν Πατέρα· γι' αὐτὸ καὶ προσθέτει, «γιὰ νὰ γίνει εὐσπλαχνικὸς καὶ πιστὸς ἀρχιερέας στὴν ὑπηρεσία τοῦ Θεοῦ». Γι' αὐτό, λέγει, ἀνέλαβε τὴ δική μας σάρκα, ἀπὸ φιλανθρωπία μόνο, γιὰ νὰ μᾶς ἐλεήσει. Γιατὶ δὲν ὑπάρχει καμμιὰ ἄλλη αἰτία τῆς οἰκονομίας, παρὰ μόνο αὐτή. Εἶδε δηλαδὴ ὅτι ἤμασταν πεσμένοι κάτω, χαμένοι, καταδυναστευόμενοι ἀπὸ τὸ θάνατο, καὶ μᾶς ἐλέησε.

«Γιὰ νὰ μπορεῖ», λέγει, «νὰ συγχωρεῖ τὶς ἁμαρτίες τοῦ λαοῦ, γιὰ νὰ γίνει εὐσπλαχνικὸς καὶ πιστὸς ἀρχιερέας». Τί σημαίνει, «πιστός»; Ἀληθινός, δυνατός. Γιατὶ ἀρχιερέας πιστὸς εἶναι μόνο ὁ Υἱός, δυνατὸς ν' ἀπαλλάξει ἐκείνους, τῶν ὁποίων εἶναι ἀρχιερέας, ἀπὸ τὰ ἁμαρτήματά τους. Γιὰ νὰ προσφέρει λοιπὸν τὴ θυσία ποὺ μπορεῖ νὰ μᾶς καθαρίσει, γι' αὐτὸ ἔγινε ἄνθρωπος. Πρόσθεσε λοιπόν, «στὴν ὑπηρεσία τοῦ Θεοῦ». Δηλαδή, ἐξαιτίας τῆς ὑπηρεσίας του πρὸς τὸ Θεό. Ἤμασταν, λέγει, ἐχθροὶ τοῦ Θεοῦ, καταδικασμένοι, περιφρονημένοι. Δὲν ὑπῆρχε κανεὶς νὰ προσφέρει γιὰ μᾶς θυσία. Εἶδε ὅτι βρισκόμασταν σὲ τέτοια κατάσταση καὶ μᾶς ἐλέησε, χωρὶς νὰ ὁρίσει σὲ μᾶς ἀρχιερέα, ἀλλ' ἔγινε ὁ ἴδιος ἀρχιερέας πιστός. Στὴ συνέχεια, γιὰ νὰ δείξει πῶς ἔγινε πιστός, πρόσθεσε, «γιὰ νὰ ἐξιλεώνει τὶς ἁμαρτίες τοῦ λαοῦ». «Γιατί, ἐπειδὴ ὁ ἴδιος», λέγει, «ὑπέφερε καὶ δοκιμάσθηκε, μπορεῖ νὰ βοηθήσει ὅσους δοκιμάζονται».

2. Αὐτὸ εἶναι πολὺ ταπεινὸ καὶ εὐτελὲς καὶ ἀνάξιο τοῦ Θεοῦ. «Ἐπειδή», λέγει, «ἔπαθε αὐτό». Ἐδῶ μιλάει γιὰ τὸ Χριστὸ ποὺ σαρκώθηκε καὶ ἴσως λέχθηκε γιὰ πληροφορία τῶν ἀκροατῶν καὶ ἐξαιτίας τῆς ἀδυναμίας τους. Αὐτὸ ποὺ λέγει σημαίνει τὸ ἑξῆς· ἔπαθε αὐτὰ ποὺ πάθαμε, καὶ τώρα δὲν ἀγνοεῖ τὰ δικά μας πάθη· δὲν τὰ γνωρίζει δηλαδὴ ὡς Θεὸς μόνο, ἀλλὰ καὶ ὡς ἄνθρωπος τὰ γνώρισε, ἐπειδὴ δοκιμάσθηκε στὴν πράξη μ' αὐτά· ἔπαθε πολλά, γνωρίζει νὰ συμπάσχει. Ἂν καὶ βέβαια ὁ Θεὸς εἶναι ἀπαθής, ὅμως ἐδῶ ἀναφέρεται σ' ἐκεῖνα ποὺ ἔχουν σχέση μὲ τὴ σάρκωση. Σὰν νὰ ἔλεγε· καὶ αὐτὴ ἡ σάρκα τοῦ Χριστοῦ ἔπαθε πολλὰ κακά. Γνωρίζει τί εἶναι θλίψη, γνωρίζει τί εἶναι πειρα-

πολλὰ δεινὰ ἔπαθεν. Οἶδε τί ἐστι θλῖψις, οἶδε τί ἐστι πειρασμός, καὶ οὐχ ἧττον τῶν παθόντων ἡμῶν· καὶ γὰρ καὶ αὐτὸς ἔπαθε.

Τί οὖν ἐστι τό, «δύναται τοῖς πειραζομένοις βοηθῆσαι»; Ὡς ἄν τις εἴποι, μετὰ πολλῆς προθυμίας ὀρέξει χεῖρα, συμπαθὴς 5 ἔσται. Ἐπειδὴ γὰρ ἐβούλοντο μέγα τι καὶ πλέον ἔχειν τῶν ἐξ ἐθνῶν, δείκνυσιν ἐν τούτῳ πλέον ἔχοντας, ἔνθα οὐδὲν κατέβλαπτε τοὺς ἐξ ἐθνῶν. Ἐν ποίῳ δὴ τούτῳ; Ὅτι ἐξ αὐτῶν ἐστιν ἡ σωτηρία, ὅτι ἐκείνων ἐπελάβετο πρῶτον, ὅτι ἐκεῖθεν ἀνέλαβε σάρκα. «Οὐ γὰρ ἀγγέλων», φησίν, «ἐπιλαμβάνεται, ἀλλὰ σπέρ-10 ματος Ἀβραὰμ ἐπιλαμβάνεται». Τιμᾷ καὶ τὸν πατριάρχην διὰ τούτου καὶ δείκνυσι καὶ τί ἐστι, «σπέρματος Ἀβραάμ». Ἀναμιμνήσκει γὰρ αὐτοὺς τῆς πρὸς αὐτὸν γενομένης ἐπαγγελίας τῆς λεγούσης, «σοὶ καὶ τῷ σπέρματί σου δώσω τὴν γῆν ταύτην», διὰ τοῦ σμικροτάτου δεικνὺς τὴν ἐγγύτητα, τοῦ ἐξ ἑνὸς εἶναι πάντας.

15 Ἀλλ' ἐπειδὴ οὐ πολλὴ ἐκείνη ἦν ἡ ἐγγύτης, ἔρχεται πάλιν ἐπὶ ταύτην, καὶ ἐνδιατρίβει λοιπὸν τῇ οἰκονομίᾳ τῇ κατὰ σάρκα καί φησιν· «εἰς τὸ ἱλάσκεσθαι ταῖς ἁμαρτίαις τοῦ λαοῦ». Ἦν μὲν γὰρ καὶ αὐτὸ τὸ θελῆσαι γενέσθαι ἄνθρωπον, πολλῆς κηδεμονίας καὶ ἀγάπης, νῦν δὲ οὐ τοῦτο μόνον ἐστίν, ἀλλὰ καὶ τὰ ἀθά-20 νατα ἀγαθά, τὰ δι' αὐτοῦ ἡμῖν παρασχεθέντα· «εἰς τὸ ἱλάσκεσθαι», γάρ, φησί, «ταῖς ἁμαρτίαις τοῦ λαοῦ». Διὰ τί μὴ εἶπε, 'τῆς οἰκουμένης', ἀλλά, «τοῦ λαοῦ»; ὄντως γὰρ τὰς πάντων ἡμῶν ἁμαρτίας ἀνήνεγκεν. Ὅτι τέως περὶ αὐτῶν ἦν ὁ λόγος αὐτῷ· ἐπεὶ καὶ ὁ ἄγγελος πρὸς τὸν Ἰωσὴφ ἔλεγε, «καλέσεις τὸ ὄνομα 25 αὐτοῦ Ἰησοῦν· αὐτὸς γὰρ σώσει τὸν λαὸν αὐτοῦ». Τοῦτο γὰρ καὶ πρῶτον ἔδει γενέσθαι, καὶ διὰ τοῦτο ἦλθεν, ὥστε τούτους σῶσαι, καὶ τότε διὰ τούτων ἐκείνους, εἰ καὶ τοὐναντίον γέγονε. Τοῦτο καὶ οἱ ἀπόστολοι ἄνωθεν ἔλεγον· «ὑμῖν ἀναστήσας τὸν Παῖδα αὐτοῦ ἀπέστειλεν εὐλογοῦντα ὑμᾶς»· καὶ πάλιν, «ὑμῖν ὁ 30 λόγος τῆς σωτηρίας ἀπεστάλη». Τὴν εὐγένειαν ἐνταῦθα δείκνυσι τὴν ἰουδαϊκήν, λέγων, «εἰς τὸ ἱλάσκεσθαι ταῖς ἁμαρτίαις τοῦ λαοῦ».

Τέως οὕτω φησίν. Ὅτι γὰρ αὐτός ἐστιν ὁ τὰς ἁμαρτίας

---

5. Γεν. 13,15. 6. Ματθ. 1,21.
7. Πράξ. 3,26. 8. Πράξ. 13,26.

σμός, καὶ ὄχι λιγότερο ἀπὸ μᾶς ποὺ τὰ πάθαμε, γιατὶ πραγματικὰ καὶ αὐτὸς ἔπαθε.

Τί λοιπὸν σημαίνει τό, «μπορεῖ νὰ βοηθήσει ὅσους δοκιμάζονται»; Σὰν νὰ ἔλεγε κανείς· μὲ πολλὴ προθυμία θ' ἁπλώσει χέρι βοηθείας, θὰ δείξει συμπάθεια. Ἐπειδὴ ἤθελαν νὰ ἔχουν κάτι μεγάλο καὶ περισσότερο ἀπὸ τοὺς πιστοὺς ποὺ προέρχονταν ἀπὸ τοὺς ἐθνικούς, δείχνει ὅτι ἔχουν κάτι περισσότερο μ' αὐτό, πράγμα ποὺ δὲν ἔβλαπτε καθόλου τοὺς ἐθνικούς. Καὶ ποιό εἶναι αὐτό; Ὅτι ἀπ' αὐτοὺς προέρχεται ἡ σωτηρία, ὅτι αὐτοὺς ἦρθε νὰ βοηθήσει πρῶτα, ὅτι ἀπὸ ἐκεῖ ἀνέλαβε σάρκα. «Γιατὶ δὲν ἔρχεται», λέγει, «νὰ βοηθήσει ἀγγέλους, ἀλλὰ τοὺς ἀπογόνους τοῦ Ἀβραάμ». Μ' αὐτὸ τιμάει τὸν πατριάρχη καὶ δείχνει τί σημαίνει, «ἀπόγονοι τοῦ Ἀβραάμ». Γιατὶ τοὺς θυμίζει τὴν ὑπόσχεση ποὺ δόθηκε σ' αὐτὸν ποὺ ἔλεγε, «θὰ δώσω τὴ χώρα αὐτὴ σὲ σένα καὶ στοὺς ἀπογόνους σου»[5], δείχνοντας μ' αὐτὸ τὸ πολὺ μικρὸ τὴ συγγένεια, τὸ ὅτι ἀπὸ ἕναν κατάγονται ὅλοι.

Ἐπειδὴ ὅμως δὲν ἦταν μεγάλη ἐκείνη ἡ συγγένεια, ἔρχεται πάλι σ' αὐτὴ καὶ ἀσχολεῖται στὴ συνέχεια μὲ τὴν οἰκονομία τῆς σάρκωσης καὶ λέγει· «γιὰ νὰ μπορεῖ νὰ ἐξιλεώνει τὶς ἁμαρτίες τοῦ λαοῦ». Ἦταν βέβαια καὶ ἡ θέλησή του νὰ γίνει ἄνθρωπος ἀπόδειξη μεγάλης φροντίδας καὶ ἀγάπης. Τώρα ὅμως δὲν εἶναι μόνο αὐτό, ἀλλὰ καὶ τὰ ἀθάνατα ἀγαθὰ ποὺ μᾶς δόθηκαν μέσω αὐτοῦ. «Γιὰ νὰ μπορεῖ», λέγει, «νὰ ἐξιλεώνει τὶς ἁμαρτίες τοῦ λαοῦ». Γιὰ ποιό λόγο δὲν εἶπε, «τῆς οἰκουμένης», ἀλλὰ «τοῦ λαοῦ»; Γιατὶ πραγματικὰ σήκωσε τὶς ἁμαρτίες ὅλων μας. Ἐπειδὴ πρῶτα γι' αὐτοὺς ἦταν ὁ λόγος του. Γιατὶ καὶ ὁ ἄγγελος ἔλεγε στὸν Ἰωσήφ, «θὰ τὸν ὀνομάσεις Ἰησοῦ, γιατὶ αὐτὸς θὰ σώσει τὸ λαό του»[6]. Αὐτὸ λοιπὸν ἔπρεπε νὰ γίνει πρῶτο, καὶ γι' αὐτὸ ἦρθε, ὥστε νὰ σώσει αὐτοὺς καὶ τότε μέσω αὐτῶν ἐκείνους, ἂν καὶ ἔγινε τὸ ἀντίθετο. Αὐτὸ ἔλεγαν καὶ οἱ ἀπόστολοι ἀπὸ τὴν ἀρχή· «σὲ σᾶς φανέρωσε τὸ δοῦλο του καὶ τὸν ἔστειλε νὰ σᾶς εὐλογεῖ»[7]· καὶ πάλι, «σὲ σᾶς στάλθηκε τὸ μήνυμα τῆς σωτηρίας»[8]. Ἐδῶ δείχνει τὴν εὐγενικὴ καταγωγὴ τῶν Ἰουδαίων λέγοντας, «γιὰ νὰ μπορεῖ νὰ ἐξιλεώνει τὶς ἁμαρτίες τοῦ λαοῦ».

Πρῶτα λέγει αὐτά. Ὅτι βέβαια αὐτὸς εἶναι ἐκεῖνος ποὺ

πάντων ἀφιείς, ἐδήλωσε καὶ ἐν τῷ παραλυτικῷ, εἰπών, «ἀφέωνταί σοι αἱ ἁμαρτίαι»· καὶ ἐν τῷ βαπτίσματι· φησὶ γὰρ πρὸς τοὺς μαθητάς, «πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ 5 ἁγίου Πνεύματος». Ὅταν δὲ τῆς σαρκὸς ἐπιλάβηται ὁ Παῦλος, πάντα λοιπὸν ταπεινὰ φθέγγεται, οὐδὲν δεδοικώς· ὅρα γὰρ λοιπὸν τί φησιν· «ὅθεν, ἀδελφοὶ ἅγιοι, κλήσεως ἐπουρανίου μέτοχοι, κατανοήσατε τὸν ἀπόστολον καὶ ἀρχιερέα τῆς ὁμολογίας ἡμῶν Ἰησοῦν Χριστόν, πιστὸν ὄντα τῷ ποιήσαντι αὐτόν, ὡς καὶ 10 Μωϋσῆς ἐν ὅλῳ τῷ οἴκῳ αὐτοῦ». Μέλλων αὐτὸν προτιθέναι τοῦ Μωϋσέως κατὰ σύγκρισιν, εἰς τὸν τῆς ἀρχιερωσύνης νόμον ἤγαγε τὸν λόγον· οὐ γὰρ μικρὰν περὶ Μωϋσέως δόξαν εἶχον ἅπαντες. Καὶ προκαταβάλλεται ἤδη τὰ σπέρματα τῆς ὑπεροχῆς. Ἄρχεται μὲν οὖν ἀπὸ τῆς σαρκός, ἄνεισι δὲ εἰς τὴν θεότητα, 15 ἔνθα οὐκέτι σύγκρισις ἦν γίνεσθαι.

Ἤρξατο ἀπὸ τῆς σαρκὸς τέως τὸ ἴσον τιθέναι καί φησιν· «ὡς καὶ Μωϋσῆς ἐν ὅλῳ τῷ οἴκῳ αὐτοῦ». Καὶ οὐ παρὰ τὴν ἀρχὴν δείκνυσι τὴν ὑπεροχήν, ἵνα μὴ ἀποπηδήσῃ ὁ ἀκροατὴς καὶ εὐθέως ἐμφράξῃ τὰς ἀκοάς· εἰ γὰρ καὶ πιστοὶ ἦσαν, ἀλλ' ὅμως 20 ἔτι πολὺ τὸ συνειδὸς εἶχον πρὸς Μωϋσέα. «Πιστὸν ὄντα», φησί, «τῷ ποιήσαντι αὐτόν». Τί ποιήσαντι; «Ἀπόστολον καὶ ἀρχιερέα». Οὐδὲν ἐνταῦθα περὶ οὐσίας φησίν, οὐδὲ περὶ τῆς θεότητος, ἀλλὰ τέως περὶ ἀξιωμάτων ἀνθρωπίνων· «ὡς καὶ Μωϋσῆς ἐν ὅλῳ τῷ οἴκῳ αὐτοῦ»· τουτέστιν, ἐν τῷ λαῷ, ἢ ἐν τῷ ἱερῷ. Ἐν-25 ταῦθα δὲ τό, «ἐν τῷ οἴκῳ αὐτοῦ», φησίν· ὡς ἂν εἴ τις εἴποι περὶ τῶν ἐν τῇ οἰκίᾳ. Καθάπερ γάρ τις ἐπίτροπος καὶ οἰκονόμος οἰκίας, οὕτως ἦν ὁ Μωϋσῆς ἐν τῷ λαῷ. Ὅτι γὰρ οἶκον ἐνταῦθα τὸν λαόν φησιν, ἐπήγαγεν, οὗ οἶκός ἐσμεν ἡμεῖς»· τουτέστιν, ἐν τῇ κτίσει αὐτοῦ ἐσμεν. Εἶτα ἡ ὑπεροχή· «μείζονος γὰρ οὗτος δό-30 ξης παρὰ Μωϋσῆν ἠξίωται». Πάλιν περὶ τῆς σαρκός· «καθ' ὅσον πλείονα τιμὴν ἔχει τοῦ οἴκου ὁ κατασκευάσας αὐτόν».

3. Καὶ αὐτός, φησί, τῆς οἰκίας ἦν. Καὶ οὐκ εἶπεν, οὗτος μὲν γὰρ

---

9. Ματθ. 9,5.
10. Ματθ. 28,19.

συγχώρησε τὶς ἁμαρτίες ὅλων τὸ φανέρωσε καὶ στὸν παραλυτικὸ λέγοντας, «σοῦ συγχωροῦνται οἱ ἁμαρτίες»[9], καὶ στὸ βάπτισμα· γιατὶ λέγει στοὺς μαθητές, «πηγαίνετε, καὶ κάνετε ὅλα τὰ ἔθνη μαθητές μου, βαπτίζοντας αὐτοὺς στὸ ὄνομα τοῦ Πατέρα καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος»[10]. Ὅταν ὅμως ὁ Παῦλος ὁμιλεῖ γιὰ τὴ σάρκα, ὅλα τότε τὰ λέγει ταπεινὰ χωρὶς νὰ φοβᾶται τίποτε. Πρόσεχε λοιπὸν τί λέγει στὴ συνέχεια. «Γι' αὐτό, ἀδελφοὶ ἅγιοι, ἐσεῖς ποὺ κληθήκατε νὰ μετάσχετε στὸν οὐράνιο κόσμο, κατανοῆστε τὸν ἀπεσταλμένο καὶ ἀρχιερέα τῆς πίστης μας, τὸν Ἰησοῦ Χριστό, ποὺ ἦταν πιστὸς στὸ Θεὸ ποὺ τὸν διάλεξε, ὅπως ἦταν καὶ ὁ Μωϋσῆς σὲ ὅλον τὸν οἶκο τοῦ Θεοῦ». Ἐπειδὴ πρόκειται νὰ τὸν συγκρίνει μὲ τὸ Μωυσῆ, ἔφερε τὸ λόγο στὸ νόμο τῆς ἀρχιερωσύνης, γιατὶ ὅλοι εἶχαν σὲ μεγάλη τιμὴ τὸ Μωυσῆ. Καὶ ἀναφέρει προκαταβολικὰ τὰ σπέρματα τῆς ὑπεροχῆς. Ἀρχίζει βέβαια ἀπὸ τὴ σάρκα, ἀνεβαίνει ὅμως στὴ θεότητα, ὅπου δὲν μποροῦσε πιὰ νὰ γίνει σύγκριση.

Ἄρχισε πρῶτα ἀπὸ τὴ σάρκα νὰ θέτει τὴν ἰσότητα καὶ λέγει· «ὅπως καὶ ὁ Μωυσῆς ἦταν πιστὸς σ' ὅλον τὸν οἶκο τοῦ Θεοῦ». Καὶ δὲ δείχνει ἀπὸ τὴν ἀρχὴ τὴν ὑπεροχὴ γιὰ νὰ μὴν ἀπομακρυνθεῖ ὁ ἀκροατὴς καὶ ἀμέσως κλείσει τὰ αὐτιά του. Γιατί, ἂν καὶ ἦταν πιστοί, εἶχαν ὅμως ἀκόμη σὲ πολλὴ ἐκτίμηση τὸ Μωυσῆ. «Ὁ ὁποῖος», λέγει, «ἦταν πιστὸς σ' αὐτὸν ποὺ τὸν ἔκαμε». Τί τὸν ἔκαμε; «Ἀπόστολο καὶ ἀρχιερέα». Τίποτε δὲ λέγει ἐδῶ γιὰ τὴν οὐσία, οὔτε γιὰ τὴ θεότητα, ἀλλὰ πρῶτα μιλάει γιὰ τὰ ἀνθρώπινα ἀξιώματα. «Ὅπως καὶ ὁ Μωυσῆς σ' ὅλον τὸν οἶκο τοῦ Θεοῦ»· δηλαδή, στὸ λαὸ ἢ στὸ ναό. Ἐδῶ ὅμως λέγει, «στὸν οἶκο αὐτοῦ»· ὅπως θὰ μποροῦσε νὰ πεῖ κάποιος, σ' αὐτοὺς ποὺ εἶναι στὴν οἰκία του. Γιατί, ὅπως κάποιος εἶναι ἐπιστάτης καὶ διαχειριστὴς ἑνὸς σπιτιοῦ, ἔτσι ἦταν ὁ Μωυσῆς στὸ λαό. Ὅτι λοιπὸν ἐδῶ λέγει τὸ λαὸ «οἶκο», πρόσθεσε, «ἐμεῖς εἴμαστε οἶκος του»· δηλαδή, εἴμαστε μέσα στὴν κτίση του. Ἔπειτα ἡ ὑπεροχή· «γιατὶ αὐτὸς ἀξιώθηκε μεγαλύτερη τιμὴ ἀπὸ τὸ Μωυσῆ». Πάλι γιὰ τὴ σάρκα· «ὅπως ἔχει μεγαλύτερη τιμὴ ἀπὸ τὴν οἰκία ἐκεῖνος ποὺ τὴν κατασκεύασε».

3. Καὶ αὐτός, λέγει, ἦταν τῆς οἰκίας. Καὶ δὲν εἶπε, αὐτὸς εἶναι

δοῦλος, ἐκεῖνος δὲ Δεσπότης, ἀλλὰ τοῦτο λανθανόντως ἐνέφηνεν. Εἰ ὁ οἶκος οὖν ἦν ὁ λαός, καὶ αὐτὸς δὲ τοῦ λαοῦ ἦν, καὶ αὐτὸς ἄρα τῆς οἰκίας ἦν· οὕτω γὰρ καὶ ἡμῖν ἔθος λέγειν, ὁ δεῖνα τῆς οἰκίας τῆς τοῦ δεῖνός ἐστιν. Ἐνταῦθα δὲ «οἶκον» οὐ τὸν ναὸν λέ-
5 γει· οὐ γὰρ ὁ Θεὸς αὐτὸν κατεσκεύασεν, ἀλλ' οἱ ἄνθρωποι. Ὁ δὲ ποιήσας αὐτόν, ὁ Θεός· τὸν Μωϋσέα φησί. Καὶ ὅρα πῶς δείκνυσι τὴν ὑπεροχὴν λανθανόντως· «πιστός», φησίν, «ἐν ὅλῳ τῷ οἴκῳ αὐτοῦ», καὶ αὐτὸς ὢν τοῦ οἴκου, τουτέστι, τοῦ λαοῦ. Πλείονα τιμὴν ἔχει τῶν ἔργων ὁ τεχνίτης, ἀλλὰ καὶ τοῦ οἴκου ὁ
10 κατασκευάσας αὐτόν. «Ὁ δὲ τὰ πάντα κατασκευάσας, Θεός». Ὁρᾷς ὅτι οὐ περὶ τοῦ ναοῦ λέγει, ἀλλὰ περὶ παντὸς τοῦ λαοῦ;

«Καὶ Μωϋσῆς μὲν πιστὸς ἐν ὅλῳ τῷ οἴκῳ αὐτοῦ, ὡς θεράπων, εἰς μαρτύριον τῶν λαληθησομένων». Ἰδοὺ καὶ ἄλλη ὑπεροχὴ ἡ ἀπὸ τοῦ Υἱοῦ καὶ τῶν δούλων. Ὁρᾷς πάλιν ὅτι
15 γνησιότητα διὰ τῆς τοῦ Υἱοῦ προσηγορίας αἰνίττεται; «Χριστὸς δέ, ὡς Υἱὸς ἐπὶ τὸν οἶκον αὐτοῦ». Εἶδες πῶς ποίημα καὶ ποιητὴν διίστησι, πῶς δοῦλον καὶ Υἱόν; κἀκεῖνος μὲν εἰς τὰ πατρῷα ὡς Δεσπότης εἰσέρχεται, οὗτος δὲ ὡς δοῦλος. «Οὗ οἶκός ἐσμεν ἡμεῖς, ἐάνπερ τὴν παρρησίαν καὶ τὸ καύχημα τῆς ἐλπίδος μέχρι
20 τέλους βεβαίαν κατάσχωμεν». Ἐντεῦθα πάλιν αὐτοὺς προτρέπει ἑστάναι γενναίως καὶ μὴ καταπίπτειν. Οἶκος γάρ, φησίν, ἐσόμεθα τοῦ Θεοῦ, ὥσπερ ἦν Μωϋσῆς, «ἐάνπερ τὴν παρρησίαν καὶ τὸ καύχημα τῆς ἐλπίδος μέχρι τέλους βεβαίαν κατάσχωμεν»· ὥστε ὁ ἀλγῶν ἐν τοῖς πειρασμοῖς καὶ καταπίπτων, οὐ καυχᾶται· ὁ αἰ-
25 σχυνόμενος, ὁ κρυπτόμενος, παρρησίαν οὐκ ἔχει· ὁ ἀλύων οὐ καυχᾶται. Εἶτα καὶ ἐγκωμιάζει αὐτοὺς λέγων· «ἐάνπερ τὴν παρρησίαν καὶ τὸ καύχημα τῆς ἐλπίδος μέχρι τέλους βεβαίαν κατάσχωμεν»· δεικνὺς ὅτι καὶ ἤρξαντο. Δεῖ δὲ καὶ τοῦ τέλους, καὶ οὐχ

δοῦλος καὶ ἐκεῖνος Κύριος, ἀλλὰ τὸ δήλωσε αὐτὸ χωρὶς νὰ γίνεται ἀντιληπτό. Ἂν λοιπὸν ὁ οἶκος ἦταν ὁ λαός, καὶ αὐτὸς ἦταν ἕνας τοῦ λαοῦ, ἄρα καὶ αὐτὸς ἦταν τῆς οἰκίας. Γιατὶ καὶ ἐμεῖς συνηθίζουμε νὰ τὸ λέμε αὐτό, 'ὁ τάδε εἶναι τῆς οἰκίας τοῦ τάδε. Ἐδῶ ὅμως δὲ λέγει οἶκο τὸ ναό, γιατὶ δὲν τὸν κατασκεύασε αὐτὸν ὁ Θεός, ἀλλ' οἱ ἄνθρωποι. Ἐνῶς αὐτὸς ποὺ ἔκαμε αὐτὸν εἶναι ὁ Θεός· ἐννοεῖ τὸ Μωυσῆ. Καὶ πρόσεχε πῶς δείχνει τὴν ὑπεροχὴ χωρὶς νὰ γίνεται ἀντιληπτό. «Πιστός», λέγει, «σ' ὅλον τὸν οἶκο τοῦ Θεοῦ»· καὶ αὐτὸς εἶναι τοῦ οἴκου, δηλαδή, τοῦ λαοῦ. Περισσότερη τιμὴ ἀπὸ τὰ ἔργα ἔχει ὁ τεχνίτης, ἀλλὰ καὶ ἀπὸ τὴν οἰκία ἐκεῖνος ποὺ τὴν κατασκεύασε. «Ἐκεῖνος ὅμως ποὺ κατασκεύασε τὰ πάντα εἶναι ὁ Θεός». Βλέπεις ὅτι δὲ μιλάει γιὰ τὸ ναό, ἀλλὰ γιὰ ὅλο τὸ λαό;

«Καὶ ὁ Μωυσῆς βέβαια ἦταν πιστὸς σ' ὅλον τὸν οἶκο τοῦ Θεοῦ, σὰν δοῦλος, γιὰ νὰ δώσει μαρτυρία γιὰ ἐκεῖνα ποὺ ἐπρόκειτο νὰ λαληθοῦν». Νὰ καὶ ἄλλη ὑπεροχὴ ποὺ εἶναι ἀπὸ τὸν Υἱὸ καὶ τοὺς δούλους. Βλέπεις πάλι ὅτι ὑπαινίσσεται εὐγένεια καταγωγῆς μὲ τὴν ὀνομασία τοῦ Υἱοῦ, «ἐνῶ ὁ Χριστὸς ἦταν πιστὸς σὰν Υἱὸς στὸν οἶκο τοῦ Θεοῦ». Εἶδες πῶς ξεχωρίζει τὸ δημιούργημα καὶ τὸ δημιουργό, πῶς τὸν δοῦλο καὶ τὸν Υἱό; Καὶ ἐκεῖνος μπαίνει στὰ πατρικὰ σὰν Κύριος, ἐνῶ αὐτὸς σὰν δοῦλος. «Ἐμεῖς εἴμαστε ὁ οἶκος του, ἂν βέβαια διατηρήσουμε μέχρι τέλους σταθερὸ τὸ θάρρος καὶ τὴν ἐλπίδα γιὰ τὴν ὁποία καυχιόμαστε». Ἐδῶ πάλι τοὺς προτρέπει νὰ σταθοῦν γενναῖα καὶ νὰ μὴν πέφτουν. Γιατὶ θὰ γίνουμε, λέγει, οἶκος τοῦ Θεοῦ, ὅπως ἀκριβῶς ἦταν ὁ Μωυσῆς, ἂν βέβαια κρατήσουμε μέχρι τέλος σταθερὸ τὸ θάρρος καὶ τὴν ἐλπίδα γιὰ τὴν ὁποία καυχιόμαστε. Ἐπομένως, ὅποιος λυπᾶται στοὺς πειρασμοὺς καὶ πέφτει, δὲν καυχιέται· ὅποιος ντρέπεται καὶ ὅποιος κρύβεται, δὲν ἔχει θάρρος· ὅποιος στενοχωριέται πολύ, δὲν καυχιέται. Ἔπειτα τοὺς ἐγκωμιάζει κιόλας λέγοντας· «ἂν βέβαια κρατήσουμε μέχρι τέλος σταθερὸ τὸ θάρρος καὶ τὴν ἐλπίδα γιὰ τὴν ὁποία καυχιόμαστε», δείχνοντας ὅτι ἤδη ἄρχισαν. Πρέπει ὅμως καὶ μέχρι τὸ τέλος, καὶ ὄχι νὰ στέκονται ἁπλῶς, ἀλλὰ νὰ ἔχουν σταθερὴ τὴν ἐλπίδα, μὲ τὴν

ἁπλῶς ἑστάναι, ἀλλὰ βεβαίαν ἔχειν τὴν ἐλπίδα ἐν πληροφορίᾳ πίστεως, μὴ παρασαλευομένους ὑπὸ τῶν πειρασμῶν.

Καὶ μὴ θαυμάσῃς, εἰ ἀνθρωπινώτερον τό, «αὐτὸς πειρασθείς», εἴρηται. Εἰ γὰρ περὶ τοῦ Πατρός, τοῦ μὴ σαρκωθέντος 5 φησὶν ἡ Γραφή, «ἐκ τοῦ οὐρανοῦ διέκυψεν ὁ Κύριος καὶ εἶδε πάντας τοὺς υἱοὺς τῶν ἀνθρώπων»; τουτέστιν, ἀκριβῶς πάντα κατέμαθε, καὶ πάλιν, «καταβὰς ὄψομαι, εἰ κατὰ τὴν κραυγὴν αὐτῶν συντελοῦνται», καὶ πάλιν, «οὐ δύναται φέρειν ὁ Θεὸς τὰς κακίας τῶν ἀνθρώπων», τὸ πολὺ τῆς ὀργῆς ἐνδεικνυμένη ἡ θεία 10 Γραφή, πολλῷ μᾶλλον περὶ τοῦ Χριστοῦ τοῦ καὶ παθόντος ἐν σαρκὶ λέγοιντ' ἂν ταῦτα τὰ ἀνθρωπινοπαθῆ. Ἐπειδὴ γὰρ πολλοὶ τῶν ἀνθρώπων τὴν πεῖραν πάντων εἶναι πιστοτέραν νομίζουσι πρὸς γνῶσιν, βούλεται δεῖξαι, ὅτι ὁ παθὼν οἶδε τί πάσχει ἡ ἀνθρωπίνη φύσις.

15 *«Ὅθεν», φησίν, «ἀδελφοὶ ἅγιοι». Τό, «ὅθεν», ἀντὶ τοῦ, 'διὰ τοῦτο', φησί. «Κλήσεως ἐπουρανίου μέτοχοι». Μηδὲν τοίνυν ἐνταῦθα ζητῆτε, εἰ ἐκεῖ κέκλησθε· ἐκεῖ γὰρ ὁ μισθός, ἐκεῖ ἡ ἀνταπόδοσις. Τί οὖν; «Κατανοήσατε τὸν ἀπόστολον καὶ ἀρχιερέα τῆς ὁμολογίας ἡμῶν Ἰησοῦν Χριστόν, πιστὸν ὄντα τῷ ποιή-20 σαντι αὐτόν, ὡς καὶ Μωϋσῆς ἐν ὅλῳ τῷ οἴκῳ αὐτοῦ». Τί ἐστι, «πιστὸν ὄντα τῷ ποιήσαντι αὐτόν»; Τουτέστι, προνοϊκόν, προϊστάμενον τῶν αὐτοῦ, καὶ οὐκ ἐῶντα φέρεσθαι ἁπλῶς. «Ὡς καὶ Μωϋσῆς ἐν ὅλῳ τῷ οἴκῳ αὐτοῦ». Τουτέστι, γνῶτε τίς ἐστιν ὁ ἀρχιερεὺς καὶ ποταπός, καὶ οὐ δεήσεσθε παραμυθίας ἑτέρας 25 οὐδὲ παρακλήσεως. «Ἀπόστολον» δὲ αὐτὸν λέγει διὰ τὸ ἀπεστάλθαι· καὶ «ἀρχιερέα» φησὶ «τῆς ὁμολογίας ἡμῶν», τουτέστι, τῆς πίστεως. Καλῶς εἶπεν, «ὡς Μωϋσῆς»· καὶ γὰρ καὶ οὗτος λαόν, καθάπερ ἐκεῖνος προστασίαν λαοῦ, ἐγκεχείρισται, εἰ καὶ μείζονα καὶ ἐπὶ μείζοσι. Μωϋσῆς μὲν γὰρ ὡς οἰκέτης, Χριστὸς 30 δὲ ὡς Υἱός· καὶ ὁ μὲν τῶν ἀλλοτρίων, οὗτος δὲ τῶν αὐτοῦ κήδεται.*

«Εἰς μαρτύριον τῶν λαληθησομένων». Τί λέγεις; μαρτυ-

---

11. Ψαλμ. 13,2.
12. Γεν. 18,21.

βεβαιότητα τῆς πίστης χωρὶς νὰ παρασαλεύονται ἀπὸ τοὺς πειρασμούς.

Καὶ μὴν ἀπορρήσεις, ἂν τὸ «ἐπειδὴ ὁ ἴδιος δοκιμάσθηκε» λέχθηκε περισσότερο ἀνθρώπινα. Γιατί, ἂν γιὰ τὸν Πατέρα, ποὺ δὲ σαρκώθηκε, λέγει ἡ Γραφή, «ὁ Κύριος ἔσκυψε ἀπὸ τὸν οὐρανὸ καὶ εἶδε ὅλους τοὺς υἱοὺς τῶν ἀνθρώπων»[11], δηλαδή, ἔμαθε τὰ πάντα πολὺ καλά, καὶ «θὰ κατεβῶ γιὰ νὰ δῶ ἂν οἱ ἁμαρτίες τους εἶναι ὅπως οἱ κραυγές τους»[12], καὶ πάλι, «δὲν μπορεῖ ὁ Θεὸς νὰ ὑποφέρει τὶς ἁμαρτίες τῶν ἀνθρώπων» (φανερώνοντας ἡ ἁγία Γραφὴ τὸ μέγεθος τῆς ὀργῆς), πολὺ περισσότερο θὰ μποροῦσαν νὰ λεχθοῦν αὐτὲς οἱ ἀνθρώπινες ἐκφράσεις γιὰ τὸ Χριστὸ ποὺ ἔπαθε μὲ σάρκα. Ἐπειδὴ δηλαδὴ πολλοὶ ἄνθρωποι θεωροῦν, ὅτι ἡ πείρα εἶναι τὸ ἀσφαλέστερο ἀπ' ὅλα τὰ πράγματα ποὺ ὁδηγοῦν στὴ γνώση, θέλει νὰ δείξει ὅτι αὐτὸς ποὺ ἔπαθε γνωρίζει τί πάσχει ἡ ἀνθρώπινη φύση.

«Ἑπομένως», λέγει, «ἀδελφοὶ ἅγιοι». Τὸ «ἑπομένως» τὸ λέγει ἀντὶ τοῦ «γι' αὐτό». «Ἐσεῖς ποὺ κληθήκατε νὰ μετάσχετε στὸν οὐράνιο κόσμο». Νὰ μὴ ζητᾶτε λοιπὸν τίποτε ἐδῶ, ἀφοῦ ἔχετε κληθεῖ ἐκεῖ. Γιατὶ ἐκεῖ εἶναι ὁ μισθός, ἐκεῖ ἡ ἀνταπόδοση. Τί λοιπόν; «Κατανοῆστε τὸν ἀπόστολο καὶ ἀρχιερέα τῆς πίστης μας, τὸν Ἰησοῦ Χριστό, ποὺ ἦταν πιστὸς σ' ἐκεῖνον ποὺ τὸν ἔκαμε, ὅπως ἦταν καὶ ὁ Μωυσῆς σ' ὅλον τὸν οἶκο τοῦ Θεοῦ». Τί σημαίνει, «αὐτὸς ποὺ ἦταν πιστὸς σ' ἐκεῖνον ποὺ τὸν ἔκαμε»; Δηλαδή, αὐτὸς ποὺ προνοεῖ, ποὺ φροντίζει γιὰ τὰ δικά του καὶ δὲν τὰ ἀφήνει νὰ ἄγονται καὶ νὰ φέρονται ἔτσι ἁπλῶς. «Ὅπως ἦταν καὶ ὁ Μωυσῆς σ' ὅλον τὸν οἶκο τοῦ Θεοῦ». Δηλαδή, μάθετε ποιός ἦταν ὁ ἀρχιερέας καὶ ἀπὸ ποῦ καταγόταν, καὶ δὲ θὰ χρειασθεῖτε ἄλλη παραίνεση οὔτε παρηγοριά. Τὸν ἀποκαλεῖ «ἀπόστολο», ἐπειδὴ εἶναι ἀπεσταλμένος, καὶ «ἀρχιερέα τῆς ὁμολογίας μας», δηλαδή, τῆς πίστης μας. Σωστὰ εἶπε, «ὅπως ὁ Μωυσῆς», γιατὶ καὶ σ' αὐτὸν ἐμπιστεύθηκε λαό, ὅπως καὶ σ' ἐκεῖνον τὴν προστασία λαοῦ, ἂν καὶ ἦταν μεγαλύτερος καὶ γιὰ μεγαλύτερα πράγματα. Γιατὶ ὁ Μωυσῆς ἦταν ὡς δοῦλος, ἐνῶ ὁ Χριστὸς ὡς Υἱός· καὶ ἐκεῖνος φρόντιζε γιὰ τὰ ξένα, ἐνῶ αὐτὸς γιὰ τὰ δικά του.

«Γιὰ νὰ δώσει μαρτυρία γιὰ ὅσα ἐπρόκειτο νὰ λαληθοῦν».

ρίαν ἀνθρώπου λαμβάνει ὁ Θεός; Καὶ πάνυ γε. Εἰ γὰρ οὐρανὸν μαρτύρεται καὶ γῆν καὶ βουνούς, λέγων διὰ τοῦ προφήτου, «ἄκουε, οὐρανέ, καὶ ἐνωτίζου, ἡ γῆ, ὅτι Κύριος ἐλάλησε», καὶ «ἀκούσατε φάραγγες, θεμέλια τῆς γῆς, ὅτι κρίσις τῷ Κυρίῳ 5 *πρὸς τὸν λαὸν αὐτοῦ», πολλῷ μᾶλλον ἀνθρώπους. Τί ἐστιν, «εἰς μαρτύριον»; Ἵνα ὦσι, φησί, μάρτυρες, ὅταν ἀναισχυντῶσιν αὐτοί. «Χριστὸς δὲ ὡς Υἱός». Ὁ μὲν γὰρ ἀλλοτρίων κήδεται, οὗτος δὲ τῶν αὐτοῦ. «Καὶ τὸ καύχημα τῆς ἐλπίδος». Καλῶς εἶπε, «τῆς ἐλπίδος», ἐπειδὴ πάντα ἐν ἐλπίσιν ἦν τὰ ἀγαθά. Οὕτω δὲ αὐτὴν* 10 *δεῖ κατέχειν, ὡς ἤδη καυχᾶσθαι ὡς ἐπὶ γεγενημένοις. Διὰ τοῦτό φησι, τὸ καύχημα τῆς ἐλπίδος· καὶ ἐπάγει, «μέχρι τέλους βεβαίαν κατάσχωμεν»· τῇ γὰρ ἐλπίδι ἐσώθημεν.*

Εἰ τοίνυν τῇ ἐλπίδι ἐσώθημεν καὶ δι᾽ ὑπομονῆς ἀπεκδεχόμεθα, μὴ οὖν ἀσχάλλωμεν ἐπὶ τοῖς παροῦσι, μηδὲ ἤδη ζητῶμεν 15 *τὰ μετὰ ταῦτα ἐπαγγελθέντα. «Ἐλπὶς» γάρ, φησί, «βλεπομένη, οὐκ ἔστιν ἐλπίς». Ἐπειδὴ γὰρ μεγάλα ἐστὶ τὰ ἀγαθά, φησίν, ἐνταῦθα λαβεῖν οὐ δυνάμεθα αὐτὰ ἐν τῷ ἐπικήρῳ τούτῳ βίῳ. Τίνος οὖν ἕνεκεν ἡμῖν καὶ προεῖπε ταῦτα, οὐ μέλλων αὐτὰ ἐνταῦθα διδόναι; Ἵνα τῇ ἐπαγγελίᾳ τὰς ψυχὰς ἀνακτήσηται, ἵνα τῇ ὑπο-* 20 *σχέσει ρώσῃ τὴν προθυμίαν, ἵνα ἀλείψῃ καὶ διεγείρῃ τὴν ἡμετέραν διάνοιαν. Διὰ δὴ τοῦτο πάντα ταῦτα γεγένηται.*

4 *Μὴ τοίνυν θορυβώμεθα· μηδεὶς ὁρῶν πονηροὺς εὐπραγοῦντας θορυβείσθω. Οὐκ ἔστιν ἐνταῦθα ἡ ἀνταπόδοσις, οὔτε τῆς πονηρίας, οὔτε τῆς ἀρετῆς· εἰ δέ που γίνεται καὶ τῆς πονηρίας* 25 *καὶ τῆς ἀρετῆς, ἀλλ᾽ οὐχὶ κατ᾽ ἀξίαν, ἀλλ᾽ ἁπλῶς, ὡσανεὶ γεῦμα τῆς κρίσεως, ἵνα οἱ τῇ ἀναστάσει διαπιστοῦντες, κἂν ἐν τούτοις ἐνταῦθα σωφρονίζωνται. Ὅταν ἴδωμεν πονηρὸν πλουτοῦντα, μὴ καταπίπτωμεν· ὅταν ἴδωμεν ἀγαθὸν κακῶς πάσχοντα, μὴ*

---

13. Ἡσ. 1,2. 14. Μιχ. 6,2.
15. Ρωμ. 8,24.

Τί λέγεις; Δέχεται ὁ Θεὸς τὴ μαρτυρία ἀνθρώπου; Βεβαιότατα. Γιατί, ἂν ὁ Θεὸς ἐπικαλεῖται τὴ μαρτυρία τοῦ οὐρανοῦ καὶ τῆς γῆς καὶ τῶν βουνῶν, λέγοντας μὲ τὸ στόμα τοῦ προφήτη, «ἄκου, οὐρανέ, καὶ πρόσεχε, γῆ, γιατὶ ὁ Κύριος μίλησε»[13] καὶ «ἀκοῦστε τὰ φαράγγια, τὰ θεμέλια τῆς γῆς, γιατὶ ὁ Κύριος θὰ στήσει δικαστήριο πρὸς τὸ λαό του»[14], πολὺ περισσότερο θὰ ἐπικαλεῖται τὴ μαρτυρία ἀνθρώπων. Τί σημαίνει «γιὰ νὰ δώσει μαρτυρία»; Γιὰ νὰ εἶναι, λέγει, μάρτυρες, ὅταν αὐτοὶ θὰ συμπεριφέρονται μὲ ἀδιαντροπιά. «Ὁ Χριστὸς ὅμως ὡς Υἱός». Γιατὶ ἐκεῖνος φροντίζει γιὰ ξένα, ἐνῶ αὐτὸς γιὰ τὰ δικά του. «Καὶ τὴν ἐλπίδα γιὰ τὴν ὁποία καυχιόμαστε». Σωστὰ εἶπε «τὴν ἐλπίδα», ἐπειδὴ ὅλα τὰ ἀγαθὰ στηρίζονταν σὲ ἐλπίδες. Πρέπει ὅμως νὰ τὴν ἔχουμε τέτοια, ὥστε νὰ καυχιόμαστε σὰν γιὰ πράγματα ποὺ ἔχουν ἤδη γίνει. Γι' αὐτὸ λέγει, «τὴν ἐλπίδα γιὰ τὴν ὁποία καυχιόμαστε», καὶ προσθέτει, «νὰ τὴν κρατήσουμε σταθερὴ μέχρι τέλος», γιατὶ μὲ τὴν ἐλπίδα σωθήκαμε.

Ἀφοῦ λοιπὸν σωθήκαμε μὲ τὴν ἐλπίδα καὶ τὴν περιμένουμε μὲ ὑπομονή, ἂς μὴ στενοχωριόμαστε λοιπὸν γιὰ τὰ παρόντα οὔτε νὰ ζητοῦμε ἀπὸ τώρα τὰ μελλοντικὰ ἀγαθὰ ποὺ μᾶς ὑποσχέθηκε. Γιατὶ λέγει, «ἐλπίδα ποὺ τὴ βλέπει κανένας, δὲν εἶναι ἐλπίδα»[15]. Ἐπειδὴ τὰ ἀγαθὰ εἶναι μεγάλα, λέγει, δὲν μποροῦμε νὰ τὰ λάβουμε ἐδῶ στὴν πρόσκαιρη αὐτὴ ζωή. Γιὰ ποιό λόγο λοιπὸν τὰ προεῖπε αὐτὰ σ' ἐμᾶς, ἀφοῦ δὲν πρόκειται νὰ μᾶς τὰ δώσει ἐδῶ; Γιὰ νὰ τονώσει μὲ τὴν ἐπαγγελία τὶς ψυχές μας, γιὰ νὰ ἐνισχύσει μὲ τὴν ὑπόσχεση τὴν προθυμία μας, γιὰ νὰ ἐνθαρρύνει καὶ νὰ διεγείρει τὸ νοῦ μας. Γι' αὐτὸ δηλαδὴ ἔχουν γίνει ὅλα αὐτά.

4. Ἂς μὴν ἀνησυχοῦμε λοιπόν. Κανεὶς ἂς μὴν ἀνησυχεῖ ὅταν βλέπει τοὺς κακοὺς νὰ εὐημεροῦν. Δὲν εἶναι ἐδῶ ἡ ἀνταπόδοση οὔτε τῆς κακίας οὔτε τῆς ἀρετῆς. Καὶ ἂν κάπου γίνεται ἀνταπόδοση καὶ τῆς κακίας καὶ τῆς ἀρετῆς, δὲ γίνεται ὅμως δίκαια, ἀλλὰ ἁπλῶς, σὰν δοκιμαστικὴ κρίση, ὥστε καὶ αὐτοὶ ποὺ δυσπιστοῦν γιὰ τὴν ἀνάσταση ἔστω καὶ μ' αὐτὰ νὰ σωφρονίζονται ἐδῶ. Ὅταν λοιπὸν δοῦμε νὰ πλουτίζει ἕνας κακός, ἂς μὴν ἀπελπιζόμαστε· ὅταν δοῦμε νὰ ὑποφέρει ἕνας καλός, ἂς μὴν ἀνησυ-

καταπίπτωμεν· ὅταν ἴδωμεν ἀγαθὸν κακῶς πάσχοντα, μὴ θορυβώμεθα· ἐκεῖ γὰρ οἱ στέφανοι, ἐκεῖ καὶ αἱ κολάσεις. Καὶ ἄλλως δὲ οὐκ ἔστιν οὔτε τὸν κακὸν πάντῃ εἶναι κακόν, ἀλλ' ἔστιν τινὰ ἔχειν αὐτὸν καὶ ἀγαθά· οὔτε τὸν ἀγαθὸν πάντῃ εἶναι ἀγαθόν, ἀλλ'
5 *ἔχειν τινὰ καὶ ἁμαρτήματα.*

Ὅταν οὖν εὐπραγῇ ὁ πονηρός, ἴσθι ὅτι ἐπὶ κακῷ τῆς ἑαυτοῦ κεφαλῆς· ἵνα γὰρ ἐκείνων τῶν ὀλίγων ἀγαθῶν τὴν ἀντίδοσιν ἐνταῦθα λαβών, ἐκεῖ λοιπὸν τέλεον κολάζηται, τούτου χάριν ἐνταῦθα ἀπολαμβάνει. Καὶ μακάριος ἐκεῖνος μάλιστά ἐστιν ὁ ἐν-
10 *ταῦθα κολαζόμενος, ἵνα, πάντα ἀποθέμενος τὰ ἁμαρτήματα, εὐδόκιμος καὶ καθαρὸς ἀπίῃ καὶ ἀνεύθυνος. Καὶ τοῦτο διδάσκων ἡμᾶς ὁ Παῦλός φησι· «διὰ τοῦτο ἐν ὑμῖν πολλοὶ ἀσθενεῖς καὶ ἄρρωστοι, καὶ κοιμῶνται ἱκανοί»· καὶ πάλιν, «παράδοτε τὸν τοιοῦτον τῷ σατανᾷ εἰς ὄλεθρον τῆς σαρκός, ἵνα τὸ πνεῦμα σωθῇ ἐν*
15 *τῇ ἡμέρᾳ ἐκείνῃ». Καὶ ὁ προφήτης φησίν, ὅτι «ἐδέξατο ἐκ χειρὸς Κυρίου διπλᾶ τὰ ἁμαρτήματα»· καὶ πάλιν ὁ Δαυίδ, «ἴδε τοὺς ἐχθρούς μου, ὅτι ἐπληνθύνθησαν ὑπὲρ τὰς τρίχας τῆς κεφαλῆς μου, καὶ μῖσος ἄδικον ἐμίσησάν με, καὶ ἄφες πάσας τὰς ἁμαρτίας μου»· καὶ πάλιν ἕτερος, «Κύριε ὁ Θεὸς ἡμῶν, εἰρήνην δὸς ἡμῖν·*
20 *πάντα γὰρ ἀπέδωκας ἡμῖν».*

Ἀλλὰ ταῦτα μὲν δεικνύντος ἐστὶ τοὺς καλοὺς τὰς ὑπὲρ τῶν ἁμαρτημάτων δίκας ἐνταῦθα ἀπολαμβάνοντας· ποῦ δὲ τὰ ἀγαθὰ οἱ πονηροὶ ἀπολαμβάνοντες ἐνταῦθα, ἐκεῖ τέλεον κολάζονται; Ἄκουε τοῦ Ἀβραὰμ λέγοντος πρὸς τὸν πλούσιον· «ἀπέλαβες τὰ
25 *ἀγαθά σου ἐν τῇ ζωῇ σου, καὶ Λάζαρος ὁμοίως τὰ κακά». Ποῖα ἀγαθά; Ἐνταῦθα γὰρ τό, «ἀπέλαβες», ἀλλὰ μή, ἔλαβες, εἰπών, δείκνυσι κατὰ ὀφειλὴν ἑκατέρους παθόντας, καὶ τὸν μὲν ἐν εὐπραγίᾳ, τὸν δὲ ἐν δυσπραγίᾳ γενόμενον· καί φησι, διὰ τοῦτο «οὗτος ἐνταῦθα παρακαλεῖται»· ὁρᾷς γὰρ αὐτὸν καθαρὸν ἁμαρτημά-*
30 *των· «καὶ σὺ ὀδυνᾶσαι». Μὴ τοίνυν ἀλύωμεν, ὅταν εὐπαθοῦντας*

---

16. Α' Κορ. 11,30. 17. Α' Κορ. 5,5.
18. Ἡσ. 40,2. 19. Ψαλμ. 24,19.18.

χοῦμε. Γιατὶ ἐκεῖ εἶναι τὰ βραβεῖα, ἐκεῖ καὶ οἱ τιμωρίες. Ἄλλωστε δὲν εἶναι δυνατὸ οὔτε ὁ κακὸς νὰ εἶναι ἐντελῶς κακός, ἀλλὰ μπορεῖ νὰ ἔχει καὶ κάποια καλά· οὔτε ὁ καλὸς μπορεῖ νὰ εἶναι ἐντελῶς καλός, ἀλλὰ μπορεῖ νὰ ἔχει καὶ μερικὰ ἁμαρτήματα.

Ὅταν λοιπὸν εὐημερεῖ ὁ κακός, νὰ ξέρεις ὅτι εὐημερεῖ γιὰ κακὸ τοῦ κεφαλιοῦ του· γιατὶ αὐτός, ἀφοῦ ἔλαβε ἐδῶ τὴν ἀνταπόδοση γιὰ τὰ λίγα ἐκεῖνα καλά του, τὰ ἀπολαμβάνει αὐτὰ ἐδῶ, γιὰ νὰ τιμωρεῖται ἔπειτα ὁριστικὰ ἐκεῖ. Καὶ εἶναι μακάριος πρὸ πάντων ἐκεῖνος ποὺ τιμωρεῖται ἐδῶ, ὥστε, ἀφήνοντας ὅλα τὰ ἁμαρτήματα, φεύγει ἀπὸ τὴ ζωὴ αὐτὴ εὐδόκιμος, καθαρὸς καὶ ἀθῶος. Αὐτὸ διδάσκοντας σὲ μᾶς ὁ Παῦλος λέγει· «γι' αὐτὸ ὑπάρχουν ἀνάμεσά σας πολλοὶ ἀσθενεῖς καὶ ἄρρωστοι, καὶ ἀρκετοὶ ἔχουν πεθάνει»[16]· καὶ πάλι, «παραδῶστε αὐτὸν τὸν ἄνθρωπο στὸ σατανᾶ γιὰ τὸ σωματικό του ἀφανισμό, γιὰ νὰ σωθεῖ τὸ πνεῦμα του τὴν ἡμέρα ἐκείνη»[17]. Καὶ ὁ προφήτης λέγει· «δέχθηκε ἀπὸ τὸ χέρι τοῦ Κυρίου ἀρκετὴ τιμωρία γιὰ τὰ ἁμαρτήματά του»[18]. Ἐπίσης ὁ Δαβὶδ λέγει· «κοίταξε τοὺς ἐχθρούς μου, γιατὶ ἔγιναν περισσότεροι ἀπὸ τὶς τρίχες τῆς κεφαλῆς μου. Μὲ μίσησαν ἄδικα, καὶ συγχώρησε ὅλες τὶς ἁμαρτίες μου»[19]. Καὶ πάλι ἄλλος λέγει· «Κύριε, ὁ Θεός μας, δῶσε σὲ μᾶς εἰρήνη, γιατὶ ὅλα τὰ ἄλλα μᾶς τὰ ἔχεις δώσει»[20].

Αὐτὰ ὅμως εἶναι ἀπόδειξη ὅτι οἱ καλοὶ ἀπολαμβάνουν ἐδῶ τὶς τιμωρίες γιὰ τὰ ἁμαρτήματά τους. Ἀλλὰ ποῦ οἱ κακοί, ποὺ ἀπολαμβάνουν ἐδῶ τὰ ἀγαθά, τιμωροῦνται ὁριστικὰ ἐκεῖ; Ἄκου τὸν Ἀβραὰμ ποὺ λέγει στὸν πλούσιο· «ἀπόλαυσες τὰ ἀγαθὰ στὴ ζωή σου, ὅπως καὶ ὁ Λάζαρος τὰ κακά»[21]. Ποιά ἀγαθά; Γιατὶ ἐδῶ λέγοντας τὸ «ἀπόλαυσες» καὶ ὄχι τὸ «ἔλαβες», δείχνει ὅτι καὶ οἱ δύο ἔπαθαν ἐκεῖνα ποὺ τοὺς ὀφείλονταν, ἐπειδὴ ὁ ἕνας ἔζησε σὲ εὐτυχία καὶ ὁ ἄλλος σὲ δυστυχία. Καὶ λέγει γι' αὐτὸ «τώρα αὐτὸς παρηγορεῖται» (γιατὶ τὸν βλέπεις καθαρὸ ἀπὸ ἁμαρτήματα), «καὶ σὺ ὑποφέρεις». Ἂς μὴ στενοχωριόμαστε λοιπόν, ὅταν βλέπουμε ὅτι εὐεργετοῦνται ἐδῶ οἱ ἁμαρτωλοί, ἀλλὰ ἂς χαιρόμαστε ὅταν ὑποφέρουμε ἐμεῖς οἱ ἴδιοι, γιατὶ αὐτὸ

---

20. Ἠσ. 26,12. 21. Λουκᾶ 16,25.

ὁρῶμεν ἐνταῦθα τοὺς ἁμαρτωλούς, ἀλλ' ὅταν κακῶς πάσχωμεν αὐτοί, χαίρωμεν· ἁμαρτιῶν γάρ ἐστι τὸ πρᾶγμα ἔκτισις· μὴ ζητῶμεν ἄνεσιν· θλῖψιν γὰρ ἐπηγγείλατο τοῖς αὐτοῦ μαθηταῖς ὁ Χριστός· καί φησιν ὁ Παῦλος, «πάντες οἱ θέλοντες ζῆν εὐσεβῶς 5 ἐν Χριστῷ Ἰησοῦ, διωχθήσονται».

Οὐδεὶς γενναῖος ἀθλητὴς ἐν τῷ σκάμματι λουτρὰ ἐπιζητεῖ, καὶ τράπεζαν πλήθουσαν σιτίοις καὶ οἴνῳ· τοῦτο οὐκ ἔστιν ἀθλητοῦ, ἀλλὰ βλακός· ὁ γὰρ ἀθλητὴς μάχεται κόνει, ἐλαίῳ, ἀκτῖνος θερμότητι, ἱδρῶτι πολλῷ, θλίψει καὶ στενοχωρίᾳ ἀγῶ- 10 νος. Οὗτός ἐστιν καὶ τοῦ πυκτεύειν ὁ καιρός· οὐκοῦν καὶ τοῦ τραύματα λαμβάνειν καὶ αἱμάττεσθαι καὶ ἀλγεῖν. Ἄκουσον τί φησιν ὁ μακάριος Παῦλος· «οὕτω πυκτεύω ὡς οὐκ ἀέρα δέρων». Πάντα τὸν βίον ἐναγώνιον εἶναι νομίσωμεν, καὶ οὐδέποτε ἀνάπαυσιν ζητήσομεν, οὐδέποτε θλιβόμενοι ξενοπαθήσομεν· εἴ- 15 περ μηδὲ πύκτης, ὅτε ἐν ἀγῶνί ἐστι, ξενοπαθεῖ. Ἕτερός ἐστιν ὁ τῆς ἀνέσεως καιρός· διὰ θλίψεως ἡμᾶς τελειωθῆναι δεῖ. Εἰ καὶ μὴ διωγμός ἐστι μηδὲ θλῖψις, ἀλλ' εἰσὶν ἕτεραι θλίψεις, αἱ καθ' ἑκάστην ἡμέραν ἡμῖν συμπίπτουσαι· εἰ δὲ ταύτας οὐ φέρομεν, σχολῇ γε ἐκείνας ἐνέγκοιμεν ἄν. «Πειρασμὸς ὑμᾶς οὐκ εἴληφε», 20 φησίν, «εἰ μὴ ἀνθρώπινος».

Εὐχώμεθα μὲν οὖν τῷ Θεῷ μὴ εἰσελθεῖν εἰς πειρασμόν· εἰσελθόντες δέ, φέρωμεν γενναίως. Ἐκεῖνο μὲν γὰρ σωφρόνων ἀνδρῶν, τὸ μὴ κινδύνοις ἐπιρρίπτειν ἑαυτούς· τοῦτο δε γενναίων καὶ φιλοσόφων, τὸ ἵστασθαι ἐμπεσόντας. Μήτε οὖν ἐπιρρίπτω- 25 μεν ἑαυτοὺς ἁπλῶς· θρασύτητος γάρ· μήτε ἀγόμενοι καὶ τῶν πραγμάτων καλούντων, ἐνδιδῶμεν· δειλίας γάρ· ἀλλ' ἐὰν μὲν τὸ κήρυγμα καλῇ, μὴ παραιτώμεθα· ἁπλῶς δέ, αἰτίας μὴ οὔσης, μήτε χρείας, μήτε ἀνάγκης τῆς κατὰ θεοσέβειαν καλούσης, μὴ ἐπιτρέχωμεν· ἐπίδειξις γάρ ἐστι τὸ πρᾶγμα καὶ φιλοτιμία περιτ- 30 τή. Ἐὰν δέ τι τῶν τὴν εὐσέβειαν παραβλαπτόντων γίνηται, κἂν

22. Β' Τιμ. 3,12.
23. Α' Κορ. 9,26.
24. Α' Κορ. 10,13.

τὸ πρᾶγμα εἶναι πληρωμὴ γιὰ τὰ ἁμαρτήματά μας. Ἂς μὴν ἐπιζητοῦμε τὴν ἄνεση, γιατὶ ὁ Χριστὸς ὑποσχέθηκε θλίψη στοὺς μαθητές του. Ἀκόμη καὶ ὁ Παῦλος λέγει· «ὅλοι ὅσοι θέλουν νὰ ζοῦν μὲ εὐσέβεια, σύμφωνα μὲ τὸ θέλημα τοῦ Ἰησοῦ Χριστοῦ, θὰ διωχθοῦν»[22].

Κανεὶς γενναῖος ἀθλητὴς στοὺς ἀγῶνες δὲ ζητάει λουτρὰ καὶ τραπέζι γεμάτο φαγητὰ καὶ κρασί. Αὐτὸ δὲν εἶναι γνώρισμα ἀθλητῆ, ἀλλ' ἀνθρώπου ἀνόητου. Γιατὶ ὁ ἀθλητὴς μάχεται μὲ σκόνη, μὲ λάδι, μὲ τὴ ζέστη τοῦ ἥλιου, μὲ ἱδρώτα πολύ, μὲ θλίψη καὶ μὲ τὴ στενοχώρια τοῦ ἀγώνα. Αὐτὸς εἶναι ὁ καιρὸς καὶ νὰ πυγμαχοῦμε, καὶ ἀσφαλῶς καὶ νὰ τραυματιζόμαστε καὶ νὰ χάνουμε αἷμα καὶ νὰ θλιβόμαστε. Ἄκουσε τί λέγει ὁ μακάριος Παῦλος· «ἔτσι πυγμαχῶ, ὄχι σὰν νὰ δίνω γροθιὲς στὸν ἀέρα»[23]. Ἂς θεωρήσουμε ὅτι ὅλη ἡ ζωή μας εἶναι γεμάτη ἀγῶνες, καὶ ποτὲ δὲ θὰ ζητήσουμε ἀνάπαυση, ποτὲ δὲ θὰ αἰφνιδιαστοῦμε στὶς θλίψεις μας· ἔτσι καὶ ὁ πυγμάχος ὅταν ἀγωνίζεται δὲν αἰφνιδιάζεται. Ἄλλος εἶναι ὁ καιρὸς τῆς ἄνεσης. Πρέπει μέσω τῆς θλίψης νὰ γίνουμε τέλειοι. Ἂν καὶ δὲν ὑπάρχει διωγμὸς οὔτε θλίψη, ὑπάρχουν ὅμως ἄλλες θλίψεις ποὺ μᾶς συμβαίνουν κάθε ἡμέρα. Ἂν λοιπὸν δὲν τὶς ὑποφέρουμε αὐτές, πολὺ λιγότερο θὰ ἀντέξουμε ἐκεῖνες. «Ὁ πειρασμὸς ποὺ ἀντιμετωπίσατε», λέγει, «δὲν ἦταν μεγαλύτερος, παρὰ στὰ ἀνθρώπινα μέτρα»[24].

Ἂς προσευχόμαστε λοιπὸν στὸ Θεὸ νὰ μὴν πέσουμε σὲ πειρασμό· ὅταν ὅμως πέσουμε, ἂς τὸν ὑποφέρουμε μὲ γενναιότητα. Γιατὶ γνώρισμα τῶν συνετῶν ἀνθρώπων εἶναι τὸ νὰ μὴ ρίχνουν τὸν ἑαυτό τους σὲ κινδύνους, ἐνῶ τῶν γενναίων καὶ φιλοσόφων τὸ νὰ σηκώνονται ὄρθιοι ὅταν πέσουν. Οὔτε λοιπὸν νὰ πέφτουμε ἀλόγιστα (γιατὶ αὐτὸ εἶναι γνώρισμα θρασύτητας), οὔτε νὰ ὑποχωροῦμε ὅταν συρόμαστε καὶ μᾶς ἀναγκάζουν τὰ πράγματα (γιατὶ αὐτὸ εἶναι ἀπόδειξη δειλίας), ἀλλὰ ἂν μᾶς καλεῖ τὸ κήρυγμα, νὰ μὴν ἀρνούμαστε. Γενικὰ ὅμως ἂν δὲν ὑπάρχει αἰτία, οὔτε λόγος, οὔτε ἀνάγκη ποὺ νὰ μᾶς καλεῖ σὲ εὐσέβεια πρὸς τὸ Θεό, ἂς μὴν τρέχουμε· γιατὶ τὸ πρᾶγμα εἶναι ἐπίδειξη καὶ περιττὴ φιλοτιμία. Ἂν ὅμως συμβαίνει κάτι ἀπ' αὐτὰ ποὺ βλάπτουν τὴν εὐσέβεια, καὶ ἂν ἀκόμη πρέπει νὰ ὑποστοῦμε ἄπειρους

μυρίους ὑποστῆναι δέῃ θανάτους, μηδὲν παραιτώμεθα. Μὴ προσκαλοῦ τοὺς πειρασμούς, ὅταν σοι τὰ κατὰ τὴν εὐσέβειαν προχωρῇ ὡς ποθεῖς· τί περιττοὺς ἐπισπᾶσαι κινδύνους οὐδὲν κέρδος ἔχοντας;

5 5. *Ταῦτα λέγω βουλόμενος ὑμᾶς φυλάττειν τοὺς νόμους τοῦ Χριστοῦ κελεύοντος εὔχεσθαι μὴ εἰσελθεῖν εἰς πειρασμόν, καὶ κελεύοντος πάλιν τὸν σταυρὸν λαβόντας ἀκολουθεῖν αὐτῷ. Ταῦτα μὲν γὰρ οὐκ ἔστιν ἐναντία, ἀλλὰ καὶ σφόδρα συνᾴδοντα. Σὺ μὲν οὖν οὕτω παρεσκευάσο ὡς στρατιώτης γενναῖος, ἐν τοῖς 10 ὅπλοις ἔσο διηνεκῶς, νήφων, ἐγρηγορώς, ἀεὶ τὸν πολέμιον προσδοκῶν· πολέμους μέντοι μὴ τίκτε· τοῦτο γὰρ οὐκ ἔστι στρατιώτου, ἀλλὰ στασιαστοῦ. Ἐὰν δὲ ἡ τῆς εὐσεβείας σάλπιγξ καλῇ, εὐθέως ἔξιθι, καὶ καταφρόνησον τῆς ψυχῆς, καὶ ἔμβηθι μετὰ πολλῆς τῆς προθυμίας εἰς τοὺς ἀγῶνας, ῥῆξον τὴν φάλαγγα 15 τῶν ἐναντίων, σύγκοψον τὸ πρόσωπον τοῦ διαβόλου, στῆσον τὸ τρόπαιον· ἐὰν δὲ μηδὲν ἡ εὐσέβεια παραβλάπτηται, μηδὲ πορθῇ τις τὰ ἡμέτερα δόγματα, τὰ κατὰ τὴν ψυχὴν λέγω, μηδὲ ἀναγκάζῃ τι ποιεῖν τῶν μὴ δοκούντων τῷ Θεῷ, μὴ περιττὸς ἔσο.*

Αἱμάτων, οὐκ ἐν τῷ τὰ ἀλλότρια ἐκχεῖν, ἀλλ' ἐν τῷ ἕτοι- 20 μον εἶναι τὸ ἑαυτοῦ ἐκχεῖν. Μετὰ τοσαύτης τοίνυν προθυμίας τὸ ἴδιον αἷμα ἐκχέωμεν, ὅταν ὑπὲρ τοῦ Χριστοῦ τοῦτο ᾖ, μεθ' ὅσης ἂν ὕδωρ τις ἐκχέοι (καὶ γὰρ ὕδωρ ἐστὶ τὸ αἷμα περιρρέον τὸ σῶμα)· καὶ μετὰ τοσαύτης εὐκολίας τὴν σάρκα ἀποδυώμεθα, μεθ' ὅσης ἂν καὶ τὸ ἱμάτιον. Τοῦτο δὲ ἔσται, ἐὰν μὴ χρήμασιν 25 ὦμεν προσδεδεμένοι, ἂν μὴ οἰκίαις, ἂν μὴ προσπαθείᾳ τῶν παρόντων ὦμεν ἀπηρτημένοι. Εἰ γὰρ οἱ τὸν στρατιωτικὸν τοῦτον βίον ζῶντες πᾶσιν ἀποτάσσονται, καὶ ἔνθα ἂν ὁ πόλεμος καλῇ, ἐκεῖ παραγίνονται καὶ ὁδοιποροῦσι καὶ πάντα μετὰ προθυμίας ὑπομένουσι, πολλῷ μεῖζον ἡμᾶς τοὺς τοῦ Χριστοῦ στρατιώτας 30 οὕτω παρασκευάζεσθαι χρὴ καὶ παρατάττεσθαι πρὸς τὸν πόλεμον τῶν παθῶν. Οὐκ ἔστι διωγμὸς νῦν, μηδὲ γένοιτο γενέσθαι

θανάσιμους κινδύνους, ἂς μὴν ἀρνούμαστε καθόλου. Μὴν προσκαλεῖς τοὺς πειρασμούς, ὅταν ἡ εὐσέβειά σου προχωρεῖ ὅπως ἐπιθυμεῖς. Γιατί προσελκύεις κινδύνους ποὺ δὲν ἔχουν κανένα κέρδος;

5. Τὰ λέγω αὐτὰ γιατὶ θέλω νὰ τηρεῖτε τὶς ἐντολὲς τοῦ Χριστοῦ, ποὺ προστάζει νὰ προσευχόμαστε νὰ μὴν πέσουμε σὲ πειρασμό, καθὼς καὶ νὰ τὸν ἀκολουθοῦμε σηκώνοντας τὸ σταυρό. Γιατὶ αὐτὰ δὲν εἶναι ἀντίθετα, ἀλλὰ καὶ πάρα πολὺ σύμφωνα μεταξύ τους. Ἐσὺ λοιπὸν νὰ ἑτοιμασθεῖς, ἔτσι σὰν γενναῖος στρατιώτης, νὰ εἶσαι συνέχεια ὁπλισμένος, νηφάλιος, ξυπνητός, περιμένοντας πάντοτε τὸν ἐχθρό. Νὰ μὴν προκαλεῖς ὅμως πολέμους, γιατὶ αὐτὸ δὲν εἶναι γνώρισμα στρατιώτη, ἀλλὰ στασιαστῆ. Ἂν ὅμως σὲ καλεῖ ἡ σάλπιγγα τῆς εὐσέβειας, ἐκστράτευσε ἀμέσως, περιφρόνησε τὴ ζωή, ὅρμησε μὲ πολλὴ προθυμία στοὺς ἀγῶνες, σπάσε τὴ φάλαγγα τῶν ἐχθρῶν, κόψε τὸ πρόσωπο τοῦ διαβόλου, στῆσε τὸ τρόπαιο. Ἀλλὰ ἂν δὲ βλάπτεται καθόλου ἡ εὐσέβεια, ἂν δὲ πολεμάει κανεὶς τὰ δικά μας δόγματα, δηλαδὴ αὐτὰ ποὺ ἁρμόζουν στὴν ψυχή, ἂν δὲν σὲ ἀναγκάζει νὰ κάνεις κάτι ἀπ' αὐτὰ ποὺ δὲν ἀρέσουν στὸ Θεό, μὴν κάνεις περιττὸ κόπο.

Ἡ ζωὴ τοῦ Χριστιανοῦ πρέπει νὰ εἶναι γεμάτη ἀπὸ αἵματα, ἀπὸ αἵματα, ὄχι βέβαια μὲ τὸ νὰ χύνει τὰ ξένα, ἀλλὰ μὲ τὸ νὰ εἶναι ἕτοιμος νὰ χύνει τὸ δικό του. Ἂς χύνουμε λοιπὸν τὸ αἷμα μας, ὅταν αὐτὸ εἶναι γιὰ χάρη τοῦ Χριστοῦ, μὲ τόση μεγάλη προθυμία, μὲ ὅση θὰ μποροῦσε νὰ χύνει κανεὶς τὸ νερὸ (γιατὶ στὴν πραγματικότητα τὸ αἷμα εἶναι νερὸ ποὺ περιρρέει τὸ σῶμα)· καὶ ἂς ἀποβάλλουμε τὴ σάρκα μας μὲ τόσο μεγάλη εὐκολία, μὲ ὅση θ' ἀποβάλλαμε καὶ τὸ ἱμάτιό μας. Καὶ αὐτὸ θὰ συμβεῖ ἂν δὲν εἴμαστε δεμένοι μὲ τὰ χρήματα καὶ μὲ τὰ σπίτια, ἂν δὲν εἴμαστε μὲ πάθος προσκολλημένοι στὰ παρόντα. Ἂν δηλαδὴ οἱ στρατιωτικοὶ ἀπαρνοῦνται τὰ πάντα καὶ ὅπου θὰ τοὺς καλέσει ὁ πόλεμος ἐκεῖ πηγαίνουν καὶ βαδίζουν καὶ ὑπομένουν μὲ προθυμία τὰ πάντα, πολὺ περισσότερο πρέπει νὰ ἑτοιμαζόμαστε ἔτσι ἐμεῖς, οἱ στρατιῶτες τοῦ Χριστοῦ, καὶ νὰ παρατασσόμαστε γιὰ πόλεμο τῶν παθῶν. Δὲν ὑπάρχει διωγμὸς τώρα, καὶ εἴθε νὰ μὴ γίνει ποτέ.

ποτέ· ἀλλ' ἕτερος πόλεμός ἐστιν, ὁ τῆς τῶν χρημάτων ἐπιθυμίας, ὁ τῆς βασκανίας, ὁ τῶν ἄλλων παθῶν.

Τοῦτον τὸν πόλεμον διηγούμενος ὁ Παῦλός φησιν· «οὐκ ἔστιν ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα». Ἀεὶ οὗτος ὁ πόλεμος 5 *ἐνέστηκε. Διὰ τοῦτο ἀεὶ ὡπλισμένους ἡμᾶς ἑστάναι βούλεται. «Στῆτε οὖν», φησί, «περιζωσάμενοι»· ὅπερ καὶ αὐτὸ ἐνεστῶτός ἐστι καιροῦ· καὶ ἐνέφηνεν, ὅτι ἀεὶ δεῖ ὁπλίζεσθαι. Πολὺς γὰρ ὁ πόλεμος διὰ γλώσσης, πολὺς δι' ὀφθαλμῶν· τοῦτον τοίνυν κατέχωμεν· πολὺς ὁ τῶν ἐπιθυμιῶν. Διὰ τοῦτο ἐκεῖθεν ἄρχεται καθο-* 10 *πλίζειν τὸν στρατιώτην τοῦ Χριστοῦ· «στῆτε γάρ», φησί, «περιζωσάμενοι τὴν ὀσφὺν ὑμῶν»· καὶ ἐπήγαγεν, «ἐν ἀληθείᾳ». Διὰ τί, «ἐν ἀληθείᾳ»; Ἐμπαιγμὸς γάρ ἐστι καὶ ψεῦδος ἡ ἐπιθυμία, ὥς που καὶ ὁ Δαυὶδ ἔφη, «αἱ ψύαι μου ἐπλήσθησαν ἐμπαιγμάτων». Οὐκ ἔστιν ἡδονὴ τὸ πρᾶγμα, ἀλλὰ σκιὰ ἡδονῆς. Διὰ τοῦτο «περι-* 15 *ζωσάμενοι», φησί, «τὴν ὀσφὺν ὑμῶν ἐν ἀληθείᾳ»· τουτέστιν, τῇ ἀληθινῇ ἡδονῇ, τῇ σωφροσύνῃ, τῇ κοσμιότητι. Διὰ ταῦτα δὲ παραινεῖ, εἰδὼς τῆς ἁμαρτίας τὴν ἀτοπίαν, καὶ βουλόμενος ἡμῶν τὰ μέλη πάντα περιπεφράχθαι· «θυμὸς γάρ», φησίν, «ἄδικος οὐκ ἀθωωθήσεται»· καὶ θώρακα ἡμᾶς περικεῖσθαι βούλεται καὶ* 20 *ἀσπίδα. Θηρίον γάρ ἐστιν εὐκόλως ἐπιπηδῶν ὁ θυμός, καὶ μυρίων θριγκίων καὶ διαφραγμάτων ἡμῖν δεῖ πρὸς τὸ περιγενέσθαι καὶ κατασχεῖν. Καὶ διὰ τοῦτο μάλιστα ἡμῖν τοῦτο τὸ μέρος, ὥσπερ ἔκ τινων λίθων, τῶν ὀστέων ᾠκοδόμησεν ὁ Θεός, ἔρεισμα αὐτῷ περιθεὶς ταῦτα, ὥστε μὴ διαρρῆξαν ποτέ, μηδὲ διατε-* 25 *μὸν εὐκόλως τὸ πᾶν λυμήνασθαι ζῶον. Πῦρ γάρ ἐστι, φησί, καὶ ζάλη μεγάλη, καὶ οὐκ ἂν ἕτερον μέλος ταύτην τὴν βίαν ἀνάσχοιτο. Λέγουσι δὲ καὶ ἰατρῶν παῖδες τούτου χάριν ὑπεστορῆσθαι τὸν πνεύμονα τῇ καρδίᾳ, ὥστε εἰς ἁπαλὸν αὐτὴν οὖσαν καθάπερ εἴς τινα σπόγγον ἐναλλομένην, διαναπαύεσθαι τὴν καρδίαν, ἀλλὰ*

25. Ἐφ. 6,12.
26. Ἐφ. 6,14.
27. Ψαλμ. 37,8· τὰ νεφρὰ μὲ μεταφορικὴ ἔννοια· ἐδῶ σημαίνουν τὴν ἕδρα τῶν ἐπιθυμιῶν ἢ τῶν διαθέσεων.
28. Σοφ. Σειρ. 1,22.

Ὑπάρχει ὅμως ἄλλος πόλεμος, ὁ πόλεμος τῆς ἐπιθυμίας τῶν χρημάτων, ὁ πόλεμος τοῦ φθόνου, ὁ πόλεμος τῶν παθῶν.

Αὐτὸν τὸν πόλεμο περιγράφοντας ὁ Παῦλος λέγει, «δὲν ἔχουμε πόλεμο πρὸς αἷμα καὶ σάρκα»[25]. Πάντοτε ὑπάρχει αὐτὸς ὁ πόλεμος. Γι' αὐτὸ θέλει νὰ στεκόμαστε πάντοτε ὁπλισμένοι. «Σταθεῖτε λοιπὸν ὄρθιοι», λέγει, «καὶ ζωσθεῖτε»[26], πράγμα ποὺ καὶ αὐτὸ ἀνήκει στὴν παρούσα ζωή, καὶ ἔδειξε ὅτι πάντοτε πρέπει νὰ ὁπλιζόμαστε. Γιατὶ εἶναι μεγάλος ὁ πόλεμος ποὺ διεξάγεται μὲ τὴ γλώσσα, μεγάλος αὐτὸς ποὺ γίνεται μὲ τὰ μάτια. Αὐτὸν λοιπὸν τὸν πόλεμο ἂς ἐμποδίζουμε. Εἶναι μεγάλος ὁ πόλεμος τῶν ἐπιθυμιῶν. Γι' αὐτὸ ἀπὸ ἐκεῖ ἀρχίζει νὰ ὁπλίζει τὸ στρατιώτη τοῦ Χριστοῦ. «Σταθεῖτε λοιπὸν ὄρθιοι», λέγει, «καὶ ζῶστε τὴ μέση σας»· καὶ πρόσθεσε, «μὲ τὴν ἀλήθεια». Γιὰ ποιό λόγο «μὲ τὴν ἀλήθεια»; Γιατὶ ἡ ἐπιθυμία εἶναι ἐμπαιγμὸς καὶ ψέμα, ὅπως καὶ ὁ Δαβὶδ κάπου εἶπε, «τὰ νεφρά μου γέμισαν ἀπὸ ἐμπαιγμούς»[27]. Δὲν εἶναι αὐτὸ τὸ πράγμα ἡδονή, ἀλλὰ σκιὰ ἡδονῆς. Γι' αὐτὸ λέγει, «νά, ζῶστε τὴ μέση σας μὲ τὴν ἀλήθεια»· δηλαδή, μὲ τὴν ἀληθινὴ ἡδονή, τὴ σωφροσύνη, τὴν εὐπρέπεια. Γι' αὐτὸ συμβουλεύει, ἐπειδὴ γνωρίζει τὸν παραλογισμὸ τῆς ἁμαρτίας καὶ ἤθελε νὰ εἶναι προφυλαγμένα ὅλα τὰ μέλη μας. Γιατὶ λέγει, «ὁ ἄδικος θυμὸς δὲ θὰ δικαιωθεῖ»[28]. Θέλει ἀκόμη νὰ φορέσουμε θώρακα καὶ ἀσπίδα. Γιατὶ ὁ θυμὸς εἶναι θηρίο ποὺ ὁρμάει εὔκολα καὶ γιὰ νὰ τὸ νικήσουμε καὶ νὰ τὸ συγκρατήσουμε μᾶς χρειάζονται ἄπειρα περιφράγματα καὶ διαχωρίσματα. Καὶ γι' αὐτὸν κυρίως τὸ λόγο αὐτὸ τὸ μέρος ὁ Θεὸς μᾶς τὸ ἔκτισε ἀπὸ τὰ ὀστά, σὰν ἀπὸ κάποιες πέτρες, τοποθετώντας αὐτὰ γύρω του σὰν στήριγμα, ὥστε νὰ μὴν καταστρέψει εὔκολα ὁλόκληρο τὸν ἄνθρωπο ὅταν τὰ σπάσει κάποτε καὶ τὰ κόψει. Γιατὶ εἶναι φωτιά, λέγει, καὶ ζάλη μεγάλη, καὶ ἄλλο μέλος δὲ θὰ μποροῦσε ν' ἀντέξει αὐτὴ τὴ βία. Ἀκόμη καὶ οἱ γιατροὶ λέγουν ὅτι γι' αὐτὸν τὸ λόγο ἔχουν στρωθεῖ οἱ πνεύμονες κάτω ἀπὸ τὴν καρδιά, ὥστε αὐτή, βρισκόμενη ἐπάνω στὰ μαλακὰ καὶ ἀναπηδώντας σὰν σὲ κάποιο σπόγγο, νὰ ξεκουράζεται καὶ νὰ μὴν καταστρέφεται μὲ

μὴ εἰς τὸ ἀντίτυπον καὶ σκληρὸν τὸ στέρνον, καταβλάπτεσθαι τῇ πυκνότητι τῶν ἁλμάτων· δεῖ τοίνυν ἡμῖν θώρακος ἰσχυροῦ, ὥστε διαπαντὸς ἐν ἡσυχίᾳ τοῦτο τὸ θηρίον διατηρεῖν· δεῖ δὲ ἡμῖν καὶ περικεφαλαίας.

Ἐπειδὴ γὰρ ἐκεῖ τὸ λογιστικὸν τυγχάνει, καὶ ἀπὸ τούτου ἢ 5 σωθῆναι δυνατόν, ἐὰν τὰ δέοντα γίγνωνται, ἢ ἀπολέσθαι ἔνι, εἰ τὰ μὴ δέοντα· διὰ τοῦτό φησι, «καὶ τὴν περικεφαλαίαν σωτηρίου». Ὁ γὰρ ἐγκέφαλος φύσει μέν ἐστιν ἁπαλός· διὸ καὶ αὐτός, καθάπερ τινὶ ὀστράκῳ, τῷ βρέγματι καλύπτεται ἄνωθεν. Πάντων δὲ ἡμῖν αἴτιος γίνεται τῶν ἀγαθῶν καὶ τῶν κακῶν, εἴτε 10 τὰ δέοντα γνούς, εἴτε τὰ μὴ τοιαῦτα. Καὶ οἱ πόδες δὲ καὶ αἱ χεῖρες ὅπλων ἡμῖν δέονται· οὐχ αὗται αἱ χεῖρες οὐδὲ οὗτοι οἱ πόδες, ἀλλὰ πάλιν οἱ τῆς ψυχῆς· αἱ μὲν μελετῶσαι τὰ δέοντα, οἱ δὲ ἵνα πορεύωνται, ἔνθα χρή.

Καθοπλίσωμεν τοίνυν ἑαυτοὺς οὕτω, καὶ δυνησόμεθα πε- 15 ριγενέσθαι τῶν πολεμίων, καὶ τὸν στέφανον τῆς νίκης ἀναδήσασθαι, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, μεθ' οὗ τῷ Πατρί, ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

τὰ συχνά της ἅλματα στὸ σκληρὸ στέρνο ἐπάνω στὸ ὁποῖο θὰ κτυποῦσε. Μᾶς χρειάζεται λοιπὸν ἰσχυρὸς θώρακας, ὥστε νὰ κρατάει πάντοτε ἥσυχο αὐτὸ τὸ θηρίο. Μᾶς χρειάζεται ὅμως καὶ περικεφαλαία.

Ἐπειδὴ λοιπὸν ἐκεῖ βρίσκεται τὸ λογικὸ καὶ ἀπ' αὐτὸ ἐξαρτᾶται ἢ νὰ σωθοῦμε, ἂν κάνουμε αὐτὰ ποὺ πρέπει, ἢ νὰ χαθοῦμε, ἂν κάνουμε ἐκεῖνα ποὺ δὲν πρέπει, γι' αὐτὸ λέγει· «καὶ τὴν περικεφαλαία τῆς σωτηρίας»[29]. Γιατὶ ὁ ἐγκέφαλος εἶναι ἀπὸ τὴ φύση του μαλακός, καὶ γι' αὐτὸ καλύπτεται ἀπὸ τὸ ἐπάνω μέρος, σὰν ἀπὸ κάποιο ὄστρακο, ἀπὸ τὰ βρεγματικὰ ὀστά. Αὐτὸς εἶναι ὑπεύθυνος γιὰ τὰ καλὰ καὶ γιὰ τὰ κακά, εἴτε γνώρισε τὰ πρέποντα εἴτε τὰ ἀντίθετα. Ὅμως καὶ τὰ πόδια καὶ τὰ χέρια μας χρειάζονται ὅπλα. Ὄχι βέβαια τὰ σωματικὰ χέρια καὶ αὐτὰ τὰ πόδια, ἀλλὰ πάλι τῆς ψυχῆς· τὰ χέρια γιὰ νὰ κάμνουν ἐκεῖνα ποὺ πρέπει καὶ τὰ πόδια γιὰ νὰ πηγαίνουν ἐκεῖ ποὺ πρέπει.

Ἂς ὁπλίσουμε λοιπὸν ἔτσι τοὺς ἑαυτούς μας, καὶ θὰ μπορέσουμε νὰ νικήσουμε τοὺς ἐχθροὺς καὶ νὰ φορέσουμε τὸ στεφάνι τῆς νίκης μὲ τὸ θέλημα τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μαζὶ μὲ τὸν ὁποῖο στὸν Πατέρα καὶ συγχρόνως στὸ ἅγιο Πνεῦμα ἀνήκει ἡ δόξα, ἡ δύναμη καὶ ἡ τιμή, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

---

29. Ἐφ. 6,17.

ΟΜΙΛΙΑ ΣΤ'

(Ἑβρ. 3,7–4,10)

«Διό, καθὼς λέγει τὸ Πνεῦμα τὸ ἅγιον, σήμερον ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε, μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν, ὡς ἐν τῷ παραπικρασμῷ, κατὰ τὴν ἡμέραν τοῦ πειρασμοῦ ἐν τῇ ἐρήμῳ· οὗ ἐπείρασάν με οἱ πατέρες ὑμῶν, ἐδοκίμασάν με, καὶ εἶδον τὰ ἔργα μου τεσσαράκοντα ἔτη. Διὸ προσώχθισα τῇ γενεᾷ ἐκείνῃ, καὶ εἶπον, ἀεὶ πλανῶνται τῇ καρδίᾳ· αὐτοὶ δὲ οὐκ ἔγνωσαν τὰς ὁδούς μου. Ὡς ὤμοσα ἐν τῇ ὀργῇ μου, εἰ εἰσελεύσονται εἰς τὴν κατάπαυσίν μου».

1. Διαλεχθεὶς περὶ ἐλπίδος ὁ Παῦλος καὶ εἰπών, ὅτι «οἶκος αὐτοῦ ἐσμεν, ἐάνπερ τὴν παρρησίαν καὶ τὸ καύχημα τῆς ἐλπίδος μέχρι τέλους βεβαίαν κατάσχωμεν», δείκνυσι λοιπὸν ὅτι βεβαίως χρὴ προσδοκᾶν, καὶ τοῦτο πιστοῦται ἀπὸ τῶν Γραφῶν· προσέχετε δέ· δυσκολώτερον γάρ πως αὐτὸ ἔφρασε καὶ δυσκαταληπτότερον. Διὸ χρὴ τὰ παρ' ἡμῶν πρότερον εἰπόντας καὶ συντόμως τὴν πᾶσαν ὑμᾶς ὑπόθεσιν διδάξαντας, οὕτως ἐπαφεῖναι τὸν λόγον τοῖς γεγραμμένοις· οὐκέτι γὰρ ἡμῶν δεηθήσεσθε, ἐὰν τὸν σκοπὸν μάθητε τὸν ἀποστολικόν. Περὶ ἐλπίδος ἦν αὐτῷ ὁ λόγος, καὶ ὅτι χρὴ ἐλπίζειν τὰ μέλλοντα, καὶ ὅτι ἔσται πάντως τοῖς ἐνταῦθα πονήσασι μισθός τις καὶ καρπὸς καὶ ἀνάπαυσις· τοῦτο οὖν ἀπὸ τοῦ προφήτου δείκνυσι· καὶ τί φησι; «Διό, καθὼς λέγει τὸ Πνεῦμα τὸ ἅγιον, σήμερον, ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε, μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν, ὡς ἐν τῷ παραπικρασμῷ, κατὰ τὴν ἡμέραν τοῦ πειρασμοῦ ἐν τῇ ἐρήμῳ· οὗ ἐπείρασάν με οἱ πατέρες ὑμῶν, ἐδοκίμασάν με, καὶ εἶδον τὰ ἔργα μου τεσσαράκοντα ἔτη. Διὸ προσώχθισα τῇ γενεᾷ ἐκείνῃ καὶ εἶπον,

1. Ἑβρ. 3,6.

ΟΜΙΛΙΑ Ϛ'

(Ἑβρ. 3,7–4,10)

«Γι' αὐτό, καθὼς λέγει τὸ ἅγιο Πνεῦμα, σήμερα ἂν ἀκούσετε τὴ φωνὴ τοῦ Θεοῦ νὰ μὴ σκληρύνετε τὶς καρδιές σας, ὅπως τὸν καιρὸ ποὺ μὲ καταπικράνατε κατὰ τὴν ἡμέρα τῆς δοκιμασίας στὴν ἔρημο· τότε μὲ ἔθεσαν σὲ πειρασμὸ καὶ μὲ ἔβαλαν σὲ δοκιμασία οἱ πατέρες σας, ἂν καὶ εἶδαν τὰ ἔργα μου γιὰ σαράντα χρόνια. Γι' αὐτὸ ἀγανάκτησα μὲ τὴ γενεὰ ἐκείνη καὶ εἶπα, πάντοτε πλανιέται ἡ καρδιά τους, καὶ δὲ γνώρισαν τὸ δρόμο μου. Γι' αὐτὸ μέσα στὴν ὀργὴ μου ὁρκίσθηκα· 'δὲ θὰ μποῦν ποτὲ στὴν ἀνάπαυση μου'».

1. Ἀφοῦ μίλησε ὁ Παῦλος γιὰ τὴν ἐλπίδα καὶ εἶπε, «ἐμεῖς εἴμαστε οἶκος του, ἂν βέβαια διατηρήσουμε σταθερὴ μέχρι τέλος τὴν παρρησία καὶ τὴν ἐλπίδα γιὰ τὴν ὁποία καυχιόμαστε», δείχνει στὴ συνέχεια ὅτι πρέπει ἡ προσδοκία μας νὰ εἶναι σταθερὴ καὶ τὸ ἐπιβεβαιώνει αὐτὸ ἀπὸ τὶς Γραφές. Προσέχετε ὅμως, γιατὶ αὐτὸ τὸ διατύπωσε πιὸ περίπλοκα καὶ πιὸ δυσνόητα. Γι' αὐτὸ πρέπει πρῶτα νὰ σᾶς μιλήσω καὶ νὰ σᾶς διδάξω σύντομα ὅλη τὴν ὑπόθεση, καὶ ὕστερα νὰ μεταφέρω τὸ λόγο σ' αὐτὰ ποὺ εἶναι γραμμένα. Γιατὶ δὲ θὰ χρειασθεῖτε πιὰ ἐμένα, ἂν μάθετε τὸ σκοπὸ τοῦ ἀποστόλου. Ὁ λόγος του ἦταν γιὰ τὴν ἐλπίδα καὶ ὅτι πρέπει νὰ ἐλπίζουμε στὰ μελλοντικὰ ἀγαθὰ καὶ ὅτι ὁπωσδήποτε γιὰ τοὺς ἐδῶ κόπους θὰ ὑπάρχει κάποιος μισθὸς καὶ καρπὸς καὶ ἀνάπαυση. Αὐτὸ λοιπὸν τὸ δείχνει ἀπὸ τὸν προφήτη. Καὶ τί λέγει; «Γι' αὐτό, καθὼς λέγει τὸ ἅγιο Πνεῦμα, σήμερα, ἂν ἀκούσετε τὴ φωνὴ τοῦ Θεοῦ, νὰ μὴ σκληρύνετε τὶς καρδιές σας, ὅπως τὸν καιρὸ ποὺ μὲ καταπικράνατε, τὴν ἡμέρα τῆς δοκιμασίας στὴν ἔρημο· τότε μὲ ἔθεσαν σὲ πειρασμὸ καὶ μὲ ἔβαλαν σὲ δοκιμασία οἱ πατέρες σας, ἂν καὶ εἶδαν τὰ ἔργα μου γιὰ σαράντα χρόνια. Γι'

ἀεὶ πλανῶνται τῇ καρδίᾳ· αὐτοὶ δὲ οὐκ ἔγνωσαν τὰς ὁδούς μου. Ὡς ὤμοσα ἐν τῇ ὀργῇ μου, εἰ εἰσελεύσονται εἰς τὴν κατάπαυσίν μου».

Τρεῖς φησι καταπαύσεις εἶναι· μίαν τὴν τοῦ σαββάτου, ἐν ᾗ
5 *ὁ Θεὸς κατέπαυσεν ἀπὸ τῶν ἔργων αὐτοῦ· δευτέραν τὴν τῆς Παλαιστίνης, εἰς ἣν εἰσελθόντες οἱ Ἰουδαῖοι ἔμελλον ἀναπαύσεσθαι ἀπὸ τῆς ταλαιπωρίας τῆς πολλῆς καὶ τῶν πόνων· τρίτην τὴν καὶ ὄντως ἀνάπαυσιν, τὴν βασιλείαν τῶν οὐρανῶν, ἧς οἱ τυχόντες ἀναπαύονται ἀληθῶς τῶν κόπων καὶ τῶν μόχθων. Τῶν τριῶν*
10 *τοίνυν ἐνταῦθα μέμνηται. Καὶ τίνος ἕνεκεν περὶ τῆς μιᾶς διαλεγόμενος, τῶν τριῶν ἐμνημονευσεν; Ἵνα δείξῃ τὸν προφήτην περὶ ταύτης λέγοντα. Περὶ μὲν γὰρ τῆς πρώτης οὐκ εἶπε, φησί· πῶς γάρ, τῆς πάλαι γεγενημένης; Ἀλλ' οὐδὲ περὶ τῆς δευτέρας τῆς ἐν Παλαιστίνῃ· πῶς γάρ, καὶ αὐτῆς τέλος ἤδη λαβούσης;*
15 *Λείπεται δὴ περὶ τῆς τρίτης αὐτὸν λέγειν λοιπόν. Ἀναγκαῖον δὲ καὶ τὴν ἱστορίαν ἀναπτύξαι, ὥστε σαφέστερον ποιῆσαι τὸν λόγον.*

Ἐπειδὴ γὰρ ἀπὸ τῆς Αἰγύπτου ἐξελθόντες καὶ πολλὴν ὁδὸν διανύσαντες καὶ μυρία τῆς τοῦ Θεοῦ δυνάμεως λαβόντες
20 *τεκμήρια, ἔν τε τῇ Αἰγύπτῳ, ἔν τε τῇ ἐρυθρᾷ θαλάττῃ, ἔν τε τῇ ἐρήμῳ, ἐβουλεύσαντο πέμψαι κατασκόπους τοὺς διασκεψομένους τὴν φύσιν τῆς γῆς· οἱ δὲ ἀπελθόντες ἐπανῆλθον, τὴν μὲν χώραν θαυμάζοντες καὶ γενναίων καρπῶν εὔφορον εἶναι λέγοντες, ἀνθρώπων μέντοι ἀκαταμαχήτων εἶναι χώραν καὶ ἰσχυρῶν·*
25 *οἱ δὲ ἀγνώμονες Ἰουδαῖοι καὶ ἀναίσθητοι, δέον αὐτοὺς τῶν προτέρων τοῦ Θεοῦ εὐεργεσιῶν ἀναμνησθῆναι, καὶ πῶς αὐτοὺς εἰς μέσον ἀπειλημμένους στρατοπέδων τοσούτων Αἰγυπτιακῶν οὐ μόνον ἐξήρπασε τῶν κινδύνων, ἀλλὰ καὶ τῶν λαφύρων αὐτῶν ἐποίησε κυρίους, καὶ πῶς πάλιν ἐν τῇ ἐρήμῳ πέτραν ἔρρηξε, καὶ*
30 *τῶν ὑδάτων τὴν ἀφθονίαν ἐχαρίσατο, καὶ τὸ μάννα παρέσχε, καὶ ταῦτα ἀναμνησθέντας καὶ τὰ ἄλλα θαύματα ἅπερ εἰργάσατο, πιστεῦσαι τῷ Θεῷ· τούτων μὲν οὐδὲν ἐνενόησαν, ἅτε δὲ ὡς μηδενὸς γενομένου, οὕτω καταπλαγέντες, πάλιν εἰς Αἴγυπτον ὑπο-*

---

2. Ψαλμ. 94,8–11.

αὐτὸ ἀγανάκτησα μὲ τὴ γενεὰ ἐκείνη καὶ εἶπα, πάντοτε πλανιέται ἡ καρδιά τους καὶ δὲ γνώρισαν τὸ δρόμο μου. Γι' αὐτὸ μέσα στὴν ὀργή μου ὁρκίσθηκα· 'δὲ θὰ μποῦν στὴν ἀνάπαυσή μου'»[2].

Τρεῖς λέγει ὅτι εἶναι οἱ ἀναπαύσεις· ἡ πρώτη εἶναι τοῦ Σαββάτου, κατὰ τὴν ὁποία ὁ Θεὸς σταμάτησε ἀπὸ τὰ ἔργα του· ἡ δεύτερη τῆς Παλαιστίνης, στὴν ὁποία, ὅταν μπῆκαν οἱ Ἰουδαῖοι, ἐπρόκειτο ν' ἀναπαυθοῦν ἀπὸ τὴ μεγάλη ταλαιπωρία καὶ τοὺς κόπους· ἡ τρίτη, ποὺ εἶναι καὶ ἡ πραγματικὴ ἀνάπαυση, εἶναι ἡ βασιλεία τῶν οὐρανῶν, ὅπου, ὅσοι τὴν ἐπιτύχουν, ἀναπαύονται πραγματικὰ ἀπὸ τοὺς κόπους καὶ τοὺς μόχθους. Ἐδῶ λοιπὸν ὑπενθυμίζει τὶς τρεῖς ἀναπαύσεις. Καὶ γιὰ ποιό λόγο μιλώντας γιὰ τὴ μία ἀνέφερε καὶ τὶς τρεῖς; Γιὰ νὰ δείξει τὸν προφήτη ποὺ μιλάει γι' αὐτήν. Γιὰ τὴν πρώτη βέβαια, λέγει, δὲ μίλησε. Πῶς δηλαδὴ θὰ μιλοῦσε γι' αὐτὴν ποὺ εἶχε συμβεῖ πολὺ παλιά; Ἀλλ' οὔτε καὶ γιὰ τὴ δεύτερη ποὺ ἔγινε στὴν Παλαιστίνη. Πῶς θὰ μιλοῦσε, ἀφοῦ καὶ αὐτὴ ἤδη τελείωσε. Μένει λοιπὸν νὰ μιλήσει στὴ συνέχεια γιὰ τὴν τρίτη. Εἶναι ἀνάγκη ὅμως νὰ διηγηθῶ καὶ τὴν ἱστορία, ὥστε νὰ κάνω σαφέστερο τὸ λόγο.

Ἀφοῦ λοιπὸν οἱ Ἰουδαῖοι βγῆκαν ἀπὸ τὴν Αἴγυπτο καὶ βάδισαν πολὺ δρόμο καὶ ἔλαβαν ἄπειρες ἀποδείξεις τῆς δύναμης τοῦ Θεοῦ, καὶ στὴν Αἴγυπτο καὶ στὴν Ἐρυθρὰ θάλασσα καὶ στὴν ἔρημο, ἀποφάσισαν νὰ στείλουν κατασκόπους νὰ κατασκοπεύσουν τὴ φύση τῆς χώρας. Ἐκεῖνοι πῆγαν τότε καὶ ἐπέστρεψαν μὲ θαυμασμὸ γιὰ τὴ χώρα, λέγοντας πὼς εἶναι εὔφορη πλούσιων καρπῶν, ἀλλὰ καὶ ὅτι εἶναι χώρα ἀκαταμάχητων καὶ δυνατῶν ἀνθρώπων. Οἱ ἀχάριστοι ὅμως καὶ ἀναίσθητοι Ἰουδαῖοι, ἐνῶ ἔπρεπε νὰ θυμηθοῦν τὶς προηγούμενες εὐεργεσίες τοῦ Θεοῦ καὶ πῶς, ὅταν ἦταν ἀποκλεισμένοι ἀνάμεσα σὲ τόσα πολλὰ αἰγυπτιακὰ στρατεύματα, ὄχι μόνο τοὺς ἔσωσε ἀπὸ τοὺς κινδύνους, ἀλλὰ καὶ τοὺς ἔκαμε νὰ κυριέψουν τὰ λάφυρά τους, πῶς πάλι ἄνοιξε τὴν πέτρα στὴν ἔρημο καὶ τοὺς χάρισε ἄφθονο νερὸ καὶ πῶς τοὺς ἔδωσε τὸ μάννα, καὶ ἔπρεπε, ἀφοῦ τὰ θυμοῦνταν αὐτὰ καὶ τὰ ἄλλα θαύματα ποὺ ἔκαμε, νὰ πιστέψουν στὸ Θεό. Αὐτοὶ ὅμως δὲ σκέφθηκαν τίποτε ἀπ' αὐτά, ἀλλ' ἐπειδὴ φοβήθηκαν πολύ, σὰν νὰ μὴν ἔγινε τίποτε, ἤθελαν νὰ ἐπιστρέψουν πάλι στὴν Αἴγυπτο

στρέφειν ἐβούλοντο, λέγοντες, ἐξήγαγεν ἡμᾶς ὧδε ὁ Θεός, ὥστε ἀνελεῖν ἡμᾶς μετὰ παίδων καὶ γυναικῶν. Ὁ τοίνυν Θεὸς ὀργιζόμενος, ὅτι οὕτω ταχέως ἐξέβαλον τὴν τῶν γεγενημένων μνήμην, ὤμοσε μὴ εἰσελθεῖν τὴν γενεὰν ἐκείνην τὴν ταῦτα εἰρηκυῖαν εἰς 5 τὴν κατάπαυσιν· καὶ πάντες ἀπώλοντο ἐν τῇ ἐρήμῳ.

Ἐπεὶ οὖν ὁ Δαυὶδ ὕστερον μετὰ τὴν γενεὰν τὴν ἐκείνων διελέγετο· «σήμερον ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε, μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν, ὡς ἐν τῷ παραπικρασμῷ». Δια τί; Ἵνα μὴ τὰ αὐτὰ πάθητε, ἅπερ οἱ πρόγονοι οἱ ὑμέτεροι, καὶ 10 ἀποστερηθῆτε τῆς καταπαύσεως· δηλονότι ὡς οὔσης τινὸς καταπαύσεως ταῦτα ἔλεγεν. Ἐπεί, εἰ ἀπειληφότες ἦσαν τὴν κατάπαυσιν, φησί, τίνος ἕνεκεν αὐτοῖς πάλιν λέγει τό, «σήμερον, ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε, μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν, ὡς ἐν τῷ παραπικρασμῷ»; Τίς οὖν ἐστιν ἄλλη κατάπαυσις, ἀλλ' 15 ἢ ἡ βασιλεία τῶν οὐρανῶν, ἧς εἰκὼν καὶ τύπος ἐστὶ τὸ σάββατον; Εἶτα, θεὶς τὴν μαρτυρίαν πᾶσαν (αὕτη δέ ἐστι, «σήμερον, ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε, μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν, ὡς ἐν τῷ παραπικρασμῷ, κατὰ τὴν ἡμέραν τοῦ πειρασμοῦ ἐν τῇ ἐρήμῳ· οὗ ἐπείρασάν με οἱ πατέρες ὑμῶν, ἐδοκίμα-20 σάν με, καὶ εἶδον τὰ ἔργα μου τεσσαράκοντα ἔτη. Διὸ προσώχθισα τῇ γενεᾷ ἐκείνῃ, καὶ εἶπον, ἀεὶ πλανῶνται τῇ καρδίᾳ· αὐτοὶ δὲ οὐκ ἔγνωσαν τὰς ὁδούς μου· ὡς ὤμοσα ἐν τῇ ὀργῇ μου, εἰ εἰσελεύσονται εἰς τὴν κατάπαυσίν μου), τότε ἐπάγει· «βλέπετε, ἀδελφοί, μή ποτε ἔσται ἔν τινι ὑμῶν καρδία πονηρὰ ἀπιστίας, ἐν τῷ 25 ἀποστῆναι ἀπὸ Θεοῦ ζῶντος».

Ἀπὸ γὰρ τῆς σκληρότητος ἡ ἀπιστία γίνεται· καὶ καθάπερ τὰ πεπωρωμένα τῶν σωμάτων καὶ σκληρὰ οὐκ εἴκει ταῖς τῶν ἰατρῶν χερσίν, οὕτω καὶ αἱ ψυχαὶ αἱ σκληρυνθεῖσαι οὐκ εἴκουσι τῷ λόγῳ τοῦ Θεοῦ· εἰκὸς γάρ τινας καὶ ἀπιστεῖν λοιπόν, ὡς οὐκ 30 ὄντων ἀληθῶν τῶν γεγενημένων. Διὰ τοῦτό φησι, «βλέπετε μή ποτε ἔσται ἔν τινι ὑμῶν καρδία πονηρὰ ἀπιστίας, ἐν τῷ ἀποστῆναι ἀπὸ Θεοῦ ζῶντος». Ἐπειδὴ γὰρ ὁ τῶν μελλόντων λόγος οὐκ

---

3. Βλ. Αριθμ. 14,11-37.

λέγοντας, «μᾶς ἔβγαλε ἐδῶ ὁ Θεός, ὥστε νὰ μᾶς ἐξοντώσει μαζὶ μὲ τὰ παιδιὰ καὶ τὶς γυναῖκες». Ὁ Θεὸς λοιπὸν γεμάτος ὀργή, γιατὶ τόσο γρήγορα ξέχασαν ὅσα εἶχαν γίνει, ὁρκίσθηκε νὰ μὴν μπεῖ στὴ χώρα τῆς ἀνάπαυσης ἡ γενεὰ ἐκείνη ποὺ τὰ εἶπε αὐτά. Καὶ ὅλοι χάθηκαν στὴν ἔρημο[3].

Ἐπειδὴ λοιπὸν ὁ Δαβὶδ μιλοῦσε ὕστερα ἀπὸ τὴ γενεὰ ἐκείνη λέγει, «σήμερα, ἂν ἀκούσετε τὴ φωνή του, νὰ μὴ σκληρύνετε τὶς καρδιές σας, ὅπως τὸν καιρὸ ποὺ μὲ καταπικράνατε». Γιατί; Γιὰ νὰ μὴν πάθετε τὰ ἴδια ποὺ ἔπαθαν οἱ πρόγονοί σας καὶ στερηθεῖτε τὴν ἀνάπαυση. Δηλαδή, τὰ ἔλεγε αὐτὰ σὰν νὰ ὑπῆρχε κάποια ἀνάπαυση. Γιατί, ἂν εἶχαν λάβει τὴν ἀνάπαυση, λέγει, γιὰ ποιό λόγο τοὺς λέγει πάλι τό, «σήμερα, ἂν ἀκούσετε τὴ φωνή του, νὰ μὴ σκληρύνετε τὶς καρδιές σας, ὅπως τὸν καιρὸ ποὺ μὲ καταπικράνατε»; Ποιά λοιπὸν ἀνάπαυση ὑπάρχει ἄλλη ἐκτὸς ἀπὸ τὴ βασιλεία τῶν οὐρανῶν, τῆς ὁποίας προεικόνιση καὶ τύπος εἶναι τὸ Σάββατο; Στὴ συνέχεια, ἀφοῦ ἀνέφερε πρῶτα ὅλη τὴ μαρτυρία (καὶ αὐτὴ εἶναι· «σήμερα, ἂν ἀκούσετε τὴ φωνὴ τοῦ Θεοῦ, νὰ μὴ σκληρύνετε τὶς καρδιές σας, ὅπως τὸν καιρὸ ποὺ μὲ καταπικράνατε τὴν ἡμέρα τῆς δοκιμασίας στὴν ἔρημο· τότε μὲ ἔθεσαν σὲ πειρασμὸ καὶ μὲ ἔβαλαν σὲ δοκιμασία οἱ πατέρες σας, ἂν καὶ εἶδαν τὰ ἔργα μου γιὰ σαράντα χρόνια. Γι' αὐτὸ ἀγανάκτησα μὲ τὴ γενεὰ ἐκείνη καὶ εἶπα, πάντοτε πλανιέται ἡ καρδιά τους καὶ δὲ γνώρισαν τὸ δρόμο μου. Γι' αὐτὸ μέσα στὴν ὀργή μου ὁρκίσθηκα· 'δὲ θὰ μποῦν στὴν ἀνάπαυσή μου'»), τότε προσθέτει· «προσέχετε, ἀδελφοί μου, μήπως κάποιος ἀπὸ σᾶς ἔχει τόσο κακὴ καὶ ἄπιστη καρδιά, ὥστε ν' ἀπομακρυνθεῖ ἀπὸ τὸ Θεὸ ποὺ ζεῖ».

Ἀπὸ τὴ σκληρότητα προέρχεται ἡ ἀπιστία. Καὶ ὅπως τὰ ἀναίσθητα καὶ σκληρὰ σώματα δὲν ὑπακοῦν στὰ χέρια τῶν ἰατρῶν, ἔτσι καὶ οἱ ψυχὲς ποὺ σκληρύνθηκαν δὲν ὑποτάσσονται στὸ λόγο τοῦ Θεοῦ. Γιατὶ εἶναι φυσικὸ μερικοὶ νὰ μὴν πιστεύουν πιά, σὰν νὰ μὴν ἦταν ἀληθινὰ αὐτὰ ποὺ εἶχαν γίνει. Γι' αὐτὸ λέγει, «προσέχετε μήπως κάποιος ἀπὸ σᾶς ἔχει τόση κακὴ καὶ ἄπιστη καρδιά, ὥτε ν' ἀπομακρυνθεῖ ἀπὸ τὸν ζῶντα Θεό». Ἐπειδὴ ὁ λόγος γιὰ τὰ μελλοντικὰ δὲν εἶναι τόσο πειστικὸς ὅσο ὁ λόγος

ἔστιν οὕτω πιθανός, ὡς ὁ τῶν παρελθόντων, ἀναμιμνήσκει αὐτοὺς ἱστορίας, ἐν ᾗ πίστεως ἐδεήθησαν. Εἰ γὰρ οἱ πατέρες ὑμῶν, φησίν, ἐπειδὴ οὐκ ἤλπισαν ὥσπερ ἐχρῆν ἐλπίσαι, ταῦτα ἔπαθον, πολλῷ μᾶλλον ὑμεῖς· καὶ γὰρ πρὸς αὐτοὺς οὗτός ἐστιν ὁ λόγος.
5 *Τὸ γάρ, «σήμερον», φησίν, ἀεί ἐστιν, ἕως ἂν συνεστήκῃ ὁ κόσμος. «Ἀλλὰ παρακαλεῖτε ἑαυτοὺς καθ' ἑκάστην ἡμέραν, ἄχρις οὗ τὸ σήμερον καλεῖται». Τουτέστιν, οἰκοδομεῖτε ἀλλήλους, ἀνορθώσατε ἑαυτούς, ἵνα μὴ τὰ αὐτὰ γένηται. «Ἵνα μὴ σκληρυνθῇ τις ἐξ ὑμῶν ἀπάτῃ τῆς ἁμαρτίας».*

10 *2. Ὁρᾷς ὅτι τὴν ἀπιστίαν ἡ ἁμαρτία ποιεῖ; Ὥσπερ γὰρ ἡ ἀπιστία βίον τίκτει πονηρόν, οὕτω καὶ ἡ ψυχή, ὅταν εἰς βάθος ἔλθῃ κακῶν, καταφρονεῖ· καταφρονήσασα δέ, οὐδὲ πιστεύειν ἀνέχεται, ὥστε ἀπαλλάξαι φόβου ἑαυτήν. «Εἶπον» γάρ, φησίν, «οὐκ ὄψεται Κύριος, οὐδὲ συνήσει ὁ Θεὸς τοῦ Ἰακώβ»· καὶ πάλιν, «τὰ*
15 *χείλη ἡμῶν παρ' ἡμῖν ἐστι· τίς ἡμῶν Κύριός ἐστι;»· καὶ πάλιν, «ἕνεκεν τίνος παρώργισεν ὁ ἀσεβὴς τὸν Θεόν;»· καὶ πάλιν, «εἶπεν ἄφρων ἐν καρδίᾳ αὐτοῦ, οὐκ ἔστι Θεός. Διεφθάρησαν καὶ ἐβδελύχθησαν ἐν ἐπιτηδεύμασι». Καὶ πάλιν, «οὐκ ἔστι φόβος Θεοῦ ἀπέναντι τῶν ὀφθαλμῶν αὐτοῦ»· καὶ πάλιν, ὅτι «ἐδόλω-*
20 *σεν ἐνώπιον αὐτοῦ τοῦ εὑρεῖν τὴν ἀνομίαν αὐτοῦ, καὶ μισῆσαι». Καὶ ὁ Χριστὸς δὲ αὐτὸ τοῦτο δηλοῖ, λέγων, «πᾶς ὁ φαῦλα πράσσων, μισεῖ τὸ φῶς καὶ οὐκ ἔρχεται πρὸς τὸ φῶς».*

Εἶτα ἐπάγει, «μέτοχοι γὰρ γεγόναμεν τοῦ Χριστοῦ». Τί ἐστι, «μέτοχοι γεγόναμεν τοῦ Χριστοῦ»; Μετέχομεν αὐτοῦ,
25 *φησίν, ἓν ἐγενόμεθα ἡμεῖς καὶ αὐτός· εἴπερ αὐτὸς μὲν κεφαλή, σῶμα δὲ ἡμεῖς, συγκληρονόμοι καὶ σύσσωμοι. Ἓν σῶμά ἐσμεν, ἐκ τῆς σαρκὸς αὐτοῦ, φησί, καὶ ἐκ τῶν ὀστέων αὐτοῦ. «Ἐάνπερ τὴν ἀρχὴν τῆς ὑποστάσεως μέχρι τέλους βεβαίαν κατάσχωμεν». Τί ἐστιν, «ἀρχὴ τῆς ὑποστάσεως»; Τὴν πίστιν λέγει, δι' ἧς ὑπέ-*
30 *στημεν καὶ γεγενήμεθα καὶ συνουσιώθημεν, ὡς ἂν τις εἴποι.*

4. Ψαλμ. 93,7.
5. Ψαλμ. 11,5.
6. Ψαλμ. 9,34.
7. Ψαλμ. 13,1.
8. Ψαλμ. 35,2.3.
9. Ἰω. 3,20.

γιὰ τὰ περασμένα, τοὺς ὑπενθυμίζει μία ἱστορία, κατὰ τὴν ὁποία χρειάσθηκαν πίστη. Γιατί, ἂν οἱ πατέρες σας, λέγει, ἐπειδὴ δὲν εἶχαν ἐλπίσει ὅπως ἔπρεπε νὰ ἐλπίσουν, ἔπαθαν αὐτά, πολὺ περισσότερο θὰ τὰ πάθετε ἐσεῖς. Γιατὶ ὁ λόγος αὐτὸς ἀπευθύνεται καὶ σ' αὐτούς. Γιατὶ τὸ «σήμερα», λέγει, σημαίνει πάντοτε, ὅσο θὰ ὑπάρχει ὁ κόσμος. «Ἀλλὰ κάθε ἡμέρα νὰ παρηγορεῖ ὁ ἕνας τὸν ἄλλον, ὅσο ἰσχύει τὸ σήμερα». Δηλαδή, νὰ οἰκοδομεῖ ὁ ἕνας τὸν ἄλλον, νὰ ἐνθαρρύνετε τοὺς ἑαυτούς σας, γιὰ νὰ μὴ γίνουν τὰ ἴδια. «Γιὰ νὰ μὴ σκληρυνθεῖ κανεὶς ἀπὸ σᾶς ἀπὸ τὴν ἀπατηλὴ ἁμαρτία».

2. Βλέπεις ὅτι ἡ ἁμαρτία προκαλεῖ τὴν ἀπιστία; Γιατί, ὅπως ἡ ἀπιστία γεννάει τὴν κακὴ ζωή, ἔτσι καὶ ἡ ψυχή, ὅταν βυθισθεῖ μέσα στὰ κακά, περιφρονεῖ τὰ πάντα· ὅταν ὅμως τὰ περιφρονήσει δὲ δέχεται οὔτε τὴν πίστη, ὥστε ν' ἀπαλλαγεῖ ἀπὸ τὸ φόβο. «Καὶ εἶπαν», λέγει, «δὲ θὰ δεῖ ὁ Κύριος, δὲ θὰ δείξει κατανόηση ὁ Θεὸς τοῦ Ἰακώβ»[4]. Καὶ πάλι, «τὰ χείλη μας εἶναι στὴ διάθεσή μας· ποιός εἶναι Κύριός μας;»[5]. Καὶ πάλι «γιὰ ποιό λόγο ὁ ἀσεβὴς ἐξόργισε τὸ Θεό;»[6]. Καὶ πάλι· «εἶπε ὁ μωρὸς μέσα του, δὲν ὑπάρχει Θεός. Ἀφανίσθηκαν καὶ μισήθηκαν ἀπὸ τὰ ἔργα τους οἱ ἀσεβεῖς»[7]. Καὶ πάλι, «δὲν ὑπάρχει φόβος Θεοῦ ἐνώπιόν του» καὶ «διέστρεψε τὰ πάντα ἐνώπιόν του καὶ δὲν μπορεῖ νὰ βρεῖ τὴν ἁμαρτία καὶ νὰ τοὺς μισήσει»[8]. Καὶ ὁ Χριστὸς ὅμως τὸ ἴδιο δηλώνει λέγοντας, «κάθε ἄνθρωπος ποὺ πράττει φαῦλα ἔργα μισεῖ τὸ φῶς καὶ δὲν ἔρχεται στὸ φῶς»[9].

Στὴ συνέχεια προσθέτει, «γιατὶ ἔχουμε γίνει μέτοχοι τοῦ Χριστοῦ». Τί σημαίνει, «ἔχουμε γίνει μέτοχοι τοῦ Χριστοῦ»; Εἴμαστε μέρος τοῦ Χριστοῦ, λέγει, ἕνα γίναμε ἐμεῖς καὶ αὐτός, σὰν νὰ εἶναι αὐτὸς ἡ κεφαλὴ καὶ ἐμεῖς τὸ σῶμα, εἴμαστε συγκληρονόμοι καὶ ἑνωμένοι σ' ἕνα σῶμα. Εἴμαστε ἕνα σῶμα, ἀπὸ τὴ σάρκα του, λέγει, καὶ ἀπὸ τὰ ὀστά του. «Ἂν διατηρήσουμε τὴν ἀρχική μας ἐμπιστοσύνη σταθερὴ μέχρι τὸ τέλος». Τί σημαίνει, «ἀρχικὴ ἐμπιστοσύνη»; Ἐννοεῖ τὴν πίστη, μέσω τῆς ὁποίας ὑπήρξαμε καὶ γεννηθήκαμε καί, ὅπως θὰ μποροῦσε νὰ πεῖ κανείς, ἀπο-

Εἶτα ἐπάγει, «ἐν τῷ λέγεσθαι, σήμερον ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε, μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν, ὥσπερ ἐν τῷ παραπικρασμῷ». Καθ' ὑπερβατόν ἐστι τοῦτο· τὸ ἀκόλουθον δὲ οὕτως ἔχει· 'φοβηθῶμεν οὖν, μήποτε καταλειπομένης ἐπαγγελίας 5 εἰσελθεῖν εἰς τὴν κατάπαυσιν αὐτοῦ, δοκῇ τις ἐξ ὑμῶν ὑστερηκέναι. Καὶ γάρ ἐσμεν εὐηγγελισμένοι, ὥσπερ κἀκεῖνοι, ἐν τῷ λέγεσθαι σήμερον, ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε'. Τὸ γὰρ «σήμερον» ἀεί ἐστιν. Εἶτα ἐπάγει, «ἀλλ' οὐκ ὠφέλησεν ὁ λόγος τῆς ἀκοῆς ἐκείνους, μὴ συγκεκραμένης τῇ πίστει τοῖς ἀκούσασι»· 10 δεικνὺς πῶς ὁ λόγος οὐκ ὠφέλησεν· ἐκ γὰρ τοῦ μὴ συγκραθῆναι, οὐκ ὠφελήθησαν.

Εἶτα, βουλόμενος αὐτοὺς φοβῆσαι, δείκνυσιν αὐτὸ τοῦτο δι' ὧν φησι· «τίνες γὰρ ἀκούσαντες παρεπίκραναν, ἀλλ' οὐ πάντες οἱ ἐξελθόντες ἐξ Αἰγύπτου διὰ Μωϋσέως; Τίσι δὲ προσώ- 15 χθισε τεσσαράκοντα ἔτη· οὐχὶ τοῖς ἁμαρτήσασιν, ὧν τὰ κῶλα ἔπεσον ἐν τῇ ἐρήμῳ; τίσι δὲ ὤμοσε μὴ εἰσελεύσεσθαι εἰς τὴν κατάπαυσιν αὐτοῦ, εἰ μὴ τοῖς ἀπειθήσασι; Καὶ βλέπομεν, ὅτι οὐκ ἠδυνήθησαν εἰσελθεῖν δι' ἀπιστίαν». Εἰπὼν πάλιν τὴν μαρτυρίαν καὶ τὴν ἐρώτησιν ἐπάγει, ποιῶν τὸν λόγον σαφῆ. «Εἶπε» 20 γάρ, φησί, «σήμερον, ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε, μὴ σκληρύνετε τὰς καρδίας ὑμῶν, ὡς ἐν τῷ παραπικρασμῷ». Τίνων μέμνηται, φησί, σκληρυνθέντων, τίνων δὲ ἀπειθησάντων; οὐχὶ τῶν Ἰουδαίων; Ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· ἤκουσαν κἀκεῖνοι, φησίν, ὥσπερ ἡμεῖς ἀκούομεν, ἀλλ' οὐδὲν ὄφελος αὐτοῖς γέ- 25 γονε. Μὴ τοίνυν νομίσητε ὅτι ἀπὸ τοῦ ἀκούειν τοῦ κηρύγματος ὠφεληθήσεσθε· ἐπεὶ κἀκεῖνοι ἤκουσαν, ἀλλ' οὐδὲν ἀπώναντο, ἐπειδὴ μὴ ἐπίστευσαν. Οἱ οὖν περὶ Χάλεβ καὶ Ἰησοῦν, ἐπειδὴ μὴ συνεκράθησαν τοῖς ἀπιστήσασι, τουτέστιν, οὐ συνεφώνησαν, διέφυγον τὴν κατ' ἐκείνων ἐξενεχθεῖσαν τιμωρίαν. Καὶ ὅρα τι 30 θαυμαστόν· οὐκ εἶπεν, 'οὐ συνεφώνησαν', ἀλλ', «οὐ συνεκράθη-

---

10. Βλ. Ἀριθμ. 14,11-37.

κτήσαμε τὴν ἴδια οὐσία. Ἔπειτα προσθέτει, «ὅταν λέγει, σήμερα ἂν ἀκούσετε τὴ φωνή του, νὰ μὴ σκληρύνετε τὶς καρδιές σας, ὅπως τὸν καιρὸ ποὺ μὲ καταπικράνατε». Αὐτὰ λέγονται κατὰ σχῆμα ὑπερβατό, γιατὶ ἡ συνέχεια ἔχει ὡς ἑξῆς· Ἂς φοβηθοῦμε λοιπόν, μήπως, ἐνῶ παραμένει ἀκόμη ἡ ὑπόσχεση νὰ μποῦμε στὴν ἀνάπαυσή του, φανεῖ κανεὶς ἀπὸ σᾶς ὅτι τὴν ἔχει στερηθεῖ. Γιατὶ καὶ ἐμεῖς ἀκούσαμε τὴ χαρμόσυνη εἴδηση, ὅπως καὶ ἐκεῖνοι, ὅταν λέγει «σήμερα ἂν ἀκούσετε τὴ φωνή του». Γιατὶ τὸ «σήμερα» σημαίνει πάντοτε. Ἔπειτα προσθέτει, «ἐκείνους ὅμως δὲν τοὺς ὠφέλησε ἡ εἴδηση ποὺ ἄκουσαν, γιατὶ δὲ δέχθηκαν μὲ πίστη ἐκεῖνα ποὺ ἄκουσαν», δείχνοντας μὲ ποιό τρόπο ὁ λόγος δὲν τοὺς ὠφέλησε. Δὲν ὠφελήθηκαν γιατὶ δὲν τὸν ἀποδέχθηκαν μὲ πίστη.

Ἔπειτα, θέλοντας νὰ τοὺς φοβίσει, δείχνει τὸ ἴδιο ἀκριβῶς μὲ ὅσα λέγει· «γιατὶ ποιοί τὸν καταπίκραναν, παρ' ὅλο ποὺ ἄκουσαν τὴ φωνή του; Δὲν ἦταν ὅλοι ὅσοι ἔφυγαν ἀπὸ τὴν Αἴγυπτο μὲ τὴ βοήθεια τοῦ Μωϋσῆ; Καὶ μὲ ποιούς ἀγανάκτησε γιὰ σαράντα χρόνια; Δὲν ἀγανάκτησε μ' ἐκείνους ποὺ ἁμάρτησαν καὶ ἔπεσαν νεκρὰ τὰ σώματά τους στὴν ἔρημο; Καὶ γιὰ ποιούς ὁρκίσθηκε ὅτι δὲ θὰ μποῦν στὴν ἀνάπαυσή του, ἂν ὄχι γιὰ ἐκείνους ποὺ στασίασαν ἐναντίον του; Καὶ βλέπουμε ὅτι δὲν μπόρεσαν νὰ μποῦν ἐξαιτίας τῆς ἀπιστίας τους». Ἀφοῦ ἀνέφερε πάλι τὴ μαρτυρία, προσθέτει καὶ τὴν ἐρώτηση, κάνοντας σαφὴ τὸ λόγο του. «Εἶπε», λέγει, «σήμερα, ἂν ἀκούσετε τὴ φωνή του, νὰ μὴ σκληρύνετε τὶς καρδιές σας, ὅπως τὸν καιρὸ ποὺ μὲ καταπικράνατε». Ποιούς μνημόνευσε, λέγει, ὅτι σκληρύνθηκαν καὶ ποιούς ὅτι στασίασαν; Ὄχι τοὺς Ἰουδαίους; Αὐτὸ ποὺ λέγει σημαίνει τὸ ἑξῆς· Ἄκουσαν καὶ ἐκεῖνοι, λέγει, ὅπως ἀκοῦμε ἐμεῖς, ἀλλὰ δὲν ὠφελήθηκαν καθόλου. Νὰ μὴ νομίσετε λοιπὸν ὅτι ἀκούοντας τὸ κήρυγμα θὰ ὠφεληθεῖτε, γιατὶ καὶ ἐκεῖνοι ἄκουσαν, ἀλλὰ δὲν ὠφελήθηκαν καθόλου, ἐπειδὴ δὲν πίστεψαν. Ὅσοι λοιπὸν ἦταν μὲ τὸ Χάλεβ καὶ τὸν Ἰησοῦ τοῦ Ναυῆ, ἐπειδὴ δὲν ἀναμείχθηκαν μ' αὐτοὺς ποὺ δὲν πίστεψαν, δηλαδὴ δὲν συμφώνησαν, ξέφυγαν τὴν τιμωρία ποὺ ἐπιβλήθηκε σ' ἐκείνους[10]. Καὶ πρόσεχε κάτι θαυμαστό· δὲν εἶπε, 'δὲν συμφώνησαν', ἀλλά, «δὲν ἀναμείχθη-

σαν»· τουτέστιν, ἀστασιάστως διέστησαν, ἐκείνων πάντων μίαν καὶ τὴν αὐτὴν γνώμην ἐσχηκότων. Ἐνταῦθά μοι δοκεῖ καὶ στάσιν αἰνίττεσθαι.

«Εἰσερχόμεθα γάρ», φησίν, «εἰς τὴν κατάπαυσιν οἱ πι-
5 *στεύσαντες». Εἶτα τοῦτο βεβαιῶν ἐπήγαγε· «καθὼς εἴρηκεν, ὡς ὤμοσα ἐν τῇ ὀργῇ μου, εἰ εἰσελεύσονται εἰς τὴν κατάπαυσίν μου· καίτοι τῶν ἔργων ἀπὸ καταβολῆς κόσμου γενηθέντων». Ἐπειδὴ εἰκὸς ἦν εἰπεῖν τινα, 'καὶ μὴν τοῦτο οὐ τοῦ ἡμᾶς εἰσελεύσεσθαι δηλωτικόν ἐστιν, ἀλλὰ τοῦ ἐκείνους μὴ εἰσεληλυθέναι', τί ποιεῖ;*
10 *Σπουδάζει δεῖξαι τέως, ὅτι ὥσπερ ἡ κατάπαυσις ἐκείνη οὐ κωλύει ἑτέραν κατάπαυσιν λέγεσθαι, οὕτως οὐδὲ αὕτη τὴν τῶν οὐρανῶν. Τέως οὖν θέλει δεῖξαι, ὅτι οὐκ ἔτυχον ἐκεῖνοι τῆς καταπαύσεως. Ὅτι γὰρ τοῦτο λέγει, δῆλον ἐξ ὧν ἐπάγει· «εἴρηκε γάρ που περὶ τῆς ἑβδόμης οὕτω· καὶ κατέπαυσεν ὁ Θεὸς τῇ*
15 *ἡμέρᾳ τῇ ἑβδόμῃ ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ· καὶ ἐν τούτῳ πάλιν, εἰ εἰσελεύσονται εἰς τὴν κατάπαυσίν μου». Ὁρᾷς πῶς οὐ κωλύει ἐκείνη ταύτην εἶναι κατάπαυσιν;*

«Ἐπεὶ οὖν ἀπολείπεται», φησί, «τινὰς εἰσελθεῖν εἰς αὐτήν, καὶ οἱ πρότερον εὐαγγελισθέντες οὐκ εἰσῆλθον δι' ἀπείθειαν, πά-
20 *λιν τινὰ ὁρίζει ἡμέραν, 'σήμερον', ἐν Δαυὶδ λέγων, μετὰ τοσοῦτον χρόνον, καθὼς προείρηται». Τί δέ ἐστιν ὅ φησιν; Ἐπεὶ οὖν ὀφείλουσι, φησί, τινὲς εἰσελθεῖν πάντως, ἐκεῖνοι δὲ οὐκ εἰσῆλθον, πάλιν ὁρίζει τρίτην ἄλλην κατάπαυσιν. Ὅτι δὲ εἰσελθεῖν χρή, καὶ δεῖ τινας εἰσελθεῖν, ἀκούσωμεν πόθεν τοῦτο κατα-*
25 *σκευάζει. Ὅτι μετὰ τοσαῦτα ἔτη, φησί, λέγει πάλιν Δαυίδ· «σήμερον, ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε, μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν ὡς ἐν τῷ παραπικρασμῷ· εἰ γὰρ αὐτοὺς Ἰησοῦς κατέπαυσεν, οὐκ ἂν περὶ ἄλλης ἐλάλει μετὰ ταῦτα ἡμέρας». Δῆλον οὖν ὅτι ὡς μελλόντων τινῶν τεύξεσθαί τινος ἀμοιβῆς,*
30 *ταῦτά φησιν.*

«Ἄρα ἀπολείπεται σαββατισμὸς τῷ λαῷ τοῦ Θεοῦ». Πόθεν; Ἐκ τοῦ παραγγέλλειν, «μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν». Οὐ γὰρ ἄν, εἰ μὴ ἦν σαββατισμός, ταῦτα παρηγγέλλοντο, οὐδὲ

καν». Δηλαδή, διαφώνησαν χωρὶς στάση, ὅταν ὅλοι ἐκεῖνοι εἶχαν μία καὶ τὴν ἴδια γνώμη. Ἐδῶ μοῦ φαίνεται ὅτι ὑπονοεῖ καὶ κάποια στάση.

«Γιατὶ ὅσοι ἔχουμε πιστέψει», λέγει, «θὰ μποῦμε στὴν ἀνάπαυση». Ἔπειτα, βεβαιώνοντας αὐτό, πρόσθεσε· «καθὼς εἶπε, ὅπως ὁρκίσθηκα μέσα στὴν ὀργή μου, δὲ θὰ μποῦν στὴν ἀνάπαυσή μου. Καὶ αὐτό, παρ' ὅλο ποὺ τὰ ἔργα του εἶχαν τελειώσει ἀπὸ τὴ δημιουργία τοῦ κόσμου». Ἐπειδὴ φυσικὸ ἦταν νὰ πεῖ κάποιος, 'Καὶ βέβαια αὐτὸ δὲ φανερώνει ὅτι ἐμεῖς θὰ μποῦμε, ἀλλὰ ὅτι ἐκεῖνοι δὲν ἔχουν μπεῖ', τί κάνει; Προσπαθεῖ κατὰ πρῶτο νὰ δείξει ὅτι, ὅπως ἐκείνη ἡ ἀνάπαυση δὲν ἐμποδίζει νὰ ὀνομάζεται ἄλλη ἀνάπαυση, ἔτσι οὔτε αὐτὴ ἐμποδίζει τὴν ἀνάπαυση τῶν οὐρανῶν. Πρῶτα λοιπὸν θέλει νὰ δείξει ὅτι ἐκεῖνοι δὲν ἐπέτυχαν τὴν ἀνάπαυση. Ὅτι βέβαια λέγει αὐτό, φαίνεται ἀπ' αὐτὰ ποὺ προσθέτει· «γιατὶ εἶπε κάπου γιὰ τὴν ἑβδόμη ἡμέρα τὰ ἑξῆς· καὶ τὴν ἑβδόμη ἡμέρα ὁ Θεὸς ἀναπαύθηκε ἀπὸ ὅλα τὰ ἔργα του. Καὶ ἐδῶ πάλι λέγει· δὲ θὰ μποῦν στὴν ἀνάπαυσή μου». Βλέπεις ὅτι ἐκείνη δὲν ἐμποδίζει νὰ εἶναι αὐτὴ ἀνάπαυση;

«Ἐπειδὴ λοιπόν», λέγει, «ἀπομένει νὰ μποῦν μερικοὶ σ' αὐτὴ καὶ ἐκεῖνοι ποὺ ἄκουσαν πρῶτα τὴ χαρμόσυνη εἴδηση δὲν μπῆκαν ἐξαιτίας τῆς ἀπιστίας τους, γι' αὐτὸ ὁρίζει πάλι κάποια ἡμέρα, τὸ σήμερα, μὲ τὸ λόγο τοῦ Δαβὶδ ὕστερα ἀπὸ τόσα χρόνια, καθὼς ἔχει λεχθεῖ προηγουμένως». Καὶ τί σημαίνει αὐτὸ ποὺ λέγει; Ἐπειδὴ δηλαδὴ πρέπει, λέγει, νὰ μποῦν ὁπωσδήποτε κάποιοι καὶ ἐκεῖνοι δὲν μπῆκαν, ὁρίζει πάλι κάποια ἄλλη τρίτη ἀνάπαυση. Γιατὶ ὕστερα ἀπὸ τόσα χρόνια, λέγει, πάλι ὁ Δαβὶδ λέγει· «σήμερα, ἂν ἀκούσετε τὴ φωνή του, νὰ μὴ σκληρύνετε τὶς καρδιές σας, ὅπως τὸν καιρὸ ποὺ μὲ καταπικράνατε. Γιατί, ἂν ὁ Ἰησοῦς τοῦ Ναυῆ τοὺς εἶχε ὁδηγήσει στὴν ἀνάπαυση, δὲ θὰ μιλοῦσε ἀργότερα γιὰ ἄλλη ἡμέρα». Εἶναι φανερὸ λοιπὸν ὅτι τὰ λέγει αὐτὰ σὰν νὰ πρόκειται μερικοὶ ν' ἀπολαύσουν κάποια ἀμοιβή.

«Ἑπομένως, ἀπομένει γιὰ τὸ λαὸ τοῦ Θεοῦ κάποια ἡμέρα ἀνάπαυσης». Ἀπὸ ποῦ συμπεραίνεται αὐτό; Ἀπὸ τὴν παραγγελία, «νὰ μὴ σκληρύνετε τὶς καρδιές σας». Γιατί, ἂν δὲν ὑπῆρχε

ἐκελεύοντο μὴ τὰ αὐτὰ ποιεῖν, ἵνα μὴ τὰ αὐτὰ πάθωσιν, εἰ μὴ ἔμελλον τὰ αὐτὰ πείσεσθαι. Πῶς δὲ ἔμελλον τὰ αὐτὰ πείσεσθαι οἱ τὴν Παλαιστίνην ἔχοντες, εἰ μὴ ἑτέρα τις ἦν κατάπαυσις;

3. Καὶ καλῶς συνεπέρανε τὸν λόγον. Οὐ γὰρ εἶπε, 'κατάπαυ-5σις', ἀλλά, «σαββατισμός», τὸ οἰκεῖον ὄνομα, καὶ ᾧ ἔχαιρον καὶ ἐπέτρεχον, σαββατισμὸν τὴν βασιλείαν καλῶν. Ὥσπερ γὰρ ἐν τῷ σαββάτω πάντων μὲν τῶν πονηρῶν ἀπέχεσθαι κελεύει, ἐκεῖνα δὲ μόνα γίνεσθαι τὰ πρὸς λατρείαν τοῦ Θεοῦ, ἅπερ οἱ ἱερεῖς ἐπετέλουν, καὶ ὅσα ψυχὴν ὠφελεῖ καὶ μηδὲν ἕτερον· οὕτω 10καὶ τότε. Ἀλλ' αὐτὸς οὐχ οὕτως εἶπεν, ἀλλὰ πῶς; «Ὁ γὰρ εἰσελθὼν εἰς τὴν κατάπαυσιν αὐτοῦ, καὶ αὐτὸς κατέπαυσεν ἀπὸ τῶν ἔργων αὐτοῦ, ὥσπερ ἀπὸ τῶν ἰδίων ὁ Θεός». Ὥσπερ ὁ Θεὸς κατέπαυσε, φησίν, ἀπὸ ἔργων αὐτοῦ, οὕτως ὁ εἰσελθὼν εἰς τὴν κατάπαυσιν αὐτοῦ. Ἐπειδὴ γὰρ περὶ ἀναπαύσεως αὐτοῖς ὁ λόγος 15ἦν, καὶ τοῦτο σφόδρα ἐπεθύμουν ἀκοῦσαι πότε ἔσται· εἰς τοῦτο τὸν λόγον κατέκλεισε. Τὸ δέ, «σήμερον», εἶπεν, ὥστε μηδέποτε ἀπελπίζειν αὐτούς. «Παρακαλεῖτε», φησίν, «ἑαυτοὺς καθ' ἑκάστην ἡμέραν, ἄχρις οὗ τὸ σήμερον καλεῖται». Τουτέστι, κἄν τις ἡμαρτηκὼς ᾖ, ἕως ἂν ᾖ τὸ σήμερον, ἐλπίδας ἔχει.

20 *Μηδεὶς τοίνυν ἀπογινωσκέτω, ἕως ἂν ζῇ. Μάλιστα μὲν οὖν, φησί, μηδὲ ἔστω καρδία πονηρὰ ἀπιστίας· εἰ δὲ καὶ γένοιτο, μηδεὶς ἀπογινωσκέτω, ἀλλὰ ἀναλαμβανέτω ἑαυτόν· ἕως μὲν γάρ ἐσμεν ἐν τῷδε τῷ κόσμῳ τὸ σήμερον ἔχει καιρόν. Ἐνταῦθα δὲ οὐ τὴν ἀπιστίαν μόνον λέγει, ἀλλὰ καὶ τοὺς γογγυσμούς. «Ὧν 25τὰ κῶλα», φησίν, «ἔπεσεν ἐν τῇ ἐρήμῳ». Εἶτα, ἵνα μὴ νομίσῃ τις ὅτι ἁπλῶς τῆς ἀναπαύσεως ἀποστερηθήσεται μόνον, ἐπάγει καὶ κόλασιν, εἰπών· «ζῶν γὰρ ὁ λόγος τοῦ Θεοῦ καὶ ἐνεργής, καὶ τομώτερος ὑπὲρ πᾶσαν μάχαιραν δίστομον, καὶ διικνούμενος ἄχρι μερισμοῦ ψυχῆς καὶ πνεύματος, ἁρμῶν τε καὶ μυελῶν, καὶ κριτι-*

ἀνάπαυση τοῦ Σαββάτου, δὲ θὰ ἔπαιρναν αὐτὲς τὶς παραγγελίες, οὔτε θὰ ἔπαιρναν τὴν ἐντολὴ νὰ μὴν κάνουν τὰ ἴδια, γιὰ νὰ μὴν πάθουν τὰ ἴδια, ἂν δὲν ἐπρόκειτο νὰ πάθουν τὰ ἴδια. Πῶς ὅμως ἐπρόκειτο νὰ πάθουν τὰ ἴδια ἐκεῖνοι ποὺ εἶχαν τὴν Παλαιστίνη, ἂν δὲν ὑπῆρχε κάποια ἄλλη ἀνάπαυση;

3. Καὶ σωστὰ κατέληξε σ' αὐτὸ τὸ συμπέρασμα. Γιατὶ δὲν εἶπε, 'ἀνάπαυση', ἀλλὰ «μία ἀνάπαυση Σαββάτου», τὸ πολὺ γνωστὸ ὄνομα, μὲ τὸ ὁποῖο χαίρονταν καὶ στὸ ὁποῖο μὲ προθυμία ἔτρεχαν, ὀνομάζοντας «ἀνάπαυση Σαββάτου» τὴ βασιλεία τῶν οὐρανῶν. Γιατί, ὅπως προστάζει νὰ ἀπέχει κανεὶς ἀπ' ὅλα τὰ κακὰ τὸ Σάββατο καὶ νὰ γίνονται ἐκεῖνα μόνο ποὺ ἁρμόζουν στὴ λατρεία τοῦ Θεοῦ, τὰ ὁποῖα ἔκαναν οἱ ἱερεῖς, καὶ ὅσα ὠφελοῦν τὴν ψυχὴ καὶ τίποτε ἄλλο, ἔτσι καὶ τότε. Αὐτὸς ὅμως δὲν εἶπε αὐτό, ἀλλὰ τί; «Γιατὶ ἐκεῖνος ποὺ εἰσῆλθε στὴν ἀναπαυσή του, καὶ αὐτὸς ὁ ἴδιος ἀναπαύθηκε ἀπὸ τὰ ἔργα του, ὅπως ἀκριβῶς καὶ ὁ Θεὸς ἀπὸ τὰ δικά του». Ὅπως ὁ Θεός, λέγει, ἀναπαύθηκε ἀπὸ τὰ ἔργα του, ἔτσι ἀναπαύθηκε ἐκεῖνος ποὺ εἰσῆλθε στὴν ἀνάπαυσή του. Ἐπειδὴ δηλαδὴ ἐκεῖνοι μιλοῦσαν γιὰ τὴν ἀνάπαυσή τους καὶ πάρα πολὺ ἐπιθυμοῦσαν ν' ἀκούσουν πότε θὰ συμβεῖ αὐτό, σ' αὐτὸ κατέληξε τὸ λόγο. Καὶ εἶπε τὸ «σήμερα», ὥστε νὰ μὴν τοὺς ἀπελπίζει ποτέ. «Κάθε ἡμέρα», λέγει, «νὰ παρηγορεῖ ὁ ἕνας τὸν ἄλλον, ὅσο ἰσχύει τὸ σήμερα». Δηλαδή, ἔστω καὶ ἂν ἔχει ἁμαρτήσει κάποιος, ὅσο θὰ εἶναι τὸ σήμερα, ἔχει ἐλπίδες.

Κανεὶς λοιπὸν ἂς μὴν ἀπελπίζεται, ὅσο θὰ ζεῖ. Καὶ μάλιστα, λέγει, κανεὶς ἂς μὴν ἔχει καρδιὰ κακή· ἂν ὅμως συμβεῖ κάτι τέτοιο, κανεὶς ἂς μὴν ἀπελπίζεται, ἀλλὰ ἂς ἐνθαρρύνει τὸν ἑαυτό του. Γιατί, ὅσο εἴμαστε σ' αὐτὸν τὸν κόσμο, ἐκεῖνο τὸ σήμερα ἰσχύει πάντοτε. Ἐδῶ ὅμως δὲν ἐννοεῖ μόνο τὴν ἀπιστία, ἀλλὰ καὶ τοὺς γογγυσμούς. «Τὰ σώματά τους», λέγει, «ἔπεσαν νεκρὰ στὴν ἔρημο». Στὴ συνέχεια, γιὰ νὰ μὴ νομίσει κανεὶς ὅτι ἁπλῶς θὰ στερηθοῦν τὴν ἀνάπαυση μόνο, προσθέτει καὶ τιμωρία λέγοντας· «γιατὶ ὁ λόγος τοῦ Θεοῦ εἶναι ζωντανὸς καὶ δραστικὸς καὶ πιὸ κοφτερὸς ἀπὸ κάθε δίκοπο μαχαίρι· εἰσχωρεῖ βαθιά, ὡς ἐκεῖ ποὺ χωρίζει τὴν ψυχὴ ἀπὸ τὸ πνεῦμα, τὶς ἀρθρώσεις ἀπὸ τὸ μεδούλι, καὶ κρίνει τοὺς διαλογισμοὺς καὶ τὶς προθέσεις τῆς καρ-

κὸς ἐνθυμήσεων καὶ ἐννοιῶν καρδίας». Ἐνταῦθα περὶ τῆς γεέννης διαλέγεται καὶ περὶ τῆς κολάσεως. Εἰς τὰ κρυπτά, φησί, διικνεῖται τῆς καρδίας τῆς ἡμετέρας καὶ διατέμνει τὴν ψυχήν. Οὐ κῶλά ἐστι πεσεῖν ἐνταῦθα, οὐδὲ γῆς ἀποστερηθῆναι, καθάπερ 5 ἐκεῖ, ἀλλὰ βασιλείας οὐρανῶν, καὶ γεέννῃ παραδοθῆναι αἰωνίῳ, καὶ κολάσει ἀθανάτῳ καὶ τιμωρίᾳ.

«Ἀλλὰ παρακαλεῖτε ἑαυτούς». Ὅρα τὸ ἥμερον καὶ προσηνές· οὐκ εἶπεν, 'ἐπιτιμᾶτε', ἀλλά, «παρακαλεῖτε». Οὕτως ἡμᾶς χρὴ τοῖς ἀπὸ θλίψεως στενοχωρουμένοις προσφέρεσθαι. 10 Τοῦτο καὶ Θεσσαλονικεῦσι γράφων φησί· «νουθετεῖτε τοὺς ἀτάκτους». Περὶ δὲ τῶν ὀλιγοψύχων οὐχ οὕτως, ἀλλὰ τί; «Παραμυθεῖσθε τοὺς ὀλιγοψύχους, ἀντέχεσθε τῶν ἀσθενῶν, μακροθυμεῖτε πρὸς πάντας». Τί ἐστι, «παρακαλεῖτε»; Ἀντὶ τοῦ, μὴ ἀπελπίσητε, μὴ ἀπογνῶτε· τὸν γὰρ ἀπὸ θλίψεως στενοχωρούμενον ὁ 15 μὴ παρακαλῶν σκληρότερον ποιεῖ. «Ἵνα μὴ σκληρυνθῇ ἐξ ὑμῶν τις», φησίν, «ἀπάτῃ τῆς ἁμαρτίας». Ἢ τὴν ἀπάτην τοῦ διαβόλου φησίν· ἀπάτη γάρ ἐστιν ὄντως τὸ μηδὲν περὶ τῶν μελλόντων προσδοκᾶν, τὸ νομίζειν ὅτι ἀνεύθυνα ἔσται τὰ ἡμέτερα, καὶ ὅτι τῶν πεπραγμένων ἡμῖν ἐνταῦθα οὐ δώσομεν δίκην, οὐδὲ 20 ἔσται ἀνάστασις· ἢ ἑτέρως, ἀπάτη ἐστὶν ἡ ἀναλγησία ἢ ἀπόγνωσις· τὸ γὰρ λέγειν, τί ἐστι λοιπόν; ἅπαξ ἥμαρτον, οὐκ ἔχω ἐλπίδα τοῦ ἀνακτήσασθαι ἐμαυτόν, ἀπάτη ἐστίν.

Εἶτα ἐλπίδας αὐτοῖς ἐντίθησι, λέγων, «μέτοχοι γεγόναμεν τοῦ Χριστοῦ»· μονονουχὶ λέγων, ὁ οὕτως ἡμᾶς ἀγαπήσας, ὁ το- 25 σούτων ἡμᾶς καταξιώσας, ὥστε ἑαυτοῦ σῶσαι ποιῆσαι, οὐ περιόψεται ἀπολλυμένους. Ἐνοήσωμεν, φησί, τίνων κατηξιώθημεν· ἡμεῖς καὶ ὁ Χριστὸς ἕν ἐσμεν. Μὴ τοίνυν ἀπιστῶμεν αὐτῷ. Καὶ πάλιν ἐκεῖνο αἰνίττεται τὸ εἰρημένον ἑτέρωθι, ὅτι «εἰ ὑπομένομεν, καὶ συμβασιλεύσομεν»· τοῦτο γάρ ἐστι, μέτοχοι γεγόνα- 30 μεν, τῶν αὐτῶν μετέχομεν ὧν καὶ ὁ Χριστός. Προετρέψατο ἀπὸ

---

11. Ἑβρ. 4,12.
12. Α΄ Θεσ. 5,14.
13. Β΄ Τιμ. 2,12.

διᾶς»[11]. Ἐδῶ μιλάει γιὰ τὴ γέεννα καὶ γιὰ τὴν τιμωρία. Φθάνει, λέγει, στὰ ἀπόκρυφα μέρη τῆς καρδιᾶς μας καὶ χωρίζει στὰ δύο τὴν ψυχή. Δὲ θὰ πέσουν νεκρὰ τὰ σώματα ἐδῶ, οὔτε θὰ στερηθεῖ κάποιος τὴ χώρα, ὅπως ἐκεῖ, ἀλλὰ τὴ βασιλεία τῶν οὐρανῶν καὶ θὰ παραδοθεῖ στὴν αἰώνια κόλαση καὶ σὲ παντοτινὴ ποινὴ καὶ τιμωρία.

«Ἀλλὰ νὰ παρηγορεῖ ὁ ἕνας τὸν ἄλλον». Πρόσεχε τὴν πραότητα καὶ τὴν εὐγένειά του. Δὲν εἶπε, 'νὰ ἐπιτιμᾷ', ἀλλὰ «νὰ παρηγορεῖ». Ἔτσι πρέπει νὰ συμπεριφερόμαστε πρὸς ἐκείνους ποὺ στενοχωροῦνται ἀπὸ τὴ θλίψη. Αὐτὸ λέγει γράφοντας καὶ στοὺς Θεσσαλονικεῖς· «νὰ συμβουλεύετε τοὺς ἄστατους»[12]. Γιὰ τοὺς ὀλιγόψυχους ὅμως δὲ λέγει τὸ ἴδιο, ἀλλὰ τί; «Νὰ παρηγορεῖτε τοὺς ὀλιγόψυχους, νὰ στηρίζετε τοὺς ἀδύνατους στὴν πίστη, νὰ δείχνετε μακροθυμία σὲ ὅλους». Τί σημαίνει, «νὰ παρηγορεῖτε»; Δηλαδή, νὰ μὴν ἀπελπίσετε, νὰ μὴν ἀποθαρρύνετε. Γιατὶ ἐκεῖνος ποὺ δὲν παρηγορεῖ ὅποιον στενοχωριέται ἀπὸ τὴ θλίψη, τὸν κάνει σκληρότερο. «Γιὰ νὰ μὴ σκληρυνθεῖ κανεὶς ἀπὸ σᾶς», λέγει, «ἀπὸ τὴν ἀπάτη τῆς ἁμαρτίας». Ἢ τὴν ἀπάτη τοῦ διαβόλου ἐννοεῖ· γιατὶ πράγματι ἀπάτη εἶναι τὸ νὰ μὴν περιμένουμε τίποτε γιὰ τὰ μελλοντικά, τὸ νὰ νομίζουμε ὅτι δὲ θὰ ἔχουμε εὐθύνες γιὰ τὰ δικά μας καὶ ὅτι δὲ θὰ τιμωρηθοῦμε γιὰ τὶς ἐδῶ πράξεις μας, καὶ ὅτι δὲ θὰ ὑπάρξει ἀνάσταση. Ἢ διαφορετικά, ἀπάτη εἶναι ἡ ἀναλγησία ἢ ἡ ἀπόγνωση· γιατὶ τὸ νὰ λέμε, 'τί γίνεται λοιπόν; ἁμάρτησα μιὰ φορά, δὲν ἔχω καμμιὰ ἐλπίδα ν' ἀνακουφίσω τὸν ἑαυτό μου', εἶναι ἀπάτη.

Στὴ συνέχεια θέτει μέσα τους ἐλπίδες λέγοντας, «γίναμε μέτοχοι τοῦ Χριστοῦ». Σὰν νὰ ἔλεγε· αὐτὸς ποὺ μᾶς ἀγάπησε τόσο πολὺ καὶ μᾶς ἔκρινε ἄξιους γιὰ τόσο πολλά, ὥστε νὰ μᾶς κάνει δικό του σῶμα, δὲ θὰ μᾶς ἀφήσει νὰ καταστραφοῦμε. Ἂς σκεφθοῦμε, λέγει, γιὰ ποιά κριθήκαμε ἄξιοι· ἐμεῖς καὶ ὁ Χριστὸς εἴμαστε ἕνα. Ἂς πιστεύουμε λοιπὸν σ' αὐτόν. Καὶ πάλι ὑπαινίσσεται ἐκεῖνο ποὺ λέχθηκε ἀλλοῦ, ὅτι δηλαδὴ «ἂν ὑπομένουμε μαζί του, καὶ θὰ συμβασιλεύσουμε»[13]. Γιατὶ αὐτὸ σημαίνει τὸ «γίναμε μέτοχοι», μετέχουμε στὰ ἴδια ποὺ μετέχει καὶ ὁ Χριστός. Τοὺς παρότρυνε ἀπὸ τὰ καλὰ καὶ ὠφέλιμα· «γιατὶ εἴμα-

τῶν χρηστῶν· «μέτοχοι γάρ ἐσμεν», φησί, «τοῦ Χριστοῦ». Εἶτα πάλιν ἀπὸ τῶν σκυθρωπῶν. «Φοβηθῶμεν μήποτε καταλειπομένης ἐπαγγελίας εἰσελθεῖν εἰς τὴν κατάπαυσιν αὐτοῦ, δοκῇ τις ἐξ ὑμῶν ὑστερηκέναι»· ἐκεῖνο γὰρ δῆλον καὶ ὡμολογημένον 5 ἐστίν. «Ἐδοκίμασάν με», φησί, «καὶ εἶδον τὰ ἔργα μου τεσσαράκοντα ἔτη».

Ὁρᾷς ὅτι οὐ δεῖ τὸν Θεὸν ἀπαιτεῖν εὐθύνας, ἀλλ', ἄν τε προϊστᾶται, ἄν τε μή, πιστεύειν αὐτῷ; ἐκείνοις γὰρ τοῦτο ἐγκαλεῖ νῦν, ὅτι ἐπείρασαν τὸν Θεόν. Ὁ γὰρ βουλόμενος ἀποδείξεις λα- 10 βεῖν, ἢ τῆς δυνάμεως ἢ τῆς προνοίας ἢ τῆς κηδεμονίας αὐτοῦ, οὔπω πιστεύει οὔτε δυνατὸν αὐτὸν εἶναι, οὔτε φιλάνθρωπον. Τοῦτο καὶ πρὸς τούτους γράφων αἰνίττεται, βουλομένους ἴσως ἤδη τῆς δυνάμεως αὐτοῦ καὶ τῆς ὑπὲρ αὐτῶν προνοίας τὴν ἐξέτασιν καὶ τὸν ἔλεγχον λαβεῖν ἐν τοῖς πειρασμοῖς. Ὁρᾷς ὅτι ἀπὸ 15 ἀπιστίας πανταχοῦ ὁ παροξυσμὸς καὶ ὁ παροργισμός; Τί οὖν φησιν; «Ἄρα ἀπολείπεται σαββατισμὸς τῷ λαῷ τοῦ Θεοῦ». Ὅρα δὲ πῶς ὅλον τὸν λόγον συνελογίσατο. Ὤμοσε, φησί, τοῖς προτέροις μὴ εἰσελθεῖν αὐτοὺς εἰς τὴν κατάπαυσιν, καὶ οὐκ εἰσῆλθον. Εἶτα μετ' ἐκείνους χρόνῳ πολλῷ ὕστερον διαλεγόμενος 20 τοῖς Ἰουδαίοις, φησί, «μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν, ὡς οἱ πατέρες ὑμῶν». Δηλονότι ἔστιν ἄλλη κατάπαυσις· περὶ μὲν γὰρ τῆς Παλαιστίνης οὐκ ἔνι εἰπεῖν· εἶχον γὰρ αὐτήν· περὶ δὲ τῆς ἑβδόμης οὐκ ἔστιν εἰπεῖν· οὐ γὰρ δήπου περὶ ταύτης διελέγετο τῆς πάλαι γεγενημένης. Ἄρα ἑτέραν τινὰ αἰνίττεται τὴν ὄντως 25 ἀνάπαυσιν.

4. Ὄντως γὰρ ἐκείνη ἐστὶν ἀνάπαυσις, ἔνθα ἀπέδρα ὀδύνη καὶ λύπη καὶ στεναγμός, ἔνθα οὐδὲ φροντίδες, οὔτε πόνοι, οὔτε ἀγωνία, οὔτε φόβος καταπλήττων καὶ σείων τὴν ψυχήν, ἀλλὰ μόνος ὁ τοῦ Θεοῦ φόβος ἡδονῆς πλήρης ὤν. Οὐκ ἔστιν ἐκεῖ ἀκοῦσαι, 30 «ἐν ἱδρῶτι τοῦ προσώπου σου φαγῇ τὸν ἄρτον σου»· οὐδέ, «ἀκάνθας», οὐδέ, «τριβόλους ἀνατελεῖ σοι». Οὐκέτι ἄκανθαι καὶ τρίβολοι· οὐκ ἔστιν, «ἐν λύπαις τέξεις τέκνα», οὐδέ, «πρὸς τὸν

14. Γεν. 3,19.18.

στε», λέγει, «μέτοχοι τοῦ Χριστοῦ». Ἔπειτα πάλι ἀπὸ τὰ δυσάρεστα· «ἂς φοβηθοῦμε μήπως, ἐνῶ παραμένει ἀκόμη ἡ ὑπόσχεση νὰ μποῦμε στὴν ἀνάπαυσή του, φανεῖ κανεὶς ἀπὸ σᾶς ὅτι τὴν ἔχει στερηθεῖ». Γιατὶ αὐτὸ εἶναι φανερὸ καὶ γνωστό. «Μὲ ἔβαλαν σὲ δοκιμασία», λέγει, «ἂν καὶ εἶδαν τὰ ἔργα μου γιὰ σαράντα χρόνια».

Βλέπεις ὅτι δὲν πρέπει νὰ ζητᾶμε εὐθύνες ἀπὸ τὸ Θεό, ἀλλ' εἴτε μᾶς βοηθάει εἴτε ὄχι νὰ πιστεύουμε σ' αὐτόν; Γιατὶ σ' ἐκείνους αὐτὸ κατηγορεῖ τώρα, ὅτι ἔθεσαν σὲ πειρασμὸ τὸ Θεό. Πράγματι ὅποιος θέλει νὰ λάβει ἀποδείξεις ἢ τῆς δύναμης ἢ τῆς πρόνοιας ἢ τῆς φροντίδας του δὲν πιστεύει καθόλου οὔτε ὅτι εἶναι δυνατὸς οὔτε ὅτι εἶναι φιλάνθρωπος. Αὐτὸ ὑπαινίσσεται καὶ ὅταν γράφει σ' αὐτούς, ἐπειδὴ ἴσως ἤδη ἤθελαν νὰ ἐξετάσουν καὶ νὰ ἐλέγξουν τὴ δύναμή του καὶ τὴ φροντίδα του γι' αὐτοὺς στοὺς πειρασμούς. Βλέπεις ὅτι ἀπὸ τὴν ἀπιστία προέρχεται παντοῦ ὁ θυμὸς καὶ ἡ ὀργή; Τί λοιπὸν λέγει; «Ἑπομένως, ἀπομένει γιὰ τὸ λαὸ τοῦ Θεοῦ κάποια ἡμέρα ἀνάπαυσης». Καὶ πρόσεχε πῶς ἀνακεφαλαίωσε ὅλο τὸ λόγο. Ὁρκίσθηκε, λέει, στοὺς πρώτους νὰ μὴν μποῦν στὴν ἀνάπαυσή του, καὶ δὲν μπῆκαν. Ἔπειτα ἀπὸ ἐκείνους, πολλὰ χρόνια ἀργότερα, μιλώντας στοὺς Ἰουδαίους λέγει· «νὰ μὴ σκληρύνετε τὶς καρδιές σας, ὅπως οἱ πατέρες σας». Δηλαδὴ ὑπάρχει κάποια ἄλλη ἀνάπαυση. Γιατὶ δὲν μποροῦμε νὰ ποῦμε γιὰ τὴν ἀνάπαυση τῆς Παλαιστίνης, ἀφοῦ τὴν εἶχαν. Οὔτε καὶ γιὰ τὴν ἀνάπαυση τῆς ἑβδόμης ἡμέρας μποροῦμε νὰ ποῦμε, γιατὶ βέβαια δὲ μιλοῦσε γι' αὐτὴν ποὺ εἶχε γίνει τὴν παλαιὰ ἐποχή. Ἑπομένως, κάποιαν ἄλλη ὑπονοεῖ, τὴν πραγματικὴ ἀνάπαυση.

4. Πραγματικὰ λοιπὸν ἐκείνη εἶναι ἀνάπαυση, ὅπου ἔχει φύγει ἡ ὀδύνη καὶ ἡ λύπη καὶ ὁ στεναγμός, ὅπου δὲν ὑπάρχουν κόποι, οὔτε ἀγωνία, οὔτε φόβος νὰ τρομάζει καὶ νὰ τραντάζει τὴν ψυχή, ἀλλὰ μόνο ὁ φόβος τοῦ Θεοῦ ποὺ εἶναι γεμάτος ἀπὸ ἡδονή. Δὲ θ' ἀκούσεις ἐκεῖ, «μὲ τὸν ἱδρώτα τοῦ προσώπου σου θὰ τρώγεις τὸ ψωμί σου», οὔτε, «ἀγκάθια καὶ τριβόλια θὰ σοῦ φυτρώνει ἡ γῆ»[14]. Δὲν ὑπάρχουν πιὰ ἐκεῖ ἀγκάθια καὶ τριβόλια. Οὔτε θ' ἀκούσεις, «μὲ πόνους θὰ γεννᾶς τὰ παιδιά σου», οὔτε, «θὰ ἐξαρ-

ἄνδρα σου ἡ ἀποστροφή σου, καὶ αὐτός σου κυριεύσει»· πάντα εἰρήνη ἐκεῖ, χαρά, εὐφροσύνη, ἡδονή, ἀγαθωσύνη, πρᾳότης, εὐθύτης, ἀγάπη. Οὐκ ἔστιν ἐκεῖ ζηλοτυπία οὐδὲ βασκανία, οὐ νόσος, οὐ θάνατος οὗτος ὁ τοῦ σώματος, οὐκ ἐκεῖνος ὁ τῆς ψυχῆς,
5 *οὐκ ἔστι σκότος, οὔτε νύξ· πάντα ἡμέρα, πάντα φῶς, πάντα ἄνεσις· οὐκ ἔστι καμεῖν, οὐκ ἔστι κόρον λαβεῖν, ἀλλ' ἀεὶ ἐν ἐπιθυμίᾳ τῶν ἀγαθῶν διατελέσομεν.*

Βούλεσθε δῶ τινα καὶ εἰκόνα ὑμῖν τῆς ἐκεῖ καταστάσεως; Οὐκ ἔστι δυνατόν· πλὴν ἀλλ' ὅμως, ὡς ἂν ᾖ δυνατόν, πειράσο-
10 *μαι ὑμῖν δοῦναί τινα εἰκόνα. Ἀναβλέψωμεν εἰς τὸν οὐρανόν, ὅταν, μηδενὸς ἐνοχλοῦντος νέφους, φαίνῃ τὸν ἑαυτοῦ στέφανον· εἶτα πρὸς τὸ κάλλος τῆς ὄψεως αὐτοῦ πολὺν διατρίψαντες χρόνον, ἐννοήσωμεν ὅτι καὶ ἔδαφος ἕξομεν οὐ τοιοῦτον μὲν ὄν, ἀλλὰ τοσούτῳ γιγνόμενον κάλλιον, ὅσῳ τῶν πηλίνων ὀρόφων ὁ χρυ-*
15 *σοῦς. Εἶτα τὸν μετ' ἐκεῖνον πάλιν τὸν ἀνώτερον ὄροφον· ἔπειτα τοὺς ἀγγέλους, τοὺς ἀρχαγγέλους, τοὺς ἀπείρους δήμους τῶν ἀσωμάτων δυνάμεων, αὐτὰ τοῦ Θεοῦ τὰ βασίλεια, τὸν θρόνον τὸν πατρικόν. Ἀλλ' οὐκ ἰσχύει, ὅπερ ἔφην, ὁ λόγος παραστῆσαι τὸ πᾶν· πείρας χρεία, καὶ τῆς διὰ πείρας γνώσεως. Πῶς οἴεσθε,*
20 *εἰπέ μοι, τὸν Ἀδὰμ εἶναι ἐν τῷ παραδείσῳ; Πολὺ βελτίων ἐστὶν ἐκείνης αὕτη ἡ διαγωγή, ὅσῳ τῆς γῆς ὁ οὐρανός.*

Πλὴν ἀλλὰ καὶ ἑτέραν εἰκόνα ἐπιζητήσωμεν. Εἰ συνέβη τὸν βασιλεύοντα νῦν πάσης τῆς οἰκουμένης κρατῆσαι, εἶτα μήτε ὑπὸ πολέμων, μήτε ὑπὸ φροντίδων ἐνοχλεῖσθαι, ἀλλὰ τιμᾶσθαι
25 *μόνον καὶ τρυφᾶν, καὶ πολλοὺς μὲν ἔχειν φόρους, πάντοθεν δὲ τὸ χρυσίον αὐτῷ ἐπιρρεῖν καὶ ἀπόβλεπτον εἶναι, ποίαν οἴεσθε ἔχειν αὐτὸν ψυχήν, εἰ τοὺς πολέμους τοὺς πανταχοῦ τῆς γῆς πεπαυμένους ἑώρα; Τοιοῦτόν τι ἔσται καὶ τότε· μᾶλλον δὲ οὔπω καὶ τῆς εἰκόνος ἐφικόμην ἐκείνης· διὸ χρὴ καὶ ἑτέραν ἐπιζητῆσαι. Ἐν-*
30 *νόησον δή μοι παιδίον βασιλικόν, ὅπερ ἕως μὲν ἂν ἐν τῇ μήτρᾳ ᾖ, οὐδενὸς ἐπαισθάνεται, εἰ δὲ συμβαίη ἄφνω ἐξελθὸν ἐκεῖθεν ἐπὶ τὸν θρόνον ἀνελθεῖν τὸν βασιλικόν, μὴ ἠρέμα, ἀλλ' ἀθρόον*

---

15. Γεν. 3,16.

τᾶσαι πάντοτε ἀπὸ τὸν ἄνδρα σου καὶ αὐτὸς θὰ εἶναι κύριός σου»[15]. Ὅλα ἐκεῖ εἶναι εἰρήνη, χαρά, εὐφροσύνη, ἡδονή, ἀγαθωσύνη, πραότητα, εὐθύτητα, ἀγάπη. Δὲν ὑπάρχει ἐκεῖ φθόνος, οὔτε βασκανία, ουτε ἀρρώστια, οὔτε ὁ σωματικὸς θάνατος, οὔτε ὁ θάνατος τῆς ψυχῆς, δὲν ὑπάρχει σκοτάδι οὔτε νύχτα. Ὅλα εἶναι ἡμέρα, ὅλα φῶς, ὅλα ἄνεση. Δὲν ὑπάρχει κούραση, οὔτε κορεσμός, ἀλλὰ πάντοτε θὰ ἐπιθυμοῦμε τὰ ἀγαθά.

Θέλετε νὰ σᾶς δώσω καὶ κάποια εἰκόνα γιὰ τὴν ἐκεῖ κατάσταση; Δὲν εἶναι δυνατό· πλὴν ὅμως, ὅσο εἶναι δυνατό, θὰ προσπαθήσω νὰ σᾶς δώσω κάποια εἰκόνα. Ἂς κοιτάξουμε στὸν οὐρανὸ ὅταν κανένα σύννεφο δὲν ἐμποδίζει ν' ἀποκαλύψει τὸ δικό του στεφάνι. Ἔπειτα, ἀφοῦ γιὰ πολὺ χρόνο θαυμάσουμε τὴν ὀμορφιά του ποὺ βλέπουμε, ἂς σκεφθοῦμε ὅτι καὶ ἔδαφος θὰ ἔχουμε ὄχι βέβαια τέτοιο, ἀλλὰ τόσο καλύτερο, ὅσο καλύτερη εἶναι ἡ χρυσὴ στέγη ἀπὸ τὶς πήλινες. Ἔπειτα τοὺς ἀγγέλους, τοὺς ἀρχαγγέλους, τὰ ἀμέτρητα πλήθη τῶν ἀσωμάτων δυνάμεων, τὰ ἴδια τὰ ἀνάκτορα τοῦ Θεοῦ, τὸν πατρικὸ θρόνο. Ἀλλὰ δὲν μπορεῖ, ὅπως εἶπα, ὁ λόγος νὰ τὰ παραστήσει ὅλα. Χρειάζεται πείρα καὶ γνώση μέσω τῆς πείρας. Πῶς νομίζετε, πές μου, ὅτι ἦταν ὁ Ἀδὰμ μέσα στὸν παράδεισο; Αὐτὸς ὁ τρόπος ζωῆς εἶναι πολὺ καλύτερος ἀπὸ ἐκείνη τὴ ζωή, ὅσο ὁ οὐρανὸς εἶναι καλύτερος ἀπὸ τὴ γῆ.

Ἀλλ' ὅμως ἂς περιγράψουμε καὶ ἄλλη εἰκόνα. Ἂν αὐτὸς ποὺ βασιλεύει τώρα συνέβαινε νὰ κυριεύσει ὅλη τὴν οἰκουμένη, καὶ ἔπειτα νὰ μὴν ἐνοχλεῖται οὔτε ἀπὸ πολέμους οὔτε ἀπὸ φροντίδες, ἀλλὰ νὰ τιμᾶται μόνο καὶ νὰ ζεῖ μὲ ἀπολαύσεις, καὶ νὰ ἔχει πολλοὺς φόρους καὶ ἀπὸ παντοῦ τὸ χρυσάφι νὰ ρέει σ' αὐτὸν καὶ νὰ θαυμάζεται ἀπὸ ὅλους, τί διάθεση θὰ εἶχε, ἂν ἔβλεπε ὅτι ἔχουν σταματήσει οἱ πόλεμοι ποὺ γίνονταν σὲ ὅλα τὰ σημεῖα τῆς γῆς; Κάτι τέτοιο θὰ συμβεῖ καὶ τότε. Ἢ καλύτερα δὲν πλησίασα ἀκόμη ἐκείνη τὴν εἰκόνα. Γι' αὐτὸ πρέπει νὰ ἐπιζητήσουμε καὶ ἄλλη. Σκέψου, σὲ παρακαλῶ, ἕνα παιδὶ τοῦ βασιλιᾶ, πού, ὅσο εἶναι μέσα στὴ μήτρα, δὲν αἰσθάνεται τίποτε· ἂν ὅμως συμβεῖ ξαφνικά, ὅταν βγεῖ ἀπὸ ἐκεῖ, ν' ἀνεβεῖ στὸ βασιλικὸ θρόνο καὶ νὰ λάβει τὰ ἀξιώματα ὄχι σιγὰ-σιγά, ἀλλ' ὅλα μαζί.

πάντα προσλαβεῖν· οὕτως ἐστὶν ἡ κατάστασις αὕτη κἀκείνη· ἢ εἴ τις δεσμώτης μυρία παθὼν κακά, ἀθρόον ἐπὶ τὸν βασιλικὸν ἁρπαγείη θρόνον.

Ἀλλ' οὐδὲ οὕτως ἐφικόμην ἀκριβῶς τῆς εἰκόνος. Ἐνταῦ- 5 *θα μὲν γὰρ ὧν ἄν τις ἐπιτύχῃ καλῶν, κἂν αὐτὴν εἴπῃς τὴν βασιλείαν, παρὰ μὲν τὴν πρώτην ἡμέραν ἀκμάζοντα ἔχει τὸν πόθον, καὶ παρὰ τὴν δευτέραν καὶ τὴν τρίτην· χρόνου δὲ προϊόντος, μένει μὲν ἐν ἡδονῇ, οὐ τοσαύτη δέ· λήγει γὰρ ὑπὸ τῆς συνηθείας ἀεί, οἷα ἂν ᾖ· ἐκεῖ δὲ οὐ μόνον οὐ μειοῦται, ἀλλὰ καὶ ἐπιδίδωσιν. Ἐν-* 10 *νόησον γὰρ ὅσον ἐστί, ψυχὴν ἀπελθοῦσαν ἐκεῖ, μηκέτι τέλος προσδοκᾶν τῶν ἀγαθῶν ἐκείνων, μηδὲ μεταβολήν, ἀλλὰ ἐπίδοσιν καὶ ζωὴν τέλος οὐκ ἔχουσαν, παντὸς μὲν κινδύνου, πάσης δὲ ἀθυμίας καὶ φροντίδος ἀπηλλαγμένην, μεστὴν εὐθυμίας καὶ μυρίων ἀγαθῶν.*

15 *Εἰ γὰρ εἰς πεδίον ἐξιόντες, ἔνθα σκηνὰς ὁρῶμεν στρατιωτῶν ἐκ παραπετασμάτων πηγνυμένας, καὶ δόρατα καὶ κράνη καὶ ὀμφαλοὺς ἀσπίδων λάμποντας, μετέωροι γινόμεθα τῷ θαύματι, εἰ δὲ καὶ τὸν βασιλέα συμβαίη μέσον ἰδεῖν τρέχοντα ἢ καὶ ἵππον ἐλαύνοντα μετὰ ὅπλων χρυσῶν, τὸ πᾶν ἔχειν νομίζομεν, τί οἴει,* 20 *ὅταν τῶν ἁγίων ἴδῃς τὰς σκηνὰς τὰς αἰωνίους ἐν τῷ οὐρανῷ πεπηγυίας; «Δέξονται γὰρ ὑμᾶς», φησίν, «εἰς τὰς αἰωνίους αὐτῶν σκηνάς»· ὅταν αὐτῶν ἕκαστον ὑπὲρ τὰς ἀκτῖνας τὰς ἡλιακὰς ἴδῃς ἀπολάμποντα, οὐκ ἀπὸ χαλκοῦ καὶ σιδήρου, ἀλλ' ἀπὸ τῆς δόξης ἐκείνης, ἧς τὰς μαρμαρυγὰς ἀνθρώπινος ὀφθαλμὸς οὐ δύ-* 25 *ναται ἰδεῖν; Καὶ ταῦτα μὲν ἐπὶ τῶν ἀνθρώπων· τί δ' ἄν τις εἴποι τὰς χιλιάδας τῶν ἀγγέλων, τῶν ἀρχαγγέλων, τῶν χερουβίμ, τῶν σεραφίμ, τῶν θρόνων, τῶν κυριοτήτων, τῶν ἀρχῶν, τῶν ἐξουσιῶν, ὧν τὸ κάλλος ἀμήχανον καὶ πάντα νοῦν ὑπερβαῖνον; Ἀλλὰ γὰρ μέχρι τίνος οὐ στήσομαι διώκων ἀκίχητα; «Οὔτε γὰρ* 30 *ὀφθαλμὸς εἶδε», φησίν, «οὔτε οὖς ἤκουσεν, οὔτε ἐπὶ καρδίαν ἀνθρώπου ἀνέβη, ἃ ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτόν».*

---

16. Λουκᾶ 16,9.
17. Α' Κορ. 2,9.

Ἔτσι εἶναι ἡ κατάσταση αὐτὴ καὶ ἐκείνη. Ἢ σκέψου, ἂν κάποιος φυλακισμένος, ποὺ ἔπαθε ἄπειρα κακά, ὁδηγηθεῖ ξαφνικὰ στὸ βασιλικὸ θρόνο.

Ὅμως οὔτε ἔτσι πλησίασα ἀκριβῶς τὴν εἰκόνα. Γιατὶ ἐδῶ ὅσα καλὰ κι ἂν ἐπιτύχει κανείς, ἀκόμη ἂν πεῖς καὶ τὴν ἴδια τὴ βασιλεία, ἔχει ἔντονο τὸν πόθο τους τὴν πρώτη καὶ τὴ δεύτερη καὶ τὴν τρίτη ἡμέρα, ἀλλὰ μὲ τὸ πέρασμα τοῦ χρόνου, ἐξακολουθεῖ βέβαια νὰ αἰσθάνεται εὐχαρίστηση, ὄχι ὅμως τόσο μεγάλη· γιατὶ πάντοτε τελειώνει ἀπὸ τὴ συνήθεια, ὅποια καὶ ἂν εἶναι. Ἐκεῖ ὅμως ὄχι μόνο δὲ μειώνεται, ἀλλὰ καὶ αὐξάνεται. Γιατὶ σκέψου πόσο μεγάλο πράγμα εἶναι, ὅταν ἡ ψυχὴ μεταβεῖ ἐκεῖ νὰ μὴν περιμένει πιὰ νὰ τελειώσουν τὰ ἀγαθὰ ἐκεῖνα οὔτε νὰ μεταβληθοῦν, ἀλλὰ νὰ αὐξάνονται, καὶ μιὰ ζωὴ ποὺ δὲν τελειώνει καὶ εἶναι ἀπαλλαγμένη ἀπὸ κάθε κίνδυνο καὶ κάθε λύπη καὶ φροντίδα καὶ εἶναι γεμάτη ἀπὸ χαρὰ καὶ ἄπειρα ἀγαθά.

Ἂν λοιπόν, πηγαίνοντας σὲ μιὰ πεδιάδα, ὅπου βλέπουμε στημένες σκηνὲς στρατιωτῶν ἀπὸ παραπετάσματα, δόρτα, κράνη καὶ λαμπερὲς ἀσπίδες, μένουμε ἔκθαμβοι ἀπὸ τὸ θέαμα, καὶ ἂν τύχει νὰ δοῦμε στὴ μέση τὸ βασιλιὰ νὰ τρέχει ἢ καὶ νὰ ὁδηγεῖ τὸ ἄλογό του μὲ ὅπλα χρυσά, νομίζουμε ὅτι ἔχουμε τὰ πάντα, πῶς νομίζεις ὅτι θὰ αἰσθάνεσαι ὅταν δεῖς τὶς αἰώνιες σκηνὲς τῶν ἁγίων ποὺ στήθηκαν στὸν οὐρανό; (γιατὶ λέγει, «θὰ σᾶς δεχθοῦν στὶς αἰώνιες σκηνές τους»[16])· ὅταν δεῖς τὸν καθένα ἀπ' αὐτοὺς νὰ λάμπει περισσότερο ἀπὸ τὶς ἀκτίνες τοῦ ἥλιου, ὄχι ἀπὸ τὸ χαλκὸ καὶ τὸ σίδηρο, ἀλλὰ ἀπὸ τὴ δόξα ἐκείνη, τῆς ὁποίας τὴν ἀκτινοβολία δὲν μπορεῖ νὰ δεῖ τὸ ἀνθρώπινο μάτι; Καὶ αὐτὰ βέβαια σχετικὰ μὲ τοὺς ἀνθρώπους. Τί θὰ μποροῦσε ὅμως νὰ πεῖ κανεὶς γιὰ τὶς χιλιάδες τῶν ἀγγέλων, τῶν ἀρχαγγέλων, τῶν χερουβίμ, τῶν σεραφίμ, τῶν θρόνων, τῶν κυριοτήτων, τῶν ἀρχῶν, τῶν ἐξουσιῶν, τῶν ὁποίων ἡ ὀμορφιὰ εἶναι ἀσυναγώνιστη καὶ ξεπερνάει κάθε νοῦ; Ἀλλὰ ὡς πότε δὲν θὰ σταματήσω νὰ ἐπιδιώκω πράγματα ἀκατόρθωτα; Γιατὶ λέγει, «οὔτε μάτι εἶδε, οὔτε αὐτὶ ἄκουσε, οὔτε νοῦς ἀνθρώπου συνέλαβε ἐκεῖνα ποὺ ἑτοίμασε ὁ Θεὸς γιὰ ἐκείνους ποὺ τὸν ἀγαποῦν»[17].

Οὐκοῦν οὐδὲν ἐλεεινότερον τῶν ἀποτυγχανόντων, οὔτε μακαριώτερον τῶν ἐπιτυγχανόντων· γένοιτο δὲ καὶ ἡμᾶς τῶν μακαρίων γενέσθαι, ἵνα καὶ τῶν αἰωνίων ἐπιτύχωμεν ἀγαθῶν ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ 5 ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Τίποτε λοιπὸν δὲν εἶναι ἀθλιότερο ἀπ' αὐτοὺς ποὺ δὲν τὸ κατορθώνουν αὐτό, οὔτε εὐτυχέστερο ἀπὸ ἐκείνους ποὺ τὸ κατορθώνουν. Εἴθε καὶ ἐμεῖς νὰ γίνουμε ἀπὸ τοὺς εὐτυχισμένους, γιὰ νὰ ἐπιτύχουμε καὶ τὰ αἰώνια ἀγαθὰ μὲ τὸ θέλημα τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μαζὶ μὲ τὸν ὁποῖο στὸν Πατέρα καὶ συγχρόνως στὸ ἅγιο Πνεῦμα ἀνήκει ἡ δόξα, ἡ δύναμη καὶ ἡ τιμή, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ Ζ'
(Ἑβρ. 4,11-16)

«Σπουδάσωμεν οὖν εἰσελθεῖν εἰς ἐκείνην τὴν καταύπαυσιν, ἵνα μὴ ἐν τῷ αὐτῷ τις ὑποδείγματι πέσῃ τῆς ἀπειθείας. Ζῶν γὰρ ὁ λόγος τοῦ Θεοῦ καὶ ἐνεργὴς καὶ τομώτερος ὑπὲρ πᾶσαν μάχαιραν δίστομον, καὶ διικνούμενος ἄχρι τοῦ
5 μερισμοῦ ψυχῆς καὶ πνεύματος, ἁρμῶν τε καὶ μυελῶν, καὶ κριτικὸς ἐνθυμήσεων καὶ ἐννοιῶν καρδίας· καὶ οὐκ ἔστι κτίσις ἀφανὴς ἐνώπιον αὐτοῦ, πάντα δὲ γυμνὰ καὶ τετραχηλισμένα τοῖς ὀφθαλμοῖς αὐτοῦ, πρὸς ὃν ἡμῖν ὁ λόγος».

1. Μέγα μὲν ἡ πίστις καὶ σωτήριον καὶ ταύτης ἄνευ οὐκ ἔνι
10 σωθῆναί ποτε. Ἀλλ' οὐκ ἀρκεῖ καθ' ἑαυτὴν τοῦτο ἐργάσασθαι, ἀλλὰ δεῖ καὶ πολιτείας ὀρθῆς. Ὥστε διὰ τοῦτο καὶ Παῦλος τοῖς ἤδη τῶν μυστηρίων καταξιωθεῖσι παραινεῖ, λέγων· «σπουδάσωμεν εἰσελθεῖν εἰς ἐκείνην τὴν κατάπαυσιν». «Σπουδάσωμεν», φησί, ὡς οὐκ ἀρκούσης τῆς πίστεως, ἀλλ' ὀφείλοντος προστε-
15 θῆναι καὶ τοῦ βίου καὶ πολλὴν τὴν σπουδὴν γενέσθαι. Δεῖ γὰρ ἡμῖν ὄντως καὶ πολλῆς σπουδῆς, ὥστε ἀνελθεῖν εἰς τὸν οὐρανόν. Εἰ γὰρ γῆς οὐκ ἠξιώθησαν οἱ τοσαῦτα ταλαιπωρηθέντες ἐν τῇ ἐρήμῳ καὶ γῆς τυχεῖν οὐκ ἠδυνήθησαν, ἐπειδὴ ἐγόγγυσαν καὶ ἐπόρνευσαν, πῶς τῶν οὐρανῶν ἡμεῖς καταξιωθησόμεθα, ἀδια-
20 φόρως ζῶντες καὶ ῥᾳθύμως; Δεῖ τοίνυν ἡμῖν πολλῆς σπουδῆς.

Καὶ ὅρα, οὐ μέχρι τούτου τὴν ζημίαν ὁρίζει μόνον, τοῦ μὴ εἰσελθεῖν· οὐ γὰρ εἶπε, 'σπουδάσωμεν εἰσελθεῖν εἰς τὴν κατάπαυσιν, ἵνα μὴ ἐκπέσωμεν τοσούτων ἀγαθῶν', ἀλλ' ὃ μάλιστα τοὺς ἀνθρώπους διεγείρει, τοῦτο προσέθηκε. Ποῖον δὴ τοῦτο;

ΟΜΙΛΙΑ Ζ'

(Ἑβρ. 4,11–16)

«Ἂς φροντίσουμε λοιπὸν νὰ μποῦμε στὴν ἀνάπαυση ἐκείνη, γιὰ νὰ μὴν πέσει κανεὶς στὸ ἴδιο παράδειγμα ἀπιστίας. Γιατὶ ὁ λόγος τοῦ Θεοῦ εἶναι ζωντανὸς καὶ δραστικός, πιὸ κοφτερὸς ἀπὸ κάθε δίκοπο μαχαίρι· εἰσχωρεῖ βαθιά, ὡς ἐκεῖ ποὺ χωρίζει τὴν ψυχὴ ἀπὸ τὸ πνεῦμα, τὶς ἀρθρώσεις ἀπὸ τὸ μεδούλι, καὶ κρίνει τοὺς διαλογισμοὺς καὶ τὶς προθέσεις τῆς καρδιᾶς. Δὲν ὑπάρχει δημιούργημα ποὺ νὰ τοῦ εἶναι κρυμμένο, ἀλλ' εἶναι ὅλα γυμνὰ καὶ φανερὰ στὰ μάτια του, πρὸς τὸν ὁποῖο θὰ δώσουμε λόγο».

1. Ἡ πίστη εἶναι μεγάλο καὶ σωτήριο πράγμα, καὶ χωρὶς αὐτὴ δὲν μπορεῖ κανεὶς νὰ σωθεῖ ποτέ. Ὅμως δὲν εἶναι σὲ θέση νὰ τὸ πράξει αὐτὸ μόνη της, ἀλλὰ χρειάζεται καὶ ὀρθὸ τρόπο ζωῆς. Ἑπομένως γι' αὐτὸ καὶ ὁ Παῦλος συμβουλεύει αὐτοὺς ποὺ ἀξιώθηκαν ἤδη τὰ μυστήρια λέγοντας· «ἂς φροντίσουμε λοιπὸν νὰ μποῦμε στὴν ἀνάπαυση ἐκείνη». «Ἂς φροντίσουμε», λέγει, ἐπειδὴ δὲν ἀρκεῖ ἡ πίστη, ἀλλὰ πρέπει νὰ προστεθεῖ καὶ ὁ τρόπος ζωῆς καὶ νὰ γίνει μεγάλη ἡ προσπάθεια. Γιατὶ μᾶς χρειάζεται πραγματικὰ καὶ μεγάλη προσπάθεια, ὥστε ν' ἀνεβοῦμε στὸν οὐρανό. Ἀφοῦ δὲν κρίθηκαν ἄξιοι γιὰ τὴ γῆ ἐκεῖνοι ποὺ τόσο πολὺ ταλαιπωρήθηκαν στὴν ἔρημο καὶ δὲν μπόρεσαν νὰ λάβουν τὴ γῆ, ἐπειδὴ γόγγυσαν καὶ πόρνευσαν, πῶς ἐμεῖς θὰ θεωρηθοῦμε ἄξιοι γιὰ τοὺς οὐρανούς, ὅταν ζοῦμε μὲ ἀδιαφορία καὶ ραθυμία; Χρειαζόμαστε λοιπὸν μεγάλη προσπάθεια.

Καὶ πρόσεχε· δὲν ὁρίζει μέχρι ἐδῶ μόνο τὴ ζημία, νὰ μὴν μποῦμε στὴν ἀνάπαυση. Γιατὶ δὲν εἶπε, 'ἂς φροντίσουμε νὰ μποῦμε στὴν ἀνάπαυση, γιὰ νὰ μὴ χάσουμε τόσο μεγάλα ἀγαθά', ἀλλὰ ἐκεῖνο ποὺ πάρα πολὺ διεγείρει τοὺς ἀνθρώπους, αὐτὸ

Τό, «ἵνα μὴ ἐν τῷ αὐτῷ τις ὑποδείγματι πέσῃ τῆς ἀπειθείας»· τουτέστιν, ἵνα τὸν νοῦν ἔχωμεν ἐκεῖ, τὴν ἐλπίδα, τὴν προσδοκίαν, ἵνα μὴ ὁμοίως ἐκπέσωμεν. Ὅτι γὰρ ἐκπεσούμεθα, τὸ ὑπόδειγμα δηλοῖ· «μὴ ἐν τῷ αὐτῷ», φησίν. Εἶτα, ἵνα μὴ ἀκούων, «ἐν 5 τῷ αὐτῷ», τὴν αὐτὴν εἶναι νομίσῃς τιμωρίαν, ἄκουσον τί ἐπάγει· «ζῶν γὰρ ὁ λόγος τοῦ Θεοῦ καὶ ἐνεργὴς καὶ τομώτερος ὑπὲρ πᾶσαν μάχαιραν δίστομον, καὶ διικνούμενος ἄχρι μερισμοῦ ψυχῆς τε καὶ πνεύματος, ἁρμῶν τε καὶ μυελῶν, καὶ κριτικὸς ἐνθυμήσεων καὶ ἐννοιῶν καρδίας». Δείκνυσι κἀνταῦθα, ὅτι κἀκεῖνα αὐτὸς 10 εἰργάσατο ὁ τοῦ Θεοῦ λόγος, καὶ ζῇ καὶ οὐκ ἐσβέσθη. Μὴ τοίνυν, ἐπειδὴ λόγον ἤκουσας, ἁπλῶς λόγον νομίσῃς· μαχαίρας γάρ ἐστι, φησί, τομώτερος.

Ὅρα τὴν συγκατάβασιν καὶ ἐντεῦθεν μάνθανε τίνος ἕνεκεν ἐδεήθησαν καὶ οἱ προφῆται εἰπεῖν μάχαιραν καὶ τόξον καὶ 15 ῥομφαίαν. «Ἐὰν μὴ ἐπιστραφῆτε», φησί, «τὴν ῥομφαίαν αὐτοῦ στιλβώσει, τὸ τόξον αὐτοῦ ἐνέτεινε καὶ ἡτοίμασεν αὐτό». Εἰ γὰρ νῦν μετὰ τοσοῦτον χρόνον καὶ τελείωσιν οὐ δύναται τῷ τοῦ λόγου ὀνόματι καταπλῆξαι μόνον, ἀλλὰ δεῖται τούτων τῶν ῥημάτων, ἵνα δείξῃ τὴν ὑπεροχὴν τὴν ἐκ τῆς συγκρίσεως, πολλῷ 20 μᾶλλον τότε. «Διικνούμενος», φησίν, «ἄχρι μερισμοῦ ψυχῆς καὶ πνεύματος». Τί ἐστι τοῦτο; Φοβερόν τι ᾐνίξατο. Ἢ γὰρ ὅτι τὸ πνεῦμα διαιρεῖ ἀπὸ τῆς ψυχῆς λέγει, ἢ ὅτι καὶ αὐτῶν τῶν ἀσωμάτων διικνεῖται, οὐ καθὼς ἡ μάχαιρα μόνον τῶν σωμάτων. Δείκνυσιν ἐνταῦθα, ὅτι καὶ ἡ ψυχὴ κολάζεται, καὶ ὅτι τὰ ἐνδότα-25 τα διερευνᾶται, καὶ ὅλον δι' ὅλου διικνεῖται τὸν ἄνθρωπον.

«Καὶ κριτικὸς ἐνθυμήσεων καὶ ἐννοιῶν καρδίας. Καὶ οὐκ ἔστι κτίσις ἀφανὴς ἐνώπιον αὐτοῦ». Ἐνταῦθα αὐτοὺς μάλιστα ἐφόβησεν. Ὃ δὲ λέγει, τοῦτό ἐστι· μὴ γάρ, εἰ ἔτι, φησίν, ἐν τῇ πίστει ἑστήκατε, μὴ μετὰ πληροφορίας δέ, θαρρεῖτε· αὐτὸς τὰ ἐν τῇ 30 καρδίᾳ κρινεῖ· ἐκεῖ γὰρ διαβαίνει καὶ κολάζων καὶ ἐξετάζων. Καὶ τί λέγω περὶ ἀνθρώπων, φησί; κἂν γὰρ ἀγγέλους εἴπῃς, κἂν

1. Ψαλμ. 7,13.

πρόσθεσε. Ποιό λοιπὸν εἶναι αὐτό; Τὸ «γιὰ νὰ μὴν πέσει κανεὶς στὸ ἴδιο παράδειγμα τῆς ἀπείθειας». Δηλαδή, γιὰ νὰ ἔχουμε ἐκεῖ τὸ νοῦ μας, τὴν ἐλπίδα καὶ τὴν προσδοκία, γιὰ νὰ μὴ χάσουμε ὅμοια τὴν ἀνάπαυση. Γιὰ τὸ ὅτι θὰ τὴ χάσουμε, τὸ φανερώνει τὸ παράδειγμα. «Νὰ μὴν πέσει κανεὶς στὸ ἴδιο», λέγει. Ἔπειτα, γιὰ νὰ μὴ νομίσεις, ὅταν ἀκούσεις «στὸ ἴδιο», ὅτι ὑπάρχει ἡ ἴδια τιμωρία, ἄκουσε τί προσθέτει· «γιατὶ ὁ λόγος τοῦ Θεοῦ εἶναι ζωντανὸς και δραστικός, πιὸ κοφτερὸς ἀπὸ κάθε δίκοπο μαχαίρι· εἰσχωρεῖ βαθιά, ὡς ἐκεῖ ποὺ χωρίζει τὴν ψυχὴ ἀπὸ τὸ πνεῦμα, τὶς ἀρθρώσεις ἀπὸ τὸ μεδούλι, καὶ κρίνει τοὺς διαλογισμοὺς καὶ τὶς προθέσεις τῆς καρδιᾶς». Δείχνει καὶ ἐδῶ, ὅτι καὶ ἐκεῖνα τὰ ἔκανε ὁ ἴδιος ὁ λόγος τοῦ Θεοῦ, καὶ ὅτι ζεῖ καὶ δὲ σβήσθηκε. Μὴ λοιπόν, ἐπειδὴ ἄκουσες γιὰ λόγο, τὸν θεωρήσεις ἁπλῶς λόγο· γιατὶ εἶναι, λέγει, πιὸ κοφτερὸς ἀπὸ μαχαίρι.

Πρόσεχε τὴ συγκατάβαση καὶ μάθαινε ἀπὸ ἐδῶ γιὰ ποιά αἰτία χρειάσθηκαν καὶ οἱ προφῆτες νὰ μιλήσουν γιὰ μαχαίρι καὶ τόξο καὶ ρομφαία. «Ἂν δὲ μετανοήσετε», λέγει, «θὰ τροχίσει τὴ ρομφαία του, τέντωσε τὸ τόξο του καὶ τὸ ἑτοίμασε»[1]. Ἂν λοιπὸν τώρα, ὕστερα ἀπὸ τόσα χρόνια καὶ πνευματικὴ τελείωση, δὲν μπορεῖ νὰ φοβίσει μόνο μὲ τὸ ὄνομα τοῦ λόγου, ἀλλὰ χρειάζεται αὐτὲς τὶς λέξεις, γιὰ νὰ δείξει τὴν ὑπεροχὴ ἀπὸ τὴ σύγκριση, πολὺ περισσότερο δὲ θὰ μποροῦσε τότε. «Εἰσχωρεῖ βαθιά», λέγει, «ὡς ἐκεῖ ποὺ χωρίζει τὴν ψυχὴ ἀπὸ τὸ πνεῦμα». Τί σημαίνει αὐτό; Ὑπαινίχθηκε κάτι φοβερό. Ἢ ἐννοεῖ ὅτι χωρίζει τὸ πνεῦμα ἀπὸ τὴν ψυχή, ἢ ὅτι εἰσχωρεῖ βαθιὰ καὶ σ' αὐτὰ ἀκόμη τὰ πνευματικά, ὄχι ὅπως τὸ μαχαίρι ποὺ εἰσχωρεῖ μόνο στὰ ὑλικά. Ἐδῶ δείχνει ὅτι καὶ ἡ ψυχὴ τιμωρεῖται καὶ ὅτι τὰ ἐσώτατα διερευνοῦνται καὶ ὅτι εἰσχωρεῖ μέσα σὲ ὅλον τὸν ἄνθρωπο.

«Καὶ κρίνει τοὺς διαλογισμοὺς καὶ τὶς προθέσεις τῆς καρδιᾶς. Καὶ δὲν ὑπάρχει δημιούργημα ποὺ νὰ τοῦ εἶναι κρυμμένο». Ἐδῶ τοὺς φόβισε πάρα πολύ. Αὐτὸ ποὺ λέγει σημαίνει τὸ ἑξῆς· νὰ μὴν ἐλπίζετε, λέγει, ἂν παραμένετε ἀκόμη στὴν πίστη, ἀλλ' ὄχι μὲ σταθερότητα· αὐτὸς θὰ κρίνει ὅσα βρίσκονται στὴν καρδιά, γιατὶ ἐκεῖ φθάνει καὶ γιὰ νὰ τιμωρήσει καὶ γιὰ νὰ ἐξετάσει. Καὶ γιατί λέγω, λέγει, γιὰ τοὺς ἀνθρώπους; Γιατὶ εἴτε ἀναφέρεις

ἀρχαγγέλους, κἂν τὰ χερουβίμ, κἂν τὰ σεραφίμ, κἂν οἵαν δήποτε κτίσιν· πάντα ἐκκεκάλυπται τῷ ὀφθαλμῷ ἐκείνῳ, πάντα δῆλά ἐστι καὶ φανερά, οὐδέν ἐστι τὸ λαθεῖν αὐτὸν δυνατόν· «πάντα γυμνὰ καὶ τετραχηλισμένα τοῖς ὀφθαλμοῖς αὐτοῦ, πρὸς ὃν ἡμῖν ὁ
5 *λόγος». «Τετραχηλισμένα» εἶπεν ἀπὸ μεταφορᾶς τῶν δερμάτων τῶν ἀπὸ τῶν σφαζομένων ἱερείων ἐξελκομένων. Ὥσπερ γὰρ ἐκεῖνα, ἐπειδὰν σφάξας τις ἀπὸ τῆς σαρκὸς παρελκύσῃ τὸ δέρμα, πάντα τὰ ἔνδον ἀποκαλύπτεται καὶ δῆλα γίνεται τοῖς ἡμετέροις ὀφθαλμοῖς, οὕτω καὶ τῷ Θεῷ δῆλα πρόκειται πάντα.*

10 *Σὺ δέ μοι θέα, πῶς ἀεὶ τῶν σωματικῶν εἰκόνων δεῖται, ὅπερ ἦν τῆς ἀσθενείας τῶν ἀκουόντων. Ὅτι γὰρ ἀσθενεῖς ἦσαν, ἐδήλωσεν εἰπὼν νωθροὺς αὐτοὺς εἶναι, καὶ χρείαν ἔχοντας γάλακτος, οὐ στερεᾶς τροφῆς. «Πάντα γυμνά», φησί, «καὶ τετραχηλισμένα τοῖς ὀφθαλμοῖς αὐτοῦ, πρὸς ὃν ἡμῖν ὁ λόγος». Τί δέ*
15 *ἐστιν, «ἐν τῷ αὐτῷ ὑποδείγματι τῆς ἀπειθείας»; Ὡς ἄν τις αἰτιολογούμενος εἴποι, διὰ τί οὐκ εἶδον ἐκεῖνοι τὴν γῆν; Ἔλαβον ἀρραβῶνα, φησί, τῆς τοῦ Θεοῦ δυνάμεως, καὶ δέον πιστεῦσαι, τῷ φόβῳ πλέον δόντες, καὶ μηδὲν μέγα περὶ τοῦ Θεοῦ φαντασθέντες καὶ ὀλιγοψυχήσαντες, οὕτως ἀπώλοντο. Ἔστι δὲ καὶ ἕτερόν τι*
20 *εἰπεῖν, οἷον, ὅτι τὸ πλέον ἀνύσαντες τῆς ὁδοῦ, ὅτε πρὸς αὐταῖς ταῖς θύραις ἐγένοντο, πρὸς αὐτῷ τῷ λιμένι, κατεποντίσθησαν. Τοῦτο καὶ περὶ ὑμῶν δέδοικα, φησί. Τοῦτο τοίνυν ἐστὶ τό, «ἐν τῷ αὐτῷ ὑποδείγματι τῆς ἀπειθείας».*

Ὅτι γὰρ καὶ οὗτοι πολλὰ ἔπαθον, ὕστερον αὐτοῖς μαρτυ-
25 *ρεῖ λέγων· «ἀναμνήσθητε τὰς πρότερον ἡμέρας, ἐν αἷς φωτισθέντες, πολλὴν ἄθλησιν ὑπεμείνατε παθημάτων». Μηδεὶς οὖν ὀλιγοψυχείτω, μηδὲ πρὸς τὸ τέλος ἀπαγορεύων καταπιπτέτω. Εἰσὶ γάρ, εἰσὶν οἵ παρὰ μὲν τὴν ἀρχὴν μετὰ ἀκμαζούσης προσβάλλουσι τῆς προθυμίας πρὸς τοὺς ἀγῶνας· ὕστερον δὲ μικρὸν*
30 *τῷ παντὶ προσθεῖναι μὴ βουληθέντες, τὸ πᾶν ἀπώλεσαν. Ἱκανοί,*

---

2. Ἑβρ. 10,32.

τοὺς ἀγγέλους, εἴτε τοὺς ἀρχαγγέλους, εἴτε τὰ χερουβίμ, εἴτε τὰ σεραφίμ, εἴτε ὁποιοδήποτε δημιούργημα, ὅλα ἔχουν ἀποκαλυφθεῖ μπροστὰ στὸ μάτι ἐκεῖνο, ὅλα εἶναι γνωστὰ καὶ φανερά, τίποτε δὲν ὑπάρχει ποὺ νὰ μπορεῖ νὰ τοῦ διαφύγει. «Ὅλα εἶναι γυμνὰ καὶ φανερὰ στὰ μάτια του, καὶ στὸν ὁποῖο θὰ δώσουμε λόγο». «Τετραχηλισμένα» εἶπε ἀπὸ μεταφορὰ τῶν δερμάτων ποὺ τὰ ἀφαιροῦν ἀπὸ τὰ σφαζόμενα γιὰ θυσία ζῶα. Γιατὶ ὅπως, ὅταν κάποιος σφάξει ἕνα ζῶο καὶ ἀφαιρέσει τὸ δέρμα ἀπὸ τὸ σῶμα του, ἀποκαλύπτονται ὅλα τὰ ἐσωτερικὰ τοῦ ζώου καὶ φανερώνονται στὰ μάτιά μας, ἔτσι καὶ στὸ Θεὸ ὅλα εἶναι φανερὰ ἐνώπιόν του.

Ἐσὺ ὅμως πρόσεχε, σὲ παρακαλῶ, πῶς πάντοτε χρειάζεται τὶς σωματικὲς εἰκόνες, πράγμα ποὺ δείχνει τὴν ἀδυναμία τῶν ἀκροατῶν. Γιὰ τὸ ὅτι ἦταν ἀδύναμοι πνευματικὰ τὸ φανέρωσε ὅταν εἶπε, ὅτι εἶναι νωθροὶ καὶ ἔχουν ἀνάγκη ἀπὸ γάλα καὶ ὄχι ἀπὸ στερεὰ τροφή. «Ὅλα», λέγει, «εἶναι γυμνὰ καὶ φανερὰ στὰ μάτια του, στὸν ὁποῖο θὰ δώσουμε λόγο». Τί σημαίνει ὅμως, «στὸ ἴδιο παράδειγμα τῆς ἀπιστίας»; Ὅπως θὰ μποροῦσε νὰ πεῖ κάποιος ποὺ ἀναζητεῖ τὴν αἰτία· γιατὶ δὲν εἶδαν ἐκεῖνοι τὴ χώρα; Ἔλαβαν, λέγει, ἐγγύηση τῆς δύναμης τοῦ Θεοῦ, καὶ ἐνῶ ἔπρεπε νὰ πιστέψουν, ἐπειδὴ φοβήθηκαν περισσότερο καὶ δὲ φαντάσθηκαν τίποτε σπουδαῖο γιὰ τὸ Θεὸ καὶ λιποψύχησαν, γι' αὐτὸ καταστράφηκαν. Μποροῦμε ὅμως νὰ ποῦμε καὶ κάτι ἄλλο, ὅτι καταποντίσθηκαν ὅταν βάδισαν τὸ περισσότερο μέρος τοῦ δρόμου, ὅταν βρέθηκαν κοντὰ στὶς πύλες, κοντὰ στὸ λιμάνι. Αὐτὸ φοβᾶμαι καὶ γιὰ σᾶς, λέγει. Αὐτὸ λοιπὸν σημαίνει τό, «στὸ ἴδιο παράδειγμα τῆς ἀπιστίας».

Ὅτι λοιπὸν καὶ αὐτοὶ ἔπαθαν πολλά, τὸ βεβαιώνει γι' αὐτοὺς ἀργότερα, λέγοντας· «νὰ θυμᾶστε τὶς ἡμέρες ποὺ πέρασαν, κατὰ τὶς ὁποῖες, ἀφοῦ φωτισθήκατε, ἀγωνισθήκατε καὶ ὑπομείνατε πολλὰ παθήματα»[2]. Κανεὶς λοιπὸν ἂς μὴν εἶναι λιπόψυχος, οὔτε ν' ἀπελπίζεται καὶ νὰ πέφτει κοντὰ στὸ τέλος. Γιατὶ ὑπάρχουν, πραγματικὰ ὑπάρχουν ἐκεῖνοι ποὺ στὴν ἀρχὴ ὁρμοῦν στοὺς ἀγῶνες μὲ μεγάλη προθυμία, ἐπειδὴ ὅμως ἀργότερα δὲ θέλησαν νὰ προσθέσουν κάτι τὸ μικρὸ σὲ ὅλα ἐκεῖνα, ἔχασαν τὰ

φησίν, οἱ πρόγονοι παιδεῦσαι ὑμᾶς μὴ τοῖς αὐτοῖς περιπεσεῖν, ὥστε μὴ τὰ αὐτὰ παθεῖν, ἅπερ ἔπαθον. Τοῦτο δέ ἐστιν, «ἐν τῷ αὐτῷ ὑποδείγματι τῆς ἀπειθείας». Οὐκοῦν μὴ ἐκλυώμεθα, φησίν· ὃ καὶ πρὸς τῷ τέλει λέγει, «τὰς παρειμένας χεῖρας καὶ τὰ 5 παραλελυμένα γόνατα ἀνορθώσατε». «Ἵνα μὴ ἐν τῷ αὐτῷ τις ὑποδείγματι», φησί, «πέσῃ». Τοῦτο γὰρ πεσεῖν ὄντως ἐστίν.

Εἶτα, ἵνα μὴ ἀκούσας, «ἐν τῷ αὐτῷ ὑποδείγματι πέσῃ», τὸν αὐτὸν θάνατον ὑπολάβῃς, ὅνπερ κἀκεῖνοι ὑπέμειναν, ὅρα τί φησι· «ζῶν γὰρ ὁ λόγος τοῦ Θεοῦ καὶ ἐνεργὴς καὶ τομώτερος 10 ὑπὲρ πᾶσαν μάχαιραν δίστομον». Πάσης γὰρ μαχαίρας χαλεπώτερον εἰς τὰς τούτων ἐμπίπτων ψυχὰς ὁ λόγος, πληγὰς ἐργάζεται χαλεπὰς καὶ καιρίας δίδωσι τομάς. Καὶ τούτων τὴν ἀπόδειξιν οὐ δεῖται παρασχεῖν, οὐδὲ κατασκευάσαι, ἔχων οὕτω τὴν διήγησιν φανεράν. Ποῖος γὰρ πόλεμος ἐκείνους ἀπώλεσσε, φησί; ποία 15 μάχαιρα; οὐχ ἁπλῶς αὐτόματοι κατέπιπτον; Μὴ οὖν, ἐπειδὴ μὴ ἐπάθομεν τὰ αὐτά, ἀμεριμνήσωμεν· μέχρις οὗ τὸ σήμερον λέγεται, ἔξεστιν ἡμῖν ἀνακτήσασθαι. Ἀλλ' ἐπεὶ οὕτως εἶπεν, ἵνα μὴ τὰ τῆς ψυχῆς ἀκούσαντες ῥᾳθυμήσωσι, προστίθησι καὶ τὰ τοῦ σώματος, δηλῶν, ὅτι καθάπερ τις βασιλεὺς ἄρχοντας ἁμαρτόν- 20 τας μεγάλα, πρότερον ἀπογυμνοῖ οἷον τῆς στρατείας, εἶτα τὴν ζώνην ἀφελόμενος καὶ τὸ ἀξίωμα καὶ τὸν κήρυκα παραστησάμενος, τότε κολάζει, οὕτω καὶ τοῦ Πνεύματος ἡ μάχαιρα τότε ἐργάζεται.

Εἶτα τοῦτο εἰπών, φοβερώτερον ἔτι τὸν λόγον ποιῶν, περὶ 25 τοῦ Υἱοῦ διαλέγεται, καί φησι· «πρὸς ὃν ἡμῖν ὁ λόγος». Ἀντὶ τοῦ, αὐτῷ μέλλομεν δοῦναι εὐθύνας τῶν πεπραγμένων. Οὐκοῦν μὴ ἀναπέσωμεν, μηδὲ ὀλιγοψυχήσωμεν. Ἱκανὰ μὲν οὖν καὶ τὰ εἰρημένα παιδεῦσαι· ὁ δὲ οὐκ ἀρκεῖται, ἀλλ' ἔτι προστίθησι λέγων· «ἔχομεν δὲ καὶ ἀρχιερέα μέγαν, διεληλυθότα τοὺς οὐρανούς, Ἰη- 30 σοῦν τὸν Υἱὸν τοῦ Θεοῦ».

2. Ὅτι γὰρ διὰ τοῦτο προσέθηκεν, ἐπήγαγεν· «οὐ γὰρ ἔχομεν

---

3. Ἑβρ. 12,12.

πάντα. Οἱ πρόγονοι, λέγει, μποροῦν νὰ σᾶς διδάξουν νὰ μὴν πέσετε στὰ ἴδια παραπτώματα, ὥστε νὰ μὴν πάθετε τὰ ἴδια ποὺ ἔπαθαν ἐκεῖνοι. Αὐτὸ σημαίνει τό, «στὸ ἴδιο παράδειγμα τῆς ἀπιστίας». Ἐπομένως ἂς μὴν καταντοῦμε σὲ παράλυση, λέγει, πράγμα ποὺ τὸ λέγει καὶ πρὸς τὸ τέλος· «σηκῶστε ψηλὰ τὰ ἐξασθενημένα χέρια καὶ τὰ παραλυμένα γόνατα»[3]. «Γιὰ νὰ μὴν πέσει κανεὶς στὸ ἴδιο παράδειγμα», λέγει. Γιατὶ αὐτὸ εἶναι πραγματικὰ πτώση.

Ἔπειτα γιὰ νὰ μὴ συμβεῖ ἀκούοντας «νὰ μὴν πέσει στὸ ἴδιο παράδειγμα» νὰ σκεφθεῖς τὸν ἴδιο θάνατο ποὺ ὑπέμειναν καὶ ἐκεῖνοι, πρόσεχε τί λέγει· «γιατὶ ὁ λόγος τοῦ Θεοῦ εἶναι ζωντανὸς καὶ δραστικὸς καὶ πιὸ κοφτερὸς ἀπὸ κάθε δίκοπο μαχαίρι». Γιατὶ ὁ λόγος ποὺ πέφτει στὶς ψυχὲς αὐτῶν πιὸ κοφτερὰ ἀπὸ κάθε μαχαίρι προκαλεῖ φοβερὰ πλήγματα καὶ ἀνοίγει θανάσιμες πληγές. Καὶ δὲν ἔχει ἀνάγκη νὰ δώσει ἀπόδειξη γι' αὐτὰ οὔτε νὰ τὰ ἀποδείξει, ἀφοῦ ἔχει τόσο φανερὴ τὴ διήγηση. Γιατὶ ποιός πόλεμος, λέγει, ἀφάνισε ἐκείνους; ποιό μαχαίρι; Δὲν ἔπεφταν ἁπλῶς μόνοι τους; Ἂς μὴν ἀδιαφορήσουμε λοιπόν, ἐπειδὴ δὲν πάθαμε τὰ ἴδια· ὅσο ἰσχύει τὸ σήμερα, εἶναι δυνατὸ νὰ τὰ ξαναπάθουμε. Ἐπειδὴ ὅμως μίλησε ἔτσι, γιὰ νὰ μὴ γίνουν ράθυμοι, ἀκούοντας τὰ σχετικὰ μὲ τὴν ψυχή, προσθέτει καὶ ὅσα ἔχουν σχέση μὲ τὸ σῶμα, δηλώνοντας ὅτι, ὅπως ἕνας βασιλιὰς τοὺς ἄρχοντες ποὺ διέπραξαν μεγάλα σφάλματα πρῶτα τοὺς στερεῖ τὴν ἐκστρατεία, ἔπειτα τοὺς ἀφαιρεῖ τὴ ζώνη καὶ τὸ ἀξίωμα καὶ ἔχοντας ὡς μάρτυρα τὸν κήρυκα τότε τοὺς τιμωρεῖ, ἔτσι ἐνεργεῖ καὶ τὸ μαχαίρι τοῦ Πνεύματος τότε.

Ἔπειτα, ἀφοῦ τὸ εἶπε αὐτό, κάνοντας τὸ λόγο ἀκόμη πιὸ φοβερό, μιλάει γιὰ τὸν Υἱὸ καὶ λέγει· «σ' αὐτὸν θὰ δώσουμε λόγο». Αὐτὸ σημαίνει ὅτι σ' αὐτὸν πρόκειται νὰ δώσουμε λογαριασμὸ γιὰ τὶς πράξεις μας. Ἐπομένως ἂς μὴ δειλιάσουμε οὔτε νὰ λιποψυχήσουμε. Μποροῦν καὶ αὐτὰ ποὺ λέχθηκαν νὰ σᾶς διδάξουν. Αὐτὸς ὅμως δὲν ἀρκεῖται σ' αὐτά, ἀλλὰ προσθέτει καὶ ἄλλα λέγοντας· «ἔχουμε ὅμως μέγα ἀρχιερέα, ποὺ πέρασε τοὺς οὐρανούς, τὸν Ἰησοῦ τὸν Υἱὸ τοῦ Θεοῦ».

2. Ὅτι λοιπὸν γι' αὐτὸ τὸ ἀνέφερε, πρόσθεσε· «γιατὶ δὲν ἔχου-

ἀρχιερέα μὴ δυνάμενον συμπαθῆσαι ταῖς ἀσθενείαις ἡμῶν». Διὰ τοῦτο ἀνωτέρω ἔλεγεν· «ἐν ᾧ πέπονθεν αὐτὸς πειρασθείς, δύναται τοῖς πειραζομένοις βοηθῆσαι». Ὅρα τοίνυν πῶς καὶ ἐνταῦθα τὸ αὐτὸ ποιεῖ. Ὃ δε λέγει, τοιοῦτόν ἐστιν· ἦλθε, φησίν, ὁδὸν ἣν 5 καὶ ἡμεῖς νῦν, μᾶλλον δὲ καὶ τραχυτέραν· πάντων γὰρ ἔλαβε τῶν ἀνθρωπίνων πεῖραν. Εἶπεν ἐκεῖ, «οὐκ ἔστι κτίσις ἀφανὴς ἐνώπιον αὐτοῦ», τὴν θεότητα αἰνιττόμενος. Εἶτα, ἐπειδὴ τῆς σαρκὸς ἐπελάβετο, συγκαταβατικώτερον πάλιν διαλέγεται λέγων· «ἔχοντες οὖν ἀρχιερέα μέγαν, διεληλυθότα τοὺς οὐρανούς»· καὶ 10 μείζονα δείκνυσι τὴν κηδεμονίαν, καὶ ὅτι ὥσπερ οἰκείων προΐσταται, καὶ οὐ θέλει αὐτοὺς ἐκπεσεῖν. Μωϋσῆς μὲν γάρ, φησίν, οὐκ εἰσῆλθεν εἰς τὴν κατάπαυσιν, αὐτὸς δὲ εἰσῆλθε· καὶ πῶς, ἐγὼ λέγω. Οὐ θαυμαστὸν δέ, εἰ οὐδαμοῦ αὐτὸ τέθεικεν· ἢ γὰρ ἵνα μὴ δόξωσιν ἀπολογίαν εὑρίσκειν, συμπεριέλαβε καὶ αὐτόν· ἢ ἵνα 15 μὴ δόξῃ κατηγορεῖν τοῦ ἀνδρός, φανερῶς αὐτὸ οὐκ εἶπεν. Εἰ γάρ, οὐδενὸς τούτων λεχθέντος, ταῦτα προέφερον, λέγοντες, 'κατὰ τοῦ Μωϋσέως καὶ κατὰ τοῦ νόμου οὗτος εἴρηκε', πολλῷ μᾶλλον εἰ εἶπεν, οὐκ ἔστι Παλαιστίνη, ἀλλ' οὐρανός, μείζονα ἂν τούτων εἶπον.

20 *Ἀλλ' οὐ τὸ πᾶν τῷ ἱερεῖ δίδωσιν, ἀλλὰ καὶ τὰ παρ' ἡμῶν ζητεῖ, λέγω δὴ τὴν ὁμολογίαν. «Ἔχοντες οὖν», φησίν, «ἀρχιερέα μέγαν διεληλυθότα τοὺς οὐρανούς, Ἰησοῦν τὸν Υἱὸν τοῦ Θεοῦ, κρατῶμεν τῆς ὁμολογίας». Ποίαν ὁμολογίαν λέγει; Ὅτι ἀνάστασίς ἐστιν, ὅτι ἀνταπόδοσις, ὅτι μυρία ἀγαθά, ὅτι ὁ Χρι- 25 στὸς Θεός ἐστιν, ὅτι ἡ πίστις ὀρθή· ταῦτα ὁμολογήσωμεν, ταῦτα κατέχωμεν. Ὅτι δὲ ταῦτα ἀληθῆ, δῆλον ἐκ τοῦ τὸν ἀρχιερέα ἔνδον εἶναι. Οὐκοῦν ὅτι οὐκ ἐξεπέσομεν, ὁμολογήσωμεν· εἰ καὶ μὴ πάρεστι τὰ πράγματα, ἀλλ' ἡμεῖς ὁμολογήσωμεν· εἰ ἄρτι παρῆν, ψεῦδος ἦν. Ὥστε καὶ τοῦτο ἀληθές, τὸ ὑπερτίθεσθαι· καὶ γὰρ ὁ 30 ἀρχιερεὺς ἡμῶν μέγας· «οὐ γὰρ ἔχομεν ἀρχιερέα μὴ δυνάμενον συμπαθῆσαι ταῖς ἀσθενείαις ἡμῶν». Οὐκ ἔστι, φησίν, ἀγνοῶν τὰ*

με ἀρχιερέα ποὺ νὰ μὴν μπορεῖ νὰ δείξει συμπάθεια στὶς ἀδυναμίες μας». Γι' αὐτὸ ἔλεγε παραπάνω, «ἐπειδὴ ὁ ἴδιος ἔπαθε καὶ δοκιμάσθηκε, μπορεῖ νὰ βοηθήσει αὐτοὺς ποὺ δοκιμάζονται». Πρόσεχε λοιπὸν πῶς καὶ ἐδῶ κάνει τὸ ἴδιο. Αὐτὸ ποὺ λέγει σημαίνει τὸ ἑξῆς· βάδισε, λέγει, δρόμο ποὺ καὶ ἐμεῖς βαδίζουμε τώρα, ἢ καλύτερα καὶ τραχύτερο, γιατὶ γνώρισε ὅλα τὰ ἀνθρώπινα. Εἶπε ἐκεῖ, «δὲν ὑπάρχει δημιούργημα ποὺ νὰ τοῦ εἶναι κρυμμένο», ὑπονοώντας τὴ θεότητα. Στὴ συνέχεια, ἐπειδὴ ἀναφέρθηκε στὸ σῶμα, μὲ περισσότερη συγκατάβαση πάλι μιλάει λέγοντας, «γιατὶ ἔχουμε μέγα ἀρχιερέα, ποὺ πέρασε τοὺς οὐρανούς», καὶ δείχνει μεγαλύτερη τὴ φροντίδα καὶ ὅτι προστατεύει τοὺς δικούς του καὶ ὅτι δὲ θέλει νὰ πέσουν. Γιατὶ ὁ Μωυσῆς, λέγει, δὲν μπῆκε στὴν ἀνάπαυση, ἐνῶ αὐτὸς μπῆκε. Καὶ πῶς ἔγινε αὐτό, ἐγὼ θὰ σᾶς πῶ. Δὲν εἶναι ὅμως παράδοξο, ἂν δὲν τὸ ἀνέφερε πουθενὰ αὐτό. Ἢ δηλαδὴ συμπεριέλαβε καὶ αὐτὸν γιὰ νὰ μὴ νομίσουν ὅτι βρῆκαν ἀπολογία, ἢ γιὰ νὰ μὴ φανεῖ ὅτι κατηγορεῖ τὸν ἄνδρα, φανερὰ αὐτὸ δὲν τὸ ἀνέφερε. Ἂν λοιπόν, χωρὶς νὰ λεχθεῖ τίποτε ἀπ' αὐτά, τὰ εἶπαν αὐτὰ λέγοντας «αὐτὸς μίλησε ἐναντίον τοῦ Μωυσῆ καὶ ἐναντίον τοῦ νόμου», πολὺ περισσότερο ἂν ἔλεγε, 'δὲν εἶναι ἡ Παλαιστίνη, ἀλλ' ὁ οὐρανός', θὰ ἔλεγαν μεγαλύτερα ἀπ' αὐτά.

Ὅμως δὲν ἀναθέτει τὰ πάντα στὸν ἱερέα, ἀλλὰ ζητάει καὶ τὰ δικά μας, καὶ ἐννοῶ τὴν ὁμολογία τῆς πίστης. «Ἐπειδὴ λοιπόν», λέγει, «ἔχουμε μέγα ἀρχιερέα, ποὺ πέρασε τὸν οὐρανό, τὸν Ἰησοῦ τὸν Υἱὸ τοῦ Θεοῦ, ἂς κρατᾶμε σταθερὰ τὴν ὁμολογία μας». Ποιά ὁμολογία ἐννοεῖ; Ὅτι ὑπάρχει ἀνάσταση, ὅτι ὑπάρχει ἀνταπόδοση, ὅτι ὑπάρχουν ἄπειρα ἀγαθά, ὅτι ὁ Χριστὸς εἶναι Θεός, ὅτι ἡ πίστη εἶναι ὀρθή. Αὐτὰ ἂς ὁμολογήσουμε, αὐτὰ ἂς κρατᾶμε σταθερά. Καὶ ὅτι αὐτὰ εἶναι ἀληθινά, φαίνεται ἀπὸ τὸ ὅτι ὁ ἀρχιερέας εἶναι μέσα. Ἑπομένως ἂς ὁμολογήσουμε ὅτι δὲν ἔχουμε πέσει. Ἂν καὶ τὰ πράγματα δὲν εἶναι κοντά, ἐμεῖς ὅμως ἂς ὁμολογήσουμε· ἂν ἦταν πρὶν ἀπὸ λίγο, ἦταν ψέμα. Ὥστε καὶ αὐτὸ εἶναι ἀληθινό, τὸ ὅτι μετατίθενται. Καθόσον καὶ ὁ ἀρχιερέας μας εἶναι μέγας· «γιατὶ δὲν ἔχουμε ἀρχιερέα ποὺ νὰ μὴν μπορεῖ νὰ δείξει συμπάθεια στὶς ἀδυναμίες μας». Δὲν ἀγνοεῖ, λέγει,

ἡμέτερα, ὡς πολλοὶ τῶν ἀρχιερέων, οἳ τοὺς ἐν θλίψεσιν οὐκ ἴσασιν, ἀλλ' οὐδὲ ὅ τι ποτέ ἐστι θλῖψις. Ἐπὶ γὰρ τῶν ἀνθρώπων ἀδύνατον εἰδέναι τὴν κάκωσιν τοῦ κακουμένου τὸν μὴ πεῖραν λαβόντα καὶ διὰ τῶν αἰσθητῶν ἐλθόντα. Πάντα ὑπέστη ὁ ἀρχιε- 5 *ρεὺς ὁ ἡμέτερος· διὰ γὰρ τοῦτο πρῶτον ὑπέστη, καὶ τότε ἀνέβη, ἵνα δύνηται συμπαθεῖν.*

«Πεπειρασμένον δὲ κατὰ πάντα καθ' ὁμοιότητα χωρὶς ἁμαρτίας». Ὅρα πῶς καὶ ἄνω τό, «παραπλησίως», ἔθηκε, καὶ ἐνταῦθα τό, «καθ' ὁμοιότητα». Τουτέστιν, ἐδιώχθη, ἐνεπτύσθη, 10 *κατηγορήθη, ἐσκώφθη ἐσυκοφαντήθη, ἀπηλάθη, τὸ τέλος ἐσταυρώθη. «Καθ' ὁμοιότητα χωρὶς ἁμαρτίας». Ἐνταῦθα καὶ ἄλλο αἰνίττεται, ὅτι δυνατὸν χωρὶς ἁμαρτίας καὶ ἐν θλίψεσιν ὄντα διενεγκεῖν. Ὥστε καὶ ὅταν λέγῃ, «ἐν ὁμοιώματι σαρκός», οὐ τοῦτο φησίν, ὅτι ὁμοίωμα σαρκός, ἀλλ' ὅτι σάρκα ἀνέλαβε.* 15 *Διὰ τί οὖν εἶπεν, «ἐν ὁμοιώματι»; Περὶ ἁμαρτωλοῦ σαρκὸς ἔλεγεν· ὁμοία γὰρ ἦν τῇ σαρκὶ τῇ ἡμετέρᾳ· τῇ μὲν γὰρ φύσει ἡ αὐτὴ ἦν ἡμῖν, τῇ δὲ ἁμαρτίᾳ οὐκέτι ἡ αὐτή.*

«Προσερχώμεθα οὖν μετὰ παρρησίας τῷ θρόνῳ τῆς χάριτος αὐτοῦ, ἵνα λάβωμεν ἔλεον, καὶ χάριν εὕρωμεν εἰς εὔκαιρον 20 *βοήθειαν». «Θρόνον χάριτος» τίνα φησί; Τὸν θρόνον τὸν βασιλικὸν περὶ οὗ φησιν· «εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου, κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου». Ὡσεὶ ἔλεγε, προσερχώμεθα μετὰ παρρησίας, ὅτι ἀναμάρτητον ἔχομεν ἀρχιερέα, καταγωνιζόμενον τὴν οἰκουμένην· «θαρ-* 25 *σεῖτε» γάρ, φησίν, «ἐγὼ νενίκηκα τὸν κόσμον». Τὸ γὰρ πάντα μὲν παθεῖν, καθαρὸν δὲ εἶναι ἁμαρτημάτων, τοῦτο ἔστιν. Εἰ ἡμεῖς ὑπὸ ἁμαρτίαν ἐσμέν, φησίν, αὐτὸς δὲ ἀναμάρτητος, πῶς προσερχώμεθα μετὰ παρρησίας; Ὅτι θρόνος χάριτός ἐστιν, οὐ θρόνος κρίσεως νῦν. Διὰ τοῦτο «προσερχώμεθα μετὰ παρρη-* 30 *σίας, ἵνα λάβωμεν ἔλεον», οἷον ζητοῦμεν, φησί. Φιλοτιμία γὰρ τὸ πρᾶγμά ἐστι, καὶ δωρεὰ βασιλική.*

«Καὶ χάριν εὕρωμεν εἰς εὔκαιρον βοήθειαν». Καλῶς εἴρη-

---

4. Ψαλμ. 109,1.
5. Ἰω. 16,33.

τὰ δικά μας, ὅπως πολλοὶ ἀρχιερεῖς, οἱ ὁποῖοι δὲ γνωρίζουν αὐτοὺς ποὺ εἶναι σὲ θλίψεις, ἀλλ' οὔτε ὅτι ὑπάρχει ποτὲ θλίψη. Γιατὶ στὴν περίπτωση τῶν ἀνθρώπων εἶναι ἀδύνατο νὰ γνωρίζει τὴν ταλαιπωρία ἐκείνου ποὺ ὑποφέρει αὐτὸς ποὺ δὲν τὴν δοκίμασε καὶ δὲν τὴν αἰσθάνθηκε. Τὰ πάντα ὑπέφερε ὁ δικός μας ἀρχιερέας. Γι' αὐτὸ λοιπὸν πρῶτα ὑπέφερε καὶ ὕστερα ἀνέβηκε στὸν οὐρανό, γιὰ νὰ μπορεῖ νὰ δείχνει συμπάθεια.

«Ἔχουμε ὅμως ἀρχιερέα ποὺ ἔχει δοκιμασθεῖ σὲ ὅλα, σύμφωνα μὲ τὴν ὁμοιότητά του μὲ μᾶς, χωρὶς νὰ ἁμαρτήσει». Πρόσεχε πῶς καὶ παραπάνω ἀνέφερε τὸ «παρόμοια», καὶ ἐδῶ τὸ «σύμφωνα μὲ τὴν ὁμοιότητά του μὲ μᾶς». Δηλαδή, διώχθηκε, φτύστηκε, κατηγορήθηκε, χλευάσθηκε, συκοφαντήθηκε, ἀποπέμφθηκε, στὸ τέλος σταυρώθηκε. «Σύμφωνα μὲ τὴν ὁμοιότητά του μὲ μᾶς, χωρὶς νὰ ἁμαρτήσει». Ἐδῶ καὶ κάτι ἄλλο ὑπαινίσσεται, ὅτι ἦταν δυνατὸ νὰ ὑποφέρει χωρὶς νὰ ἁμαρτήσει καὶ νὰ βρεθεῖ σὲ θλίψεις. Ὥστε καὶ ὅταν λέγει «μὲ ὁμοιότητα σάρκας», δὲν ἐννοεῖ αὐτό, ὅτι εἶχε ὁμοίωμα σάρκας, ἀλλ' ὅτι ἀνέλαβε σάρκα. Γιατί λοιπὸν εἶπε, «μὲ ὁμοίωμα»; Μιλοῦσε γιὰ ἁμαρτωλὴ σάρκα, ἀφοῦ ἦταν ὅμοια μὲ τὴ δική μας σάρκα· γιατὶ στὴ φύση ἦταν ἡ ἴδια μὲ τὴ δική μας, στὴν ἁμαρτία ὅμως δὲν ἦταν ἡ ἴδια.

«Ἂς πλησιάζουμε λοιπὸν μὲ θάρρος τὸ θρόνο τῆς χάριτός του, γιὰ νὰ λάβουμε ἔλεος καὶ νὰ βροῦμε χάρη τὴν ὥρα ποὺ θὰ τὴ χρειαζόμαστε γιὰ βοήθεια». Ποιόν ἐννοεῖ θρόνο χάριτος; Τὸ βασιλικὸ θρόνο, γιὰ τὸν ὁποῖο λέγει· «εἶπε ὁ Κύριος στὸν Κύριό μου, κάθισε στὰ δεξιά μου, ὥσπου νὰ θέσω τοὺς ἐχθρούς σου ὑποπόδιο τῶν ποδιῶν σου»[4]. Σὰν νὰ ἔλεγε· ἂς πλησιάζουμε μὲ θάρρος, γιατὶ ἔχουμε ἀναμάρτητο ἀρχιερέα, ποὺ κατανικάει τὴν οἰκουμένη· γιατὶ λέγει, «ἔχετε θάρρος, ἐγὼ ἔχω νικήσει τὸν κόσμο»[5]. Γιατὶ αὐτὸ σημαίνει τὸ νὰ πάθει τὰ πάντα, ἀλλὰ νὰ εἶναι καθαρὸς ἀπὸ ἁμαρτίες. Ἂν ἐμεῖς, λέγει, εἴμαστε ἁμαρτωλοὶ καὶ αὐτὸς ἀναμάρτητος, πῶς νὰ πλησιάζουμε μὲ θάρρος; Γιατὶ εἶναι θρόνος χάριτος, ὄχι θρόνος κρίσης τώρα. Γι' αὐτὸ «ἂς πλησιάζουμε μὲ θάρρος», λέγει, «γιὰ νὰ λάβουμε ἔλεος», ὅπως ζητᾶμε. Τὸ πράγμα εἶναι γενναιοδωρία καὶ δωρεὰ βασιλική.

«Καὶ γιὰ νὰ βροῦμε χάρη τὴν ὥρα ποὺ θὰ τὴ χρειαζόμαστε

κεν, «εἰς εὔκαιρον βοήθειαν». Ἂν νῦν προσέλθῃς, φησί, λήψῃ καὶ χάριν καὶ ἔλεον· εὐκαίρως γὰρ προσέρχῃ· ἂν δὲ τότε προσέλθῃς, οὐκέτι· ἄκαιρος γὰρ τότε ἡ πρόσοδος· οὐ γάρ ἐστι τότε «θρόνος χάριτος». Θρόνος χάριτός ἐστιν, ἕως κάθηται χαριζόμε-
5 *νος ὁ βασιλεύς· ὅταν δὲ ἡ συντέλεια γένηται, τότε ἐγείρεται εἰς κρίσιν· «ἀνάστα» γάρ, φησίν, ὁ Θεός, «κρῖνον τὴν γῆν». Ἔστι καὶ ἕτερόν τι εἰπεῖν· «προσερχώμεθα», φησί, «μετὰ παρρησίας» τουτέστι, μηδὲν ἔχοντες συνειδὸς πονηρόν, μὴ διστάζοντες· οὐ γὰρ δύναται μετὰ παρρησίας ὁ τοιοῦτος προσελθεῖν. Διὰ τοῦτο*
10 *καὶ ἀλλαχοῦ λέγει· «καιρῷ δεκτῷ ἐπήκουσά σου, καὶ ἐν ἡμέρᾳ σωτηρίας ἐβοήθησά σοι». Ἐπεὶ καὶ νῦν τὸ μετὰ τὸ λουτρὸν ἁμαρτάνοντας εὑρίσκειν μετάνοιαν, χάριτός ἐστιν. Ἵνα δὲ μὴ ἀκούσας αὐτὸν ἀρχιερέα, νομίσῃς ἑστάναι, εὐθέως αὐτὸν ἐπὶ τὸν θρόνον ἄγει· ὁ δὲ ἱερεὺς οὐ κάθηται, ἀλλ' ἕστηκεν.*

15 *Ὁρᾷς ὅτι τὸ γενέσθαι ἀρχιερέα οὐ φύσεώς ἐστιν, ἀλλὰ χάριτος καὶ συγκαταβάσεως καὶ κενώσεως; Τοῦτο καὶ ἡμῖν εὔκαιρον νῦν εἰπεῖν, προσερχώμεθα μετὰ παρρησίας αἰτοῦντες· μόνον πίστιν προσαγάγωμεν, καὶ πάντα δίδωσι. Νῦν ὁ τῆς δωρεᾶς ἐστι καιρός, μηδεὶς ἑαυτοῦ ἀπογινωσκέτω. Τότε τῆς ἀπογνώσεως ὁ*
20 *καιρός, ὅταν ὁ νυμφὼν κλείηται, ὅταν εἰσέλθῃ ὁ βασιλεὺς τοὺς ἀνακειμένους ἰδεῖν, ὅταν ἀπολάβωσι τοὺς κόλπους τοῦ πατριάρχου οἱ μέλλοντες τούτων ἀξιοῦσθαι· νῦν δὲ οὔπω· ἔτι γὰρ τὸ θέατρον συνέστηκεν, ἔτι ὁ ἀγὼν ἕστηκεν, ἔτι τὸ βραβεῖον μετέωρον.*

3. Σπουδάσωμεν οὖν· καὶ γὰρ Παῦλός φησιν, «οὕτω τρέχω,
25 *ὡς οὐκ ἀδήλως». Δρόμου χρεία, καὶ δρόμου σφοδροῦ. Ὁ τρέχων οὐδένα τῶν ἀπάντων ὁρᾷ, κἂν διὰ λειμώνων, κἂν δι' αὐχμηρῶν τόπων διαβαίνῃ· ὁ τρέχων οὐ πρὸς τοὺς θεατὰς ὁρᾷ, ἀλλὰ πρὸς τὸ βραβεῖον· κἂν πλούσιοι, κἂν πένητες ὦσι, κἂν σκώπτῃ τις, κἂν ἐπαινῇ, κἂν ὑβρίζῃ, κἂν λίθοις βάλλῃ, κἂν τὴν οἰκίαν διαρ-*

---

6. Ψαλμ. 81,8. 7. Ἡσ. 49,8.
8. Α΄ Κορ. 9,26.

γιὰ βοήθεια». Πολὺ σωστὰ εἶπε, «τὴν ὥρα ποὺ θὰ τὴ χρειαζόμαστε γιὰ βοήθεια». Ἂν τώρα πλησιάσεις, λέγει, θὰ λάβεις καὶ χάρη καὶ εὐσπλαχνία, γιατὶ πλησιάζεις τὴν κατάλληλη ὥρα. Ἂν ὅμως πλησιάσεις τότε, δὲ θὰ λάβεις πιά, γιατὶ ἄκαιρη θὰ εἶναι τότε ἡ προσέλευσή σου, ἐπειδὴ δὲ θὰ εἶναι τότε θρόνος χάριτος. Θρόνος χάριτος εἶναι ὅσο κάθεται καὶ δίνει χάρη ὁ βασιλιάς. Ὅταν ὅμως ἔλθει ἡ συντέλεια, τότε σηκώνεται γιὰ νὰ κρίνει. Γιατὶ λέγει, «σήκω, Θεέ, καὶ κρίνε τὴ γῆ»[6]. Μποροῦμε νὰ ποῦμε καὶ κάτι ἄλλο. «Ἂς πλησιάζουμε», λέγει, «μὲ θάρρος», δηλαδή, χωρὶς νὰ συναισθανόμαστε κανένα κακό, χωρὶς νὰ διστάζουμε. Γιατὶ ἕνας τέτοιος ἄνθρωπος δὲν μπορεῖ νὰ πλησιάσει μὲ θάρρος. Γι' αὐτὸ καὶ ἀλλοῦ λέγει· «σὲ κατάλληλο καιρὸ ἄκουσα τὴν προσευχή σου καὶ σὲ ἡμέρα σωτηρίας σὲ βοήθησα»[7]. Γιατὶ καὶ τώρα εἶναι ἀπόδειξη χάριτος, τὸ νὰ βρίσκουμε μετάνοια γιὰ τὰ ἁμαρτήματα ποὺ κάνουμε μετὰ τὸ βάπτισμα. Καὶ γιὰ νὰ μὴ νομίσεις ὅτι στέκεται ὄρθιος, ἀκούοντας ὅτι εἶναι ἀρχιερέας, ἀμέσως τὸν ὁδηγεῖ στὸ θρόνο. Ὁ ἱερέας ὅμως δὲν κάθεται, ἀλλὰ στέκεται.

Βλέπεις ὅτι τὸ νὰ γίνει ἀρχιερέας δὲν εἶναι ἔργο τῆς φύσης, ἀλλὰ τῆς χάριτος καὶ τῆς συγκατάβασης καὶ τῆς ταπείνωσής του; Αὐτὸ εἶναι εὐκαιρία νὰ ποῦμε τώρα καὶ ἐμεῖς, ἂς πλησιάζουμε καὶ νὰ ζητᾶμε μὲ θάρρος· ἂς προσφέρουμε μόνο πίστη, καὶ ὅλα μᾶς τὰ δίνει. Τώρα εἶναι ὁ καιρὸς τῆς δωρεᾶς, ἂς μὴν ἀπελπίζεται κανείς. Τότε θὰ εἶναι ὁ καιρὸς τῆς ἀπόγνωσης, ὅταν θὰ κλείνεται ὁ νυμφώνας, ὅταν θὰ μπεῖ ὁ βασιλιὰς νὰ δεῖ ἐκείνους ποὺ βρίσκονται μέσα, ὅταν θ' ἀπολαύσουν τοὺς κόλπους τοῦ πατριάρχη ἐκεῖνοι ποὺ πρόκειται νὰ τοὺς ἀξιωθοῦν. Τώρα ὅμως δὲν εἶναι, γιατὶ τὸ θέατρο ἀκόμη ὑπάρχει, ὁ ἀγώνας ἀκόμη συνεχίζεται, τὸ βραβεῖο ἀκόμη εἶναι ἀβέβαιο.

3. Ἂς προσπαθήσουμε λοιπόν. Γιατὶ καὶ ὁ Παῦλος λέγει, «ἔτσι τρέχω, ὄχι ἄσκοπα»[8]. Ἔχουμε ἀνάγκη ἀπὸ δρόμο, καὶ μάλιστα ἀπὸ δρόμο πολύ. Ὅποιος τρέχει δὲ βλέπει ἐντελῶς κανέναν, εἴτε περνάει μέσα ἀπὸ λιβάδια, εἴτε μέσα ἀπὸ τόπους ξερούς. Ὁ δρομέας δὲ βλέπει πρὸς τοὺς θεατές, ἀλλὰ πρὸς τὸ βραβεῖο· εἴτε ὑπάρχουν πλούσιοι ἢ φτωχοί, εἴτε τὸν περιπαίζει κά-

πάζη, κἂν παῖδας ἴδη, κἂν γυναῖκα, κἂν ὁτιοῦν, οὐδαμῶς ἐπιστρέφεται, ἀλλ' ἑνὸς γίνεται μόνου, τοῦ τρέχειν, τοῦ λαβεῖν τὸ βραβεῖον. Ὁ τρέχων οὐδαμοῦ ἵσταται· ἐπεὶ κἂν μικρὸν ῥᾳθυμήσῃ, τὸ πᾶν ἀπώλεσεν. Ὁ τρέχων οὐ μόνον οὐδὲν ὑφαιρεῖ πρὸ
5 *τοῦ τέλους, ἀλλὰ καὶ τότε μάλιστα ἐπιτείνει τὸν δρόμον.*

Τοῦτό μοι εἴρηται πρὸς τοὺς λέγοντας, 'ἐν νεότητι ἠσκήσαμεν, ἐν νεότητι ἐνηστεύσαμεν, γεγηράκαμεν νῦν'. Μάλιστα νῦν τὴν εὐλάβειαν ἐπιτείνειν χρή. Μή μοι τὰ παλαιὰ ἀρίθμει κατορθώματα, νέαζε καὶ ἄκμαζε νῦν μᾶλλον. Ὁ μὲν γὰρ τὸν
10 *σωματικὸν τοῦτον τρέχων δρόμον, εἰκότως, ἐπειδὰν ἡ πολιὰ καταλάβῃ, οὐκέτι ὁμοίως τρέχειν δύναται· ἐν γὰρ τῷ σώματι τὸ πᾶν τοῦ ἀγῶνός ἐστι. Σὺ δὲ τίνος ἕνεκεν ἐλαττοῖς τὸν δρόμον; ψυχῆς γὰρ ἐνταῦθα χρεία, ψυχῆς διεγηγερμένης· ἡ δὲ ψυχὴ ἐν γήρᾳ ῥώννυται, μᾶλλον τότε ἀκμάζει, τότε γαυροῦται. Καθάπερ*
15 *γὰρ σῶμα ἕως μὲν ἂν πυρετοῖς συνέχηται καὶ ἐπαλλήλοις νοσήμασι, κἂν ἰσχυρὸν ᾖ, τεταλαιπώρηται, ἐπειδὰν δὲ ἀπαλλαγῇ τῆς πολιορκίας ἐκείνης, ἀνακτᾶται τὴν οἰκείαν δύναμιν, οὕτω καὶ ἡ ψυχὴ ἐν νεότητι μὲν οὖσα πυρέττει, καὶ δόξης αὐτὴν ἔρως κατέχει μάλιστα καὶ τρυφῆς καὶ ἀφροδισίων καὶ πολλῶν ἄλλων φαν-*
20 *τασιῶν· τοῦ δὲ γήρως αὐτῇ ἐπελθόντος, πάντα ταῦτα ἀπελαύνεται τὰ πάθη, τὰ μὲν διὰ τὸν καιρόν, τὰ δὲ διὰ τὴν φιλοσοφίαν.*

Τοὺς μὲν γὰρ τόνους χαλάσαν τοῦ σώματος τὸ γῆρας, οὐδὲ βουλομένην ἀφίησιν αὐτοῖς χρῆσθαι τὴν ψυχήν, ἀλλ' ὥσπερ πολεμίους παντοδαποὺς καταστεῖλαν, ἐν καθαρῷ θορύβων χωρίῳ
25 *καθίστησιν αὐτήν, καὶ πολλὴν ἐργάζεται τὴν γαλήνην καὶ τὸν φόβον ἐπεισάγει πλείονα. Εἰ γὰρ καὶ μηδεὶς ἕτερος, ἀλλ' οἱ γεγηρακότες ἴσασιν, ὅτι τελευτῶσι καὶ ὅτι πάντως ἐγγὺς ἑστήκασι τοῦ θανάτου. Ὅταν οὖν αἱ μὲν ἐπιθυμίαι ἐξίστωνται αἱ βιωτικαί, ἡ δὲ τοῦ δικαστηρίου προσδοκία ἐπεισέρχηται, τὸ δυσπειθὲς αὐ-*
30 *τῆς μαλάττουσα, οὐχὶ μᾶλλον προσεκτικωτέρα γίνεται, ἐὰν θέ-*

ποιος ἢ τὸν ἐπαινεῖ, ἢ τὸν βρίζει ἢ τὸν λιθοβολεῖ ἢ τοῦ κλείνει τὸ σπίτι, εἴτε δεῖ τὰ παιδιὰ ἢ τὴ γυναίκα του ἢ ὁτιδήποτε ἄλλο, πουθενὰ δὲν προσέχει. Ἀλλὰ σ' ἕνα πράγμα μόνο ἀφοσιώνεται, στὸ τρέξιμο καὶ στὸ νὰ λάβει τὸ βραβεῖο. Ὁ δρομέας πουθενὰ δὲ σταματάει, γιατὶ ἂν ἀδρανήσει ἔστω καὶ γιὰ λίγο ἔχασε τὰ πάντα. Ὁ δρομέας ὄχι μόνο δὲν ἐλαττώνει τὴν προσπάθειά του πρὶν τὸ τέλος, ἀλλὰ τότε μάλιστα αὐξάνει τὴν ταχύτητά του.

Αὐτὰ τὰ λέγω πρὸς ἐκείνους ποὺ λέγουν, 'ὅταν ἤμασταν νέοι ἀσκηθήκαμε, νηστέψαμε, τώρα, ἔχουμε γεράσει'. Ἰδιαίτερα τώρα πρέπει ν' αὐξήσει κανεὶς τὴν εὐσέβεια. Μὴ μοῦ ἀπαριθμεῖς τὰ παλαιὰ κατορθώματα, τώρα περισσότερο νὰ φέρεσαι σὰν νέος καὶ νὰ αἰσθάνεσαι ἀκμαῖος. Γιατὶ ὅποιος τρέχει αὐτὸν τὸ σωματικὸ δρόμο, εὔλογα ὅταν τὸν πιάσουν τὰ γεράματα δὲν μπορεῖ πιὰ νὰ τρέχει μὲ τὸν ἴδιο τρόπο, γιατὶ ὅτι ἔχει σχέση μὲ τὸν ἀγώνα ἐξαρτᾶται ἀπὸ τὸ σῶμα. Ἐσὺ ὅμως γιὰ ποιό λόγο ἐλαττώνεις τὴν ταχύτητα; Γιατὶ ἐδῶ χρειάζεται ψυχή, ψυχὴ διεγηρμένη. Ἡ ψυχὴ ὅμως δυναμώνει στὰ γηρατειά, περισσότερο τότε ἀκμάζει, τότε σκιρτάει. Ὅπως δηλαδὴ ἕνα σῶμα ὅσο ἐνοχλεῖται ἀπὸ πυρετοὺς καὶ συνεχεῖς ἀρρώστιες, ἔστω καὶ ἂν εἶναι δυνατό, ἐξαντλεῖται, ὅταν ὅμως ἀπαλλαγεῖ ἀπὸ τὴν πολιορκία αὐτὴ ἀνακτάει τὴ δύναμή του, ἔτσι καὶ ἡ ψυχὴ ὅσο εἶναι στὴ νεότητα ἔχει πυρετὸ καὶ τὴν κατέχει πάρα πολὺ ἡ ἐπιθυμία τῆς δόξας καὶ τῆς ἀπόλαυσης καὶ τῶν σαρκικῶν ἡδονῶν καὶ πολλῶν ἄλλων φαντασιώσεων, ὅταν ὅμως ἔρθουν σ' αὐτὴ τὰ γηρατειὰ ὅλα αὐτὰ τὰ πάθη ἀπομακρύνονται, ἄλλα ἐξαιτίας τοῦ καιροῦ καὶ ἄλλα ἐξαιτίας τῆς ἐγκράτειας.

Ἀφοῦ λοιπὸν τὰ γηρατειὰ ἐξάντλησαν τὴ δύναμη τοῦ σώματος, δὲν ἀφήνουν τὴν ψυχὴ νὰ τὴ χρησιμοποιήσει οὔτε καὶ ὅταν θέλει, ἀλλά, ἀφοῦ σὰν ποικίλους ἐχθροὺς τὴν ὑπέταξαν, τὴν θέτουν σὲ τόπο ἀπαλλαγμένο ἀπὸ θορύβους, παρέχοντας πολλὴ γαλήνη καὶ προξενώντας περισσότερο φόβο. Ἂν καὶ κανεὶς ἄλλος, ὅμως ὅσοι ἔχουν γεράσει γνωρίζουν ὅτι τελειώνουν τὴ ζωὴ καὶ ὅτι ὁπωσδήποτε βρίσκονται κοντὰ στὸ θάνατο. Ὅταν λοιπὸν οἱ ἐπιθυμίες τῆς ζωῆς ὑποχωροῦν καὶ ἔρχεται ἡ ἀναμονὴ τοῦ δικαστηρίου, μαλακώνοντας τὸ ἀτίθασο τῆς ψυχῆς, δὲ γίνεται,

λη; Τί οὖν, φησίν, ὅταν ἴδωμεν τῶν νέων χαλεπωτέρους τοὺς γέροντας; Ὑπερβολήν μοι λέγεις κακίας· καὶ γὰρ ἐπὶ τῶν μαινομένων, οὐδενὸς ὠθοῦντος, ὁρῶμεν αὐτοὺς κατὰ κρημνῶν χωροῦντας. Ὅταν οὖν καὶ γέρων τὰ τῶν νέων νοσῇ, ὑπερβολὴ
5 *τοῦτο κακίας ἐστί· καὶ οὐδὲ ἐν νεότητι ὁ τοιοῦτος ἀπολογίαν ἂν ἔχοι· οὐ γὰρ δύναται λέγειν, «ἁμαρτίας νεότητός μου καὶ ἀγνοίας μου μὴ μνησθῇς».*

Ὁ γὰρ ἐν γήρᾳ μένων ὁ αὐτός, δείκνυσιν ὅτι καὶ ἐν νεότητι ὑπάρχων, οὐ δι' ἄγνοιαν, οὐδὲ δι' ἀπειρίαν, οὐδὲ διὰ τὴν ἡλικίαν
10 *τοιοῦτος ἦν, ἀλλὰ διὰ ῥᾳθυμίαν. Ἐκεῖνος γὰρ δύναται λέγειν, «ἁμαρτίας νεότητός μου καὶ ἀγνοίας μου μὴ μνησθῇς», ὁ τὰ τῷ γέροντι προσήκοντα ποιῶν, ὁ ἐν τῷ γήρᾳ μεταβαλλόμενος· εἰ δὲ καὶ ἐν γήρᾳ τὰ αὐτὰ ἀσχημονεῖ, πῶς ἄξιον, γέροντα τὸν τοιοῦτον ὀνομάζεσθαι, οὐδὲ τὴν ἡλικίαν αἰδούμενον; Ὁ γὰρ λέγων, «ἁ-*
15 *μαρτίας νεότητός μου καὶ ἀγνοίας μου μὴ μνησθῇς», ὡς ἐν τῷ γήρᾳ κατορθῶν, ταῦτά φησι. Μὴ τοίνυν διὰ τῶν ἐν τῷ γήρᾳ γινομένων ἀποστερήσῃς σαυτὸν καὶ τῆς τῶν ἐπὶ τῇ νεότητι ἁμαρτημάτων συγγνώμης. Πῶς γὰρ οὐκ ἄτοπον καὶ συγγνώμης ἐπέκεινα τὸ γινόμενον; γέρων μεθύει, ἐν καπηλείοις καθέζεται, γέ-*
20 *ρων εἰς ἱπποδρομίας σπεύδει, γέρων εἰς θέατρα ἀναβαίνει, καθάπερ παιδίον τρέχων μετὰ τοῦ πλήθους.*

Ὄντως αἰσχύνη καὶ γέλως, τῇ μὲν πολιᾷ κοσμεῖσθαι ἔξωθεν, ἔνδοθεν δὲ παιδὸς φρόνημα ἔχειν. Κἂν μὲν ὑβρίσῃ τις νέος, εὐθέως προβάλλεται τὰς πολιάς. Σὺ αὐτὰς αἰδέσθητι
25 *πρῶτος· εἰ δὲ σὺ τὰς σεαυτοῦ οὐκ αἰδῇ, καὶ ταῦτα γέρων ὤν, πῶς τὸν νέον τὰς σᾶς αἰδεῖσθαι ἀξιοῖς πολιάς; Οὐκ αἰδῇ τὰς πολιάς, ἀλλ' αἰσχύνεις αὐτάς. Ὁ Θεός σε ἐτίμησε τῇ λευκότητι τῶν τριχῶν, ἔδωκέ σοι προεδρίαν πολλήν· τί προδίδως τὴν τιμήν; Πῶς σε αἰδεσθήσεται ὁ νέος, ὅταν αὐτοῦ πλέον ἀσελγαίνῃς; Ἡ*
30 *γὰρ πολιὰ τότε αἰδέσιμος, ὅταν τὰ τῆς πολιᾶς πράττῃ· ὅταν δὲ*

---

9. Ψαλμ. 24,7.

ἂν θέλει, πιὸ προσεκτικότερη; Τί λοιπόν, λέγει, ὅταν δοῦμε ὅτι οἱ γέροντες εἶναι χειρότεροι ἀπὸ τοὺς νέους; Μοῦ ἀναφέρεις ὑπερβολὴ κακίας· γιατὶ καὶ τοὺς τρελλούς, χωρὶς νὰ τοὺς ὠθεῖ κανείς, τοὺς βλέπουμε νὰ βαδίζουν στοὺς γκρεμούς. Ὅταν λοιπὸν καὶ ὁ γέρος ἔχει τὶς ἀσθένειες τῶν νέων, τὸ πράγμα εἶναι ὑπερβολὴ κακίας. Καὶ οὔτε στὴ νεότητα αὐτὸς θὰ μποροῦσε νὰ ἔχει δικαιολογία, γιατὶ δὲν μπορεῖ νὰ λέγει, «νὰ μὴ θυμηθεῖς ὅσες ἁμαρτίες διέπραξα στὴ νεότητά μου καὶ ἀπὸ ἄγνοια»[9].

Γιατὶ αὐτὸς ποὺ μένει ἴδιος στὰ γηρατειά, δείχνει ὅτι καὶ ὅταν ἦταν νέος δὲν ἦταν τέτοιος ἀπὸ ἄγνοια οὔτε ἀπὸ ἀπειρία, ἀλλ' ἐξαιτίας τῆς ἡλικίας. Ἐκεῖνος λοιπὸν ποὺ κάμνει ὅσα ἁρμόζουν στὸ γέροντα, καὶ ἀλλάζει στὰ γηρατειὰ μπορεῖ νὰ λέγει, «νὰ μὴ θυμηθεῖς ὅσες ἁμαρτίες διέπραξα στὴ νεότητά μου καὶ ἀπὸ ἄγνοια». Ἂν ὅμως καὶ στὰ γηρατειὰ κάνει τὶς ἴδιες ἀσχήμιες, πῶς εἶναι ἄξιο, νὰ ὀνομάζεται αὐτὸς γέρος, ὅταν δὲ σέβεται οὔτε τὴν ἡλικία του; Γιατὶ αὐτὸς ποὺ λέγει, «νὰ μὴ θυμηθεῖς ὅσες ἁμαρτίες διέπραξα στὴ νεότητά μου καὶ ἀπὸ ἄγνοια», τὰ λέγει αὐτὰ σὰν νὰ τὰ κάνει στὰ γηρατειά. Μὴ λοιπὸν ἐξαιτίας ὅσων γίνονται στὰ γηρατειὰ στερήσεις τὸν ἑαυτό σου ἀπὸ τὴ συγγνώμη καὶ γιὰ τὰ ἁμαρτήματα τῆς νεότητάς σου. Πῶς δὲν εἶναι παράλογο καὶ πέρα ἀπὸ κάθε συγγνώμη αὐτὸ ποὺ γίνεται; Γέρος μεθάει, κάθεται σὲ καπηλειά, τρέχει σὲ ἱπποδρομίες, ἀνεβαίνει στὰ θέατρα, σὰν παιδὶ τρέχει μαζὶ μὲ τὸ πλῆθος.

Πραγματικὰ εἶναι ντροπὴ καὶ πράγμα γελοῖο, ἀπὸ ἔξω νὰ στολίζεται κανεὶς μὲ ἄσπρα μαλλιὰ καὶ ἀπὸ μέσα νὰ σκέπτεται σὰν παιδί. Καὶ ἂν τὸν προσβάλει κάποιος νέος ἀμέσως προβάλλει τὰ ἄσπρα μαλλιά. Ἐσὺ νὰ τὰ σεβασθεῖς πρῶτος. Ἂν ὅμως ἐσὺ δὲ σέβεσαι τὰ δικά σου, καὶ μάλιστα ὅταν εἶσαι γέρος, πῶς ἔχεις τὴν ἀξίωση νὰ σεβασθεῖ τὰ δικά σου ἄσπρα μαλλιὰ ὁ νέος; Δὲ σέβεσαι τὰ ἄσπρα μαλλιά, ἀλλὰ τὰ ντροπιάζεις. Ὁ Θεὸς σὲ τίμησε μὲ τὰ ἄσπρα μαλλιά, σοῦ ἔδωσε μεγάλη τιμή. Γιατί προδίδεις τὴν τιμὴ αὐτή; Πῶς θὰ σὲ σεβασθεῖ ὁ νέος, ὅταν ἀσελγεῖς περισσότερο ἀπ' αὐτόν; Γιατὶ τὰ γηρατειὰ τότε εἶναι σεβάσμια, ὅταν κάμνουν ὅσα ἁρμόζουν σ' αὐτά· ὅταν ὅμως οἱ γέροντες συμπεριφέρονται ὅπως οἱ νέοι, τότε θὰ εἶναι πιὸ καταγέλαστοι ἀπὸ

νεωτερίζη, τῶν νέων καταγελαστότερος ἔσται. Πῶς οὖν δυνήσεσθε τῷ νέῳ ταῦτα παραινεῖν ὑμεῖς οἱ γέροντες μεθύοντες ὑπὸ τῆς ἀταξίας; Οὐ τῶν γερόντων δὲ κατηγορῶν ταῦτα λέγω, μὴ γένοιτο, ἀλλὰ τῶν νέων. Οἱ γὰρ ταῦτα πράττοντες, ἐμοὶ δοκεῖ,
5 *κἂν εἰς ἑκατοστὸν ἔλθωσιν ἔτος, νέοι εἰσί· καθάπερ οἱ νέοι, κἂν παιδία μικρὰ ὦσι, σωφρονῶσι δέ, τῶν γερόντων εἰσὶν ἀμείνους. Καὶ οὐκ ἐμὸς οὗτος ὁ λόγος, ἀλλὰ καὶ ἡ Γραφὴ ταύτην οἶδε τὴν διάκρισιν· «γῆρας γάρ», φησί, «τίμιον, οὐ τὸ πολυχρόνιον, καὶ ἡλικία γήρως βίος ἀκηλίδωτος».*

10 4. *Καὶ γὰρ τὴν πολιὰν τιμῶμεν, οὐκ ἐπειδὴ τὸ λευκὸν χρῶμα τοῦ μέλανος προτιμῶμεν, ἀλλ' ὅτι τεκμήριόν ἐστι τῆς ἐναρέτου ζωῆς, καὶ ὁρῶντες ἀπὸ τούτου στοχαζόμεθα τὴν ἔνδον πολιάν· ἂν δὲ τἀναντία τῇ πολιᾷ διαπράττωνται, καταγέλαστοι γενήσονται διὰ τοῦτο μᾶλλον. Ἐπεὶ καὶ τὸν βασιλέα τιμῶμεν, καὶ τὴν*
15 *ἁλουργίδα καὶ τὸ διάδημα, ἐπειδὴ σύμβολά ἐστι τῆς ἀρχῆς· ἐὰν δὲ ἴδωμεν αὐτὸν μετὰ τῆς ἁλουργίδος ἐμπτυόμενον, ὑπὸ τῶν δορυφόρων καταπατούμενον, ἀγχόμενον, εἰς δεσμωτήριον ἐμβαλλόμενον, σπαραττόμενον, ἆρα αἰδεσθησόμεθα τὴν ἁλουργίδα ἢ τὸ διάδημα, εἰπέ μοι, ἀλλ' οὐχὶ καὶ αὐτὸ τὸ σχῆμα δακρύσομεν;*
20 *Μὴ ἀξίου τοίνυν διὰ τὴν πολιὰν τιμᾶσθαι, ὅταν αὐτὴν αὐτὸς ἀδικῇς· καὶ γὰρ καὶ αὐτὴ δίκην ὀφείλει παρὰ σοῦ λαβεῖν, ὅτι σχῆμα λαμπρὸν οὕτω καὶ τίμιον καταισχύνεις.*

Οὐ κατὰ πάντων ταῦτα λέγομεν, οὐδὲ κατὰ τοῦ γήρως ἁπλῶς ἡμῖν ὁ λόγος, οὐχ οὕτω μέμηνα, ἀλλὰ κατὰ ψυχῆς νέας τὸ
25 *γῆρας αἰσχυνούσης· οὐδὲ ὑπὲρ τῶν γεγηρακότων ταῦτα ἀλγοῦντες λέγομεν, ἀλλὰ τῶν καταισχυνόντων τὴν πολιάν. Βασιλεὺς γάρ ἐστιν ὁ γέρων, ἐὰν ἐθέλῃ, καὶ τοῦ τὴν ἁλουργίδα ἔχοντος βασιλικώτερος, τῶν παθῶν κρατῶν καὶ ἐν τάξει δορυφόρων ὑποτάττων τὰ πάθη· ἐὰν δὲ ἕλκηται καὶ καταβιβάζηται ἀπὸ τοῦ*
30 *θρόνου καὶ χρημάτων ἔρωτος καὶ δόξης κενῆς καὶ καλλωπισμοῦ καὶ τρυφῆς καὶ μέθης καὶ ὀργῆς καὶ ἀφροδισίων γίνηται δοῦλος, καὶ καλλωπίζεται ἐλαίῳ τὴν τρίχα καὶ τὴν ἡλικίαν ὑπὸ*

---

10. Σοφ. Σολ. 4,9.

τοὺς νέους. Πῶς λοιπὸν θὰ μπορέσετε νὰ συμβουλεύετε αὐτὰ στὸ νέο ὅταν ἐσεῖς οἱ γέροντες μεθᾶτε ἀπὸ τὴν ἀκολασία; Δὲν τὰ λέγω ὅμως αὐτὰ κατηγορώντας τοὺς γέροντες, ποτὲ μιὰ τέτοια σκέψη, ἀλλὰ τοὺς νέους. Γιατὶ ἐκεῖνοι ποὺ τὰ πράττουν αὐτά, ἔχω τὴ γνώμη, καὶ ἂν ἀκόμη φθάσουν στὸ ἑκατοστὸ ἔτος, εἶναι νέοι· ὅπως οἱ νέοι, καὶ ἂν ἀκόμη εἶναι μικρὰ παιδιὰ ἀλλ' ἔχουν σύνεση, εἶναι καλύτεροι ἀπὸ τοὺς γέροντες. Καὶ δὲν εἶναι δικός μου αὐτὸς ὁ λόγος, ἀλλὰ καὶ ἡ Γραφὴ γνωρίζει αὐτὴ τὴ διάκριση. Γιατὶ λέγει, «τιμητικὰ γηρατειὰ δὲν εἶναι τὰ πολλὰ χρόνια, καὶ σεβαστὴ γεροντικὴ ἡλικία εἶναι ἡ ἀκηλίδωτη ζωή»[10].

4. Γιατὶ πραγματικὰ τιμᾶμε τὰ λευκὰ μαλλιά, ὄχι ἐπειδὴ προτιμᾶμε τὸ λευκὸ ἀπὸ τὸ μαῦρο χρῶμα, ἀλλὰ γιατὶ εἶναι ἀπόδειξη τῆς ἐνάρετης ζωῆς καὶ βλέποντάς ἔτσι, ἀπ' αὐτὸ σκεπτόμαστε τὴν ἐσωτερικὴ λευκότητα. Ἂν ὅμως γίνονται τὰ ἀντιθετα πρὸς τὴ γεροντικὴ ἡλικία, θὰ γίνουν γι' αὐτὸ περισσότερο καταγέλαστοι. Γιατὶ καὶ τὸ βασιλιὰ τὸν τιμᾶμε, καὶ τὴν πορφύρα καὶ τὸ στέμμα, ἐπειδὴ εἶναι σύμβολα τῆς ἐξουσίας. Ἂν ὅμως τὸν δοῦμε μὲ τὴν πορφύρα νὰ φτύνεται, νὰ καταπατεῖται ἀπὸ τοὺς σωματοφύλακες, ν' ἀπαγχονίζεται, νὰ ρίχνεται στὴ φυλακή, νὰ διασύρεται, ἄραγε θὰ σεβασθοῦμε τὴν πορφύρα ἢ τὸ στέμμα, πές μου, ἢ δὲ θὰ κλάψουμε καὶ γιὰ τὸ ἴδιο τὸ σχῆμα; Μὴν ἔχεις λοιπὸν τὴν ἀξίωση νὰ σὲ τιμοῦν ἐξαιτίας τῆς γεροντικῆς ἡλικίας, ὅταν ὁ ἴδιος τὴν ἀδικεῖς. Γιατὶ πρέπει καὶ αὐτὴ νὰ τιμωρηθει ἀπὸ σένα, ἐπειδὴ ντροπιάζεις ἕνα σχῆμα τόσο λαμπρὸ καὶ τίμιο.

Δὲν τὰ λέγω αὐτὰ ἐναντίον ὅλων, οὔτε μιλῶ γενικὰ ἐναντίον τῶν γηρατειῶν, δὲν ἔχω κυριευθεῖ ἀπὸ τόσο θυμό, ἀλλὰ μιλῶ ἐναντίον ψυχῆς νέας ποὺ ντροπιάζει τὰ γηρατειά. Οὔτε τὰ λέγω αὐτὰ ἐπειδὴ λυπᾶμαι γι' αὐτοὺς ποὺ ἔχουν γεράσει, ἀλλὰ γι' αὐτοὺς ποὺ καταντροπιάζουν τὴ γεροντικὴ ἡλικία. Γιατὶ ὁ γέροντας εἶναι βασιλιάς, ἂν θέλει, καὶ περισσότερο βασιλιὰς ἀπ' αὐτὸν ποὺ φοράει τὴν πορφύρα, συγκρατεῖ τὰ πάθη καὶ τὰ ὑποτάσσει σὰν τοὺς σωματοφύλακες. Ἂν ὅμως παρασύρεται καὶ κατεβαίνει ἀπὸ τὸ θρόνο καὶ γίνεται δοῦλος τῆς ἐπιθυμίας τῶν χρημάτων καὶ τῆς κενοδοξίας καὶ τοῦ καλλωπισμοῦ καὶ τῆς ἀπολαυσης καὶ τῆς μέθης καὶ τῆς ὀργῆς καὶ τῶν σωματικῶν ἡδονῶν, καὶ

τῆς προαιρέσεως ὑβριζομένην δεικνύῃ, ποίας οὐκ ἂν εἴη κολάσεως ὁ τοιοῦτος ἄξιος;

Ἀλλὰ μὴ γένοισθε τοιοῦτοι οἱ νέοι· οὐδὲ γὰρ ὑμῖν συγγνώμη ἐστὶν ἁμαρτάνουσι. Τί δήποτε; Ὅτι ἔξεστι γέροντα εἶναι ἐν 5 νεότητι· καὶ ὥσπερ ἐν γήρᾳ νέοι εἰσίν, οὕτω καὶ τοὐναντίον. Ὥσπερ γὰρ ἐκεῖ οὐδένα ἡ θρὶξ λευκαινομένη σώζει, οὕτως οὐδὲ ἐνταῦθα μέλαινα οὖσα ἐμποδίζει. Εἰ γὰρ ἀσχημονέστερον τὸν γέροντα ταῦτα ποιεῖ, ἅπερ εἶπον, πολλῷ μᾶλλον τὸν νέον· ἀλλ' ὅμως οὐδὲ ὁ νέος κατηγορίας ἀπήλλακται. Νέος γὰρ ἐκεῖ δύναται 10 συγγνώμην ἔχειν μόνον, ὅταν εἰς διοίκησιν πραγμάτων καλῆται, ὅταν ἄπειρος ᾖ, ὅταν χρόνου δέηται καὶ πείρας· ὅταν δὲ δέῃ σωφροσύνην καὶ ἀνδρείαν ἐπιδείξασθαι, οὐκέτι, οὐδὲ ὅταν δέῃ χρημάτων κρατεῖν.

Ἔστι γὰρ ὅπου μᾶλλον τοῦ γέροντος κατηγορεῖται ὁ νέος. 15 Ἐκεῖνος μὲν γὰρ πολλῆς δεῖται θεραπείας, τοῦ γήρως ἐξασθενοῦντος αὐτόν· οὗτος δὲ δυνάμενος, ἐὰν θέλῃ, ἀρκεῖν ἑαυτῷ, ποίας ἂν τύχοι συγγνώμης, μὴ βουλόμενος, ὅταν ἁρπάζῃ μᾶλλον τοῦ γέροντος, ὅταν μνησικακῇ, ὅταν ἐξουθενῇ, ὅταν μὴ προΐστηται μᾶλλον τοῦ γέροντος, ὅταν πολλὰ φθέγγηται ἀκαίρως, ὅταν 20 ὑβρίζῃ, ὅταν λοιδορῆται, ὅταν μεθύῃ; Εἰ δὲ ἐν τῇ σωφροσύνῃ νομίζει μὴ δύνασθαι ἐγκαλεῖσθαι, ὅρα αὐτὸν καὶ ἐνταῦθα πολλὰ ἔχοντα τὰ βοηθήματα, ἐάνπερ βούληται. Εἰ γὰρ καὶ σφοδρότερον αὐτὸν τοῦ γέροντος ἡ ἐπιθυμία ἐνοχλεῖ, ἀλλ' ὅμως ἐστὶ πολλά, ἃ μᾶλλον τοῦ γέροντος ποιῆσαι δυνήσεται, καὶ ἐπᾴδειν τὸ θηρίον 25 ἐκεῖνο. Ποῖα δὴ ταῦτά ἐστι; Πόνοι, ἀναγνώσεις, παννυχίδες, νηστεῖαι. Τί οὖν πρὸς ἡμᾶς ταῦτα φῂς τοὺς μὴ μονάζοντας; Ταῦτα ἐμοὶ λέγεις; εἰπὲ Παύλῳ, ὅταν λέγῃ, «ἀγρυπνοῦντες ἐν πάσῃ προσκαρτερήσει καὶ δεήσει»· ὅταν λέγῃ, «τῆς σαρκὸς πρόνοιαν μὴ ποιεῖσθε εἰς ἐπιθυμίας»· οὐ γὰρ δὴ μοναχοῖς ταῦτα ἔγραφε 30 μόνον, ἀλλὰ πᾶσι τοῖς οὖσιν ἐν ταῖς πόλεσι.

---

11. Κολ. 4,2. 12. Ρωμ. 13,14.

καλλωπίζει μὲ λάδι τὰ μαλλιὰ καὶ δείχνει νὰ ἀτιμάζεται ἡ ἡλικία ἀπὸ τὴ θέλησή του, ποιά τιμωρία δὲν θὰ ἄξιζε ἕνας τέτοιος;

Ἀλλὰ μακάρι νὰ μὴ γίνετε τέτοιοι οἱ νέοι. Γιατὶ δὲν ὑπάρχει συγγνώμη γιὰ σᾶς ὅταν ἁμαρτάνετε. Γιατί λοιπόν; Ἐπειδὴ εἶναι δυνατὸ νὰ εἶναι κανεὶς γέρος στὴ νεότητά του· καὶ ὅπως στὰ γηρατειὰ ὑπάρχουν νέοι, ἔτσι συμβαίνει καὶ τὸ ἀντίθετο. Γιατί, ὅπως ἐκεῖ τὰ ἄσπρα μαλλιὰ δὲ σώζουν κανέναν, ἔτσι οὔτε ἐδῶ ἐμποδίζουν κανέναν, ἂν καὶ εἶναι μαῦρα. Ἂν λοιπὸν αὐτὰ ποὺ εἶπα κάνουν πιὸ ἄσχημο τὸ γέροντα, πολὺ περισσότερο θὰ κάνουν τὸ νέο. Ἀλλ' ὅμως οὔτε ὁ νέος εἶναι ἀπαλλαγμένος ἀπὸ κατηγορία. Γιατὶ ὁ νέος ἐκεῖ μόνο μπορεῖ νὰ ἔχει συγγνώμη, ὅταν καλεῖται σὲ διοίκηση πραγμάτων, ὅταν εἶναι ἄπειρος, ὅταν χρειάζεται χρόνο καὶ πείρα. Ὅταν ὅμως χρειάζεται νὰ δείξει σωφροσύνη καὶ ἀνδρεία, δὲν ἔχει συγγνώμη, οὔτε ὅταν πρέπει νὰ ἐξουσιάζει τὰ χρήματα.

Ὑπάρχουν ὅμως περιπτώσεις ποὺ ὁ νέος κατηγορεῖται περισσότερο ἀπὸ τὸ γέροντα. Γιατὶ ἐκεῖνος ἔχει ἀνάγκη ἀπὸ πολλὴ περιποίηση, ἐπειδὴ τὸν ἐξασθενίζουν τὰ γηρατειά, ἐνῶ αὐτός, παρ' ὅλο ποὺ μπορεῖ, ἂν θέλει, νὰ προστατεύει τὸν ἑαυτό του, ποιά συγγνώμη θὰ λάβει, ἐπειδὴ δὲ θέλει, ὅταν ἁρπάζει περισσότερο ἀπὸ τὸ γέροντα, ὅταν εἶναι μνησίκακος, ὅταν ἐξευτελίζει κάποιον, ὅταν δὲ φροντίζει περισσότερο ἀπὸ τὸ γέροντα, ὅταν λέγει πολλὰ σὲ ἀκατάλληλο καιρό, ὅταν ὑβρίζει, ὅταν κακολογεῖ, ὅταν μεθάει; Ἂν ὅμως στὴ σωφροσύνη νομίζει ὅτι δὲν μπορεῖ νὰ κατηγορεῖται, πρόσεχε πὼς καὶ ἐδῶ, ἂν βέβαια θέλει, ἔχει πολλὰ βοηθήματα. Γιατί, ἂν καὶ ἡ ἐπιθυμία τὸν ἐνοχλεῖ, ἐντονότερα ἀπὸ τὸ γέροντα, ὑπάρχουν ὅμως πολλὰ ποὺ θὰ μπορέσει νὰ τὰ κάνει περισσότερο ἀπὸ τὸ γέροντα καὶ ν' ἀπομακρύνει τὸ θηρίο ἐκεῖνο. Καὶ ποιά εἶναι αὐτά; Κόποι, ἀναγνώσεις, παννυχίδες, νηστεῖες. Γιατί λοιπὸν τὰ λέγεις αὐτὰ σ' ἐμᾶς ποὺ δὲν εἴμαστε μοναχοί; Αὐτὰ σ' ἐμένα τὰ λέγεις; Νὰ τὸ πεῖς αὐτὸ στὸν Παῦλο, ὅταν λέγει, «νὰ ἀγρυπνεῖτε καὶ νὰ ἐπιμένετε στὴν προσευχὴ[11] καὶ «μὴ φροντίζετε νὰ ἱκανοποιήσετε τὶς ἐπιθυμίες τῆς σάρκας»[12]. Γιατὶ δὲν τὰ ἔγραφε αὐτὰ μόνο γιὰ τοὺς μοναχούς, ἀλλὰ γιὰ ὅλους ποὺ βρίσκονταν μέσα στὶς πόλεις.

Μὴ γὰρ ὁ κοσμικὸς ὀφείλει τι ἔχειν πλέον τοῦ μονάζοντος, ἢ τὸ γυναικὶ συνοικεῖν μόνον; ἐνταῦθα ἔχει τὴν συγγνώμην, ἐν δὲ τοῖς ἄλλοις οὐκέτι, ἀλλὰ πάντα ἐξ ἴσης τῷ μονάζοντι πράττειν αὐτὸν προσῆκε. Καὶ οἱ μακαρισμοὶ δὲ οἱ παρὰ τοῦ Χριστοῦ οὐ 5 μονάζουσι μόνον εἰσὶν εἰρημένοι· ἐπεὶ τὸ πᾶν ἀπώλετο τῆς οἰκουμένης καὶ κατηγορήσαμεν ἂν ὠμότητα τοῦ Θεοῦ. Εἰ δὲ οἱ μακαρισμοὶ τοῖς μονάζουσίν εἰσι μόνοις εἰρημένοι, καὶ τὸν κοσμικὸν οὐ δυνατὸν αὐτοὺς κατορθῶσαι, αὐτὸς δὲ τὸν γάμον ἐπέτρεψεν, ἄρα αὐτὸς πάντας ἀπώλεσεν. Εἰ γὰρ οὐ δυνατὸν μετὰ 10 γάμου τὰ τῶν μοναζόντων ποιεῖν, πάντα ἀπόλωλε καὶ διέφθαρται καὶ εἰς στενὸν κατεκλείσθη τὰ τῆς ἀρετῆς. Πῶς δὲ καὶ τίμιος ὁ γάμος, ὁ τοσοῦτον ἐμποδίζων ἡμῖν; Τί οὖν ἐστιν εἰπεῖν; Δυνατόν, καὶ σφόδρα δυνατὸν καὶ γυναῖκας ἔχοντας τὴν ἀρετὴν μετιέναι, ἐὰν θέλωμεν. Πῶς; Ἐὰν ἔχοντες γυναῖκα, ὡς μὴ ἔχοντες 15 ὦμεν· ἐὰν μὴ χαίρωμεν ἐπὶ κτήσεσιν, ἐὰν τῷ κόσμῳ χρώμεθα ὡς μὴ καταχρώμενοι.

Εἰ δέ τινες ἐνεποδίσθησαν ὑπὸ γάμου, ἰδέτωσαν ὅτι οὐχ ὁ γάμος ἐμπόδιον, ἀλλ' ἡ προαίρεσις ἡ κακῶς χρησαμένη τῷ γάμῳ· ἐπεὶ οὐδὲ ὁ οἶνος ποιεῖ τὴν μέθην, ἀλλ' ἡ κακὴ προαίρεσις 20 καὶ τὸ πέρα τοῦ μέτρου χρῆσθαι· μετὰ συμμετρίας τῷ γάμῳ χρῶ, καὶ πρῶτος ἐν τῇ βασιλείᾳ ἔσῃ καὶ πάντων ἀπολαύσεις τῶν ἀγαθῶν, ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησου Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεὶ καὶ εἰς 25 τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

13. Ἑβρ. 13,4.
14. Α' Κορ. 7,29.31.

Μήπως δηλαδὴ ὁ κοσμικὸς πρέπει νὰ ἔχει κάτι περισσότερο ἀπὸ τὸ μοναχὸ ἐκτὸς ἀπὸ τὸ νὰ ζεῖ μαζὶ μὲ τὴ γυναίκα του μόνο; Στὴν περίπτωση αὐτὴ ἔχει τὴ συγγνώμη, στὰ ἄλλα ὅμως ὄχι, ἀλλὰ ὅλα ἔπρεπε νὰ τὰ πράττει ὅμοια μὲ τὸ μοναχό. Καὶ οἱ μακαρισμοὶ τοῦ Χριστοῦ δὲ λέχθηκαν μόνο γιὰ τοὺς μοναχούς, γιατὶ θὰ ὁδηγοῦνταν στὴν ἀπώλεια ὅλη ἡ οἰκουμένη καὶ θὰ κατηγορούσαμε γιὰ σκληρότητα τὸ Θεό. Ἂν ὅμως ὁ μακαρισμοὶ λέχθηκαν μόνο γιὰ τοὺς μοναχοὺς καὶ ἂν ὁ κοσμικὸς δὲν ἦταν δυνατὸ νὰ τοὺς κατορθώσει, ἐνῶ αὐτὸς ἐπέτρεψε τὸ γάμο, ἄρα αὐτὸς θὰ τοὺς κατέστρεφε ὅλους. Γιατί, ἂν δὲν εἶναι δυνατὸ μὲ γάμο κάποιος νὰ κάνει ὅσα κάμνουν οἱ μοναχοί, ὅλα θὰ εἶχαν καταστραφεῖ καὶ φθαρεῖ καὶ ἡ ἀρετὴ θὰ εἶχε περιορισθεῖ σὲ στενὸ τόπο. Καὶ πῶς θὰ ἦταν τίμιος ὁ γάμος, ποὺ μᾶς εἶναι τόσο μεγάλο ἐμπόδιο[13]; Τί λοιπὸν μποροῦμε νὰ ποῦμε; Εἶναι δυνατὸ καὶ μάλιστα πάρα πολὺ δυνατὸ νὰ ἔχουμε καὶ γυναῖκες καὶ νὰ ἀσκήσουμε τὴν ἀρετή, ἂν θέλουμε. Πῶς; Ἂν ἔχουμε γυναίκα καὶ ζοῦμε σὰν νὰ μὴν ἔχουμε, ἂν δὲ χαιρόμαστε γιὰ ὅσα ἀγοράζουμε, ἂν ἀσχολούμαστε μὲ τὰ ἀγαθὰ τοῦ κόσμου σὰν νὰ μὴν ἀσχολούμαστε μ' αὐτά[14].

Ἂν ὅμως μερικοὶ ἐμποδίσθηκαν ἀπὸ τὸ γάμο, ἂς δοῦν ὅτι δὲν εἶναι ἐμπόδιο ὁ γάμος, ἀλλ' ἡ προαίρεσή τους ποὺ μεταχειρίσθηκε κακῶς τὸ γάμο. Γιατὶ οὔτε τὸ κρασὶ προκαλεῖ τὴ μέθη, ἀλλ' ἡ κακὴ προαίρεση καὶ ἡ χρήση του πάνω ἀπὸ τὸ μέτρο. Χρησιμοποίησε τὸ γάμο σύμφωνα μὲ τὸ μέτρο καὶ θὰ εἶσαι πρῶτος στὴ βασιλεία καὶ θ' ἀπολαύσεις ὅλα τὰ ἀγαθά, τὰ ὁποῖα εἴθε ὅλοι μας νὰ τὰ ἐπιτύχουμε μὲ τὴ χάρη καὶ τὴ φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μαζὶ μὲ τὸν ὁποῖο στὸν Πατέρα καὶ συγχρόνως στὸ ἅγιο Πνεῦμα ἀνήκει ἡ δόξα, ἡ δύναμη καὶ ἡ τιμή, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

Ο Μ Ι Λ Ι Α Η'

(Ἑβρ. 5,1-15)

«Πᾶς γὰρ ἀρχιερεὺς ἐξ ἀνθρώπων λαμβανόμενος, ὑπὲρ ἀνθρώπων καθίσταται τὰ πρὸς τὸν Θεόν, ἵνα προσφέρῃ δῶρά τε καὶ θυσίας ὑπὲρ ἁμαρτιῶν, μετριοπαθεῖν δυνάμενος τοῖς ἀγνοοῦσι καὶ πλανωμένοις, ἐπεὶ καὶ αὐτὸς περί-
5 *κειται ἀσθένειαν· καὶ διὰ ταύτην ὀφείλει, καθὼς περὶ τοῦ λαοῦ, οὕτω καὶ περὶ ἑαυτοῦ προσφέρειν ὑπὲρ ἁμαρτιῶν».*

1. Θέλει δεῖξαι λοιπὸν ὁ μακάριος Παῦλος, ὅτι πολλῷ βελτίων ἡ διαθήκη αὕτη τῆς παλαιᾶς· ποιεῖ δὲ τοῦτο, πόρρωθεν προκαταβάλλων τοὺς λογισμούς. Ἐπειδὴ γὰρ οὐδὲν ἦν σωματικὸν ἢ
10 *φανταστικόν, οἷον, οὐ ναός, οὐχ ἅγια ἁγίων, οὐχ ἱερεὺς τοσαύτην ἔχων κατασκευήν, οὐ παρατηρήσεις νομικαί, ἀλλ' ὑψηλότερα καὶ τελειότερα πάντα, καὶ οὐδὲν τῶν σωματικῶν, τὸ δὲ πᾶν ἐν τοῖς πνευματικοῖς ἦν, οὐχ οὕτω δὲ τὰ πνευματικὰ τοὺς ἀσθενεστέρους ἐπήγετο, ὡς τὰ σωματικά, τούτου χάριν τοῦτον ὅλον κι-*
15 *νεῖ τὸν λόγον. Καὶ θέα τὴν σύνεσιν· ἀπὸ τοῦ ἱερέως πρώτου ποιεῖται τὴν ἀρχὴν καὶ συνεχῶς αὐτὸν ἀρχιερέα καλεῖ καὶ ἀπ' αὐτοῦ πρῶτον δείκνυσι τὴν διαφοράν.*

Διὰ τοῦτο ὁρίζεται πρῶτον τί ἐστιν ἱερεύς, καὶ δείκνυσι τίνα ἔχει ἱερέως καὶ τίνα σύμβολα γίνεται ἱερωσύνης· καὶ ἐπεί-
20 *περ ἀντέπιπτεν αὐτῷ, ὅτι οὐδὲ εὐγενὴς ἦν, οὔτε ἐκ φυλῆς ἦν ἱερατικῆς, οὔτε ἐπὶ τῆς γῆς ἱερεύς, εἰκὸς δὲ ἦν διὰ τοῦτό τινας εἰπεῖν, πῶς οὖν ἱερεὺς οὗτος; ὅπερ ἐν τῇ πρὸς Ρωμαίους ἐπιστολῇ, τοῦτο καὶ νῦν ποιεῖ. Ἀπίθανον γὰρ λόγον λαβών, εἰ πίστις ἐργάζεται τοῦτο ὅπερ οὐκ ἴσχυσεν ὁ τοῦ νόμου πόνος καὶ ὁ τῆς*

1. Βλ. Ρωμ. κεφ. 4.

ΟΜΙΛΙΑ Η'
(Ἑβρ. 5,1–15)

«Κάθε ἀρχιερέας ποὺ προέρχεται ἀπὸ ἀνθρώπους ἐγκαθίσταται γιὰ νὰ ὑπηρετεῖ τὸ Θεὸ γιὰ χάρη τους καὶ γιὰ νὰ προσφέρει δῶρα καὶ θυσίες γιὰ τὶς ἁμαρτίες τους καὶ μπορεῖ νὰ δείχνει ἀνοχὴ πρὸς ἐκείνους ποὺ βρίσκονται σὲ ἄγνοια καὶ σὲ πλάνη, ἐπειδὴ καὶ αὐτὸς ἔχει ἀδυναμίες, καὶ ἐξαιτίας αὐτῶν εἶναι ὑποχρεωμένος νὰ προσφέρει, ὅπως γιὰ τὸ λαό, ἔτσι καὶ γιὰ τὸν ἑαυτό του, θυσίες γιὰ τὶς ἁμαρτίες».

1. Θέλει πλέον ὁ μακάριος Παῦλος νὰ δείξει ὅτι ἡ Διαθήκη αὐτὴ εἶναι πολὺ ἀνώτερη ἀπὸ τὴν Παλαιά. Καὶ τὸ κάνει αὐτὸ διατυπώνοντας ἀπὸ πρὶν καὶ ἀπὸ πολὺ μακριὰ τοὺς συλλογισμούς του. Ἀφοῦ λοιπὸν τίποτε δὲν ἦταν σωματικὸ ἢ φανταστικό, ὅπως οὔτε ὁ ναός, οὔτε τὰ ἅγια τῶν ἁγίων, οὔτε ὁ ἱερέας ποὺ ἔχει τόσο μεγάλη κατάρτιση, οὔτε οἱ νομικὲς διακρίσεις, ἀλλ' ὅλα ἦταν σπουδαιότερα καὶ τελειότερα, καὶ τίποτε δὲν ἦταν ἀπὸ τὰ σωματικά, ἀλλὰ τὰ πάντα ἀνῆκαν στὰ πνευματικά, καὶ ἀφοῦ τὰ πνευματικὰ δὲν προέτρεπαν τόσο τοὺς ἀσθένεστερους στὴν πίστη ὅσο τὰ σωματικά, γι' αὐτὸ κινεῖ ὅλον αὐτὸν τὸ λόγο. Καὶ πρόσεχε τὴ σύνεσή του. Ἀρχίζει ἀπὸ τὸν ἱερέα πρῶτα καὶ συνέχεια τὸν ὀνομάζει ἀρχιερέα, καὶ ἀπ' αὐτὸν δείχνει πρῶτα τὴ διαφορά.

Γι' αὐτὸ ὁρίζει πρῶτα τί εἶναι ἱερέας καὶ δείχνει ποιά πράγματα ἔχει τοῦ ἱερέα καὶ ποιά εἶναι τὰ σύμβολα τῆς ἱερωσύνης. Καὶ ἐπειδὴ τοῦ ἐναντιώνονταν, ὅτι οὔτε εὐγενὴς ἦταν, οὔτε ἀπὸ φυλὴ ἱερατικὴ καταγόταν, οὔτε ἱερέας στὴ γῆ, καὶ ἦταν φυσικὸ γι' αὐτὸ νὰ ποῦν μερικοί, 'πῶς λοιπὸν ἦταν ἱερέας αὐτός;', ὅ,τι ἔκανε στὴν πρὸς Ρωμαίους ἐπιστολὴ[1], τὸ ἴδιο κάνει καὶ τώρα.

πολιτείας ἱδρώς, καὶ θέλων δεῖξαι ὅτι τὸ δοκοῦν ἀδύνατον γέγονε καὶ κατώρθωται, κατέφυγεν ἐπὶ τὸν πατριάρχην καὶ εἰς ἐκεῖνον τὸν χρόνον τὸ πᾶν ἀνήγαγεν. Οὕτω δὴ καὶ ἐνταῦθα τέμνει τῆς ἱερωσύνης τὴν ἑτέραν ὁδόν, ἀπὸ τῶν φθασάντων αὐ-
5 *τὴν προστιθείς. Καὶ καθάπερ ἐπὶ τῆς κολάσεως οὐ τὴν γέενναν παραφέρει μόνον, ἀλλὰ καὶ τὰ ἐπὶ τῶν πατέρων συμβάντα, οὕτω δὴ καὶ ἐνταῦθα· πρῶτον ἀπὸ τῶν παρόντων τοῦτο βεβαιοῦται. Ἔδει μὲν γὰρ ἀπὸ τῶν οὐρανίων τὰ ἐπίγεια πιστοῦσθαι, ἀλλ' ὅταν ἀσθενεῖς ὦσιν οἱ ἀκούοντες, τὸ ἐναντίον γίνεται.*
10 *Τέως οὖν ἃ κοινά ἐστι, τίθησι πρῶτα, καὶ τότε δείκνυσιν ὅ τι ὑπερέχει. Ἡ γὰρ κατὰ σύγκρισιν ὑπεροχὴ οὕτω γίνεται, ὅταν ἐν μὲν τοῖς κοινωνῇ, ἐν δὲ τοῖς ὑπερέχῃ· εἰ δὲ μή, οὐκέτι κατὰ σύγκρισιν γίνεται.*

«Πᾶς γὰρ ἀρχιερεὺς ἐξ ἀνθρώπων λαμβανόμενος». Τοῦτο
15 *κοινὸν τῷ Χριστῷ. «Ὑπὲρ ἀνθρώπων καθίσταται τὰ πρὸς τὸν Θεόν». Καὶ τοῦτο κοινόν. «Ἵνα προσφέρῃ δῶρά τε καὶ θυσίας ὑπὲρ τοῦ λαοῦ». Καὶ τοῦτο, οὐχ ὅλον δέ· τὰ δὲ λειπόμενα, οὐκέτι. «Μετριοπαθεῖν δυνάμενος τοῖς ἀγνοοῦσι καὶ πλανωμένοις». Ἐνταῦθα λοιπὸν ἡ ὑπεροχή. «Ἐπεὶ καὶ αὐτὸς περίκειται ἀσθέ-*
20 *νειαν, καὶ διὰ ταύτην ὀφείλει, καθὼς περὶ τοῦ λαοῦ, οὕτω καὶ περὶ ἑαυτοῦ προσφέρειν ὑπὲρ ἁμαρτιῶν». Εἶτα καὶ ἄλλο προστίθησιν· ὅτι ὑφ' ἑτέρου γίνεται, καὶ ὅτι οὐκ αὐτὸς ἐπιπηδᾷ. Καὶ τοῦτο κοινόν. «Καὶ οὐχ ἑαυτῷ τις λαμβάνει τὴν τιμήν, ἀλλὰ καλούμενος ὑπὸ τοῦ Θεοῦ, καθὼς καὶ Ἀαρών». Ἐνταῦθα ἕτερόν τι*
25 *πάλιν θεραπεύει, δεικνὺς ὅτι ἀπὸ τοῦ Θεοῦ ἀπέσταλται. Ὁ ἄνω καὶ κάτω Ἰουδαίοις διαλεγόμενος ἔλεγεν ὁ Χριστός· «ὁ πέμψας με μείζων μού ἐστι», καὶ «ἀπ' ἐμαυτοῦ οὐκ ἐλήλυθα». Ἐνταῦθά μοι δοκεῖ καὶ τῶν Ἰουδαίων αἰνίττεσθαι τοὺς ἱερέας, ὡς οὐκ ὄντας ἱερέας, τοὺς ἐπιπηδῶντας καὶ τὸν νόμον τῆς ἱερωσύνης πα-*
30 *ραφθείροντας.*

---

2. Ἰω. 8,42.

Παίρνοντας δηλαδὴ ἕνα λόγο ποὺ δύσκολα γίνεται πιστευτός, ἂν ἡ πίστη κάνει αὐτὸ ποὺ δὲν μπόρεσε νὰ τὸ κάνει ὁ κόπος τοῦ νόμου καὶ ὁ ἱδρώτας τοῦ ὀρθοῦ τρόπου ζωῆς, καὶ θέλοντας νὰ δείξει ὅτι τὸ φαινομενικὰ ἀδύνατο ἔγινε καὶ πραγματοποιήθηκε, κατέφυγε στὸν πατριάρχη καὶ τὰ μετέφερε ὅλα σ' ἐκείνη τὴν ἐποχή. Ἔτσι λοιπὸν καὶ ἐδῶ ἀκολουθεῖ τὸν ἄλλο δρόμο τῆς ἱερωσύνης, ἀφοῦ μιλάει ἀπ' αὐτοὺς ποὺ τὸν ἀκολούθησαν πρῶτοι. Καὶ ὅπως στὴν κόλαση δὲν ἀναφέρει μόνο τὴ γέεννα, ἀλλὰ καὶ ὅσα συνέβηκαν στοὺς πατέρες, ἔτσι ἀκριβῶς κάνει καὶ ἐδῶ. Πρῶτα τὸ ἐπιβεβαιώνει ἀπὸ τὰ παρόντα. Ἔπρεπε βέβαια τὰ ἐπίγεια νὰ ἐπιβεβαιώνονται ἀπὸ τὰ οὐράνια, ἀλλ' ὅταν οἱ ἀκροατὲς εἶναι ἀδύναμοι πνευματικὰ γίνεται τὸ ἀντίθετο. Στὴν ἀρχὴ λοιπὸν ἐκεῖνα ποὺ εἶναι κοινὰ τὰ ἀναφέρει πρῶτα, καὶ ὕστερα δείχνει ἐκεῖνο ποὺ ὑπερέχει. Γιατὶ ἔτσι γίνεται φανερὴ ἡ κατὰ σύγκριση ὑπεροχὴ, ὅταν σὲ ἄλλα ἔχει κάτι κοινὸ καὶ σὲ ἄλλα ὑπερέχει, διαφορετικὰ δὲ γίνεται φανερὴ ἡ ὑπεροχὴ κατὰ σύγκριση.

«Κάθε ἀρχιερέας προέρχεται ἀπὸ ἀνθρώπους». Αὐτὸ εἶναι κοινὸ μὲ τὸ Χριστό. «Ἐγκαθίσταται γιὰ νὰ ὑπηρετεῖ τὸ Θεὸ γιὰ χάρη τους». Καὶ αὐτὸ εἶναι κοινό. «Γιὰ νὰ προσφέρει δῶρα καὶ θυσίες γιὰ χάρη τοῦ λαοῦ». Καὶ αὐτὸ κοινό, ὄχι ὅμως ὅλο. Τὰ ὑπόλοιπα δὲν εἶναι κοινά. «Μπορεῖ νὰ δείχνει ἀνοχὴ σ' ἐκείνους ποὺ βρίσκονται σὲ ἄγνοια καὶ σὲ πλάνη». Ἐδῶ λοιπὸν βρίσκεται ἡ ὑπεροχή. «Ἐπειδὴ καὶ αὐτὸς ἔχει ἀδυναμίες, καὶ ἐξαιτίας τους εἶναι ὑποχρεωμένος νὰ προσφέρει, ὅπως γιὰ τὸ λαό, ἔτσι καὶ γιὰ τὸν ἑαυτό του, θυσίες γιὰ τὶς ἁμαρτίες». Στὴ συνέχεια προσθέτει καὶ ἄλλο· ὅτι γίνεται ἀπὸ ἄλλον καὶ ὅτι δὲν γίνεται ἀπὸ μόνος του. Καὶ αὐτὸ εἶναι κοινό. «Καὶ κανεὶς δὲν παίρνει μόνος του αὐτὴν τὴν τιμή, ἀλλ' ὅταν τὸν καλέσει ὁ Θεός, ὅπως καὶ τὸν Ἀαρών». Ἐδῶ κάτι ἄλλο πάλι ἀποδεικνύει, δείχνοντας πὼς ἔχει σταλεῖ ἀπὸ τὸ Θεό. Αὐτὸ τὸ ἔλεγε παντοῦ ὁ Χριστὸς ὅταν μιλοῦσε στοὺς Ἰουδαίους· «αὐτὸς ποὺ μὲ ἔστειλε εἶναι μεγαλύτερος ἀπὸ μένα», καί, «δὲν ἦρθα ἀπὸ μόνος μου»[2]. Ἐδῶ νομίζω πὼς ὑπαινίσσεται καὶ τοὺς ἱερεῖς τῶν Ἰουδαίων, σὰν νὰ μὴν εἶναι ἱερεῖς ἐκεῖνοι ποὺ καταπατοῦν καὶ παραβιάζουν τὸ νόμο τῆς ἱερωσύνης.

«Οὕτω καὶ ὁ Χριστὸς οὐχ ἑαυτὸν ἐδόξασε γενηθῆναι ἀρχιερέα». Ποῦ οὖν ἐχειροτονήθη, φησίν; Ὁ γὰρ Ἀαρὼν ἐχειροτονήθη πολλάκις, ὡς ἐπὶ τῆς ῥάβδου καὶ ὅτε τὸ πῦρ κατῆλθε καὶ ἠφάνισε τοὺς ἐπιπηδῶντας τῇ ἱερωσύνῃ, ἐνταῦθα δὲ τοὐναντίον, 5 οὐ μόνον οὐδὲν ἔπαθον, ἀλλὰ καὶ εὐδοκιμοῦσι. Πόθεν οὖν; Ἀπὸ τῆς προφητείας τοῦτο δείκνυσιν. Οὐδὲν ἔχει αἰσθητὸν οὐδὲν ὁρατόν. Διὰ τοῦτο ἀπὸ προφητείας, ἀπὸ τῶν μελλόντων ἰσχυρίζεται. «Ἀλλ' ὁ λαλήσας», φησί, «πρὸς αὐτόν, Υἱός μου εἶ σύ, ἐγὼ σήμερον γεγέννηκά σε». Τί πρὸς τὸν Υἱὸν τοῦτο; Ναί, φησί, 10 τοῦτο πρὸς τὸν Υἱὸν εἴρηται. Τί δαὶ συμβάλλεται τὸ τοιοῦτον πρὸς τὸ ζητούμενον; Καὶ πάνυ γε· προκατασκευὴ γάρ ἐστι τοῦ ὑπὸ Θεοῦ χειροτονηθῆναι. «Καθὼς καὶ ἐν ἑτέρῳ λέγει, σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέχ». Πρὸς τίνα δὲ εἴρηται τοῦτο; τίς ἐστι κατὰ τὴν τάξιν Μελχισεδέκ; Οὐδεὶς ἕτερος ἢ οὗ-15 τος· πάντες γὰρ ὑπὸ τὸν νόμον ἦσαν, πάντες ἐσαββάτιζον, πάντες περιετέμνοντο· οὐδένα ἂν ἔχοι τις ἕτερον, φησί, δεῖξαι.

«Ὃς ἐν ταῖς ἡμέραις τῆς σαρκὸς αὐτοῦ δεήσεις τε καὶ ἱκετηρίας πρὸς τὸν δυνάμενον σώζειν αὐτὸν ἐκ θανάτου, μετὰ κραυγῆς ἰσχυρᾶς καὶ δακρύων προσενέγκας, καὶ εἰσακουσθεὶς 20 ἀπὸ τῆς εὐλαβείας. Καίπερ ὢν Υἱός, ἔμαθεν ἀφ' ὧν ἔπαθε τὴν ὑπακοήν». Ὁρᾷς ὅτι οὐδὲν ἄλλο ποιεῖ, ἢ τὸ κηδεμονικὸν παρίστησι καὶ τῆς ἀγάπης τὴν ὑπερβολήν; Τί γὰρ βούλεται τό, «μετὰ κραυγῆς ἰσχυρᾶς», οὐδαμοῦ τοῦτο τὸ εὐαγγέλιόν φησιν, οὐδ' ὅτι ἐδάκρυσεν εὐχόμενος, οὐδ' ὅτι κραυγὴν ἀφῆκεν. Ὁρᾷς ὅτι συγ-25 κατάβασις ἦν; Οὐ γὰρ ἐνῆν εἰπεῖν ὅτι ηὔξατο, ἀλλὰ καὶ μετὰ κραυγῆς ἰσχυρᾶς.

«Καὶ εἰσακουσθείς», φησίν, «ἀπὸ τῆς εὐλαβείας». Καίπερ ὢν Υἱός, ἔμαθεν ἀφ' ὧν ἔπαθε τὴν ὑπακοήν· καὶ τελειωθεὶς ἐγένετο πᾶσι τοῖς ὑπακούουσιν αὐτῷ αἴτιος σωτηρίας αἰωνίου, 30 προσαγορευθεὶς ὑπὸ τοῦ Θεοῦ ἀρχιερεὺς κατὰ τὴν τάξιν Μελχισεδέχ». Ἔστω μετὰ κραυγῆς· διὰ τί καὶ ἰσχυρᾶς; «Καὶ μετὰ δα-

3. Βλ. Ἐξ. 7,8–13· 8,12–14.
4. Λευϊτ. 10,1–3.

«Ἔτσι καὶ ὁ Χριστὸς δὲν τίμησε ὁ ἴδιος τὸν ἑαυτό του νὰ γίνει ἀρχιερέας». Ποῦ λοιπόν, λέγει, χειροτονήθηκε; Γιατὶ ὁ Ἀαρὼν χειροτονήθηκε πολλὲς φορές, ὅπως στὴν περίπτωση τῆς ράβδου[3] καὶ ὅταν ἡ φωτιὰ κατέβηκε ἀπὸ τὸν οὐρανὸ καὶ ἐξόντωσε ἐκείνους ποὺ καταπάτησαν τὴν ἱερωσύνη[4]. Ἐδῶ ὅμως συμβαίνει τὸ ἀντίθετο· ὄχι μόνο δὲν ἔπαθαν τίποτε, ἀλλὰ ἀντίθετα εὐημεροῦν. Ἀπὸ ποῦ λοιπόν; Τὸ δείχνει αὐτὸ ἀπὸ τὴν προφητεία. Δὲν ἔχει τίποτε ὑλικὸ οὔτε ὁρατό. Γι' αὐτὸ τὸ βεβαιώνει ἀπὸ προφητεία καὶ ἀπὸ τὰ μελλοντικά. «Ἀλλ' ἔγινε ἀρχιερέας ἀπὸ ἐκεῖνον ποὺ τοῦ εἶπε· εἶσαι ὁ Υἱός μου, ἐγὼ σήμερα σὲ γέννησα». Τί σχέση ἔχει αὐτὸ πρὸς τὸν Υἱό; Ναί, λέγει, αὐτὸ ἔχει λεχθεῖ πρὸς τὸν Υἱό. Καὶ τί βοηθάει αὐτὸ στὸ ζήτημά μας; Πάρα πολύ· γιατὶ εἶναι προετοιμασία τῆς χειροτονίας του ἀπὸ τὸ Θεό. «Ὅπως καὶ σὲ ἄλλο σημεῖο λέγει· ἐσὺ εἶσαι ἱερέας γιὰ πάντα, κατὰ τὴν τάξη Μελχισεδέκ». Σὲ ποιόν ἔχει λεχθεῖ αὐτό; Ποιός εἶναι ἱερέας κατὰ τὴν τάξη Μελχισεδέκ; Κανεὶς ἄλλος παρὰ μόνο αὐτός. Γιατὶ ὅλοι ἦταν ὑπόδουλοι στὸ νόμο, ὅλοι τηροῦσαν τὸ Σάββατο καὶ ἔκαναν τὴν περιτομή. Κανείς, λέγει, δὲ θὰ μποροῦσε νὰ δείξει κάποιον ἄλλον.

«Ὁ Χριστὸς κατὰ τὴ διάρκεια τῆς ἐπίγειας ζωῆς του ἔκανε μὲ δυνατὴ κραυγὴ καὶ δάκρυα προσευχὲς καὶ ἱκεσίες σ' ἐκεῖνον ποὺ μποροῦσε νὰ τὸν σώσει ἀπὸ τὸ θάνατο· καὶ εἰσακούσθηκε ἐξαιτίας τῆς εὐλάβειάς του. Ἂν καὶ ἦταν Υἱός, ἔμαθε ἀπὸ τὰ παθήματά του τὴν ὑπακοή». Βλέπεις ὅτι δὲν κάνει τίποτε ἄλλο, παρὰ μόνο παρουσιάζει τὴ φροντίδα του καὶ τὴν ὑπερβολική του ἀγάπη; Τί δηλαδὴ θέλει τὸ «μὲ δυνατὴ κραυγή»; Πουθενὰ δὲν τὸ λέγει αὐτὸ τὸ εὐαγγέλιο, οὔτε ὅτι δάκρυσε στὶς προσευχὲς οὔτε ὅτι ἔβγαλε δυνατὴ φωνή. Βλέπεις ὅτι τὸ ἔκανε ἀπὸ συγκατάβαση; Γιατὶ δὲν ἀρκέσθηκε νὰ πεῖ ὅτι προσευχήθηκε, ἀλλὰ καὶ μὲ δυνατὴ φωνή.

«Καὶ εἰσακούσθηκε», λέγει, «ἐξαιτίας τῆς εὐλάβειάς του. Ἂν καὶ ἦταν Υἱός, ἔμαθε ἀπὸ τὰ παθήματά του τὴν ὑπακοή. Καὶ ἀφοῦ ἔγινε τέλειος καὶ ἀνακηρύχθηκε ἀπὸ τὸ Θεὸ ἀρχιερέας, κατὰ τὴν τάξη Μελχισεδέκ, ἔγινε ἡ αἰτία νὰ σωθοῦν γιὰ πάντα ὅλοι ὅσοι ὑπακοῦν σ' αὐτόν». Ἔστω μὲ κραυγή, ἀλλὰ γιατί καὶ

κρύων προσενέγκας», φησί, «καὶ εἰσακουσθεὶς ἀπὸ τῆς εὐλαβείας». Αἰσχυνέσθωσαν αἱρετικοὶ ἀθετοῦντες τὴν σάρκα. Τί λέγεις; ὁ Υἱὸς τοῦ Θεοῦ ἀπὸ εὐλαβείας ἠκούετο; Καὶ τί περὶ τῶν προφητῶν πλέον ἂν εἴποι τις; Ποία δὲ καὶ ἀκολουθία εἰπεῖν,
5 *«εἰσακουσθεὶς ἀπὸ τῆς εὐλαβείας», καὶ ἐπαγαγεῖν, «καίπερ ὢν Υἱός, ἔμαθεν ἀφ' ὧν ἔπαθε τὴν ὑπακοήν»; ταῦτα περὶ Θεοῦ ἂν τις εἴποι; καὶ τίς οὕτω μέμηνε; τίς δὲ παραπαίων ἂν ταῦτα ἐφθέγξατο; «Εἰσακουσθείς», φησίν, «ἀπὸ τῆς εὐλαβείας, ἔμαθεν ἀφ' ὧν ἔπαθε τὴν ὑπακοήν». Ποίαν ὑπακοὴν ἔμαθεν; ὁ μέ-*
10 *χρι θανάτου πρὸ τούτου ὑπακούσας, ὡς πατρὶ υἱός, πῶς δὲ καὶ ὕστερον ἔμαθεν;*

2. Ὁρᾷς ὅτι περὶ τῆς σαρκὸς εἴρηται; Εἰπὲ δή μοι, τοῦ Πατρὸς ἐδεῖτο, ἵνα σωθῇ ἀπὸ τοῦ θανάτου, καὶ διὰ τοῦτο περίλυπτος ἦν καὶ ἔλεγεν, «εἰ δυνατόν, παρελθέτω ἀπ' ἐμοῦ τὸ ποτήριον τοῦ-
15 *το»; οὐδαμοῦ δὲ περὶ τῆς ἀναστάσεως ἐδεήθη τοῦ Πατρός, ἀλλὰ καὶ τοὐναντίον αὐτὸς ἀποφαίνεται λέγων· «λύσατε τὸν ναὸν τοῦτον, καὶ ἐγὼ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν»· καί, «ἐξουσίαν ἔχω θεῖναι τὴν ψυχήν μου, καὶ ἐξουσίαν ἔχω πάλιν λαβεῖν αὐτήν· οὐδεὶς αἴρει αὐτὴν ἀπ' ἐμοῦ, ἀλλ' ἐγὼ τίθημι αὐτὴν ἀπ' ἐμαυ-*
20 *τοῦ». Τί οὖν ἐστι; καὶ τίνος ἕνεκεν ἐδεῖτο; Καὶ πάλιν λέγει· «ἰδοὺ ἀναβαίνομεν εἰς Ἱεροσόλυμα, καὶ ὁ Υἱὸς τοῦ ἀνθρώπου παραδοθήσεται τοῖς ἀρχιερεῦσι καὶ γραμματεῦσι, καὶ κατακρινοῦσιν αὐτὸν θανάτῳ, καὶ παραδώσουσιν αὐτὸν τοῖς ἔθνεσιν εἰς τὸ ἐμπαῖξαι καὶ μαστιγῶσαι καὶ σταυρῶσαι, καὶ τῇ τρίτῃ ἡμέρᾳ ἀναστή-*
25 *σεται». Καὶ οὐκ εἶπεν, ὅτι 'ἀναστήσει με ὁ Πατήρ'. Πῶς οὖν περὶ τούτου ἐδεήθη;*

Ἀλλὰ περὶ τίνων ἐδήθη; περὶ τῶν πιστευσάντων εἰς αὐτόν. Ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· εἰσακούεται εὐκόλως. Ἐπειδὴ γὰρ οὐδέπω περὶ αὐτοῦ δόξαν εἶχον τὴν προσήκουσαν, εἶπεν ὅτι
30 *εἰσηκούσθη· ὥσπερ καὶ αὐτὸς τοὺς μαθητὰς παραμυθούμενος, ἔλεγεν· «εἰ ἠγαπᾶτε με, ἐχάρητε ἄν, ὅτι πρὸς τὸν Πατέρα μου πορεύομαι, ὅτι ὁ Πατήρ μου μείζων μού ἐστι». Πῶς δὲ οὐχ ἑαυτὸν*

---

5. Ματθ. 26,39. 6. Ἰω. 2,19.
7. Ἰω. 10,18. 8. Ματθ. 20,18-19.
9. Ἰω. 14,28.

δυνατή; «Καὶ μὲ δάκρυα», λέγει, «καὶ εἰσακούσθηκε ἐξαιτίας τῆς εὐλάβειάς του». Ἂς ντραποῦν οἱ αἱρετικοὶ ποὺ ἀρνοῦνται τὴ σάρκα. Τί λές; Ὁ Υἱὸς τοῦ Θεοῦ εἰσακουόταν ἐξαιτίας τῆς εὐλάβειάς του; Καὶ τί θὰ μποροῦσε νὰ πεῖ κανεὶς περισσότερο γιὰ τοὺς προφῆτες; καὶ ποιά ἡ σχέση τοῦ νὰ πεῖ, «καὶ εἰσακούσθηκε ἐξαιτίας τῆς εὐλάβειάς του», καὶ νὰ προσθέσει, «ἂν καὶ ἦταν Υἱός, ἔμαθε ἀπὸ τὰ παθήματά του τὴν ὑπακοή»; Αὐτὰ θὰ τὰ ἔλεγε κανεὶς γιὰ τὸ Θεό; Καὶ ποιός τρελλάθηκε τόσο πολύ; ποιός ἀσύνετος θὰ τὰ ἔλεγε αὐτά; «Εἰσακούσθηκε», λέγει, «ἐξαιτίας τῆς εὐλάβειάς του καὶ ἔμαθε ἀπὸ τὰ παθήματά του τὴν ὑπακοή». Ποιά ὑπακοὴ ἔμαθε; Αὐτὸς ποὺ πρὶν ὑπάκουσε μέχρι τὸ θάνατο, σὰν υἱὸς στὸν Πατέρα, πῶς ἔμαθε ἀργότερα τὴν ὑπακοή;

2. Βλέπεις ὅτι ἔχει λεχθεῖ γιὰ τὴ σάρκα; Πές μου λοιπόν, παρακαλοῦσε τὸν Πατέρα γιὰ νὰ σωθεῖ ἀπὸ τὸ θάνατο, καὶ γι' αὐτὸ ἦταν λυπημένος καὶ ἔλεγε, «ἂν εἶναι δυνατὸ ἂς ἀποφύγω τὸ ποτήρι αὐτό»[5]; Πουθενὰ ὅμως δὲν παρακάλεσε τὸν Πατέρα γιὰ τὴν ἀνάσταση, ἀλλὰ καὶ τὸ ἀντίθετο, αὐτὸς διακηρύσσει λέγοντας, «γκρεμίστε τὸ ναὸ αὐτὸν καὶ σὲ τρεῖς ἡμέρες θὰ τὸν ἀνοικοδομήσω»[6] καί, «ἀπὸ μένα ἐξαρτᾶται νὰ θυσιάσω τὴ ζωή μου καὶ ἀπὸ μένα ἐξαρτᾶται νὰ τὴν ξαναλάβω. Κανεὶς δὲ μοῦ τὴν ἀφαιρεῖ, ἀλλ' ἐγὼ ἀπὸ μόνος μου τὴν προσφέρω»[7]. Τί λοιπὸν συμβαίνει; Καὶ γιὰ ποιό λόγο παρακαλοῦσε; Καὶ πάλι λέγει· «νά, ἀνεβαίνομε στὰ Ἰεροσόλυμα καὶ ὁ Υἱὸς τοῦ ἀνθρώπου θὰ παραδοθεῖ στοὺς ἀρχιερεῖς καὶ στοὺς γραμματεῖς καὶ θὰ τὸν καταδικάσουν σὲ θάνατο. Καὶ θὰ τὸν παραδώσουν στοὺς ἐθνικοὺς γιὰ νὰ τὸν ἐμπαίξουν, νὰ τὸν μαστιγώσουν καὶ νὰ τὸν σταυρώσουν, ἀλλὰ τὴν τρίτη ἡμέρα θ' ἀναστηθεῖ»[8]. Καὶ δὲν εἶπε, 'θὰ μὲ ἀναστήσει ὁ Πατέρας'. Πῶς λοιπὸν παρακάλεσε γι' αὐτό;

Ἀλλὰ γιὰ ποιούς παρακάλεσε; Γιὰ ὅσους πίστεψαν σ' αὐτόν. Αὐτὸ ποὺ λέγει σημαίνει τὸ ἑξῆς· εἰσακούεται εὔκολα. Ἐπειδὴ λοιπὸν ποτὲ δὲν εἶχαν γι' αὐτὸν τὴ γνώμη ποὺ ἔπρεπε, εἶπε ὅτι εἰσακούσθηκε. Ὅπως ἀκριβῶς καὶ αὐτὸς παρηγορώντας τοὺς μαθητὲς ἔλεγε· «ἂν μὲ ἀγαπούσατε, θὰ χαιρόσασταν ποὺ πηγαίνω στὸν Πατέρα, γιατὶ ὁ Πατέρας εἶναι μεγαλύτερος ἀπὸ μένα»[9]. Πῶς ὅμως δὲν τίμησε τὸν ἑαυτό του αὐτὸς ποὺ τὸν

ἐδόξασεν ὁ ἑαυτὸν κενώσας, ὁ παραδοὺς ἑαυτόν; «Παρέδωκε», γάρ, φησίν, «ἑαυτὸν ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν»· καὶ πάλιν, «δοὺς ἑαυτὸν ἀντίλυτρον ὑπὲρ πάντων ἡμῶν». Τί οὖν ἐστιν; Ὁρᾷς ὅτι διὰ τὴν σάρκα ταπεινὰ φθέγγεται περὶ ἑαυτοῦ; Οὕτω 5 καὶ ενταῦθα, «καίπερ ὢν Υἱός, ἀπὸ τῆς εὐλαβείας εἰσακούσθη», φησί. Βούλεται γὰρ αὐτοῦ δεῖξαι τὸ κατόρθωμα ὃν μᾶλλον ἢ τῆς χάριτος τοῦ Θεοῦ. Τοσαύτη, φησίν, ἦν αὐτοῦ ἡ εὐλάβεια, ὡς καὶ ἀπὸ τούτου αἰδεῖσθαι αὐτὸν τὸν Θεόν. Ἔμαθεν ὑπακούειν, φησί, τῷ Θεῷ· ἐνταῦθα πάλιν δείκνυσιν ὅσον τῶν παθημάτων τὸ κέρ-10 δος.

«Καὶ τελειωθείς», φησίν, «ἐγένετο πᾶσι τοῖς ὑπακούουσιν αὐτῷ αἴτιος σωτηρίας»· εἰ δὲ ἐκεῖνος Υἱὸς ὢν ἐκέρδανεν ἀπὸ τῶν παθημάτων τὴν ὑπακοήν, πολλῷ μᾶλλον ἡμεῖς. Ὁρᾷς ὅσα περὶ ὑπακοῆς διαλέγεται, ὥστε πείθεσθαι αὐτούς; Δοκοῦσι γάρ 15 μοι συνεχῶς ἀφηνιάζειν καὶ τοῖς λεγομένοις μὴ παρακολουθεῖν· τοῦτο γὰρ ἠνίξατο τῷ εἰπεῖν, «νωθροὶ γεγόνατε ταῖς ἀκοαῖς». Ἀφ' ὧν ἔπαθε, φησί, συνεχῶς ἔμαθεν ὑπακούειν τῷ Θεῷ. «Καὶ τελειωθείς»· διὰ τῶν παθημάτων, φησί. Τοῦτό ἐστιν ἄρα τελείωσις, καὶ διὰ τούτου ἐλθεῖν εἰς τελείωσιν χρή. Οὐ μόνον γὰρ 20 αὐτὸς ἐσώθη, ἀλλὰ καὶ ἑτέροις τοῦτο γέγονε περιουσία σωτηρίας. «Τελειωθεὶς γὰρ ἐγένετο τοῖς ὑπακούουσιν αὐτῷ αἴτιος αἰωνίου σωτηρίας».

«Προσαγορευθείς», φησίν, «ὑπὸ τοῦ Θεοῦ ἀρχιερεὺς κατὰ τὴν τάξιν Μελχισεδέκ. Περὶ οὗ πολὺς ἡμῖν ὁ λόγος καὶ δυσερμή-25 νευτος». Μέλλων καθιέναι τὸν λόγον εἰς τὴν διαφορὰν τῆς ἱερωσύνης, πρότερον αὐτοῖς ἐπιτιμᾷ, δεικνύς, ὅτι καὶ ἡ τοιαύτη συγκατάβασις γάλα ἦν, καὶ διὰ τὸ νηπίους εἶναι, πλέον ἐνδιέτριβε τῷ ταπεινῷ λόγῳ τῷ κατὰ σάρκα, καὶ ὡς περί τινος δικαίου διαλέγεται. Καὶ θέα, οὔτε ἀπεσιώπησε τὸν λόγον πάντη, οὔτε 30 εἶπε· τὸ μὲν γάρ, ἵνα ἀναγάγῃ αὐτῶν τὴν διάνοιαν καὶ πείσῃ τελείους εἶναι καὶ μὴ ἀποστερεῖσθαι τῶν μεγάλων δογμάτων, πεποίηκε, τὸ δέ, ἵνα μὴ καταχώσῃ αὐτῶν τὸν νοῦν. «Περὶ οὗ πολὺς

---

10. Γαλ. 1,4.
11. Α΄ Τιμ. 2,6.

ταπείνωσε ἐντελῶς καὶ τὸν παρέδωσε; Γιατὶ λέγει, «παρέδωσε τὴ ζωή του γιὰ τὶς ἁμαρτίες μας»[10]. Καὶ πάλι, «πρόσφερε τὴ ζωή του λύτρο γιὰ χάρη ὅλων μας»[11]. Τί λοιπὸν συμβαίνει; Βλέπεις ὅτι μιλάει ταπεινὰ γιὰ τὴ δική του σάρκα; Ἔτσι καὶ ἐδῶ λέγει, «ἂν καὶ ἦταν Υἱός, εἰσακούσθηκε ἐξαιτίας τῆς εὐλάβειάς του». Θέλει δηλαδὴ νὰ δείξει ὅτι τὸ κατόρθωμα εἶναι περισσότερο δικό του, παρὰ τῆς χάριτος τοῦ Θεοῦ. Τόσο μεγάλη, λέγει, ἦταν ἡ εὐλάβειά του, ὥστε ἀπ' αὐτὸ νὰ τὸν σεβασθεῖ ὁ Θεός. «Ἔμαθε», λέγει, «νὰ ὑπακούει στὸ Θεό». Ἐδῶ πάλι δείχνει πόσο μεγάλο εἶναι τὸ κέρδος ἀπὸ τὰ παθήματα.

«Καὶ ἀφοῦ ἔγινε τέλειος», λέγει, «ἔγινε ἡ αἰτία νὰ σωθοῦν ὅλοι ὅσοι ὑπακοῦν σ' αὐτόν». Ἂν ἐκεῖνος ποὺ ἦταν Υἱὸς κέρδισε τὴν ὑπακοὴ μέσα ἀπὸ τὰ παθήματα, πολὺ περισσότερο ἐμεῖς. Βλέπεις ὅσα λέγει γιὰ τὴν ὑπακοὴ τὰ λέγει γιὰ νὰ ὑπακοῦν αὐτοί; Μοῦ φαίνονται δηλαδὴ ὅτι συνέχεια παρεκτρέπονταν καὶ δὲν τηροῦσαν τὰ λεγόμενα. Αὐτὸ ὑπαινίχθηκε μὲ τὸ νὰ πεῖ, «δὲ δείχνετε προθυμία στὸ νὰ τὰ καταλάβετε». Μέσα ἀπὸ τὰ συνεχὴ παθήματα, λέγει, ἔμαθε νὰ ὑπακούει στὸ Θεό. «Καὶ ἀφοῦ ἔγινε τέλειος»· μὲ τὰ παθήματα, λέγει. Αὐτὸ λοιπὸν εἶναι τελείωση, καὶ μέσα ἀπ' αὐτὸ πρέπει νὰ φθάσει κανεὶς στὴν τελείωση. Γιατὶ ὄχι μόνο σώθηκε, ἀλλὰ καὶ σὲ ἄλλους ἔγινε αὐτὸ πλοῦτος σωτηρίας. «Ἀφοῦ ἔγινε τέλειος, ἔγινε ἡ αἰτία νὰ σωθοῦν γιὰ πάντα ὅσοι ὑπακοῦν σ' αὐτόν».

«Ἀνακηρύχθηκε», λέγει, «ἀπὸ τὸ Θεὸ ἀρχιερέας ὅπως ὁ Μελχισεδέκ. Γι' αὐτὸ τὸ θέμα ἔχουμε πολλὰ νὰ ποῦμε, ἀλλ' εἶναι δύσκολο νὰ ἐξηγηθοῦν». Ἔχοντας σκοπὸ νὰ φέρει τὸ λόγο στὴ διαφορὰ τῆς ἱερωσύνης, πρῶτα τοὺς ἐπιτιμάει, δείχνοντς ὅτι ἡ τόσο μεγάλη συγκατάβαση ἦταν γάλα, καὶ ὅτι, ἐπειδὴ ἦταν νήπιοι, παρέμενε περισσότερο στὰ ταπεινὰ λόγια ποὺ ἀναφέρονταν στὴ σάρκα, καὶ ὅτι μιλάει σὰν νὰ πρόκειται γιὰ κάποιο δίκαιο. Καὶ πρόσεχε· οὔτε ἀπέκρυψε ἐντελῶς τὸ λόγο, οὔτε τὸν εἶπε· αὐτὸ τὸ ἔκαμε γιὰ νὰ τοὺς ἐνθαρρύνει καὶ νὰ τοὺς πείσει νὰ γίνονται τέλειοι καὶ νὰ μὴ στερηθοῦν τὰ μεγάλα δόγματα, ἀλλὰ καὶ γιὰ νὰ μὴ καταχώσει τὸ νοῦ τους. «Γι' αὐτὸ τὸ θέμα», λέγει, «ἔχουμε πολλὰ νὰ ποῦμε, ἀλλ' εἶναι δύσκολο νὰ ἐξηγηθοῦν, για-

ἡμῖν ὁ λόγος», φησί, «καὶ δυσερμήνευτος λέγειν, ἐπεὶ νωθροὶ γεγόνατε ταῖς ἀκοαῖς». Ἐπειδὴ ἐκεῖνοι οὐκ ἀκούουσι, διὰ τοῦτο δυσερμήνευτος ὁ λόγος. Ὅταν γάρ τις πρὸς ἀνθρώπους ἔχῃ μὴ παρακολουθοῦντας, μηδὲ τὰ λεγόμενα νοοῦντας, ἑρμηνεῦσαι κα-
5 *λῶς αὐτοῖς οὐ δύναται.*

Ἀλλ' ἴσως τις ὑμῶν τῶν ἐνταῦθα ἑστηκότων ἰλιγγιᾷ καὶ ἐπήρειαν τὸ πρᾶγμα νομίζει, εἰ δι' Ἑβραίους αὐτὸς ἐνεποδίσθη τὸν τελειότερον λαλῆσαι λόγον. Τάχα μὲν οὖν καὶ ἐνταῦθα, πλὴν ὀλίγων, πολλοὺς εἶναι τοιούτους οἶμαι, ὥστε λέγεσθαι καὶ περὶ
10 *ὑμῶν τοῦτο· τῶν δὲ ὀλίγων ἕνεκεν ἐρῶ. Ἆρ' οὖν ἀπεσιώπησεν ἢ πάλιν αὐτὸν ἀνέλαβεν ἐν τοῖς ἐφεξῆς καὶ ταὐτὸν ἐποίησεν, οἷον ἐν τῇ πρὸς Ῥωμαίους ἐπιστολῇ; καὶ γὰρ ἐκεῖ πρότερον ἐπιστομίσας τοὺς ἀντιλέγοντας καὶ εἰπών, «μενοῦνγε, ὦ ἄνθρωπε, σὺ τίς εἶ ὁ ἀνταποκρινόμενος τῷ Θεῷ;» τότε τὴν λύσιν ἐπάγει. Ἐγὼ δὲ*
15 *αὐτὸν οὔτε πάντῃ σεσιγηκέναι, οὔτε εἰρηκέναι οἶμαι, ἵνα εἰς πόθον ἀγάγῃ τοὺς ἀκροατάς. Μνημονεύσας γὰρ καὶ εἰπὼν μεγάλα τινὰ ἐναποκεῖσθαι τῷ λόγῳ, ὅρα πῶς μετ' ἐγκωμίου ποιεῖται τὴν ἐπιτίμησιν.*

Τοῦτο γὰρ ἀεὶ τῆς σοφίας Παύλου, τὰ δυσχερῆ τοῖς
20 *χρηστοῖς ἀναμιγνύναι· ὃ καὶ ἐν τῇ πρὸς Γαλάτας ποιεῖ, λέγων, «ἐτρέχετε καλῶς· τί ὑμᾶς ἐνέκοψε;», καί, «τοσαῦτα ἐπάθετε εἰκῇ; εἴ γε καὶ εἰκῇ»· καί, «πέποιθα εἰς ὑμᾶς ἐν Κυρίῳ». Ὃ καὶ τούτοις φησί· «πεπείσμεθα δὲ περὶ ὑμῶν τὰ κρείττονα καὶ ἐχόμενα σωτηρίας». Δύο γὰρ ταῦτα ποιεῖ· οὔτε ἐπιτείνει, οὔτε ἀφίη-*
25 *σιν αὐτοὺς ἀναπεσεῖν· εἰκότως· εἰ γὰρ τὰ ἑτέρων παραδείγματα ἱκανὰ τὸν ἀκούοντα ἀναστῆσαι καὶ εἰς ζῆλον ἀγαγεῖν, ὅταν τις παρ' ἑαυτοῦ τὸ ὑπόδειγμα ἔχῃ καὶ ἑαυτὸν παρακελεύηται ζηλοῦν, πολλῷ μᾶλλον ἐντεῦθεν ἤδη τὸ δυνατὸν τῆς διδασκαλίας εἰσάγεται. Καὶ τοῦτο οὖν δείκνυσι καὶ οὐκ ἀφίησιν ὡς σφό-*
30 *δρα κατεγνωσμένους ἀναπεσεῖν, οὐδὲ ὡς ἀεὶ ὄντας κακούς, ἀλλ' ὅτι ποτὲ ἐγένοντο καὶ χρηστοί, λέγει. «Καὶ γὰρ ὀφείλοντες εἶναι*

---

12. Ρωμ. 9,20. 13. Γαλ. 5,7.
14. Γαλ. 3,4. 15. Γαλ. 5,10.
16. Ἑβρ. 6,9.

τὶ δὲ δείχνετε προθυμία νὰ τὰ καταλάβετε». Ἐπειδὴ ἐκεῖνοι δὲν ἀκοῦν, γι' αὐτὸ ὁ λόγος εἶναι δύσκολο νὰ ἐξηγηθεῖ. Γιατὶ ὅταν κάποιος ἔχει νὰ κάνει μὲ ἀνθρώπους ποὺ δὲν τὸν παρακολουθοῦν οὔτε τὰ λεγόμενα καταλαβαίνουν, δὲν μπορεῖ νὰ τὰ ἐξηγήσει καλὰ σ' αὐτούς.

Ἴσως ὅμως κάποιος ἀπὸ σᾶς ποὺ βρίσκεστε ἐδῶ αἰσθάνεται κατάπληξη καὶ θεωρεῖ βλαβερὸ τὸ πράγμα, ἂν ἐξαιτίας τῶν Ἑβραίων ἐμποδίσθηκε αὐτὸς νὰ μιλήσει τὸν τελειότερο λόγο. Ἴσως λοιπὸν καὶ ἐδῶ, ἐκτὸς ἀπὸ λίγους, νομίζω πὼς εἶναι πολλοὶ τέτοιοι, ὥστε νὰ τὸ λέγουν αὐτὸ καὶ γιὰ σᾶς· ἀλλ' ἐξαιτίας τῶν λίγων θὰ τὸ ἐξηγήσω. Ἄραγε ἀπέκρυψε τὸ λόγο ἢ τὸν ἐπανέλαβε στὰ ἑπόμενα καὶ ἔκαμε τὸ ἴδιο ὅπως στὴν πρὸς Ρωμαίους ἐπιστολή; Γιατὶ καὶ ἐκεῖ, ἀφου πρῶτα ἀποστόμωσε ἐκείνους ποὺ ἀντέλεγαν καὶ ἀφοῦ εἶπε «ποιός εἶσαι ἐσύ, ἄνθρωπε, ποὺ ἀντιλέγεις στὸ Θεό;»[12], τότε προσθέτει τὴν ἐξήγηση. Ἐγὼ ὅμως νομίζω ὅτι οὔτε σίγησε ἐντελῶς οὔτε μίλησε, γιὰ νὰ βάλει σὲ ἐπιθυμία τοὺς ἀκροατές. Ἀφοῦ λοιπὸν ἀνέφερε καὶ εἶπε ὅτι κάποια μεγάλα βρίσκονται μέσα στὸ λόγο, πρόσεχε πῶς κάνει μὲ ἐπαίνους τὴν ἐπιτίμηση.

Αὐτὸ πάντοτε εἶναι τὸ γνώρισμα τῆς σοφίας τοῦ Παύλου, ν' ἀναμειγνύει τὰ ἐνοχλητικὰ μὲ τὰ χρήσιμα. Αὐτὸ κάνει καὶ στὴν Πρὸς Γαλάτας ἐπιστολὴ λέγοντας, «τρέχατε καλά· ποιός σᾶς ἔκοψε τὴν ὁρμή;»[13] καί, «τόσα ποὺ πάθατε πῆγαν χαμένα; ἐλπίζω νὰ μὴν πῆγαν χαμένα»[14]· καί, «σᾶς ἔχω ἐμπιστοσύνη, ὁ Κύριος θὰ σᾶς βοηθήσει»[15]. Τὸ ἴδιο λέγει καὶ σ' αὐτούς· «γιὰ σᾶς ὅμως ἔχουμε πεισθεῖ ὅτι ἀξίζετε γιὰ καλύτερα πράγματα, ποὺ καταλήγουν στὴ σωτηρία»[16]. Κάνει λοιπὸν δύο πράγματα· οὔτε ἐπιμένει, οὔτε τοὺς ἀφήνει ν' ἀποθαρρυνθοῦν. Πολὺ σωστά. Γιατί, ἂν τὰ παραδείγματα τῶν ἄλλων εἶναι σὲ θέση νὰ προτρέψουν τὸν ἀκροατὴ καὶ νὰ τὸν ὁδηγήσουν σὲ ζῆλο, ὅταν κάποιος ἔχει τὸ παράδειγμα ἀπὸ τὸν ἑαυτό του καὶ προτρέπει τὸν ἑαυτό του ν' ἀποκτήσει ζῆλο, πολὺ περισσότερο ἀπὸ ἐδῶ ἤδη εἰσάγεται τὸ δυνατὸ τῆς διδασκαλίας. Καὶ αὐτὸ λοιπὸν δείχνει, καὶ δὲν τοὺς ἀφήνει ν' ἀποθαρρυνθοῦν, ἐπειδὴ ἦταν πάρα πολὺ περιφρονημένοι, οὔτε ἐπειδὴ ἦταν πάντοτε κακοί, ἀλλὰ κάποτε ὑπῆρξαν

διδάσκαλοι διὰ τὸ χρόνον». Δείκνυσιν ἐνταῦθα πρὸ πολλοῦ χρόνου πεπιστευκότας αὐτούς· δείκνυσι δὲ ὅτι καὶ ἄλλους ὀφείλουσι κατηχεῖν.

Ὅρα γοῦν αὐτὸν συνεχῶς ὠδίνοντα τὸν περὶ τοῦ ἀρχιερέ-
5 *ως εἰσαγαγεῖν λόγον καὶ ἀεὶ ἀναβαλλόμενον. Ἄκουε γὰρ πῶς ἤρξατο· «ἔχοντες ἀρχιερέα μέγαν διεληλυθότα τοὺς οὐρανούς»· καὶ παρεὶς εἰπεῖν πῶς μέγαν, πάλιν φησί, «πᾶς γὰρ ἀρχιερεὺς ἐξ ἀνθρώπων λαμβανόμενος, ὑπὲρ ἀνθρώπων καθίσταται τὰ πρὸς τὸν Θεόν»· καὶ πάλιν, «οὕτω καὶ ὁ Χριστὸς οὐχ ἑαυτὸν ἐδόξασε*
10 *γενηθῆναι ἀρχιερέα». Καὶ πάλιν εἰπών, «σὺ εἶ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ», πάλιν ἀναβάλλεται λέγων, «ὃς ἐν ταῖς ἡμέραις τῆς σαρκὸς αὐτοῦ δεήσεις καὶ ἱκετηρίας προσήνεγκεν».*

3. Ἐπεὶ οὖν τοσαταύκις ἐξεκρούσθη, ὡσανεὶ ἀπολογούμενός
15 *φησιν, ἡ αἰτία παρ' ὑμᾶς. Βαβαί, πόση διαφορά; ὀφείλοντες ἄλλους διδάσκειν, οὐδὲ ἁπλῶς μαθηταί εἰσιν, ἀλλὰ μαθηταὶ ἔσχατοι. «Καὶ γὰρ ὀφείλοντες εἶναι διδάσκαλοι διὰ τὸν χρόνον», φησί, «πάλιν χρείαν ἔχετε τοῦ διδάσκειν ὑμᾶς τίνα τὰ στοιχεῖα τῆς ἀρχῆς τῶν λογίων τοῦ Θεοῦ». Ἐνταῦθα «στοιχεῖα ἀρχῆς»*
20 *τὴν ἀνθρωπότητά φησιν. Ὥσπερ γὰρ ἐπὶ τῶν ἔξωθεν γραμμάτων πρῶτον τὰ στοιχεῖα δεῖ μαθεῖν, οὕτω καὶ ἐπὶ τῶν θείων λογίων πρῶτον περὶ τῆς ἀνθρωπότητος ἔδει διδάσκεσθαι. Ὁρᾷς τίς αἰτία τοῦ ταπεινὰ φθέγγεσθαι; Οὕτω καὶ Ἀθηναίοις ἐποίησεν ὁ Παῦλος διαλεγόμενος αὐτοῖς καὶ λέγων· «τοὺς μὲν οὖν χρόνους*
25 *τῆς ἀγνοίας ὑπεριδὼν ὁ Θεός, τανῦν παραγγέλλει τοῖς ἀνθρώποις πᾶσι πανταχοῦ μετανοεῖν, καθότι ἔστησεν ἡμέραν, ἐν ᾗ μέλλει κρίνειν τὴν οἰκουμένην ἐν δικαιοσύνῃ, ἐν ἀνδρὶ ᾧ ὥρισε, πίστιν παρασχὼν πᾶσιν, ἀναστήσας αὐτὸν ἐκ νεκρῶν»· διὰ τοῦτο εἰ μέν τι ὑψηλὸν λέγει, ἐν βραχεῖ τοῦτό φησι, τὰ δὲ ταπεινὰ πολ-*
30 *λαχοῦ διέσπαρται τῆς ἐπιστολῆς. Καὶ οὕτω δὲ τὸ ὑψηλὸν δείκνυται· τὸ γὰρ σφόδρα ταπεινὸν οὐκ ἀφίησι περὶ τῆς θεότητος ταῦτα ὑποπτεύεσθαι.*

Οὕτω καὶ ἐνταῦθα τὸ ἀσφαλὲς φυλάττων, τὰ ταπεινὰ

---

17. Ἑβρ. 4,14. 18. Πράξ. 17,30–31.

καὶ καλοί. «Θὰ ἔπρεπε νὰ ἤσασταν διδάσκαλοι ἔπειτα ἀπὸ τόσο καιρό». Ἐδῶ δείχνει ὅτι εἶχαν πιστέψει πρὶν ἀπὸ πολλὰ χρόνια· δείχνει ἀκόμη ὅτι ἔπρεπε νὰ διδάσκουν καὶ ἄλλους.

Πρόσεχε λοιπὸν ὅτι συνέχεια πασχίζει νὰ μιλήσει γιὰ τὸν ἀρχιερέα καὶ πάντοτε τὸ ἀναβάλλει. Ἄκου πῶς ἄρχισε· «γιατὶ ἔχουμε μέγα ἀρχιερέα ποὺ πέρασε τοὺς οὐρανούς»[17]. Στὴ συνέχεια, παραλείποντας νὰ πεῖ πῶς εἶναι μέγας, λέγει πάλι, «κάθε ἀρχιερέας ποὺ προέρχεται ἀπὸ ἀνθρώπους ἐγκαθίσταται γιὰ νὰ ὑπηρετεῖ τὸ Θεὸ γιὰ χάρη τους»· καὶ πάλι, «ἔτσι καὶ ὁ Χριστὸς δὲν τίμησε ὁ ἴδιος τὸν ἑαυτό του νὰ γίνει ἀρχιερέας». Καὶ ἀφοῦ πάλι εἶπε, «ἐσὺ εἶσαι ἱερέας γιὰ πάντα ὅπως ὁ Μελχισεδέκ», πάλι τὸ ἀναβάλλει λέγοντας, «ὁ Χριστὸς κατὰ τὴ διάρκεια τῆς ἐπίγειας ζωῆς του ἔκανε προσευχὲς καὶ ἱκεσίες».

3. Ἀφοῦ λοιπὸν τόσες φορὲς ἀνέβαλε νὰ τὸ πεῖ, σὰν ἀπολογούμενος λέγει, ἡ αἰτία ὀφείλεται σὲ σᾶς. Ἀλλοίμονο, πόση εἶναι ἡ διαφορά! Ἐνῶ ἔπρεπε νὰ διδάσκουν ἄλλους, οὔτε ἁπλῶς μαθητές εἶναι, ἀλλὰ οἱ τελευταῖοι μαθητές. «Θὰ ἔπρεπε», λέγει, «νὰ ἤσασταν διδάσκαλοι ἔπειτα ἀπὸ τόσο καιρό. Παρ' ὅλα αὐτὰ ἔχετε πάλι ἀνάγκη νὰ σᾶς διδάξω καὶ τὰ ἀρχικὰ ἀκόμη στοιχεῖα τῶν λόγων τοῦ Θεοῦ». Ἐδῶ «ἀρχικὰ στοιχεῖα» ὀνομάζει τὴν ἀνθρώπινη φύση. Γιατί, ὅπως στὰ ἑλληνικὰ γράμματα πρέπει νὰ μάθει κανεὶς πρῶτα τὰ στοιχεῖα, ἔτσι καὶ στὰ θεῖα λόγια ἔπρεπε νὰ διδάσκεται γιὰ τὴν ἀνθρώπινη φύση. Βλέπεις ποιά εἶναι ἡ αἰτία ποὺ λέγει ταπεινὰ λόγια; Ἔτσι καὶ στοὺς Ἀθηναίους ἔκαμε ὁ Παῦλος ὅταν τοὺς μιλοῦσε καὶ ἔλεγε· «τὰ χρόνια ἐκεῖνα τῆς ἄγνοιας παρέβλεψε ὁ Θεὸς καὶ τώρα παραγγέλλει σὲ ὅλους τοὺς ἀνθρώπους παντοῦ νὰ μετανοοῦν, γιατὶ καθόρισε μία ἡμέρα, κατὰ τὴν ὁποία θὰ κρίνει τὴν οἰκουμένη μὲ δικαιοσύνη μὲ ἕναν ἄνδρα ποὺ τὸν ὅρισε γι' αὐτό. Καὶ ἔδωσε σὲ ὅλους βεβαίωση γι' αὐτό, ἀνασταίνοντάς τον ἀπὸ τοὺς νεκρούς»[18]. Γι' αὐτό, ἂν λέγει κάτι ὑψηλό, τὸ λέγει σύντομα, ἐνῶ τὰ ταπεινὰ εἶναι σκορπισμένα σὲ πολλὰ σημεῖα τῆς ἐπιστολῆς. Καὶ ἔτσι ὅμως φαίνεται τὸ ὑψηλό, γιατὶ τὸ πολὺ ταπεινὸ δὲν ἀφήνει νὰ τὰ ὑποψιασθεῖ κανεὶς αὐτὰ γιὰ τὴ θεότητα.

Ἔτσι καὶ ἐδῶ προσέχοντας στὴν ἀσφάλεια ἀποδίδει τὰ τα-

προσάπτει τῇ ἀνθρωπότητι· καὶ τὸ αἴτιον, τὸ μὴ δύνασθαι αὐτοὺς τῶν τελείων ἀκούειν. Τοῦτο μάλιστα ἐν τῇ πρὸς Κορινθίους ἐσήμανεν ἐπιστολῇ, εἰπών· «ὅπου γὰρ ἐν ὑμῖν ζῆλος καὶ ἔρις καὶ διχοστασίαι, οὐχὶ σαρκικοί ἐστε;» Θέα δέ μοι τὴν σύνε-
5 *σιν αὐτοῦ τὴν πολλήν, πῶς καταλλήλως ἀεὶ τοῖς ὑποκειμένοις πάθεσι προσφέρεται. Ἐκεῖ μὲν γὰρ ἡ ἀσθένεια ἀπὸ ἀμαθίας τὸ πλέον ἐγένετο, μᾶλλον δὲ ἀπὸ ἁμαρτημάτων· ἐνταῦθα δὲ οὐκ ἀπὸ ἁμαρτημάτων μόνον, ἀλλὰ καὶ ἀπὸ τῶν θλίψεων τῶν συνεχῶν· διὸ καὶ λέξεσι δείξασθαι δυναμέναις τὴν διαφορὰν κέχρη-*
10 *ται, ἐκεῖ μὲν λέγων, «σαρκικοί ἐστε», ἐνταῦθα δέ, ἐπεὶ μείζων ἡ ὀδύνη, «νωθροὶ γεγόνατε». Καὶ ἐκεῖνοι μὲν οὐκ ἠδυνήθησαν ἐνεγκεῖν, ἅτε σαρκικοὶ ὄντες, οὗτοι δὲ ἠδυνήθησαν. Τὸ γὰρ εἰπεῖν, «ἐπεὶ νωθροὶ γεγόνατε ταῖς ἀκοαῖς», δηλοῦντος ἦν ὅτι πάλαι ὑγίαινον καὶ ἦσαν ἰσχυροί, τῇ προθυμίᾳ ζέοντες, καὶ ὕστερον*
15 *αὐτοὺς τοῦτο παθεῖν μαρτυρεῖ.*

«Καὶ γεγόνατε χρείαν ἔχοντες γάλακτος καὶ οὐ στερεᾶς τροφῆς». Ἀεὶ δὲ «γάλα» τὸν ταπεινὸν λόγον καλεῖ, καὶ ἐνταῦθα καὶ ἐκεῖ. «Ὀφείλοντες εἶναι», φησί, «διδάσκαλοι διὰ τὸν χρόνον». Ὡσεὶ ἔλεγε, δι' ὃ μάλιστα ἐξελύθητε καὶ ὕπτιοι γεγόνατε,
20 *διὰ τοῦτο μάλιστα ὀφείλετε εἶναι ἰσχυροί, διὰ τὸν χρόνον. «Γάλα» δὲ καλεῖ τὸν ταπεινὸν λόγον διὰ τὸ τοῖς ἀφελεστέροις ἁρμόζειν· τοῦτο δὲ ἐναντίον τοῖς τελειοτέροις καὶ βλαβερὸν τὸ ἐν τούτοις διατρίβειν. Ὥστε οὐκ ἔδει τὰ νομικὰ ἐπεισφέρεσθαι νῦν, οὐδὲ ἀπὸ τούτων τὴν σύγκρισιν γίνεσθαι, ὅτι ἀρχιερεύς, καὶ ὅτι*
25 *ἔθυσε, καὶ ἐδεήθη μετὰ κραυγῆς καὶ ἱκετηρίας. Ὅρα γοῦν πῶς ἡμῖν ταῦτα προσίσταται· ἀλλ' ἐκείνους τότε ἔτρεφεν, οὐδαμοῦ προσιστάμενα αὐτοῖς. Ἄρα οὖν ἀληθὴς τροφὴ τὰ λόγια τοῦ Θεοῦ, τρέφουσα τὴν ψυχήν. Ὅτι δὲ ὁ λόγος τροφή, δῆλον ἐκεῖθεν· «δώσω γὰρ αὐτοῖς», φησίν, «οὐ λιμὸν ἄρτου, οὐδὲ δίψαν*
30 *ὕδατος, ἀλλὰ λιμὸν τοῦ ἀκοῦσαι λόγον Κυρίου».*

«Γάλα ὑμᾶς ἐπότισα, οὐ βρῶμα». Οὐκ εἶπεν, 'ἔθρεψα',

---

19. Α' Κορ. 3,3.
20. Ἀμὼς 8,11.
21. Α' Κορ. 3,2.

πεινὰ στὴν ἀνθρώπινη φύση· καὶ ἡ αἰτία, τὸ ὅτι δὲν μποροῦν αὐτοὶ νὰ ἀκοῦν γιὰ τὰ τέλεια. Αὐτὸ τὸ φανέρωσε ἰδιαίτερα στὴν Πρὸς Κορινθίους ἐπιστολὴ λέγοντας· «ἀφοῦ ὑπάρχει μεταξύ σας ζηλοτυπία καὶ φιλονεικία καὶ διαφωνία, δὲν εἶστε ἄνθρωποι αὐτοῦ τοῦ κόσμου;»[19]. Πρόσεχε, σὲ παρακαλῶ, τὴ μεγάλη του σύνεση, πῶς μὲ κατάλληλο πάντοτε τρόπο ἀναφέρεται στὰ ὑπάρχοντα πάθη. Γιατὶ ἐκεῖ ἡ ἀσθένεια προερχόταν περισσότερο ἀπὸ ἄγνοια ἢ καλύτερα ἀπὸ τὰ ἁμαρτήματα, ἐνῶ ἐδῶ ὄχι μόνο ἀπὸ τὰ ἁμαρτήματα, ἀλλὰ καὶ ἀπὸ τὶς ἀδιάκοπες θλίψεις. Γι' αὐτὸ χρησιμοποιεῖ καὶ λέξεις ποὺ μποροῦν νὰ δείξουν τὴ διαφορά. Ἔτσι ἐκεῖ λέγει, «εἶστε ἄνθρωποι τοῦ κόσμου», ἐνῶ ἐδῶ ἐπειδὴ εἶναι μεγαλύτερη ἡ ὀδύνη, «δὲ δείχνετε προθυμία». Καὶ ἐκεῖνοι βέβαια δὲν μπόρεσαν ν' ἀντέξουν ἐπειδὴ ἦταν ἄνθρωποι τοῦ κόσμου, αὐτοὶ ὅμως μπόρεσαν. Γιατὶ τὸ νὰ πεῖ «ἐπειδὴ δὲ δείχνετε προθυμία νὰ καταλάβετε», ἦταν ἀπόδειξη ὅτι παλαιὰ ἦταν ὑγιεῖς καὶ δυνατοί, ὑπερβολικὰ πρόθυμοι, καὶ βεβαιώνει ὅτι ἀργότερα τὸ ἔπαθαν αὐτό.

«Καὶ καταντήσατε νὰ ἔχετε ἀνάγκη ἀπὸ γάλα καὶ ὄχι ἀπὸ στερεὴ τροφή». Πάντοτε ὀνομάζει γάλα τὸν ταπεινὸ λόγο, καὶ ἐδῶ καὶ ἐκεῖ. «Θὰ ἔπρεπε», λέγει, «νὰ ἤσασταν διδάσκαλοι ἔπειτα ἀπὸ τόσον καιρό». Σὰν νὰ ἔλεγε· γι' αὐτὸ κυρίως γίνατε νωθροὶ καὶ ἀδιάφοροι, γι' αὐτὸ κυρίως θὰ ἔπρεπε νὰ ἤσασταν δυνατοί, ἐξ αἰτίας τοῦ καιροῦ ποὺ πέρασε. Καὶ ὀνομάζει γάλα τὸν ταπεινὸ λόγο, ἐπειδὴ ταιριάζει στοὺς ἀφελέστερους· αὐτὸ ὅμως εἶναι ἀντίθετο στοὺς τελειότερους καὶ βλαβερὸ τὸ νὰ ζοῦν ἀνάμεσα σ' ἐκείνους. Ὥστε δὲν ἔπρεπε νὰ προσάγεται ὁ νόμος τώρα, οὔτε ἀπ' αὐτὰ νὰ γίνεται ἡ σύγκριση, ὅτι δηλαδὴ ἦταν ἀρχιερέας καὶ ὅτι θυσίασε καὶ ὅτι προσευχήθηκε μὲ κραυγὴ καὶ ἱκεσίες. Πρόσεχε λοιπὸν πῶς μᾶς δυσαρεστοῦν αὐτά, ἐνῶ ἐκείνους τοὺς ἔτρεφαν τότε καὶ δὲν τοὺς δυσαρεστοῦσαν καθόλου. Ἄρα λοιπὸν τὰ λόγια τοῦ Θεοῦ εἶναι ἀληθινὴ τροφή, ποὺ τρέφει τὴν ψυχή. Ὅτι ὅμως ὁ λόγος εἶναι τροφὴ φαίνεται ἀπὸ ἐκεῖ· «θὰ δώσω σ' αὐτούς», λέγει, «ὄχι πείνα γιὰ ψωμὶ οὔτε δίψα γιὰ νερό, ἀλλὰ πείνα γιὰ ν' ἀκούσουν τὸ λόγο τοῦ Κυρίου»[20].

«Γάλα σᾶς πότισα καὶ ὄχι στερεὴ τροφή»[21]. Δὲν εἶπε, 'σᾶς

δεικνὺς ὅτι οὐκ ἔστι τὸ τοιοῦτον τροφή, ἀλλ' ὥσπερ ἐπὶ τῶν παιδίων τῶν μικρῶν τῶν οὐ δυναμένων ἄρτῳ τρέφεσθαι· τὰ γὰρ τοιαῦτα οὐ ποτίζεται, ἀλλ' ἡ τροφὴ αὐτοῖς ἀντὶ ποτοῦ γίνεται· οὕτω καὶ ἐνταῦθα. Καὶ οὐκ εἶπε, 'χρείαν ἔχετε', ἀλλά, «γεγόνατε
5 *χρείαν ἔχοντες γάλακτος, καὶ οὐ στερεᾶς τροφῆς»· τουτέστιν, ὑμεῖς ἠθελήσατε, ὑμεῖς ἑαυτοὺς εἰς τοῦτο κατεστήσατε, εἰς ταύτην τὴν χρείαν. «Πᾶς γὰρ ὁ μετέχων γάλακτος, ἄπειρος λόγου δικαιοσύνης· νήπιος γάρ ἐστι». Τί ἐστιν ὁ λόγος τῆς δικαιοσύνης; Ἐνταῦθά μοι δοκεῖ καὶ βίον αἰνίττεσθαι· ὅπερ καὶ ὁ Χριστὸς*
10 *ἔλεγεν, «ἐὰν μὴ περισσεύσῃ ἡ δικαιοσύνη ὑμῶν πλέον τῶν γραμματέων καὶ Φαρισαίων». Τοῦτο καὶ αὐτός φησιν· «ἄπειρος λόγου δικαιοσύνης»· τουτέστι, τῆς ἄνω φιλοσοφίας ἄπειρος, οὐ δύναται παραδέξασθαι βίον ἄκρον καὶ ἠκριβωμένον. Ἢ καὶ δικαιοσύνην ἐνταῦθα τὸν Χριστόν φησι καὶ τὸν ὑψηλὸν περὶ αὐτοῦ*
15 *λόγον.*

Ὅτι μὲν οὖν νωθροὶ γεγόνασιν, εἶπε, πόθεν δέ, οὐκέτι προσέθηκεν, αὐτοῖς ἀφιεὶς εἰδέναι, καὶ μὴ βουλόμενος ἐπαχθῆ τὸν λόγον ἐργάσασθαι. Ἐπὶ δὲ τῶν Γαλατῶν καὶ ἐθαύμασε καὶ ἠπόρησεν, ὃ πολλῷ μεῖζον πρὸς παραμυθίαν ἐστίν· ὡς οὐκ ἂν
20 *προσδοκήσαντός ποτε τοῦτο γενέσθαι. Τοῦτο γάρ ἐστιν ἡ διαπόρησις. Ὁρᾷς νηπιότητα ἑτέραν οὖσαν; ὁρᾷς τελειότητα ἑτέραν; Γενώμεθα τέλειοι τοίνυν ταύτην τὴν τελειότητα· ἔνεστι καὶ παῖδας ὄντας καὶ νέους, πρὸς ἐκείνην ἐλθεῖν τὴν τελειότητα· οὐ γάρ ἐστι φύσεως, ἀλλ' ἀρετῆς.*

25 *Τελείων δέ ἐστιν ἡ στερεὰ τροφή, τῶν διὰ τὴν ἕξιν τὰ αἰσθητήρια γεγυμνασμένα ἐχόντων πρὸς διάκρισιν καλοῦ τε καὶ κακοῦ». Τί δαί; οὐκ εἶχον τὰ αἰσθητήρια γεγυμνασμένα ἐκεῖνοι, οὐδὲ ᾔδεισαν τί καλὸν καὶ κακόν; νῦν οὐ περὶ βίου αὐτῷ ὁ λόγος, ὅταν λέγῃ, «πρὸς διάκρισιν καλοῦ καὶ κακοῦ» (τοῦτο γὰρ παντὶ*
30 *ἀνθρώπῳ δυνατὸν εἰδέναι καὶ εὔκολον), ἀλλὰ περὶ δογμάτων ὑγιῶν καὶ ὑψηλῶν, διεφθαρμένων τε καὶ ταπεινῶν. Τὸ παιδίον οὐκ οἶδε τὴν φαύλην καὶ τὴν δόκιμον τροφὴν διαιρεῖν· πολλάκις*

---

22. Ματθ. 5,20.

ἔθρεψα', γιὰ νὰ δείξει ὅτι δὲν εἶναι αὐτὸ τροφή, ἀλλὰ ὅπως συμβαίνει μὲ τὰ μικρὰ παιδιὰ ποὺ δὲν μποροῦν νὰ τραφοῦν μὲ ψωμὶ (γιατὶ σ' αὐτὰ δὲ δίνουν ποτό, ἀλλ' ἡ τροφὴ εἶναι σ' αὐτὰ ἀντὶ γιὰ ποτό), ἔτσι καὶ ἐδῶ. Καὶ δὲν εἶπε, 'ἔχετε ἀνάγκη', ἀλλά, «καταντήσατε νὰ ἔχετε ἀνάγκη ἀπὸ γάλα καὶ ὄχι ἀπὸ στερεὴ τροφή». Δηλαδή, ἐσεῖς θελήσατε, ἐσεῖς φέρατε τὸν ἑαυτό σας σ' αὐτό, σ' αὐτὴ τὴν ἀνάγκη. «Γιατὶ ὅποιος τρέφεται μὲ γάλα δὲν ἔχει τὴν πείρα τοῦ λόγου τῆς δικαιοσύνης, ἀφοῦ εἶναι νήπιος». Τί σημαίνει «ὁ λόγος τῆς δικαιοσύνης»; Ἐδῶ μοῦ φαίνεται ὅτι ὑπαινίσσεται καὶ τὸν τρόπο ζωῆς, πράγμα ποὺ καὶ ὁ Χριστὸς ἔλεγε, «ἂν ἡ δικαιοσύνη σας δὲν ξεπεράσει τὴ δικαιοσύνη τῶν γραμματέων καὶ τῶν Φαρισαίων»[22]. Τὸ ἴδιο καὶ αὐτὸς λέγει· «δὲν ἔχει τὴν πείρα τοῦ λόγου τῆς δικαιοσύνης». Δηλαδή, δὲν ἔχει πείρα τῆς οὐράνιας φιλοσοφίας, δὲν μπορεῖ νὰ δεχθεῖ μιὰ ζωὴ ἀνώτερη καὶ τέλεια. Ἢ καὶ τὸ Χριστὸ ὀνομάζει ἐδῶ «δικαιοσύνη» καὶ τὸν ὑψηλὸ γι' αὐτὸν λόγο.

Ὅτι βέβαια ἔγιναν ἀδιάφοροι, τὸ εἶπε, ἀπὸ ποῦ ὅμως ἔγιναν δὲν τὸ πρόσθεσε ἀκόμη, ἀφήνοντας νὰ τὸ καταλάβουν οἱ ἴδιοι καὶ ἐπειδὴ δὲν ἤθελε νὰ κάνει δυσάρεστο τὸ λόγο. Στοὺς Γαλάτες ὅμως θαύμασε καὶ ἀπόρησε· αὐτὸ εἶναι πολὺ μεγαλύτερο γιὰ παρηγοριά, ἐπειδὴ δὲ θὰ τὸ περίμενε ποτὲ νὰ γίνει αὐτό. Γιατὶ αὐτὸ εἶναι ἡ ἀπορία. Βλέπεις ὅτι ὑπάρχει ἄλλη νηπιακὴ ἡλικία; Βλέπεις ὅτι ὑπάρχει ἄλλη ὡριμότητα; Ἂς γίνουμε λοιπὸν ὥριμοι, ἀποκτώντας αὐτὴ τὴν ὡριμότητα. Εἶναι δυνατὸ ἔστω καὶ ἂν εἴμαστε παιδιὰ καὶ νέοι νὰ φθάσουμε σ' ἐκείνη τὴν ὡριμότητα, γιατὶ δὲν ἐξαρτᾶται ἀπὸ τὴ φύση, ἀλλὰ ἀπὸ τὴν ἀρετή.

«Ἡ στερεὴ τροφὴ εἶναι γιὰ τοὺς ὥριμους, οἱ ὁποῖοι ἐξαιτίας τῆς συχνῆς χρήσης ἔχουν γυμνασμένα τὰ αἰσθητήρια ὄργανά τους, γιὰ νὰ μποροῦν νὰ ξεχωρίζουν τὸ καλὸ ἀπὸ τὸ κακό». Τί λοιπόν; Δὲν εἶχαν ἐκεῖνοι γυμνασμένα τὰ αἰσθητήρια ὄργανά τους, οὔτε γνώριζαν τὸ καλὸ ἀπὸ τὸ κακό; Τώρα δὲν ἀναφέρεται στὴ ζωή, ὅταν λέγει «γιὰ νὰ μποροῦν νὰ ξεχωρίζουν τὸ καλὸ ἀπὸ τὸ κακὸ» (γιατὶ αὐτὸ στὸν κάθε ἄνθρωπο εἶναι δυνατὸ καὶ εὔκολο νὰ τὸ γνωρίζει), ἀλλὰ γιὰ διδασκαλίες ὑγιεῖς καὶ ὑψηλές, ἀνήθικες καὶ ταπεινές. Τὸ παιδὶ δὲν ξέρει νὰ ξεχωρίζει τὴν κακὴ

γοῦν καὶ χοῦν ἐνέβαλεν εἰς τὸ στόμα, καὶ τὸ βλαβερὸν ἐδέξατο, καὶ πάντα ἀδιακρίτως ποιεῖ· ἀλλ' οὐ τὸ τέλειον τοιοῦτον. Τοιοῦτοί εἰσιν οἱ πᾶσιν ἁπλῶς προσέχοντες καὶ ἀδιακρίτως τὰς ἀκοὰς ἐκδιδόντες ἀδοκίμοις. Καὶ τούτους αἰτιᾶται, ὡς ἁπλῶς περιφε-
5 *ρομένους, καὶ νῦν μὲν τούτοις, νῦν δὲ ἐκείνοις διδόντας ἑαυτούς· ὃ καὶ πρὸς τῷ τέλει ᾐνίξατο λέγων, «διδαχαῖς ποικίλαις καὶ ξέναις μὴ παραφέρεσθε». Τοῦτό ἐστι, «πρὸς διάκρισιν καλοῦ τε καὶ κακοῦ». Λάρυγξ μὲν γὰρ σῖτα γεύεται, ψυχὴ δὲ δοκιμάζει λόγους.*

10 *4. Καὶ ἡμεῖς τοίνυν τοῦτο μάθωμεν, καὶ μή, ἐὰν ἀκούσῃς, ὅτι οὐκ ἔστιν Ἕλλην, οὐδὲ Ἰουδαῖος, εὐθέως Χριστιανὸν εἶναι νομίσῃς, ἀλλ' ἐξέτασον καὶ τὰ ἄλλα ἅπαντα· ἐπεὶ καὶ Μανιχαῖοι καὶ πᾶσαι αἱρέσεις τοῦτο ὑπέδυσαν τὸ προσωπεῖον, πρὸς τὸ οὕτως ἀπατᾶν τοὺς ἀφελεστέρους· ἀλλ' ἐὰν ἔχωμεν τὰ αἰσθητήρια*
15 *τῆς ψυχῆς γεγυμνασμένα πρὸς διάκρισιν καλοῦ τε καὶ κακοῦ, δυνησόμεθα τοὺς τοιούτους διακρίνειν. Πῶς δὲ γεγυμνασμένα γίνεται ἡμῶν τὰ αἰσθητήρια; Ἀπὸ τῆς συνεχοῦς ἀκροάσεως, ἀπὸ τῆς τῶν Γραφῶν ἐμπειρίας. Ὅταν γὰρ προθῶμεν αὐτῶν τὴν πλάνην, καὶ σήμερον ἀκούσῃς καὶ αὔριον καὶ δοκιμάσῃς μὴ καλῶς*
20 *ἔχειν, τὸ πᾶν ἔμαθες, τὸ πᾶν ἔγνως· κἂν σήμερον μὴ καταλάβῃς, αὔριον καταλήψῃ· «τῶν τὰ αἰσθητήρια», φησί, «γεγυμνασμένα ἐχόντων». Ὁρᾷς ὅτι χρὴ γυμνάζειν ἡμῶν τὴν ἀκοὴν ταῖς ἀκροάσεσι ταῖς θείαις, ὥστε μὴ ξενοφωνεῖσθαι;*

«Γεγυμνασμένα», φησί, «πρὸς διάκρισιν»· τουτέστιν, ἔμ-
25 *πειρον εἶναι. Ὁ μὲν λέγει μὴ εἶναι ἀνάστασιν, ὁ δὲ οὐδὲν τῶν μελλόντων προσδοκᾷ, ἄλλος ἕτερον λέγει Θεόν, ἄλλος ἀπὸ Μαρίας αὐτὸν ἔχειν τὴν ἀρχήν. Καὶ θέα εὐθέως πῶς ἐξ ἀμετρίας πάντες ἐξέπεσον, οἱ μὲν πλεονάσαντες, οἱ δὲ ἐλαττώσαντες. Οἷον, πρώτη μὲν πάντων αἵρεσις ἡ Μαρκίωνος· ἐκείνη ἕτερον*
30 *θεὸν ἐπεισήγαγε τὸν οὐκ ὄντα. Ἰδοὺ τὸ πλέον. Μετ' ἐκείνην ἡ*

---

23. Ἑβρ. 13,9.

ἀπὸ τὴν καλὴ τροφή. Πολλὲς φορὲς καὶ τὸ χῶμα ἔβαλε στὸ στόμα του καὶ τὸ βλαβερὸ δέχθηκε καὶ ὅλα τὰ κάνει χωρὶς νὰ τὰ διακρίνει. Τὸ τέλειο ὅμως δὲν εἶναι τέτοιο. Τέτοιοι εἶναι ὅσοι γενικὰ προσέχουν σὲ ὅλους καὶ χωρὶς διάκριση ἀκοῦν τοὺς μὴ τέλειους. Καὶ τοὺς κατηγορεῖ αὐτούς, ἐπειδὴ περιφέρονται ἁπλῶς, παραδίδοντας τὸν ἑαυτό τους ἄλλοτε σ' αὐτοὺς καὶ ἄλλοτε σ' ἐκείνους. Αὐτὸ καὶ πρὸς τὸ τέλος τῆς ἐπιστολῆς τὸ ὑπαινίχθηκε λέγοντας· «νὰ μὴ παρασύρεσθε ἀπὸ διάφορες καὶ ξένες διδασκαλίες»[23]. Αὐτὸ σημαίνει τό, «γιὰ νὰ μποροῦν νὰ ξεχωρίζουν τὸ καλὸ ἀπὸ τὸ κακό». Ὁ λάρυγγας δηλαδὴ γεύεται τροφές, ἐνῶ ἡ ψυχὴ δοκιμάζει λόγια.

4. Καὶ ἐμεῖς λοιπὸν ἂς τὸ μάθουμε αὐτό· καὶ ἂν ἀκούσεις ὅτι δὲν εἶναι ἐθνικὸς οὔτε Ἰουδαῖος, νὰ μὴ νομίσεις ἀμέσως ὅτι εἶναι Χριστιανός, ἀλλὰ νὰ ἐξετάσεις καὶ ὅλα τὰ ἄλλα. Γιατὶ καὶ οἱ Μανιχαῖοι καὶ ὅλες οἱ αἱρέσεις φόρεσαν αὐτὸ τὸ προσωπεῖο γιὰ νὰ ἐξαπατοῦν ἔτσι τοὺς ἀφελέστερους. Ἂν ὅμως ἔχουμε τὰ αἰσθητήρια ὄργανα τῆς ψυχῆς γυμνασμένα νὰ διακρίνουν τὸ καλὸ ἀπὸ κακό, θὰ μπορέσουμε νὰ τοὺς διακρίνουμε αὐτούς. Καὶ πῶς γίνονται γυμνασμένα τὰ αἰσθητήρια ὄργανά μας; Ἀπὸ τὴ συχνὴ ἀκρόαση, ἀπὸ τὴ γνώση τῶν Γραφῶν. Ὅταν λοιπὸν παρουσιάσουμε τὴν πλάνη τους καὶ ἀκούσεις σήμερα καὶ αὔριο καὶ βρεῖς ὅτι δὲν εἶναι σωστή, τὰ πάντα τὰ ἔμαθες, τὰ πάντα τὰ γνώρισες. Καὶ ἂν δὲν τὸ καταλάβεις σήμερα, θὰ τὸ καταλάβεις αὔριο. «Οἱ ὁποῖοι», λέγει, «ἔχουν γυμνασμένα τὰ αἰσθητήρια ὄργανά τους». Βλέπεις ὅτι πρέπει νὰ γυμνάζουμε τὴν ἀκοή μας στὴν ἀκρόαση τοῦ θείου κηρύγματος, ὥστε νὰ μὴν ἀκούγεται παράξενα;

«Γυμνασμένα», λέγει, «γιὰ νὰ μποροῦν νὰ ξεχωρίζουν». Δηλαδή, νὰ εἶναι κανεὶς ἔμπειρος. Ἄλλος λέγει ὅτι δὲν ὑπάρχει ἀνάσταση, ἄλλος δὲν περιμένει τίποτε ἀπὸ τὰ μελλοντικά, ἄλλος παραδέχεται ἄλλον θεὸ καὶ ἄλλος λέγει ὅτι ἔχει ἀπὸ τὴ Μαρία τὴν ἀρχή. Καὶ πρόσεχε ἀμέσως πῶς ὅλοι ἔπεσαν σὲ πλάνη ἀπὸ ἔλλειψη μέτρου, ἀφοῦ ἄλλοι παρουσίασαν κάτι περισσότερο καὶ οἱ ἄλλοι κάτι λιγότερο. Γιὰ παράδειγμα· πρώτη ἀπ' ὅλους ἦταν ἡ αἵρεση τοῦ Μαρκίωνα. Αὐτὴ παρουσίασε ἄλλον θεό, ποὺ δὲν ὑπάρχει. Νὰ τὸ περισσότερο. Ὕστερα ἀπὸ ἐκείνην ἡ αἵρεση τοῦ

Σαβελλίου, τὸν Υἱὸν καὶ τὸν Πατέρα καὶ τὸ Πνεῦμα ἓν πρόσωπον εἶναι λέγουσα. Εἶτα ἡ Μαρκέλλου καὶ Φωτεινοῦ, καὶ αὕτη τὰ αὐτὰ πρεσβεύουσα. Εἶτα ἡ Παύλου τοῦ Σαμοσατέως, ἐκ Μαρίας λέγουσα τὴν ἀρχὴν αὐτὸν ἐσχηκέναι. Εἶτα ἡ Μανιχαίων· 5 αὕτη γὰρ πασῶν νεωτέρα. Μετ' ἐκείνας, ἡ Ἀρείου. Εἰσὶ δὲ καὶ ἕτεραι. Ἡμεῖς δὲ διὰ τοῦτο τὴν πίστιν παρελάβομεν ἁπλῶς, ἵνα μὴ ἀναγκαζώμεθα μυρίαις ἐπιέναι αἱρέσεσι καὶ πράγματα ἔχειν, ἀλλ' ὅπερ ἂν ἢ προσθεῖναι ἢ ἀφελεῖν τις ἐπιχειρήσειεν ἐκείνης, τοῦτο νόθον εἶναι νομίσωμεν. Καθάπερ γὰρ οἱ τοὺς κανόνας δι- 10 δόντες οὐκ ἀναγκάζουσι μυρία μέτρα περιεργάζεσθαι, ἀλλὰ τὸ δοθὲν ἐκεῖνο κατέχειν κελεύουσιν, οὕτω καὶ ἐπὶ τῶν δογμάτων.

Ἀλλ' οὐδεὶς βούλεται ταῖς Γραφαῖς προσέχειν· εἰ γὰρ προσείχομεν, οὐ μόνον οὐκ ἂν περιεπέσομεν τῇ ἀπάτῃ, ἀλλὰ καὶ ἑτέρους ἀπατωμένους ἀπηλλάξαμεν ἄν, καὶ τῶν κινδύνων ἐξειλκύ- 15 σαμεν. Ὁ γὰρ ἰσχυρὸς στρατιώτης οὐ μόνον ἑαυτῷ ἀρκέσαι δύναται, ἀλλὰ καὶ τὸν παραστάτην διαφυλάξαι, καὶ τῆς τῶν πολεμίων βλάβης ἐλευθερῶσαι. Νῦν δὲ οὐδὲ ὅτι Γραφαί εἰσιν ἴσασί τινες· καίτοι τὸ Πνεῦμα τὸ ἅγιον τοσαῦτα ᾠκονόμησεν, ὥστε αὐτὰς φυλαχθῆναι. Καὶ ὁρᾶτε ἄνωθεν, ἵνα μάθητε τοῦ Θεοῦ τὴν 20 ἄφατον φιλανθρωπίαν· ἐνέπνευσε τῷ μακαρίῳ Μωϋσεῖ, τὰς πλάκας ἐκόλαψε, κατέσχεν αὐτὸν τεσσαράκοντα ἡμέρας ἐπὶ τοῦ ὄρους, καὶ πάλιν τοσαύτας ἑτέρας, ὥστε δοῦναι τὸν νόμον. Μετὰ δὲ ταῦτα προφήτας ἔπεμψε μυρία παθόντας δεινά. Ἐπῆλθε πόλεμος, ἀνεῖλον πάντας, κατέκοψαν, ἐνεπρήσθησαν αἱ βίβλοι. 25 Ἑτέρῳ πάλιν ἀνδρὶ θαυμαστῷ ἐνέπνευσεν, ὥστε αὐτὰς ἐκθέσθαι, τῷ Ἔσδρᾳ λέγω, καὶ ἀπὸ λειψάνων συντεθῆναι ἐποίησε. Μετὰ δὲ τοῦτο ᾠκονόμησεν ἑρμηνευθῆναι αὐτὰς ὑπὸ τῶν ἑβδομήκοντα· ἡρμήνευσαν ἐκεῖνοι.

Παρεγένετο ὁ Χριστός, δέχεται αὐτάς, οἱ ἀπόστολοι εἰς 30 πάντας αὐτὰς διασπείρουσι, σημεῖα ἐποίησε καὶ θαύματα ὁ Χριστός. Εἶτα τί; Μετὰ τοσαύτην πραγματείαν καὶ οἱ ἀπόστολοι

Σαβελλίου, ποὺ λέγει ὅτι ὁ Υἱὸς καὶ ὁ Πατέρας καὶ τὸ ἅγιο Πνεῦμα εἶναι ἕνα πρόσωπο. Ἔπειτα ἡ αἵρεση τοῦ Μαρκέλλου καὶ τοῦ Φωτεινοῦ· καὶ αὐτὴ διδάσκει τὰ ἴδια. Ἔπειτα ἡ αἵρεση τοῦ Παύλου τοῦ Σαμοσατέα, ποὺ ἰσχυρίζεται ὅτι ὁ Θεὸς ἔλαβε τὴν ἀρχὴ ἀπὸ τὴ Μαρία. Ἔπειτα ἡ αἵρεση τῶν Μανιχαίων, γιατὶ αὐτὴ εἶναι ἡ πιὸ νέα ἀπ' ὅλες. Ὕστερα ἀπ' αὐτὲς παρουσιάσθηκε ἡ αἵρεση τοῦ Ἀρείου. Ὑπάρχουν ὅμως καὶ ἄλλες. Ἀλλὰ ἐμεῖς γι' αὐτὸ παραλάβαμε κατὰ ἕνα μόνο τρόπο τὴν πίστη, γιὰ νὰ μὴν ἀναγκαζόμαστε νὰ πλησιάσουμε σὲ ἄπειρες αἱρέσεις καὶ νὰ ἔχουμε ἐνοχλήσεις, ἀλλὰ ὅ,τι θὰ ἐπιχειροῦσε κανεὶς νὰ προσθέσει ἢ νὰ ἀφαιρέσει ἀπ' αὐτὴν νὰ τὸ θεωρήσουμε νόθο. Γιατὶ ὅπως ἀκριβῶς αὐτοὶ ποὺ ὁρίζουν τοὺς κανόνες δὲ μᾶς ἀναγκάζουν νὰ ἐξετάζουμε ἄπειρα μέτρα, ἀλλὰ προστάζουν νὰ κατέχουμε ἐκεῖνο ποὺ μᾶς δόθηκε, ἔτσι συμβαίνει καὶ στὰ δόγματα.

Κανεὶς ὅμως δὲ θέλει νὰ προσέχει στὶς Γραφές. Γιατί, ἂν προσέχαμε, ὄχι μόνο δὲ θὰ πέφταμε στὴν πλάνη, ἀλλὰ θ' ἀπομακρύναμε καὶ ἄλλους ποὺ ἔχουν πλανηθεῖ καὶ θὰ τοὺς γλυτώναμε ἀπὸ τοὺς κινδύνους. Γιατὶ ὁ δυνατὸς στρατιώτης ὄχι μόνο τὸν ἑαυτό του μπορεῖ νὰ προστατέψει, ἀλλὰ καὶ τὸ διπλανό του μπορεῖ νὰ τὸν σώσει καὶ νὰ τὸν γλυτώσει ἀπὸ τὴ βλάβη τῶν ἐχθρῶν. Τώρα ὅμως μερικοὶ δὲ γνωρίζουν οὔτε ὅτι ὑπάρχουν Γραφές, παρ' ὅλο ποὺ τὸ ἅγιο Πνεῦμα οἰκονόμησε τόσο πολλά, ὥστε αὐτὲς νὰ διαφυλχθοῦν. Καὶ προσέχετε ἀπὸ τὴν ἀρχή, γιὰ νὰ γνωρίσετε τὴν ἀνέκφραστη φιλανθρωπία τοῦ Θεοῦ. Φώτισε τὸν μακάριο Μωυσῆ, χάραξε τὶς πλάκες, τὸν κράτησε σαράντα ἡμέρες ἐπάνω στὸ ὄρος, καὶ πάλι ἄλλες τόσες, ὥστε νὰ τοῦ δώσει τὸ νόμο. Καὶ ὕστερα ἀπ' αὐτὰ ἔστειλε τοὺς προφῆτες ποὺ ἔπαθαν ἄπειρα κακά. Ἔγινε πόλεμος, τοὺς σκότωσαν ὅλους, τοὺς κατέκοψαν, κάηκαν τὰ βιβλία. Ἄλλον πάλι θαυμαστὸ ἄνδρα, ἐννοῶ τὸν Ἔσδρα, τὸν φώτισε νὰ τὰ ἐξηγήσει, καὶ ἔκαμε νὰ γραφοῦν ἀπὸ τὰ κατάλοιπα. Ὕστερα ἀπ' αὐτὸ οἰκονόμησε νὰ μεταφρασθοῦν ἀπὸ τοὺς ἑβδομήκοντα. Ἐκεῖνοι τὰ μετέφρασαν.

Ἦρθε ὁ Χριστός, δέχεται τὰ βιβλία, οἱ ἀπόστολοι τὰ διαδίδουν σὲ ὅλους, ὁ Χριστὸς ἔκαμε σημεῖα καὶ θαύματα. Ἔπειτα τί ἔγινε; Ὕστερα ἀπὸ μιὰ τόσο μεγάλη φροντίδα ἔγραψαν καὶ οἱ

ἔγραψαν, καθὼς καὶ Παῦλος εἶπεν· «ἐγράφη δὲ πρὸς νουθεσίαν ἡμῶν, εἰς οὓς τὰ τέλη τῶν αἰώνων κατήντησε». Καὶ ὁ Χριστὸς ἔλεγε, «πλανᾶσθε, μὴ εἰδότες τὰς Γραφάς». Καὶ Παῦλος πάλιν ἔλεγε, «διὰ τῆς ὑπομονῆς καὶ τῆς παρακλήσεως τῶν Γραφῶν 5 τὴν ἐλπίδα ἔχωμεν»· καὶ πάλιν, «πᾶσα γραφὴ θεόπνευστος καὶ ὠφέλιμος»· καί, «ὁ λόγος τοῦ Χριστοῦ ἐνοικείτω ἐν ὑμῖν πλουσίως». Καὶ ὁ προφήτης, «ἐν τῷ νόμῳ αὐτοῦ μελετήσει ἡμέρας καὶ νυκτός»· καὶ ἑτέρωθι πάλιν, «πᾶσα διήγησίς σου ἔστω ἐν νόμῳ Ὑψίστου». Καὶ πάλιν, «ὡς γλυκέα τῷ λάρυγγί μου τὰ λό- 10 γιά σου (οὐκ εἶπε, 'τῇ ἀκοῇ μου', ἀλλά, «τῷ λάρυγγί μου»), ὑπὲρ μέλι καὶ κηρίον τῷ στόματί μου». Καὶ ὁ Μωϋσῆς, «μελετήσεις ἐν αὐτοῖς», φησί, «διαπαντός, ἀνιστάμενος, καθεζόμενος, κοιταζόμενος». Διὰ τοῦτο καὶ ὁ Παῦλος γράφων πρὸς Τιμόθεον ἔλεγεν· «ἐν αὐτοῖς ἴσθι, ταῦτα μελέτα». Καὶ μυρία ἄν τις καὶ περὶ 15 αὐτῶν εἴποι.

Ἀλλ' ὅμως μετὰ τοσαῦτά εἰσί τινες οὐδὲ εἰδότες ὅτι εἰσί ποτε Γραφαί. Διά τοι τοῦτο οὐδὲν ὑγιές, οὐδὲν χρήσιμον παρ' ἡμῶν γίνεται. Ἀλλ' εἰ μέν τις τὰ τῆς στρατείας εἰδέναι βούλοιτο, ἀνάγκη τοὺς νόμους αὐτὸν μανθάνειν τοὺς στρατιωτικούς· καὶ εἴ 20 τις τὴν κυβερνητικὴν ἢ τὴν τεκτονικὴν ἐπιστήμην γινώσκειν ἐθέλοι ἢ εἴ τι ἕτερον, τὰ τῆς τέχνης αὐτὸν ἀνάγκη μανθάνειν· ἐνταῦθα δὲ οὐδὲν τοιοῦτόν ἐστι ποιοῦντας ἰδεῖν· καὶ ταῦτα τῆς ἐπιστήμης ταύτης πολλῆς δεομένης τῆς ἀγρυπνίας. Ὅτι γὰρ καὶ τοῦτο τέχνη ἐστὶ διδασκαλίας δεομένη, ἄκουσον τοῦ προφήτου 25 λέγοντος· «δεῦτε, τέκνα, ἀκούσατέ μου, φόβον Κυρίου διδάξω ὑμᾶς». Ἄρα ἀληθῶς διδασκαλίας δεῖται ὁ τοῦ Θεοῦ φόβος. Εἶτά φησι, «τίς ἐστιν ἄνθρωπος ὁ θέλων ζωήν;» ζωὴν τὴν ἐκεῖ λέγει. Καὶ πάλιν, «παῦσον τὴν γλῶσσάν σου ἀπὸ κακοῦ καὶ χεί-

---

24. Α' Κορ. 10,11. 25. Ματθ. 22,29.
26. Ρωμ. 15,4. 27. Β' Τιμ. 3,16.
28. Κολ. 3,16. 29. Ψαλμ. 1,2.

ἀπόστολοι, καθὼς εἶπε καὶ ὁ Παῦλος· «ὅλα γράφτηκαν γιὰ νὰ νουθετήσουν ἐμᾶς, στοὺς ὁποίους ἔφθασε τὸ τέλος τῶν αἰώνων»[24]. Καὶ ὁ Χριστὸς ἔλεγε, «βρίσκεστε σὲ πλάνη, γιατὶ δὲ γνωρίζετε τὶς Γραφές»[25]. Καὶ ὁ Παῦλος πάλι ἔλεγε, «μὲ τὴν ὑπομονὴ καὶ τὴν παρηγοριὰ ποὺ δίνουν οἱ Γραφὲς νὰ διατηροῦμε τὴν ἐλπίδα μας»[26]· καὶ πάλι, «κάθε Γραφὴ εἶναι θεόπνευστη καὶ χρήσιμη»[27], καὶ «ὁ λόγος τοῦ Χριστοῦ ἂς κατοικεῖ μέσα σας πλούσια»[28]. Καὶ ὁ Προφήτης λέγει, «τὸ νόμο του θὰ μελετᾶ ἡμέρα καὶ νύχτα»[29]· καὶ σὲ ἄλλο σημεῖο πάλι, «κάθε συζήτησή σου νὰ ἀναφέρεται στὸ νόμο τοῦ Ὑψίστου»[30]. Καὶ πάλι, «πόσο γλυκὰ εἶναι τὰ λόγια σου στὸ λάρυγγά μου» (δὲν εἶπε, 'στὴν ἀκοή μου', ἀλλά, «στὸ λάρυγγά μου»), «περισσότερο ἀπὸ τὸ μέλι καὶ τὴ κηρήθρα στὸ στόμα μου»[31]. Καὶ ὁ Μωυσῆς λέγει· «θὰ μιλᾶς γι' αὐτὰ πάντοτε, ὅταν ξυπνᾶς ἀπὸ τὸν ὕπνο, ὅταν κάθεσαι, πρὶν ἀπὸ τὸν ὕπνο»[32]. Γι' αὐτὸ καὶ ὁ Παῦλος γράφοντας στὸν Τιμόθεο ἔλεγε· «αὐτὰ νὰ ἔχεις στὸ νοῦ σου, μ' αὐτὰ ν' ἀσχολεῖσαι»[33]. Καὶ πολλὰ ἀκόμη θὰ μποροῦσε κανεὶς νὰ πεῖ γι' αὐτά.

Ἀλλ' ὅμως ὕστερα ἀπὸ τόσα πολλὰ εἶναι μερικοὶ ποὺ δὲ γνωρίζουν ὅτι ὑπάρχουν Γραφές. Γι' αὐτὸ λοιπὸν δὲ γίνεται σὲ μᾶς τίποτε σωστό, τίποτε χρήσιμο. Ἂν ὅμως κάποιος ἤθελε νὰ γνωρίζει καλὰ τὴ στρατιωτικὴ τέχνη, θὰ ἔπρεπε νὰ μαθαίνει τοὺς στρατιωτικοὺς νόμους. Καὶ ἂν κανεὶς ἤθελε νὰ γνωρίζει τὴν κυβερνητικὴ ἢ τὴν ἀρχιτεκτονικὴ ἐπιστήμη ἢ κάτι ἄλλο, θὰ ἔπρεπε νὰ μαθαίνει τὰ σχετικὰ μὲ τὴν τέχνη. Ἐδῶ ὅμως δὲν εἶναι δυνατὸ νὰ τοὺς δοῦμε νὰ κάνουν κάτι τέτοιο, ἂν καὶ ἡ ἐπιστήμη αὐτὴ ἔχει ἀνάγκη ἀπὸ πολλὴ ἀγρυπνία. Ὅτι καὶ αὐτὸ εἶναι τέχνη ποὺ ἔχει ἀνάγκη ἀπὸ διδασκαλία, ἄκουσε τὸν προφήτη ποὺ λέγει· «ἐλᾶτε, παιδιά μου, καὶ ἀκοῦστε με· θὰ σᾶς διδάξω τὸν σεβασμὸ τοῦ Θεοῦ». Ἐπομένως, πραγματικὰ ἔχει ἀνάγκη ἀπὸ διδασκαλία ὁ σεβασμὸς τοῦ Θεοῦ. Ἔπειτα λέγει, «ποιός ἄνθρωπος θέλει τὴ ζωή;», ἐννοώντας τὴν ἐκεῖ ζωή. Καὶ πάλι· «σταμάτησε τὴ γλώσσα σου ἀπὸ τὶς κακολογίες καὶ κλεῖσε τὰ χείλη σου

---

30. Σοφ. Σειρ. 9,15. 31. Ψαλμ. 18,11.
32. Δευτ. 6,7. 33. Α' Τιμ. 4,15.

λη σου τοῦ μὴ λαλῆσαι δόλον· ἔκκλινον ἀπὸ κακοῦ καὶ ποίησον ἀγαθόν· ζήτησον εἰρήνην καὶ δίωξον αὐτήν».

Ἆρα ἴστε, τίς ταῦτα εἶπε προφήτης ἢ ἱστοριογράφος ἢ ἀπόστολος ἢ εὐαγγελιστής; Οὐκ ἔγωγε οἶμαι, πλὴν ὀλίγων· καὶ 5 αὐτοὶ δὲ οὗτοι πάλιν, ἐὰν παραγάγωμεν μαρτυρίαν ἑτέρωθεν, τὸ αὐτὸ ὑμῖν πείσονται. Ἰδοὺ γάρ, ἐρῶ τὸ αὐτὸ τοῦτο ρητόν, ρήμασιν ἑτέροις εἰρημένον· «λούσασθε, καθαροὶ γένεσθε, ἀφέλετε τὰς πονηρίας ὑμῶν ἀπὸ τῶν ψυχῶν ὑμῶν ἀπέναντι τῶν ὀφθαλμῶν μου, μάθετε καλὸν ποιεῖν, ἐκζητήσατε κρίσιν, παῦσον τὴν 10 γλῶσσάν σου ἀπὸ κακοῦ καὶ ποίησον ἀγαθόν, μάθετε καλὸν ποιεῖν». Ὁρᾷς ὅτι διδασκαλίας δεῖται ἡ ἀρετή; οὗτος μὲν γὰρ λέγει «φόβον Κυρίου διδάξω ὑμᾶς», ἐκεῖνος δὲ «μάθετε καλὸν ποιεῖν». Ἆρ' οὖν ἴστε ποῦ ταῦτα ἔγκειται; Οὐκ ἔγωγε οἶμαι, πλὴν ὀλίγων.

15 *Καίτοι καθ' ἑκάστην ἑβδομάδα δὶς ἢ καὶ τρὶς ταῦτα ὑμῖν ἀναγινώσκεται· καὶ ἀνελθὼν ὁ ἀναγνώστης λέγει πρῶτον τὸ βιβλίον τίνος ἐστί, τοῦ δεῖνος τυχὸν προφήτου ἢ ἀποστόλου ἢ εὐαγγελιστοῦ, καὶ τότε λέγει ἃ λέγει, ὥστε εὐσημότερα ὑμῖν εἶναι, καὶ μὴ μόνον τὰ ἐγκείμενα εἰδέναι, ἀλλὰ καὶ τὴν αἰτίαν τῶν 20 γεγραμμένων, καὶ τίς ταῦτα εἴρηκεν. Ἀλλὰ πάντα εἰκῇ, ἀλλὰ πάντα μάτην· πᾶσα γὰρ ἡ σπουδὴ εἰς τὰ βιωτικὰ κεκένωται καὶ τῶν πνευματικῶν λόγος οὐδείς. Διὰ τοῦτο οὐδὲ ἐκεῖνα ὑμῖν κατὰ γνώμην ἐκβαίνει, ἀλλὰ πολλαὶ κἀκεῖ δυσκολίαι. Ὁ μὲν οὖν Χριστός φησιν, «αἰτεῖτε τὴν βασιλείαν τοῦ Θεοῦ, καὶ ταῦτα πάντα 25 προστεθήσεται ὑμῖν»· καὶ ταῦτα μὲν ἐν προσθήκης εἶπε μέρει δοθήσεσθαι· ἡμεῖς δὲ τὴν τάξιν ἀντιστρέψαμεν, καὶ ζητοῦμεν τὴν γῆν καὶ τὰ ἀγαθὰ τὰ ἐν τῇ γῇ, ὡς ἐκείνων ἐν προσθήκης μέρει δοθησομένων ἡμῖν. Διὰ τοῦτο οὔτε ταῦτα, οὔτε ἐκεῖνα ἔχομεν.*

Ἀνανήψωμεν οὖν ποτε καὶ γενώμεθα τῶν μελλόντων 30 ἀγαθῶν ἐπιθυμηταί· οὕτω γὰρ καὶ ταῦτα ἕψεται. Οὐδὲ γὰρ ἔνι τὸν τὰ κατὰ Θεὸν ζητοῦντα, μὴ καὶ τῶν ἀνθρωπίνων ἐπιτυχεῖν·

---

34. Ψαλμ. 33,12-15.
35. Ἠσ. 1,16-17.
36. Ματθ. 6,33.

νὰ μὴ λένε δολιότητες. Φύγε μακριὰ ἀπὸ τὸ κακὸ καὶ κάμε τὸ καλό. Ζήτησε τὴν εἰρήνη καὶ ἐπιδίωξέ την»[34].

Ἄραγε γνωρίζετε ποιός προφήτης τὰ εἶπε αὐτὰ ἢ ἱστοριογράφος ἢ ἀπόστολος ἢ εὐαγγελιστής; Δὲν τὸ πιστεύω, ἐκτὸς ἀπὸ λίγους. Ἀλλὰ καὶ αὐτοὶ οἱ ἴδιοι πάλι, ἂν παρουσιάσω ἀπὸ ἀλλοῦ μαρτυρία, θὰ πάθουν τὸ ἴδιο μὲ σᾶς. Τώρα λοιπὸν θὰ πῶ ἀκριβῶς τὸ ἴδιο, ἀλλ' εἰπωμένο μὲ ἄλλα λόγια. «Λουσθῆτε, γίνετε καθαροί, ἀφερέστε τὶς κακίες σας ἀπὸ τὶς ψυχές σας, ὥστε νὰ εἶστε καθαροὶ ἐνώπιόν μου. Συνηθίστε νὰ κάνετε τὸ καλό, ἐπιδιῶξτε τὸ δίκαιο. Σταμάτησε τὴ γλώσσα σου ἀπὸ τὶς κακολογίες καὶ κάμε τὸ καλό, συνηθίστε νὰ κάνετε τὸ καλό»[35]. Βλέπεις ὅτι ἡ ἀρετὴ ἔχει ἀνάγκη ἀπὸ διδασκαλία; Γιατὶ ἐκεῖνος λέγει, «θὰ σᾶς διδάξω τὸ σεβασμὸ τοῦ Θεοῦ», καὶ αὐτὸς «νὰ μάθετε νὰ κάνετε τὸ καλό». Ἄραγε γνωρίζετε ποῦ βρίσκονται αὐτά; Ἐγὼ βέβαια δὲν τὸ νομίζω, ἐκτὸς ἀπὸ λίγους.

Ὅμως κάθε ἑβδομάδα δύο ἢ τρεῖς φορὲς αὐτὰ διαβάζονται σὲ σᾶς. Ὅταν ὁ ἀναγνώστης ἀνεβαίνει στὸ βῆμα πρῶτα λέγει τίνος εἶναι τὸ βιβλίο, αὐτοῦ δηλαδὴ ἢ ἐκείνου τοῦ προφήτη ἢ ἀποστόλου ἢ εὐαγγελιστῆ, καὶ ὕστερα λέγει ὅσα λέγει, ὥστε νὰ εἶναι σὲ σᾶς σαφέστερα καὶ νὰ γνωρίζετε ὄχι μόνο ποῦ βρίσκονται, ἀλλὰ καὶ τὴν αἰτία ποὺ γράφτηκαν καὶ ποιός τὰ εἶπε. Ἀλλ' ὅλα πηγαίνουν στὰ χαμένα, ὅλα εἶναι μάταια. Γιατὶ ὅλη σας ἡ φροντίδα καταναλώνεται στὰ βιοτικὰ καὶ δὲν ἐνδιαφέρεστε καθόλου γιὰ τὰ πνευματικά. Γι' αὐτὸ οὔτε ἐκεῖνα πηγαίνουν ὅπως ἐσεῖς θέλετε, ἀλλὰ καὶ ἐκεῖ ὑπάρχουν πολλὲς δυσκολίες. Ὁ Χριστὸς βέβαια λέγει, «ζητᾶτε τὴ βασιλεία τοῦ Θεοῦ καὶ ὅλα αὐτὰ θὰ προστεθοῦν σὲ σᾶς»[36]· καὶ αὐτὰ εἶπε ὅτι θὰ δοθοῦν σὰν προσθήκη. Ἐμεῖς ὅμως ἀντιστρέψαμε τὴν τάξη καὶ ζητᾶμε τὴ γῆ καὶ τὰ ἐπίγεια ἀγαθά, σὰν νὰ πρόκειται νὰ μᾶς δοθοῦν ἐκεῖνα σὰν προσθήκη.

Ἂς ἀνανήψουμε λοιπὸν κάποτε καὶ ἂς ἐπιθυμήσουμε τὰ μελλοντικὰ ἀγαθά, γιατὶ ἔτσι θ' ἀκολουθήσουν καὶ τὰ ἐπίγεια. Γιατὶ δὲν εἶναι δυνατὸ ἐκεῖνος ποὺ ζητᾶ αὐτὰ ποὺ εἶναι σύμφωνα μὲ τὸ θέλημα τοῦ Θεοῦ νὰ μὴν ἐπιτύχει καὶ τὰ ἀνθρώπινα. Εἶναι

ἀπόφασίς ἐστι τῆς ἀληθείας αὐτῆς τοῦτο λεγούσης. Μὴ τοίνυν ἄλλως ποιῶμεν, ἀλλ' ἀντεχώμεθα τῆς συμβουλῆς τοῦ Χριστοῦ, ἵνα μὴ πάντων ἐκπέσωμεν. Ὁ δὲ Θεὸς ἱκανός ἐστι κατανύξαι ἡμᾶς καὶ ποιῆσαι βελτίους, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν,
5 *μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμὴ καὶ προσκύνησις, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.*

ἀπόφαση τῆς ἴδιας τῆς ἀλήθειας, ποὺ τὸ λέγει αὐτό. Ἂς μὴν κάνουμε λοιπὸν διαφορετικά, ἀλλὰ ἂς τηροῦμε τὴ συμβουλὴ τοῦ Χριστοῦ, γιὰ νὰ μὴν τὰ χάσουμε ὅλα. Ὁ Θεὸς ὅμως εἶναι σὲ θέση νὰ μᾶς παρακινήσει καὶ νὰ μᾶς κάνει καλύτερους μὲ τὴ βοήθεια τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μαζὶ μὲ τὸν ὁποῖο στὸν Πατέρα καὶ συγχρόνως στὸ ἅγιο Πνεῦμα ἀνήκει ἡ δόξα, ἡ δύναμη, ἡ τιμὴ καὶ ἡ προσκύνηση, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ Θ'

(Ἑβρ. 6,1–6)

«Διὸ ἀφέντες τὸν τῆς ἀρχῆς τοῦ Χριστοῦ λόγον, ἐπὶ τὴν τελειότητα φερώμεθα, μὴ πάλιν θεμέλιον καταβαλλόμενοι μετανοίας ἀπὸ νεκρῶν ἔργων καὶ πίστεως ἐπὶ Θεόν, βαπτισμῶν διδαχῆς, ἐπιθέσεώς τε χειρῶν, ἀναστάσεώς τε 5 νεκρῶν, καὶ κρίματος αἰωνίου. Καὶ τοῦτο ποιήσομεν, ἐάνπερ ἐπιτρέπῃ ὁ Θεός».

1. Ἠκούσατε ὅσα Ἑβραίοις ἐνεκάλεσεν ὁ Παῦλος βουλομένοις ἀεὶ μανθάνειν περὶ τῶν αὐτῶν; καὶ εἰκότως. «Ὀφείλοντες γὰρ εἶναι διδάσκαλοι διὰ τὸν χρόνον, πάλιν χρείαν ἔχετε τοῦ διδά- 10 σκειν ὑμᾶς, τίνα τὰ στοιχεῖα τῆς ἀρχῆς τῶν λογίων τοῦ Θεοῦ»[1]. Δέδοικα δὲ μὴ καὶ πρὸς ὑμᾶς ταῦτα καιρὸν ἂν ἔχοι λέγεσθαι, ὅτι ὀφείλοντες εἶναι διδάσκαλοι διὰ τὸν χρόνον, οὐδὲ μαθητῶν τάξιν ἐπέχετε, ἀλλ' ἀεὶ τὰ αὐτὰ ἀκούοντες, καὶ περὶ τῶν αὐτῶν, ὡς οὐδενὸς ἀκούοντες, οὕτω διάκεισθε· κἂν ἔρηταί τις ὑμᾶς, οὐδεὶς 15 ἀποκρίνασθαι δυνήσεται, πλὴν ὀλίγων σφόδρα καὶ εὐαριθμήτων. Τοῦτο δὲ οὐ μικρὰ ζημία. Πολλάκις γὰρ τὸν διδάσκαλον βουλόμενον προελθεῖν περαιτέρω καὶ μυστικωτέρων ἅψασθαι καὶ ὑψηλοτέρων λόγων, οὐκ ἀφίησιν ἡ ἀπροσεξία τῶν μαθητευομένων.

20 Καθάπερ γὰρ ἐπὶ τῶν γραμματιστῶν, ἂν ἀεὶ τὰ στοιχεῖα ἀκούων ὁ παῖς μὴ κρατῇ, ἀεὶ ἔσται αὐτῷ ἀνάγκη τὰ αὐτὰ ἐνηχεῖν τῷ παιδί, καὶ οὐ πρότερον ἀποστήσεται διδάσκων, ἕως ἂν ἐκεῖνα μαθεῖν ἀκριβῶς δυνηθῇ· καὶ γὰρ ἀνοίας ἐστὶ πολλῆς, τὰ πρότερα μὴ ἐνθέντα καλῶς, ἐφ' ἕτερα ἄγειν αὐτόν· οὕτω δὴ καὶ ἐπὶ

---

1. Ἑβρ. 5,12

ΟΜΙΛΙΑ Θ'

(Ἑβρ. 6,1–6)

«Ἂς ἀφήσουμε λοιπὸν τὴ στοιχειώδη διδασκαλία γιὰ τὸ Χριστὸ καὶ ἂς προχωρήσουμε πρὸς τὴν τελειότητα. Ἂς μὴ θέτουμε πάλι τὸ θεμέλιο τῆς μετάνοιας ἀπὸ τὰ νεκρὰ ἔργα καὶ τὴν πίστη στὸ Θεό, ἀπὸ τὴ διδασκαλία γιὰ τὰ βαπτίσματα καὶ τὴ χειροθεσία, ἀπὸ τὴ διδασκαλία γιὰ τὴν ἀνάσταση τῶν νεκρῶν καὶ τὴν αἰώνια κρίση. Καὶ αὐτὸ θὰ τὸ κάνουμε, ἂν βέβαια τὸ ἐπιτρέπει ὁ Θεός».

1. Ἀκούσατε πόσο κατηγόρησε ὁ Παῦλος τοὺς Ἑβραίους, γιατὶ ἤθελαν νὰ μαθαίνουν πάντοτε γιὰ τὰ ἴδια πράγματα; Καὶ πολὺ σωστά. «Θὰ ἔπρεπε νὰ ἦσασταν διδάσκαλοι ἔπειτα ἀπὸ τόσο καιρό. Παρ' ὅλα αὐτὰ ἔχετε πάλι ἀνάγκη νὰ σᾶς διδάξουν καὶ τὰ βασικὰ ἀκόμη στοιχεῖα τῶν λόγων τοῦ Θεοῦ»[1]. Φοβᾶμαι ὅμως μήπως εἶναι εὐκαιρία νὰ τὰ πεῖ κανεὶς αὐτὰ καὶ σὲ σᾶς, γιατί, ἂν καὶ θὰ ἔπρεπε νὰ ἦσασταν διδάσκαλοι ἔπειτα ἀπὸ τόσο καιρό, οὔτε σὰν μαθητὲς εἶστε, ἀλλὰ ἀκούοντας πάντοτε τὰ ἴδια καὶ γιὰ τὰ ἴδια πράγματα συμπεριφέρεστε, σὰν νὰ μὴν ἀκοῦτε τίποτε. Καὶ ἂν σᾶς ἐρωτήσει κάποιος, δὲ θὰ μπορέσει ν' ἀπαντήσει κανείς, ἐκτὸς ἀπὸ πάρα πολὺ λίγους ποὺ μποροῦν νὰ μετρηθοῦν εὔκολα. Αὐτὸ ὅμως δὲν εἶναι μικρὴ ζημία. Γιατὶ πολλὲς φορές, ὅταν θέλει ὁ διδάσκαλος νὰ προχωρήσει παραπέρα καὶ ν' ἀσχοληθεῖ μὲ πνευματικότερους καὶ ὑψηλότερους λόγους, δὲν τὸν ἀφήνει ἡ ἀπροσεξία τῶν μαθητῶν.

Ὅπως ἀκριβῶς δηλαδὴ στὴν περίπτωση τῶν διδασκάλων τῶν πρώτων γραμμάτων, ἂν τὸ παιδὶ ἀκούει πάντοτε τὰ βασικὰ στοιχεῖα καὶ δὲν τὰ συγκρατεῖ, θὰ πρέπει νὰ διδάσκει πάντοτε τὰ ἴδια σ' αὐτὸ τὸ παιδὶ καὶ δὲ θὰ σταματήσει προηγουμένως νὰ διδάσκει, ὥσπου νὰ μπορέσει νὰ τὰ μάθει αὐτὰ καλὰ (ἄλλωστε εἶ-

τῆς ἐκκλησίας, ἂν ἀεὶ τὰ αὐτὰ λεγόντων ἡμῶν, μηδὲν πλέον μανθάνετε, οὐδέποτε τὰ αὐτὰ λέγοντες παυσόμεθα. Εἰ μὲν γὰρ ἐπιδείξεως ἦν ἡμῖν ὁ λόγος καὶ φιλοτιμίας, ἐχρῆν ἀεὶ μεταπηδᾶν καὶ μεταβαίνειν, οὐδὲν φροντίζοντας ὑμῶν ἕνεκεν, ἀλλὰ τῶν 5 κρότων μόνον τῶν παρ' ὑμῶν· ἐπειδὴ δὲ οὐ πρὸς τοῦτο τὴν σπουδὴν ἐθέμεθα, ἀλλὰ πάντα ὑπὲρ τῆς ὠφελείας ἡμῖν πονεῖται τῆς ὑμετέρας, οὐ παυσόμεθα περὶ τῶν αὐτῶν ὑμῖν διαλεγόμενοι, ἕως ἂν αὐτὰ κατορθώσητε. Ἐπεὶ ἐνῆν πολλὰ καὶ περὶ ἑλληνικῆς λέγειν δεισιδαιμονίας, καὶ περὶ Μανιχαίων, καὶ περὶ Μαρκιωνι-10 στῶν, καὶ μεγάλα πλήττειν αὐτοὺς τῇ τοῦ Θεοῦ χάριτι· ἀλλ' οὐκ ἔχει καιρὸν ὁ λόγος. Τοῖς γὰρ οὐδέπω τὰ ἑαυτῶν εἰδόσιν ἀκριβῶς, τοῖς οὐδέπω μεμαθηκόσιν ὅτι τὸ πλεονεκτεῖν κακόν, τίς ἂν τοὺς τοιούτους εἴποι λόγοις καὶ ἐφ' ἕτερα ἀγάγοι πρὸ καιροῦ;

Ἡμεῖς μὲν οὖν οὐ παυσόμεθα τὰ αὐτὰ λέγοντες, ἄν τε πει-15 σθῆτε, ἄν τε μή· δεδοίκαμεν δὲ μὴ τῷ συνεχῶς τὰ αὐτὰ λέγειν, ἐὰν μὴ ἀκούητε, μείζονα τοῖς παρακούουσι τὴν καταδίκην ἐργασώμεθα. Οὐ πρὸς πάντας δέ μοι ταῦτα ῥητέον· οἶδα γὰρ πολλοὺς ὠφελουμένους ἀπὸ τῆς ἐνταῦθα εἰσόδου, οἳ δικαίως ἂν ἐκείνων καταβοήσαιεν ὡς ἐνεδρευόντων αὐτοὺς διὰ τῆς οἰκείας ἀμα-20 θείας καὶ ἀπροσεξίας. Πλὴν ἀλλ' οὐδὲ οὕτως ἐνεδρευθήσονται· τὸ γὰρ συνεχῶς τὰ αὐτὰ ἀκούειν καὶ τοῖς εἰδόσι χρήσιμον· ὃ γὰρ ἴσμεν πολλάκις ἀκούσαντες, μᾶλλον κατενύγημεν. Οἷόν τι λέγω· ἴσμεν ὅτι καλὸν ἡ ταπεινοφροσύνη καὶ ὅτι πολλάκις διελέχθη περὶ αὐτῆς ὁ Χριστός· ἀλλ' ὅταν καὶ αὐτῶν τῶν ῥημάτων ἐπα-25 κούσωμεν καὶ τῶν εἰς αὐτὰ θεωρημάτων, πλέον τι πάσχομεν, κἂν μυριάκις ἀκούσωμεν.

Εὔκαιρον οὖν καὶ ἡμᾶς νῦν εἰπεῖν ὑμῖν, «διόπερ, ἀφέντες τὸν τῆς ἀρχῆς τοῦ Χριστοῦ λόγον, ἐπὶ τὴν τελειότητα φερώμεθα». Τί δέ ἐστιν ἡ ἀρχὴ τοῦ λόγου, αὐτὸς ἐφεξῆς ἑρμηνεύει, λέ-

ναι ἀπόδειξη μεγάλης ἀνοησίας νὰ τὸ ὁδηγεῖ σὲ ἄλλα, τὴ στιγμὴ ποὺ τὰ προηγούμενα δὲν τὰ ἔθεσε καλὰ μέσα του), τὸ ἴδιο λοιπὸν συμβαίνει καὶ στὴν ἐκκλησία· ἂν λέγοντας πάντοτε τὰ ἴδια δὲ μαθαίνετε τίποτε περισσότερο, δὲ θὰ σταματήσω ποτὲ νὰ λέγω τὰ ἴδια. Γιατί, ἂν μιλοῦσα γιὰ ἐπίδειξη καὶ ἀπὸ φιλοδοξία, ἔπρεπε πάντοτε νὰ πηδῶ καὶ νὰ προχωρῶ, χωρὶς νὰ φροντίζω καθόλου γιὰ σᾶς, ἀλλὰ μόνο γιὰ τὰ χειροκροτήματά σας. Ἐπειδὴ ὅμως δὲν ἐνδιαφέρομαι γι' αὐτό, ἀλλὰ κάνω τὰ πάντα γιὰ τὴ δική σας ὠφέλεια, δὲ θὰ σταματήσω νὰ σᾶς μιλῶ γιὰ τὰ ἴδια, ὥσπου νὰ τὰ κατορθώσετε. Γιατὶ θὰ μποροῦσα νὰ πῶ πολλὰ καὶ γιὰ τὴν ἐθνικὴ δεισιδαιμονία καὶ γιὰ τοὺς Μανιχαίους καὶ γιὰ τοὺς Μαρκιωνιστὲς καὶ νὰ τοὺς πλήξω πάρα πολὺ μὲ τὴ χάρη τοῦ Θεοῦ, ἀλλὰ δὲν εἶναι τώρα καιρὸς γι' αὐτά. Σ' αὐτοὺς ποὺ δὲ γνώρισαν ἀκόμη καλὰ τὰ δικά τους καὶ δὲν ἔμαθαν μέχρι τώρα ὅτι ἡ πλεονεξία εἶναι κακό, ποιός θὰ μποροῦσε νὰ πεῖ αὐτοὺς τοὺς λόγους καὶ νὰ τοὺς ὁδηγήσει σὲ ἄλλα πρὶν ἀπὸ τὴν κατάλληλη ὥρα;

Ἐγὼ λοιπὸν δὲ θὰ σταματήσω νὰ λέγω τὰ ἴδια εἴτε πεισθεῖτε εἴτε ὄχι, ἀλλὰ φοβᾶμαι μήπως, λέγοντας συνέχεια τὰ ἴδια, ἂν δὲν ἀκοῦτε, προξενήσω μεγαλύτερη τὴν καταδίκη σ' αὐτοὺς ποὺ δὲν προσέχουν. Ἀλλ' ὅμως δὲν πρέπει νὰ τὰ λέγω αὐτὰ σὲ ὅλους, γιατὶ ξέρω ὅτι πολλοὶ ὠφελοῦνται ἀπὸ τὴν εἴσοδό τους ἐδῶ, ποὺ δίκαια θὰ φώναζαν ἐναντίον ἐκείνων ὅτι τοὺς δολιεύονται μὲ τὴ δική τους ἀμάθεια καὶ τὴν ἀπροσεξία. Ἀλλ' ὅμως οὔτε ἔτσι θὰ τοὺς δολιευθοῦν, γιατὶ ἡ συνεχὴς ἀκοὴ τῶν ἴδιων πραγμάτων εἶναι χρήσιμη καὶ σ' ἐκείνους ποὺ τὰ γνωρίζουν. Ὅταν δηλαδὴ αὐτὸ ποὺ γνωρίζουμε τὸ ἀκούσουμε πολλὲς φορές, συγκινούμαστε περισσότερο. Ἐννοῶ τὸ ἑξῆς μ' αὐτὸ ποὺ λέγω· γνωρίζουμε ὅτι εἶναι καλὸ ἡ ταπεινοφροσύνη καὶ ὅτι πολλὲς φορὲς μίλησε γι' αὐτὴν ὁ Χριστός· ὅταν ὅμως ἀκούσουμε μὲ προσοχὴ καὶ τὰ ἴδια τὰ λόγια καὶ ὅσα ἀναφέρονται σ' αὐτά, παθαίνουμε κάτι περισσότερο, ἔστω καὶ ἂν τὰ ἀκούσουμε ἄπειρες φορές.

Εἶναι λοιπὸν ἡ κατάλληλη εὐκαιρία τώρα νὰ πῶ καὶ σὲ σᾶς· «ἂς ἀφήσουμε λοιπὸν τὴ στοιχειώδη διδασκαλία γιὰ τὸ Χριστὸ καὶ ἂς φερόμαστε πρὸς τὴν τελειότητα». Τί ὅμως σημαί-

γων· «μὴ πάλιν θεμέλιον», φησί, «καταβαλλόμενοι μετανοίας ἀπὸ νεκρῶν ἔργων καὶ πίστεως ἐπὶ Θεόν, βαπτισμῶν διδαχῆς, ἐπιθέσεώς τε χειρῶν, ἀναστάσεώς τε νεκρῶν, καὶ κρίματος αἰωνίου». Εἰ δὲ τοῦτο ἀρχή, τί ἄλλο ἐστὶ τὸ δόγμα τὸ ἡμέτερον, ἢ 5 τὸ μετανοῆσαι ἀπὸ νεκρῶν ἔργων καὶ διὰ τοῦ Πνεύματος λαβεῖν τὴν πίστιν εἰς ἀνάστασιν νεκρῶν καὶ κρίματος αἰωνίου; Τί δέ ἐστιν «ἀρχή»; Οὐδὲν ἄλλο, ἢ τοῦτο «ἀρχήν» φησιν, ὅταν μὴ βίος ἀκριβὴς παρῇ.

Καθάπερ γὰρ τὸν εἰς τὴν μάθησιν τῶν γραμμάτων εἰσερ-10 χόμενον, τὰ στοιχεῖα δεῖ πρῶτον ἀκοῦσαι, οὕτω καὶ τὸν Χριστιανὸν ταῦτα εἰδέναι ἀκριβῶς πρῶτον χρή, καὶ μηδὲν ἀμφιβάλλειν περὶ αὐτῶν. Εἰ δὲ δέοιτο πάλιν διδασκαλίας, οὔπω τὸν θεμέλιον ἔχει· τὸν γὰρ ἑδραῖον πεπηγέναι προσῆκε καὶ ἑστάναι καὶ μὴ μετακινεῖσθαι. Εἰ δὲ μέλλοι τις κατηχηθεὶς καὶ βαπτισθεὶς 15 μετὰ ἔτη δέκα περὶ πίστεως πάλιν ἀκούειν, καὶ ὅτι πιστεῦσαι χρὴ εἰς ἀνάστασιν νεκρῶν, οὔπω τὸν θεμέλιον ἔχει, πάλιν τὴν ἀρχὴν τοῦ Χριστιανισμοῦ ζητεῖ. Ὅτι γὰρ ἡ πίστις θεμέλιον, τὸ δὲ λοιπὸν οἰκοδομή, ἄκουε αὐτοῦ λέγοντος· «ἐγὼ θεμέλιον τέθεικα, ἄλλος δὲ ἐποικοδομεῖ. Εἴ τις ἐποικοδομεῖ ἐπὶ τὸν θεμέ-20 λιον τοῦτον, χρυσόν, ἄργυρον, λίθους τιμίους, ξύλα, χόρτον, καλάμην». Διὰ τοῦτο ἔλεγε, «μὴ πάλιν θεμέλιον καταβαλλόμενοι μετανοίας ἀπὸ νεκρῶν ἔργων».

2. Τί δέ ἐστιν, «ἐπὶ τὴν τελειότητα φερώμεθα»; Πρὸς αὐτὴν χωρῶμεν λοιπόν, φησί, τὴν ὀροφήν· τουτέστι, βίον ἄριστον ἔχω-25 μεν. Ὥσπερ γὰρ ἐπὶ τῶν στοιχείων τὸ πᾶν τὸ ἄλφα συνέχει, καὶ ὁ θεμέλιος τὴν πᾶσαν οἰκοδομήν, οὕτω καὶ τοῦ βίου τὴν καθαρότητα ἡ περὶ τὴν πίστιν πληροφορία. Ταύτης δὲ ἄνευ οὐκ ἔστιν εἶναι Χριστιανόν· ὥσπερ οὐδὲ θεμελίων ἄνευ οἰκοδομήν, οὐδὲ στοιχείων χωρὶς ἔμπειρον γραμμάτων εἶναι. Ἀλλ' ὥσπερ ἐάν τις 30 ἀεὶ περὶ τὰ στοιχεῖα καταγίνηται, ἢ εἴ τις περὶ τὸν θεμέλιον στρέφηται καὶ οὐκ ἀνέρχηται ἐπὶ τὴν οἰκοδομήν, οὐδέποτε ἔσται

---

2. Α' Κορ. 1,10.12.

νει «ἡ στοιχειώδης διδασκαλία» ὁ ἴδιος τὸ ἑρμηνεύει λέγοντας· «ἂς μὴ βάζουμε πάλι τὸ θεμέλιο τῆς μετάνοιας ἀπὸ τὰ νεκρὰ ἔργα καὶ τὴν πίστη στὸ Θεό, ἀπὸ τὴ διδασκαλία γιὰ τὰ βαπτίσματα καὶ τὴ χειροθεσία, ἀπὸ τὴν ἀνάσταση τῶν νεκρῶν καὶ τὴν αἰώνια κρίση». Ἂν ὅμως αὐτὸ εἶναι στοιχειώδης διδασκαλία, τί ἄλλο εἶναι τὸ δικό μας δόγμα παρὰ τὸ νὰ μετανοήσουμε ἀπὸ τὰ νεκρὰ ἔργα, καὶ νὰ λάβουμε μέσω τοῦ Πνεύματος τὴν πίστη στὴν ἀνάσταση τῶν νεκρῶν καὶ στὴν αἰώνια κρίση; Τί ὅμως σημαίνει «βασικὴ διδασκαλία»; Δὲ λέγει «βασικὴ διδασκαλία» τίποτε ἄλλο, παρὰ μόνο αὐτό, ὅταν δὲν ὑπάρχει τέλεια ζωή.

Ὅπως λοιπὸν αὐτὸς ποὺ ἔρχεται νὰ μάθει γράμματα πρῶτα πρέπει ν' ἀκούσει τὰ βασικὰ στοιχεῖα, ἔτσι καὶ ὁ Χριστιανὸς πρέπει αὐτὰ πρῶτα νὰ γνωρίζει καλὰ καὶ νὰ μὴν ἀμφιβάλλει καθόλου γι' αὐτά. Ἂν ὅμως χρειαζόταν πάλι διδασκαλία, δὲν ἔχει ἀκόμη τὸ θεμέλιο. Γιατὶ ἡ βάση ἔπρεπε νὰ σταθεροποιηθεῖ καὶ νὰ σταθεῖ καὶ νὰ μὴ μετακινεῖται. Καὶ ἂν κάποιος μετὰ τὴν κατήχηση καὶ τὸ βάπτισμά του ἐπρόκειτο ὕστερα ἀπὸ δέκα χρόνια ν' ἀκούσει πάλι γιὰ τὴν πίστη καὶ ὅτι πρέπει νὰ πιστέψει στὴν ἀνάσταση τῶν νεκρῶν, δὲν ἔχει ἀκόμη τὸ θεμέλιο, πάλι ζητάει τὴ βασικὴ διδασκαλία τοῦ Χριστιανισμοῦ. Ὅτι βέβαια ἡ πίστη εἶναι τὸ θεμέλιο καὶ τὰ ὑπόλοιπα ἡ οἰκοδομή, ἄκου αὐτὸν ποὺ λέγει· «ἐγὼ ἔβαλα τὸ θεμέλιο, ἀλλ' ἄλλος κτίζει τὴν οἰκοδομή. Ἂν κανεὶς κτίζει πάνω στὸ θεμέλιο αὐτὸ χρυσάφι, ἀσήμι, πολύτιμους λίθους, ξύλα, χορτάρι, καλάμια»[2]. Γι' αὐτὸ ἔλεγε, «ἂς μὴ βάλουμε πάλι τὸ θεμέλιο τῆς μετάνοιας ἀπὸ τὰ νεκρὰ ἔργα».

2. Τί σημαίνει «ἂς φερόμαστε πρὸς τὴν τελειότητα»; Στὸ ἑξῆς λέγει, ἂς προχωροῦμε πρὸς τὴν ἴδια τὴν κορυφή· δηλαδή, ἂς κάνουμε ἄριστη ζωή. Ὅπως δηλαδὴ στὰ βασικὰ στοιχεῖα τὸ ἄλφα τὰ συγκρατεῖ ὅλα καὶ τὸ θεμέλιο ὁλόκληρη τὴν οἰκοδομή, ἔτσι καὶ ἡ βεβαιότητα γιὰ τὴν πίστη συγκρατεῖ τὴν καθαρότητα τῆς ζωῆς. Χωρὶς αὐτὴ δὲν εἶναι δυνατὸ νὰ ὑπάρχει Χριστιανός, ὅπως οὔτε οἰκοδομὴ χωρὶς θεμέλια, οὔτε καὶ νὰ γνωρίζει κανεὶς καλὰ τὰ γράμματα χωρὶς τὰ βασικὰ στοιχεῖα. Ἀλλ', ὅπως ἂν κάποιος καταγίνεται πάντοτε μὲ τὰ στοιχεῖα ἢ ἂν κάποιος ἀσχολεῖται μὲ τὸ θεμέλιο καὶ δὲν ἀνεβαίνει στὴν οἰκοδομή, δὲ θὰ ἔχει ποτὲ

αὐτῷ τι πλέον, οὕτω καὶ ἐφ' ἡμῶν· ἂν γὰρ ἀεὶ ἐπὶ τὴν ἀρχὴν τῆς πίστεως μένωμεν, οὐδέποτε πρὸς τὸ τέλειον ταύτης ἀναβησόμεθα.

Σὺ δὲ μὴ νομίσῃς ἠλαττῶσθαι τὴν πίστιν διὰ τὸ στοιχεῖον
5 *κληθῆναι· ἡ γὰρ πᾶσα δύναμις αὕτη ἐστίν. Ὅταν γὰρ λέγῃ, «πᾶς γὰρ ὁ μετέχων γάλακτος, ἄπειρος λόγου δικαιοσύνης, νήπιος γάρ ἐστιν», οὐ γάλα ταύτην καλεῖ· ἀλλὰ τὸ ἀμφιβάλλειν ἔτι περὶ τούτων, τοῦτό ἐστιν ἀσθενοῦς διανοίας καὶ λόγων δεομένης πολλῶν. Τὰ γὰρ δόγματα ταῦτά ἐστι τὰ ὑγιῆ· τέλειον γὰρ ἐκεῖνον κα-*
10 *λοῦμεν τὸν μετὰ τῆς πίστεως βίον ἔχοντα ὀρθόν. Ἐὰν δέ τις πίστιν μὲν ἔχῃ, πράττῃ δὲ πονηρά, καὶ περὶ αὐτῆς δὲ ταύτης ἀμφιβάλλῃ καὶ ὑβρίζῃ τὴν διδασκαλίαν, εἰκότως αὐτὸν φήσομεν νήπιον, ἐπὶ τὴν ἀρχὴν ἀναδραμόντα. Ὥστε κἂν μυρία ἔτη ἐν τῇ πίστει ἔχωμεν καὶ μὴ βέβαιοι ὦμεν ἐν αὐτῇ, νήπιοί ἐσμεν, ὅταν*
15 *βίον αὐτῇ μὴ συμβαίνοντα ἐπιδεικνυώμεθα, ὅταν ἔτι θεμέλιον καταβαλλώμεθα.*

Τούτοις δὲ μετὰ τοῦ βίου καὶ ἄλλο ἐγκαλεῖ, ὡς παρασαλευθεῖσι καὶ δεομένοις θεμέλιον καταβάλλειν μετανοίας ἀπὸ νεκρῶν ἔργων. Τὸν γὰρ ἀπό τινος εἰς ἕτερον μετατιθέμενον, καὶ τὸ
20 *μὲν ἀφιέντα, τοῦτο δὲ αἱρούμενον, πρότερον αὐτοῦ καταγνῶναι χρὴ καὶ ἀποστῆναι τῇ διαθέσει, καὶ τότε ἐλθεῖν ἐφ' ἕτερον· εἰ δὲ τοῦ προτέρου πάλιν ἔχεσθαι μέλλοι, πῶς τοῦ δευτέρου ἅψεται; Τί οὖν, φησί, περὶ τοῦ νόμου; Κατέγνωμεν αὐτοῦ, καὶ πάλιν ἐπ' αὐτὸν ἀνατρέχομεν. Τοῦτο οὐκ ἔστι μετάθεσις· καὶ γὰρ ἐνταῦθα*
25 *ἔχομεν νόμον. «Νόμον οὖν», φησί, «καταργοῦμεν διὰ τῆς πίστεως; Μὴ γένοιτο, ἀλλὰ νόμον ἱστῶμεν». Ἐγὼ δὲ περὶ πονηρῶν εἶπον πραγμάτων. Ὁ γὰρ μέλλων ἐπ' ἀρετὴν μετιέναι, πρότερον τῆς κακίας καταγνῶναι ὀφείλει, καὶ τότε αὐτὴν μετελθεῖν· οὐ γὰρ ἴσχυεν ἡ μετάνοια καθαροὺς αὐτοὺς δεῖξαι.*

30 *Διὰ τοῦτο εὐθέως ἐβαπτίζοντο, ἵν', ὅπερ ἀδυνάτως εἶχον*

---

3. Ἑβρ. 5,13.
4. Ρωμ. 3,31.

κάτι παραπάνω, τὸ ἴδιο συμβαίνει καὶ μ' ἐμᾶς. Ἂν δηλαδὴ πάντοτε μένουμε στὴν ἀρετὴ τῆς πίστης, δὲ θ' ἀνεβοῦμε ποτὲ πρὸς τὴν τελειότητά της.

Ἐσὺ ὅμως νὰ μὴ νομίσεις ὅτι ἔχει μειωθεῖ ἡ πίστη ἐπειδὴ ὀνομάσθηκε βασικὸ στοιχεῖο, καθόσον αὐτὴ εἶναι ὅλη ἡ δύναμη. Γιατὶ ὅταν λέγει, «ὅποιος τρέφεται μὲ γάλα δὲν ἔχει πείρα τοῦ λόγου τῆς δικαιοσύνης, γιατὶ εἶναι νήπιος»[3], δὲν τὴν ὀνομάζει γάλα, ἀλλὰ τὸ νὰ ἀμφιβάλλει ἀκόμη γι' αὐτά, αὐτὸ εἶναι ἀπόδειξη διάνοιας ἀδύναμης πνευματικὰ καὶ ποὺ ἔχει ἀνάγκη ἀπὸ τὰ πολλὰ λόγια. Γιατὶ αὐτὰ εἶναι τὰ ὀρθὰ δόγματα, καὶ τέλειο ὀνομάζουμε ἐκεῖνον ποὺ μαζὶ μὲ τὴν πίστη ἔχει καὶ σωστὸ τρόπο ζωῆς. Ἂν ὅμως κάποιος ἔχει πίστη καὶ πράττει κακῶς καὶ ἀμφιβάλλει γιὰ τὴν ἴδια τὴν πίστη καὶ ὑβρίζει τὴ διδασκαλία, εὔλογα θὰ τὸν ὀνομάσουμε αὐτὸν νήπιο, ἀφοῦ ἐπέστρεψε στὴν ἀρχή. Ἑπομένως καὶ ἂν ἀκόμη ἔχουμε πάρα πολλὰ χρόνια στὴν πίστη, ἀλλὰ δὲν εἴμαστε σταθεροὶ σ' αὐτήν, εἴμαστε νήπιοι, ὅταν δὲν δείχνουμε τρόπο ζωῆς σύμφωνο μ' αὐτήν, ὅταν ἀκόμη τοποθετοῦμε τὸ θεμέλιο.

Αὐτοὺς ὅμως μαζὶ μὲ τὴ συμπεριφορὰ τοὺς κατηγορεῖ καὶ γιὰ κάτι ἄλλο, ὅτι κλονίσθηκαν καὶ ὅτι ἔχουν ἀνάγκη νὰ τοποθετοῦν τὸ θεμέλιο τῆς μετάνοιας ἀπὸ τὰ νεκρὰ ἔργα. Γιατί, ὅποιος μετακινεῖται ἀπὸ ἕνα πράγμα σὲ ἄλλο καὶ ἀφήνει αὐτὸ καὶ προτιμᾶ τὸ ἄλλο, πρέπει πρῶτα αὐτὸ νὰ καταδικάσει καὶ ν' ἀπομακρυνθεῖ ἀπ' αὐτὰ μὲ τὴ θέλησή του καὶ ὕστερα νὰ ἔρθει σὲ ἄλλο. Ἂν ὅμως πρόκειται ν' ἀκολουθήσει πάλι τὸ προηγούμενο, πῶς θὰ κάνει τὸ δεύτερο; Τί λοιπόν, λέγει, θὰ ποῦμε γιὰ τὸ νόμο; Τὸν καταδικάσαμε καὶ πάλι ξαναγυρίζουμε σ' αὐτόν. Αὐτὸ δὲν εἶναι μετάθεση, γιατὶ καὶ ἐδῶ ἔχουμε νόμο. «Λοιπόν», λέει, «καταργοῦμε τὸ νόμο μὲ τὴν πίστη; Μακριὰ μιὰ τέτοια σκέψη· ἀντίθετα στηρίζουμε τὸ νόμο»[4]. Ἐγὼ ὅμως μίλησα γιὰ τὰ κακὰ πράγματα. Γιατὶ ἐκεῖνος ποὺ πρόκειται νὰ βαδίσει πρὸς τὴν ἀρετὴ ὀφείλει προηγουμένως νὰ καταδικάσει τὴν κακία καὶ ὕστερα ν' ἀσκήσει τὴν ἀρετή, ἀφοῦ ἡ μετάνοια δὲν μποροῦσε νὰ τοὺς καταστήσει καθαρούς.

Γι' αὐτὸ βαπτίζονταν ἀμέσως, ὥστε μὲ τὴ χάρη τοῦ Χρι-

ἐργάσασθαι δι' ἑαυτῶν, τοῦτο διὰ τῆς τοῦ Χριστοῦ γένηται χάριτος. Οὔτε οὖν μετάνοια ἀρκεῖ πρὸς τὸν καθαρισμόν, ἀλλὰ δεῖ τὸ βάπτισμα παραλαβεῖν. Ἐπὶ γοῦν τὸ βάπτισμα ἔρχεσθαι δεῖ, πρότερον καταγνόντα τῶν ἡμαρτημένων αὐτῷ καὶ καταψηφισάμε-
5 *νον. Τί δέ ἐστι, «βαπτισμῶν διδαχῆς»; Οὐχ ὡς πολλῶν ὄντων τῶν βαπτισμῶν, ἀλλ' ἑνός. Τί οὖν αὐτὸ πληθυντικῶς εἶπε; Διὰ τὸ εἰπεῖν, «μὴ πάλιν θεμέλιον καταβαλλόμενοι μετανοίας». Εἰ γὰρ πάλιν αὐτοὺς ἐβάπτισε καὶ ἄνωθεν κατήχησε, καὶ πάλιν ἐξ ἀρχῆς βαπτισθέντες ἐδιδάσκοντο τὰ πρακτέα καὶ τὰ μὴ πρα-*
10 *κτέα, διηνεκῶς ἔμελλον ἀδιόρθωτοι μένειν.*

«Καὶ ἐπιθέσεως χειρῶν». Οὕτω γὰρ τὸ Πνεῦμα ἐλάμβανον. «Ἐπιθέντος γὰρ αὐτοῖς τοῦ Παύλου τὰς χεῖρας», φησίν, «ἦλθε τὸ Πνεῦμα τὸ ἅγιον». «Ἀναστάσεώς τε νεκρῶν». Τοῦτο γὰρ ἔν τε τῷ βαπτίσματι γίνεται, καὶ ἐν τῇ ὁμολογίᾳ βεβαιοῦται.
15 *«Καὶ κρίματος αἰωνίου». Διὰ τί δὲ ταῦτά φησιν; Ἐπειδὴ εἰκὸς ἦν αὐτοὺς ἢ παρασαλεύεσθαι ἤδη πεπιστευκότας, ἢ κακῶς βιοῦν καὶ ῥᾳθύμως. Λέγει οὖν, νήψατε. Ἀπάγων οὖν αὐτοὺς τῆς τοιαύτης ῥᾳθυμίας καὶ προσεκτικωτέρους ποιῶν, τοῦτον τὸν λόγον κινεῖ. Οὐκ ἔνι γὰρ εἰπεῖν ὅτι, ἂν νῦν ῥᾳθύμως ζήσωμεν, πάλιν*
20 *βαπτισθησόμεθα, πάλιν κατηχηθησόμεθα, καὶ πάλιν ληψόμεθα τὸ Πνεῦμα· ἢ ὅτι, ἂν νῦν τῆς πίστεως ἐκπέσωμεν, πάλιν δυνησόμεθα βαπτιζόμενοι τὰ ἁμαρτήματα ἀπολούσασθαι, καὶ τῶν αὐτῶν τυχεῖν ὧνπερ καὶ πρότερον.*

Σφάλλεσθε, φησί, ταῦτα νομίζοντες· «ἀδύνατον γὰρ τοὺς
25 *ἅπαξ φωτισθέντας, γευσαμένους τε τῆς δωρεᾶς τῆς ἐπουρανίου καὶ μετόχους γενηθέντας Πνεύματος ἁγίου καὶ καλὸν γευσαμένους Θεοῦ ῥῆμα, δυνάμεις τε μέλλοντος αἰῶνος, καὶ παραπεσόντας, πάλιν ἀνακαινίζειν εἰς μετάνοιαν, ἀνασταυροῦντας ἑαυτοῖς τὸν Υἱὸν τοῦ Θεοῦ καὶ παραδειγματίζοντας». Καὶ ὅρα πῶς ἐν-*
30 *τρεπτικῶς καὶ ἀπαγορευτικῶς ἄρχεται· «ἀδύνατον», φησί· τουτέστι, μηκέτι προσδόκα τὸ μὴ δυνατόν. Οὐ γὰρ εἶπεν, 'οὐ πρέ-*

---

5. Πράξ. 19,6.

στοῦ νὰ γίνει αὐτὸ ποὺ ἀδυνατοῦσαν νὰ κάνουν ἀπὸ μόνοι τους. Ἡ μετάνοια λοιπὸν δὲν ἀρκεῖ γιὰ τὸν καθαρισμό, ἀλλὰ πρέπει νὰ λάβει κανεὶς τὸ βάπτισμα. Πρέπει βέβαια νὰ ἔρχεται στὸ βάπτισμα ἀφοῦ προηγουμένως καταδικάσει καὶ ἀπορρίψει τὰ ἁμαρτήματά του. Τί ὅμως σημαίνει, «ἀπὸ τὴ διδασκαλία γιὰ τὰ βαπτίσματα»; Ὄχι ἐπειδὴ εἶναι πολλὰ τὰ βαπτίσματα, ἀλλ' ἕνα. Γιατί λοιπὸν τὸ εἶπε στὸν πληθυντικό; Ἐπειδὴ εἶπε, «ἂς μὴ θέτουμε πάλι τὸ θεμέλιο τῆς μετάνοιας». Γιατί, ἂν τοὺς βάπτιζε πάλι καὶ τοὺς κατηχοῦσε ἀπὸ τὴν ἀρχὴ καὶ ἂν πάλι ἀπὸ τὴν ἀρχὴ μετὰ τὸ βάπτισμα διδάσκονταν αὐτὰ ποὺ ἔπρεπε καὶ αὐτὰ ποὺ δὲν ἔπρεπε νὰ πράξουν, θὰ ἔμεναν παντοτινὰ ἀδιόρθωτοι.

«Καὶ ἀπὸ τὴ διδασκαλία γιὰ χειροθεσία». Γιατὶ ἔτσι λάμβαναν τὸ ἅγιο Πνεῦμα. «Ὅταν ὁ Παῦλος ἔβαλε τὰ χέρια πάνω τους», λέγει, «ἦρθε σ' αὐτοὺς τὸ ἅγιο Πνεῦμα»[5]. «Καὶ ἀπὸ τὴ διδασκαλία γιὰ τὴν ἀνάσταση τῶν νεκρῶν». Γιατὶ αὐτὸ καὶ στὸ βάπτισμα γίνεται καὶ στὴν ὁμολογία βεβαιώνεται. «Καὶ ἀπὸ τὴ διδασκαλία γιὰ τὴν αἰώνια κρίση». Γιατὶ ὅμως τὰ λέγει αὐτά; Ἐπειδὴ ἦταν πιθανὸ ἢ νὰ κλονίζονταν ἀφοῦ εἶχαν ἤδη πιστέψει, ἢ νὰ ἔκαναν κακὴ καὶ ἀδιάφορη ζωή. Τοὺς λέγει λοιπόν· νὰ εἶστε προσεκτικοί. Τοὺς τὰ λέγει λοιπὸν αὐτὰ γιὰ νὰ τοὺς ἀπομακρύνει ἀπὸ μιὰ τέτοια ἀδιαφορία καὶ νὰ τοὺς κάνει πιὸ προσεκτικούς. Γιατὶ δὲν μπορεῖ νὰ πεῖ κανεὶς ὅτι, ἂν τώρα ζήσουμε ἀδιάφορα, πάλι θὰ βαπτισθοῦμε, πάλι θὰ κατηχηθοῦμε καὶ πάλι θὰ λάβουμε τὸ ἅγιο Πνεῦμα· ἢ ὅτι, ἂν τώρα ἐκπέσουμε ἀπὸ τὴν πίστη, πάλι θὰ μορέσουμε μὲ τὸ βάπτισμα νὰ καθαρίσουμε τὰ ἁμαρτήματα καὶ νὰ ἐπιτύχουμε τὰ ἴδια ὅπως καὶ προηγουμένως.

Κάνετε λάθος, λέγει, ἂν τὰ νομίζετε αὐτά. «Γιατὶ εἶναι ἀδύνατο ἐκείνους, ποὺ μιὰ φορὰ φωτίσθηκαν καὶ γεύθηκαν τὴν ἐπουράνια δωρεὰ καὶ ἔγιναν μέτοχοι τοῦ ἁγίου Πνεύματος, καὶ γεύθηκαν τὸν καλὸ λόγο τοῦ Θεοῦ καὶ τὶς θαυματουργικὲς ἐνέργειες τοῦ μελλοντικοῦ αἰώνα, καὶ ὕστερα ἔπεσαν, νὰ τοὺς ἀνακαινίζει κανεὶς πάλι μὲ τὴ μετάνοια, ἐπειδὴ μὲ τὴ συμπεριφορά τους ξανασταυρώνουν καὶ διαπομπεύουν τὸν Υἱὸ τοῦ Θεοῦ». Πρόσεχε ὅμως πῶς ἀρχίζει μὲ ἔλεγχο καὶ ἀπαγόρευση. «Εἶναι ἀδύνατο», λέγει· δηλαδή, νὰ μὴν περιμένεις πιὰ αὐτὸ ποὺ δὲν εἶ-

πει', 'οὐδὲ συμφέρει', 'οὐδὲ ἔξεστιν', ἀλλ', «ἀδύνατον», ὥστε εἰς ἀπόγνωσιν ἐμβαλεῖν, εἰ ὅλως ἐφωτίσθητε ἅπαξ.

3. Εἶτα ἐπάγει, «γευσαμένους τε τῆς δωρεᾶς τῆς ἐπουρανίου»· τουτέστι, τῆς ἀφέσεως. «Καὶ μετόχους γενηθέντας Πνεύματος 5 ἁγίου, καὶ καλὸν γευσαμένους Θεοῦ ῥῆμα». Τὴν διδασκαλίαν ἐνταῦθα λέγει. «Δυνάμεις τε μέλλοντος αἰῶνος». Τίνας λέγει δυνάμεις; Ἢ τὸ θαύματα ἐπιτελεῖν, ἢ τὸν ἀρραβῶνα τοῦ Πνεύματος. «Καὶ παραπεσόντας, πάλιν ἀνακαινίζειν εἰς μετάνοιαν, ἀνασταυροῦντας ἑαυτοῖς τὸν Υἱὸν τοῦ Θεοῦ καὶ παραδειγματίζοντας». 10 «Ἀνακαινίζειν», φησίν, «εἰς μετάνοιαν»· τουτέστι, διὰ μετανοίας· τί οὖν; ἐκβέβληται ἡ μετάνοια; Οὐχ ἡ μετάνοια, μὴ γένοιτο, ἀλλ' ὁ διὰ λουτροῦ πάλιν ἀνακαινισμός. Οὐ γὰρ εἶπεν, ἀδύνατον ἀνακαινισθῆναι εἰς μετάνοιαν, καὶ ἐσίγησεν· ἀλλ' εἰπών, «ἀδύνατον», ἐπήγαγεν, «ἀνασταυροῦντας». «Ἀνακαινισθῆναι»· του-15 τέστι, καινὸν γενέσθαι· τὸ γὰρ καινοὺς ποιῆσαι, τοῦ λουτροῦ μόνον ἐστίν· «ἀνακαινισθήσεται», γάρ, φησίν, «ὡς ἀετοῦ ἡ νεότης σου». Τῆς δὲ μετανοίας ἐστὶ τό, καινοὺς γενομένους, εἶτα παλαιωθέντας ὑπὸ τῶν ἁμαρτημάτων, ἀπαλλάξαι τῆς παλαιότητος καὶ καινοὺς ἐργάσασθαι· εἰς ἐκείνην μέντοι τὴν λαμπρότητα ἀγα-20 γεῖν οὐκ ἔνι· ἐκεῖ γὰρ τὸ ὅλον ἡ χάρις ἦν.

«Ἀνασταυροῦντας ἑαυτοῖς», φησί, «τὸν Υἱὸν τοῦ Θεοῦ καὶ παραδειγματίζοντας». Ὃ δὲ λέγει, τοῦτό ἐστι· τὸ βάπτισμα σταυρός ἐστι· «συνεσταυρώθη γὰρ ὁ παλαιὸς ἡμῶν ἄνθρωπος». Καὶ πάλιν, «σύμμορφοι γεγόναμεν τῷ ὁμοιώματι τοῦ θανάτου 25 αὐτοῦ»· καὶ πάλιν, «συνετάφημεν οὖν αὐτῷ διὰ τοῦ βαπτίσματος εἰς τὸν θάνατον». Ὥσπερ οὖν οὐκ ἔνι δεύτερον σταυρωθῆναι τὸν Χριστὸν (τοῦτο γὰρ παραδειγματίσαι αὐτόν ἐστιν), οὕτως οὐδὲ βαπτισθῆναι. Εἰ γὰρ θάνατος αὐτοῦ οὐκέτι κυριεύσει, εἰ ἀνέστη, τῇ ἀναστάσει κρείττων γενόμενος τοῦ θανάτου, εἰ διὰ 30 τοῦ θανάτου τὸν θάνατον κατεπάλαισεν, εἶτα πάλιν σταυροῦται· μῦθος πάντα ἐκεῖνα καὶ παραδειγματισμός. Ὁ τοίνυν δεύτερον ἑαυτὸν βαπτίζων, πάλιν αὐτὸν σταυροῖ.

---

6. Ψαλμ. 102,5. 7. Ρωμ. 6,6.
8. Ρωμ. 6,5. 9. Ρωμ. 6,4.

ναι δυνατό», ἀλλ' «εἶναι ἀδύνατο», ὥστε νὰ τοὺς ὁδηγήσει σὲ ἀπόγνωση, ἂν γενικὰ φωτισθήκατε μιὰ φορά.

3. Ἔπειτα προσθέτει, «καὶ γεύθηκαν τὴν ἐπουράνια δωρεά», δηλαδή, τὴ συγχώρηση. «Καὶ ἔγιναν μέτοχοι τοῦ ἁγίου Πνεύματος καὶ γεύθηκαν τὸν καλὸ λόγο τοῦ Θεοῦ». Ἐδῶ ἐννοεῖ τὴ διδασκαλία. «Καὶ τὶς δυνάμεις τοῦ μελλοντικοῦ αἰώνα». Ποιές δυνάμεις ἐννοεῖ; Ἢ τὸ νὰ κάνουν θαύματα ἢ τὴν ἐγγύηση τοῦ Πνεύματος. «Καὶ ὕστερα ἔπεσαν, εἶναι ἀδύνατο νὰ τοὺς ἀνακαινίζει κανεὶς πάλι εἰς μετάνοιαν», δηλ. μὲ τὴ μετάνοια. Τί λοιπόν; εἶναι ἀδύνατη ἡ μετάνοια; Ὄχι ἡ μετάνοια, ποτὲ ἕνα τέτοιο πράγμα, ἀλλὰ ἡ ἀνακαίνιση μέσω τοῦ βαπτίσματος πάλι. Γιατὶ δὲν εἶπε, εἶναι ἀδύνατο νὰ ἀνανεωθοῦν μὲ τὴ μετάνοια, καὶ ὕστερα σιώπησε, ἀλλά, ἀφοῦ εἶπε «εἶναι ἀδύνατο», πρόσθεσε, «ἐπειδὴ ξανασταυρώνουν». «Νὰ ἀνακαινισθεῖ» δηλαδὴ νὰ γίνει νέος. Γιατὶ τοῦ βαπτίσματος μόνο ἔργο εἶναι νὰ κάνει νέους τοὺς ἀνθρώπους· «θὰ ἀνανεωθεῖ », λέγει, «ἡ νεότητά σου, ὅπως τοῦ ἀετοῦ»[6]. Ἀντίθετα ἔργο τῆς μετάνοιας εἶναι, ἀφοῦ γίνουν νέοι καὶ ὕστερα παλαιωθοῦν ἀπὸ τὰ ἁμαρτήματα, νὰ τοὺς ἀπαλλάξει ἀπὸ τὴν παλαιότητα καὶ νὰ τοὺς κάνει πάλι νέους. Δὲν μπορεῖ ὅμως νὰ τοὺς ὁδηγήσει σ' ἐκείνη τὴ λαμπρότητα, γιατὶ ἐκεῖ τὸ ὅλο ἔργο ἦταν τῆς χάριτος.

«Αὐτοὶ οἱ ἴδιοι», λέγει, «ξανασταυρώνουν καὶ διαπομπεύουν τὸν Υἱὸ τοῦ Θεοῦ». Αὐτὸ ποὺ λέγει σημαίνει τὸ ἑξῆς· σταυρὸς εἶναι τὸ βάπτισμα, γιατὶ «ὁ παλαιὸς ἑαυτός μας σταυρώθηκε μὲ τὸ Χριστό»[7]. Καὶ πάλι λέγει, «ἑνωθήκαμε μαζί του μὲ ἕνα θάνατο σὰν τὸ δικό του»[8]· καὶ πάλι, «ἔχουμε ταφεῖ λοιπὸν μαζί του στὸ θάνατο μὲ τὸ βάπτισμα»[9]. Ὅπως λοιπὸν δὲν εἶναι δυνατὸ νὰ σταυρωθεῖ γιὰ δεύτερη φορὰ ὁ Χριστὸς (γιατὶ αὐτὸ σημαίνει «τὸν διαπομπεύουν»), ἔτσι οὔτε εἶναι δυνατὸ νὰ βαπτισθεῖ κανείς. Γιατί, ἂν ὁ θάνατος δὲν τὸν ἐξουσιάσει πιά, ἂν ἀναστήθηκε καὶ ἔγινε μὲ τὴν ἀνάστασή του ἰσχυρότερος τοῦ θανάτου, ἂν μὲ τὸ θάνατο κατανίκησε τὸ θάνατο, ἔπειτα πάλι σταυρώνεται, ὅλα αὐτὰ εἶναι μύθος καὶ διαπόμπευση. Αὐτὸς λοιπὸν ποὺ βαπτίζεται γιὰ δεύτερη φορά, πάλι τὸν σταυρώνει.

Τί δέ ἐστιν, «ἀνασταυροῦντας»; Ἄνωθεν πάλιν σταυροῦντας. Ὥσπερ γὰρ ἀπέθανεν ὁ Χριστὸς ἐν τῷ σταυρῷ, οὕτως ἡμεῖς ἐν τῷ βαπτίσματι, οὐ τῇ σαρκί, ἀλλὰ τῇ ἁμαρτίᾳ. Ὅρα θάνατον, καὶ θάνατον· ἐκεῖνος ἀπέθανεν ἐν τῇ σαρκί, ἡμεῖς δὲ τῇ 5 ἁμαρτίᾳ. Διὰ τοῦ βαπτίσματος ἡμῶν ὁ παλαιὸς ἄνθρωπος ἐτάφη, καὶ ἀνέστη ὁ καινός, ὁ σύμμορφος γενόμενος τῷ ὁμοιώματι τοῦ θανάτου αὐτοῦ. Εἰ τοίνυν ἀνάγκη πάλιν βαπτισθῆναι, ἀνάγκη πάλιν αὐτὸν ἀποθανεῖν τοῦτον· τὸ γὰρ βάπτισμα οὐδέν ἐστιν ἄλλο, ἢ ἀναίρεσις τοῦ βαπτιζομένου, καὶ ἔγερσις ἐκείνου. Καὶ 10 καλῶς εἶπεν, «ἑαυτοῖς ἀνασταυροῦντας»· ὁ γὰρ τοῦτο ποιῶν, ὡς τῆς προτέρας χάριτος ἐπιλαθόμενος καὶ ῥᾳθύμως τὸν ἑαυτοῦ βίον οἰκονομῶν, ὡς ὄντος ἑτέρου βαπτίσματος, οὕτω πάντα διαπράττεται. Διόπερ προσέχειν χρὴ καὶ ἀσφαλίζεσθαι.

Τί ἐστι, «γευσαμένους τῆς δωρεᾶς τῆς ἐπουρανίου»; Τουτ-15 έστι, τῆς ἀφέσεως τῶν ἁμαρτημάτων· τοῦτο γὰρ Θεοῦ μόνου χαρίζεσθαι, καὶ ἡ χάρις ἅπαξ ἐστὶ χάρις. «Τί οὖν; ἐπιμενοῦμεν τῇ ἁμαρτίᾳ, ἵνα ἡ χάρις πλεονάσῃ; Μὴ γένοιτο». Εἰ δὲ ἀεὶ μέλλομεν χάριτι σώζεσθαι, οὐδέποτε ἐσόμεθα ἀγαθοί. Ὅπου γὰρ μία ἐστὶ χάρις καὶ οὕτω ῥᾳθυμοῦμεν, εἰ ᾔδειμεν ὅτι πάλιν ἔστιν ἀπολού-20 σασθαι τὰ ἁμαρτήματα, ἆρα ἂν ἐπαυσάμεθα ἁμαρτάνοντες; Οὐκ ἔγωγε οἶμαι. Πολλὰ ἐνταῦθα δείκνυσι τὰ δῶρα· καὶ ἵνα μάθῃς, ἄκουσον· κατηξιώθης, φησί, τοσαύτης ἀφέσεως, ἐν σκότῳ καθεζόμενος, ὁ ἐχθρός, ὁ πολέμιος, ὁ ἀπηλλοτριωμένος, ὁ θεοστυγής, ὁ ἀπολλύμενος· ὁ τοιοῦτος οὖν ἐξαίφνης φωτισθείς, πνεύμα-25 τος ἀξιωθείς, δωρεᾶς ἐπουρανίου, υἱοθεσίας, βασιλείας οὐρανῶν, τῶν ἄλλων ἀγαθῶν, μυστηρίων ἀπορρήτων, καὶ οὐδὲ οὕτω βελτίων γενόμενος, ἀλλ' ἄξιος μὲν ὢν ἀπωλείας, τυχὼν δε σωτηρίας καὶ τιμῆς, ὡς τὰ μεγάλα κατωρθωκώς, πῶς ἂν δύναιτο βαπτισθῆναι πάλιν;

30 Δύο τοίνυν τρόποις τὸ πρᾶγμα ἀδύνατον ἔφησεν εἶναι, καὶ τὸν ἰσχυρότερον ὕστερον ἔθηκεν· ἑνὶ μέν, ὅτι οὐκ ἄξιος ὁ τοιούτων καταξιωθείς, καὶ πάντα προδοὺς τὰ δωρηθέντα αὐτῷ, πά-

---

10. Ρωμ. 6,1–2.

Τί σημαίνει «τὸν ξανασταυρώνουν»; Τὸν σταυρώνουν πάλι ἀπὸ τὴν ἀρχή. Γιατί, ὅπως πέθανε ὁ Χριστὸς στὸ σταυρό, ἔτσι ἐμεῖς πεθάναμε κατὰ τὸ βάπτισμα, ὄχι ὡς πρὸς τὸ σῶμα, ἀλλὰ ὡς πρὸς τὴν ἁμαρτία. Πρόσεχε θάνατο καὶ θάνατο. Ἐκεῖνος πέθανε ὡς πρὸς τὸ σῶμα, ἐνῶ ἐμεῖς ὡς πρὸς τὴν ἁμαρτία. Μὲ τὸ βάπτισμα θάφτηκε ὁ παλαιὸς ἑαυτός μας καὶ ἀναστήθηκε ὁ καινούριος, αὐτὸς ποὺ ἑνώθηκε μαζί του μ' ἕνα θάνατο σὰν τὸ δικό του. Ἂν λοιπὸν εἶναι ἀνάγκη νὰ βαπτισθεῖ πάλι, εἶναι ἀνάγκη πάλι νὰ πεθάνει αὐτός, γιατὶ τὸ βάπτισμα δὲν εἶναι τίποτε ἄλλο, παρὰ θάνατος τοῦ βαπτιζομένου καὶ ἀνάσταση ἐκείνου. Καὶ σωστὰ εἶπε, «αὐτοὶ οἱ ἴδιοι τὸν ξανασταυρώνουν». Γιατί, ὅποιος τὸ κάνει αὐτὸ σὰν νὰ ξεχνάει τὴν προηγούμενη χάρη καὶ ζεῖ μὲ ραθυμία, καὶ σὰν νὰ ὑπάρχει ἄλλο βάπτισμα, ἔτσι πράττει τὰ πάντα. Γι' αὐτὸ πρέπει κανεὶς νὰ προσέχει καὶ νὰ προφυλάγεται.

Τί σημαίνει, «γεύθηκαν τὴν ἐπουράνια δωρεά»; Δηλαδή, τὴν ἄφεση τῶν ἁμαρτημάτων. Γιατὶ αὐτὸ μόνο ὁ Θεὸς μπορεῖ νὰ τὸ χαρίζει καὶ ἡ χάρη μιὰ φορὰ εἶναι χάρη. «Τί θὰ ποῦμε λοιπόν; Θὰ ἐπιμένουμε στὴν ἁμαρτία γιὰ νὰ περισσέψει ἡ χάρη; Μακριὰ μιὰ τέτοια σκέψη»[10]. Ἂν ὅμως πρόκειται νὰ σωζόμαστε πάντοτε μὲ τὴ χάρη, ποτὲ δὲ θὰ γίνουμε ἀγαθοί. Γιατί, ἐνῶ ὑπάρχει μία χάρη, ἀδιαφοροῦμε τόσο πολύ, ἄραγε ἂν ξέραμε ὅτι εἶναι δυνατὸ νὰ καθαρισθοῦν πάλι οἱ ἁμαρτίες μας, θὰ σταματούσαμε νὰ ἁμαρτάνουμε; Ἐγὼ βέβαια δὲν τὸ νομίζω. Ἐδῶ δείχνει πολλὰ τὰ δῶρα. Καὶ γιὰ νὰ μάθεις, ἄκουσε· ἀξιώθηκες, λέγει, τόση μεγάλη συγχώρηση, ἐσὺ ποὺ καθόσουν μέσα στὸ σκοτάδι, ὁ ἐχθρός, ὁ πολέμιος, ὁ ἀποξενωμένος, ὁ θεομίσητος, ὁ χαμένος. Αὐτὸς λοιπὸν ποὺ φωτίσθηκε ξαφνικὰ καὶ ἀξιώθηκε τὸ ἅγιο Πνεῦμα, τὴν υἱοθεσία, τὴ βασιλεία τῶν οὐρανῶν, τὰ ἄλλα ἀγαθὰ καὶ τὰ ἀπόρρητα μυστήρια, καὶ παρ' ὅλα αὐτὰ δὲν ἔγινε καλύτερος, ἀλλά, ἂν καὶ ἦταν ἄξιος γιὰ τὴν ἀπώλεια, ἀπόλαυσε ὅμως σωτηρία καὶ τιμή, σὰν νὰ εἶχε κατορθώσει τὰ μεγάλα, πῶς θὰ μποροῦσε νὰ βαπτισθεῖ πάλι;

Μὲ δύο λοιπὸν τρόπους εἶπε πὼς τὸ πράγμα εἶναι ἀδύνατο καὶ ἀνέφερε τελευταῖο τὸν ἰσχυρότερο. Ὁ ἕνας, ὅτι δὲν εἶναι ἄξιος αὐτὸς ποὺ ἀπόλαυσε τέτοια ἀγαθὰ καὶ πρόδωσε ὅλες τὶς

λιν ἀνακαινισθῆναι· δευτέρῳ δέ, ὅτι οὐ δυνατόν ἐστιν αὐτὸν πάλιν ἀνασταυροῦσθαι· τοῦτο γάρ ἐστι «παραδειγματίσαι». Οὐκ ἔστι τοίνυν δεύτερον λουτρόν, οὐκ ἔστιν· εἰ δὲ ἔστι, καὶ τρίτον ἐστί, καὶ τέταρτόν ἐστι, καὶ ὑπὸ τοῦ ὑστέρου ἀεὶ τὸ πρῶτον κα-
5 *ταλύεται, καὶ τοῦτο πάλιν ὑπὸ τοῦ ἄλλου, καὶ τοῦτο εἰς ἄπειρον. Εἰπὼν δέ, «καὶ καλὸν Θεοῦ γευσαμένους ῥῆμα, δυνάμεις τε αἰῶνος μέλλοντος», οὐκ ἀποκαλύπτει αὐτό, ἀλλ' αἰνίττεται καὶ μονονουχὶ ταῦτα λέγει· ὅτι τὸ ζῆν ὡς ἀγγέλους, τὸ μηδενὸς δεῖσθαι τῶν ἐνταῦθα, τὸ εἰδέναι ὅτι τῆς τῶν μελλόντων αἰώνων*
10 *ἀπολαύσεως πρόξενος ἡμῖν ἡ υἱοθεσία γίνεται, τὸ εἰς τὰ ἄδυτα ἐκεῖνα εἰσελθεῖν προσδοκᾶν, διὰ τοῦ Πνεύματός ἐστι ταῦτα μαθεῖν. Τί ἐστι, «δυνάμεις τε τοῦ μέλλοντος αἰῶνος»; Ἡ ζωὴ ἡ αἰώνιος, ἡ ἀγγελικὴ διαγωγή. Τούτων ἤδη τὸν ἀρραβῶνα ἐλάβομεν διὰ τῆς πίστεως παρὰ τοῦ Πνεύματος. Εἰπέ μοι τοίνυν, εἰ*
15 *εἰς βασίλεια εἰσαχθεὶς καὶ πάντα ἐμπιστευθεὶς τὰ ἐκεῖ, εἶτα προὔδωκας ἅπαντα, ἆρα ἂν ἐνεπιστεύθης τὰ ἐκεῖ πάλιν;*

4. Τί οὖν; οὐκ ἔστι μετάνοια, φησίν; Ἔστι μετάνοια, ἀλλὰ βάπτισμα οὐκ ἔστι δεύτερον. Μετάνοια δέ ἐστι πολλὴν ἔχουσα τὴν ἰσχύν, καὶ τὸν σφόδρα τοῖς ἁμαρτήμασι βεβαπτισμένον, εἰ βου-
20 *ληθείη, δυναμένη ἀπαλλάξαι τοῦ τῶν ἁμαρτημάτων φορτίου, καὶ τὸν κινδυνεύοντα καταστῆσαι ἐν ἀσφαλείᾳ, κἂν πρὸς αὐτὸν ἔλθῃ τῆς κακίας τὸν πυθμένα. Καὶ τοῦτο πολλαχόθεν δυνατὸν ἀποδεῖξαι. «Μὴ ὁ πίπτων», γάρ, φησίν, «οὐκ ἀνίσταται, ἢ ὁ ἀποστρέφων οὐκ ἀποστρέφει;». Ἔστιν, ἐὰν βουλώμεθα μορ-*
25 *φωθῆναι τὸν Χριστὸν ἐν ἡμῖν πάλιν· ἄκουε γὰρ Παύλου λέγοντος, «τεκνία μου, οὓς πάλιν ὠδίνω, ἄχρις οὗ μορφωθῇ Χριστὸς ἐν ὑμῖν»· μόνον ἀψώμεθα τῆς μετανοίας.*

Ὅρα γὰρ Θεοῦ φιλανθρωπίαν· ἔδει ἡμᾶς παντὶ τρόπῳ κολασθῆναι παρὰ τὴν ἀρχήν, ὅτι καὶ νόμον λαβόντες τὸν φυσικὸν
30 *καὶ μυρίων ἀπολαύσαντες ἀγαθῶν, τόν τε Δεσπότην ἠγνοήκαμεν καὶ βίον ἀκάθαρτον βεβιώκαμεν· ὁ δὲ οὐ μόνον οὐκ ἐκόλασεν,*

---

11. Ἱερ. 8,4.
12. Γαλ. 4,19.

δωρεὲς ποὺ τοῦ ἔγιναν νὰ ἀνακαινισθεῖ πάλι· καὶ ὁ ἄλλος, ὅτι δὲν εἶναι δυνατὸ νὰ ξανασταυρωθεῖ πάλι αὐτός· γιατὶ αὐτὸ σημαίνει «νὰ τὸν διαπομπεύσουν». Δὲν ὑπάρχει λοιπὸν δεύτερο βάπτισμα, δὲν ὑπάρχει. Ἂν ὅμως ὑπάρχει δεύτερο, ὑπάρχει καὶ τρίτο καὶ τέταρτο, καὶ ἀπὸ τὸ ἑπόμενο καταργεῖται πάντοτε τὸ πρῶτο, καὶ αὐτὸ πάλι ἀπὸ τὸ ἄλλο, καὶ αὐτὸ γίνεται χωρὶς τέλος. Λέγοντας ὅμως, «καὶ γεύθηκαν τὸν καλὸ λόγο τοῦ Θεοῦ καὶ τὶς δυνάμεις τοῦ μελλοντικοῦ αἰώνα», δὲ φανερώνει αὐτό, ἀλλὰ τὸ ὑπονοεῖ καὶ σχεδὸν εἶναι σὰν νὰ λέγει τὰ ἑξῆς· ὅτι τὸ νὰ ζοῦμε σὰν τοὺς ἀγγέλους, τὸ νὰ μὴ χρειαζόμαστε τίποτε ἀπὸ τὰ ἐπίγεια, τὸ νὰ γνωρίζουμε ὅτι ἡ υἱοθεσία μᾶς προκαλεῖ τὴν ἀπόλαυση τῶν μελλοντικῶν αἰώνων καὶ τὸ νὰ ἐλπίζουμε νὰ μποῦμε στὰ ἄδυτα ἐκεῖνα, εἶναι δυνατὸ νὰ τὰ μάθουμε αὐτὰ ἀπὸ τὸ Πνεῦμα. Τί σημαίνει, «καὶ τὶς δυνάμεις τοῦ μελλοντικοῦ αἰώνα»; Τὴν αἰώνια ζωή, τὴν ἀγγελικὴ διαγωγή. Τὴν ἐγγύηση αὐτῶν τῶν ἀγαθῶν τὴ λάβαμε μέσω τῆς πίστης ἀπὸ τὸ ἅγιο Πνεῦμα. Πές μου λοιπόν, ἂν ἔμπαινες στὰ ἀνάκτορα καὶ σοῦ ἐμπιστεύονταν ὅλα τὰ ἐκεῖ καὶ στὴ συνέχεια τὰ πρόδινες ὅλα, ἄραγε θὰ σοῦ ἐμπιστεύονταν πάλι τὰ ἐκεῖ;

4. Τί λοιπόν; λέγει· δὲν ὑπάρχει μετάνοια; Ὑπάρχει μετάνοια, ἀλλὰ δὲν ὑπάρχει δεύτερο βάπτισμα. Ἡ μετάνοια ὅμως ἔχει πολλὴ δύναμη καὶ μπορεῖ τὸν ὑπερβολικὰ βουτηγμένο στὶς ἁμαρτίες, ἂν ἤθελε, νὰ τὸν ἀπαλλάξει ἀπὸ τὸ φορτίο τῶν ἁμαρτιῶν καὶ ὅποιον κινδυνεύει νὰ τὸν γλυτώσει, ἔστω καὶ ἂν φθάσει στὸν πυθμένα τῆς κακίας. Καὶ αὐτὸ μπορεῖ νὰ τὸ ἀποδείξει κανεὶς ἀπὸ πολλά. «Μήπως ἐκεῖνος ποὺ πέφτει», λέγει, «δὲ σηκώνεται, ἢ ἐκεῖνος ποὺ παραπλανᾶται δὲν ἐπιστρέφει στὸ δρόμο του;»[11]. Εἶναι δυνατό, ἂν ἐμεῖς θέλουμε, νὰ διαμορφωθεῖ πάλι ὁ Χριστὸς μέσα μας (ἄκου σχετικὰ τὸν Παῦλο ποὺ λέγει, «παιδιά μου, γιὰ σᾶς πάλι ὑποφέρω τοὺς πόνους τοῦ τοκετοῦ, ὥσπου νὰ διαμορφωθεῖ μέσα σας ὁ Χριστός»[12]), ἀρκεῖ μόνο νὰ μετανοήσουμε.

Πρόσεχε λοιπὸν τὴ φιλανθρωπία τοῦ Θεοῦ. Ἔπρεπε μὲ κάθε τρόπο νὰ τιμωρηθοῦμε ἀπὸ τὴν ἀρχή, γιατί, ἂν καὶ λάβαμε τὸ φυσικὸ νόμο καὶ ἀπολαύσαμε ἄπειρα ἀγαθά, ἀγνοήσαμε τὸν Κύριο καὶ ζήσαμε ἀκάθαρτη ζωή. Αὐτὸς ὅμως ὄχι μόνο δὲ μᾶς

ἀλλὰ καὶ μυρίων μετέδωκεν ἀγαθῶν, ὡς ἂν εἰ μεγάλα κατωρθωκότες ἦμεν. Πάλιν ἐξεπέσομεν, καὶ οὐδὲ οὕτω κολάζει, ἀλλ᾿ ἔδωκε τὸ τῆς μετανοίας φάρμακον, πάντα ἡμῶν τὰ ἁμαρτήματα ἱκανὸν ἀφανίσαι καὶ ἀπαλεῖψαι, μόνον ἐὰν εἰδῶμεν τὸ φάρμακον 5 ὁποῖόν ἐστι καὶ πῶς αὐτὸ ἐπιτιθέναι δεῖ.

Ποῖον οὖν ἐστι τὸ φάρμακον τῆς μετανοίας καὶ πῶς αὐτὸ κατασκευάζεται; Πρῶτον, ἀπὸ καταγνώσεως τῶν οἰκείων ἁμαρτημάτων, καὶ ἀπὸ ἐξαγορεύσεως· «τὴν ἀνομίαν μου», γάρ, φησίν, «ἐγνώρισα, καὶ τὴν ἁμαρτίαν μου οὐκ ἐκάλυψα»· καί, 10 «ἐξαγορεύσω κατ᾿ ἐμοῦ τὴν ἀνομίαν μου τῷ Κυρίῳ, καὶ σὺ ἀφῆκας τὴν ἀσέβειαν τῆς καρδίας μου»· καὶ πάλιν, «λέγε σὺ τὰς ἁμαρτίας σου πρῶτος, ἵνα δικαιωθῇς»· καί, «δίκαιος ἑαυτοῦ κατήγορος ἐν πρωτολογίᾳ». Δεύτερον, ἀπὸ ταπεινοφροσύνης πολλῆς· ὥσπερ γὰρ σειρά τίς ἐστι χρυσῆ, κἂν ἀρχὴν λάβῃ, πάντα 15 ἕπεται. Ἐὰν γὰρ ὁμολογήσῃς τὴν ἁμαρτίαν ὡς ὁμολογῆσαι χρή, ταπεινοῦται ἡ ψυχή· τὸ γὰρ συνειδὸς αὐτὴν συστρέφον, κατεστάλθαι ποιεῖ.

Δεῖ δὲ καὶ ἕτερα προσεῖναι τῇ ταπεινοφρύνῃ, ἵνα τοιαύτη ᾖ οἵαν ὁ μακάριος Δαυὶδ ηὔχετο λέγων, «καρδίαν καθαρὰν κτίσον 20 ἐν ἐμοί, ὁ Θεός»· καὶ πάλιν, «καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει». Τὸ γὰρ συντριβὲν οὐ διανίσταται, οὐ πλήττει, ἀλλὰ πρὸς τὸ παθεῖν κακῶς ἐστιν ἕτοιμον, αὐτὸ δὲ οὐ διανίσταται. Τοιοῦτόν ἐστι συντριβὴ καρδίας· κἂν ὑβρισθῇ, κἂν πάθῃ κακῶς, ἡσυχάζει καὶ οὐχ ὁρμᾷ πρὸς ἄμυναν. 25 Μετὰ δὲ τὴν ταπεινοφροσύνην, εὐχῶν δεῖ ἐκτενῶν, δακρύων πολλῶν, τῶν ἐν ἡμέρᾳ, τῶν ἐν νυκτί· «λούσω» γάρ, φησί, «καθ᾿ ἑκάστην νύκτα τὴν κλίνην μου· ἐν δὲ δάρκυσί μου τὴν στρωμνήν μου βρέξω· ἐκοπίασα ἐν τῷ στεναγμῷ μου»· καὶ πάλιν, «ὅτι σποδὸν ὡσεὶ ἄρτον ἔφαγον, καὶ τὸ πόμα μου μετὰ κλαυθμοῦ 30 ἐκίρνων».

---

13. Ψαλμ. 31,5. 14. Ἠσ. 43,26.
15. Παροιμ. 18,17. 16. Ψαλμ. 50,12.

τιμώρησε, ἀλλὰ καὶ μᾶς ἔδωσε ἄπειρα ἀγαθά, σὰν νὰ εἴχαμε ἐπιτύχει μεγάλα κατορθώματα. Πάλι πέσαμε καὶ οὔτε ἔτσι μᾶς τιμωρεῖ, ἀλλὰ μᾶς ἔδωσε τὸ φάρμακο τῆς μετάνοιας, ἱκανὸ ν' ἀφανίσει καὶ νὰ ἐξαλείψει ὅλα τὰ ἁμαρτήματά μας, ἀρκεῖ μόνο νὰ γνωρίσουμε ποιό εἶναι τὸ φάρμακο καὶ πῶς πρέπει νὰ τὸ χρησιμοποιοῦμε.

Ποιό λοιπὸν εἶναι τὸ φάρμακο τῆς μετάνοιας καὶ πῶς παρασκευάζεται; Πρῶτα ἀπὸ τὴν καταδίκη τῶν ἁμαρτημάτων μας καὶ ἀπὸ τὴν ἐξομολόγησή τους. «Τὴν ἀνομία μου», λέγει, «τὴν ἔκαμα γνωστὴ καὶ δὲν ἔκρυψα τὴν ἁμαρτία μου», καὶ «θὰ ἐξομολογηθῶ τὴν ἀνομία μου στὸν Κύριο, καὶ σὺ ἀμέσως συγχώρησες τὴν ἀσέβεια τῆς καρδιᾶς μου»[13]. Καὶ πάλι, «λέγε ἐσὺ πρῶτος τὶς ἁμαρτίες σου γιὰ νὰ λάβεις δικαίωση»[14]· καὶ πάλι, «ὁ δίκαιος θὰ κατηγορήσει πρῶτος τὸν ἑαυτό του στὸ δικαστήριο»[15]. Δεύτερο, ἀπὸ τὴν πολλὴ ταπεινοφροσύνη, γιατὶ εἶναι σὰν κάποια χρυσὴ ἁλυσίδα, καὶ ἂν ἀρχίσει, ὅλα ἀκολουθοῦν. Ἂν δηλαδὴ ὁμολογήσεις τὴν ἁμαρτία ὅπως πρέπει νὰ τὴν ὁμολογήσεις, ταπεινώνεται ἡ ψυχή σου, γιατί, ὅταν ἡ συνείδηση τὴ σκέπτεται συνέχεια, τὴν κάνει νὰ ταπεινωθεῖ.

Πρέπει ὅμως νὰ προστίθενται καὶ ἄλλα στὴν ταπεινοφροσύνη, γιὰ νὰ εἶναι τέτοια, ὅπως εὐχόταν ὁ μακάριος Δαβὶδ λέγοντας, «κτίσε μέσα μου, Θεέ, καρδιὰ καθαρή»[16]· καὶ πάλι, «καρδιὰ ποὺ ἔχει συντριβεῖ καὶ ταπεινωθεῖ ὁ Θεὸς δὲ θὰ τὴν ἐξουθενώσει»[17]. Γιατὶ ἐκεῖνο ποὺ ἔχει συντριβεῖ δὲν ἀνορθώνεται, δὲν πλήττει, ἀλλ' εἶναι ἕτοιμο νὰ κακοπάθει, αὐτὸ ὅμως δὲν ἀνορθώνεται. Αὐτὸ σημαίνει «συντριβὴ καρδιᾶς»· καὶ ἂν ὑβρισθεῖ ἢ κακοπάθει, ἡσυχάζει καὶ δὲν προσπαθεῖ ν' ἀμυνθεῖ. Μετὰ τὴν ταπεινοφροσύνη χρειάζονται συνεχεῖς προσευχές, δάκρυα πολλά, ἡμέρα καὶ νύχτα. «Θὰ λούζω», λέγει, «κάθε νύχτα τὸ κρεββάτι μου καὶ θὰ βρέχω μὲ τὰ δάκρυά μου τὸ στρῶμα μου. Ἀπέκαμα ἀπὸ τους στεναγμούς μου»[18]. Καὶ πάλι, «ἔφαγα στάχτη ἀντὶ γιὰ ψωμὶ καὶ ἀνέμειξα τὸ νερὸ ποὺ πίνω μὲ τὸ κλάμα»[19].

17. Ψαλμ. 50,19. 18. Ψαλμ. 6,7.
19. Ψαλμ. 101,10.

Καὶ μετὰ τὴν εὐχὴν τὴν οὕτως ἐκτενῆ, ἐλεημοσύνης δεῖ πολλῆς. Τὸ γὰρ μάλιστα ἰσχυρὸν ἐργαζόμενον τὸ φάρμακον τῆς μετανοίας, τοῦτό ἐστι. Καὶ καθάπερ ἐπὶ τῶν ἰατρικῶν βοηθημάτων ἐστὶ φάρμακον πολλὰς μὲν λαμβάνον βοτάνας, μίαν δὲ τὴν 5 *κυριωτάτην, οὕτω καὶ ἐπὶ τῆς μετανοίας αὕτη ἡ βοτάνη κυριωτέρα καὶ τὸ πᾶν αὕτη γένοιτο ἄν. Ἄκουε γὰρ τί φησιν ἡ θεία Γραφή· «δότε ἐλεημοσύνην, καὶ πάντα ἔσται καθαρά»· καὶ πάλιν, «ἐλεημοσύναις καὶ πίστεσιν ἀποκαθαίρονται ἁμαρτίαι»· καὶ πάλιν, «πῦρ φλογιζόμενον ἀποσβέσει ὕδωρ, καὶ ἐλεημοσύνη κα-* 10 *ταπαύσει ἁμαρτίας μεγάλας».*

Εἶτα τὸ μὴ ὀργίζεσθαι, μηδὲ μνησικακεῖν, τὸ πᾶσιν ἀφιέναι τὰ ἁμαρτήματα. «Ἄνθρωπος γὰρ ἀνθρώπῳ συντηρεῖ ὀργήν», φησί, «καὶ παρὰ Κυρίου ζητεῖ ἴασιν». «Ἄφετε, ἵνα ἀφεθῇ ὑμῖν». Καὶ τὸ ἐπιστρέφειν ἀδελφοὺς ἀπὸ τῆς πλάνης· «πορεύου» 15 *γάρ, φησί, «καὶ ἐπίστρεφε τοὺς ἀδελφούς σου», ἵνα ἀφεθῶσί σοι αἱ ἁμαρτίαι σου· τὸ πρὸς τοὺς ἱερεῖς ἔχειν οἰκείως· «κἂν γὰρ ἁμαρτίας ᾖ», φησί, «πεποιηκώς τις, ἀφεθήσεται αὐτῷ»· τὸ προΐστασθαι τῶν ἀδικουμένων, τὸ μὴ ἔχειν ὀργήν, τὸ πάντα πρᾴως φέρειν.*

20 5. *Ἆρα πρὸ μὲν τοῦ μαθεῖν ὅτι ἐστὶ διὰ μετανοίας ἀπολούσασθαι τὰ ἁμαρτήματα, οὐκ ἐναγώνιοι ἦτε, γνόντες ὅτι οὐκ ἔστιν ἕτερον λουτρόν, καὶ ἀπεγινώσκετε ἑαυτῶν; Νυνὶ δὲ μαθόντες δι' ὅσων ἡ μετάνοια καὶ ἡ ἄφεσις κατορθοῦται, καὶ ὅτι δυνησόμεθα τὸ πᾶν ἐκφυγεῖν, ἂν βουληθῶμεν αὐτῇ χρήσασθαι δεόντως,* 25 *ποίας τύχοιμεν ἂν συγγνώμης, οὐδὲ εἰς νοῦν ἐρχόμενοι τῶν ἡμετέρων ἁμαρτημάτων; Εἰ γὰρ τοῦτο ἦν, πάντα ἤνυστο. Ὥσπερ γὰρ ὁ τὴν θύραν εἰσελθών, ἔνδον ἐστίν, οὕτως ὁ τὰ οἰκεῖα λογιζόμενος κακά. Ἂν γὰρ ἀναλογίζηται αὐτὰ καθ' ἑκάστην, καὶ ἐπὶ τὴν θεραπείαν αὐτῶν πάντως ἥξει· ἂν δὲ λέγῃ, 'ἁμαρτωλός εἰμι',* 30 *μὴ ἀναλογίζηται δὲ αὐτὰ κατ' εἶδος, καὶ λέγῃ, ὅτι τόδε καὶ τόδε ἥμαρτον, οὐδέποτε παύσεται, ἀεὶ μὲν ὁμολογῶν, φροντίζων δὲ*

---

20. Λουκᾶ 11,41. 21. Τωβίτ 4,11. 22. Σοφ. Σειρ. 3,30.
23. Σοφ. Σειρ. 28,3. 24. Ματθ. 6,14.
25. Λουκᾶ 22,32. 26. Ἰακ. 5,15.

Καὶ μετὰ τὴ συνεχὴ προσευχὴ χρειάζεται πολλὴ ἐλεημοσύνη. Γιατὶ τὸ κατ' ἐξοχὴν ἰσχυρὸ ποὺ παρασκευάζει τὸ φάρμακο τῆς μετάνοιας εἶναι αὐτό. Καὶ ὅπως στὰ ἰατρικὰ βοηθήματα ὑπάρχει φάρμακο ποὺ περιέχει πολλὰ βότανα, ἕνα ὅμως εἶναι τὸ πιὸ σπουδαιότερο, ἔτσι καὶ στὴ μετάνοια αὐτὸ τὸ βότανο εἶναι τὸ σπουδαιότερο καὶ αὐτὴ θὰ μποροῦσε νὰ γίνει τὸ πᾶν. Ἄκου λοιπὸν τί λέγει ἡ ἁγία Γραφή· «δῶστε ἐλεημοσύνη καὶ ὅλα θὰ τὰ ἔχετε καθαρά»[20]. Καὶ πάλι· «μὲ ἐλεημοσύνη καὶ πίστη καθαρίζονται οἱ ἁμαρτίες»[21]. Καὶ πάλι· «τὸ νερὸ σβήνει τὶς φλόγες τῆς φωτιᾶς καὶ ἡ ἐλεημοσύνη ἐξιλεώνει τὶς μεγάλες ἁμαρτίες»[22].

Ἔπειτα ἔρχεται τὸ νὰ μὴν ὀργίζεται κανεὶς οὔτε νὰ εἶναι μνησίκακος, νὰ συγχωρεῖ τὶς ἁμαρτίες σὲ ὅλους. Γιατὶ λέγει «ὁ ἄνθρωπος κρατάει τὴν ὀργή του ἐναντίον τοῦ συνανθρώπου του καὶ ζητάει συγχώρηση ἀπὸ τὸν Κύριο»[23]. «Συγχωρῆστε, γιὰ νὰ σᾶς συγχωρηθοῦν οἱ ἁμαρτίες»[24]. Καὶ τὸ νὰ ἐπιστρέφει κανεὶς τοὺς ἀδελφοὺς ἀπὸ τὴν πλάνη. Γιατὶ λέγει, «πήγαινε καὶ νὰ ἐπιστρέφεις τοὺς ἀδελφούς σου»[25], γιὰ νὰ σοῦ συγωρηθοῦν οἱ ἁμαρτίες. Καὶ πρὸς τοὺς ἱερεῖς νὰ φέρεται μὲ οἰκειότητα. Γιατὶ λέγει· «καὶ ἂν ἔχει διαπράξει ἁμαρτίες θὰ τοῦ συγχωρηθοῦν»[26]. Καὶ νὰ φροντίζει γιὰ τοὺς ἀδικημένους, νὰ μὴν ὀργίζεται, νὰ ὑποφέρει τὰ πάντα μὲ πραότητα.

5. Ἄραγε πρὶν νὰ μάθετε ὅτι μὲ τὴ μετάνοια εἶναι δυνατὸ νὰ καθαρισθοῦν τὰ ἁμαρτήματα δὲν ἀγωνιούσατε μαθαίνοντας ὅτι δὲν ὑπάρχει ἄλλο βάπτισμα καὶ δὲν ἀπελπιζόσασταν; Τώρα ὅμως ἀφοῦ μάθαμε μὲ πόσα κατορθώνεται ἡ μετάνοια καὶ ἡ συγχώρηση καὶ ὅτι θὰ μπορέσουμε νὰ ξεφύγουμε τὰ πάντα, ἂν θελήσουμε νὰ τὴ χρησιμοποιήσουμε ὅπως πρέπει, ποιά συγγνώμη θὰ μπορέσουμε νὰ βροῦμε, τὴ στιγμὴ ποὺ δὲ σκεπτόμαστε τὰ ἁμαρτήματά μας; Γιατί, ἂν ὑπῆρχε αὐτό, τὰ πάντα θὰ εἶχαν κατορθωθεῖ. Ὅπως ἀκριβῶς ἐκεῖνος ποὺ πέρασε τὴν πόρτα εἶναι μέσα, ἔτσι καὶ αὐτὸς ποὺ σκέπτεται τὰ δικά του κακά. Γιατί, ἂν τὰ σκέπτεται κάθε ἡμέρα, θὰ φθάσει ὁπωσδήποτε καὶ στὴ θεραπεία τους. Ἂν ὅμως λέγει, 'εἶμαι ἁμαρτωλός', ἀλλὰ δὲν τὰ σκέπτεται ἕνα – ἕνα χωριστὰ καὶ δὲ λέγει, 'ἔκαμα αὐτὴ καὶ τὴν ἄλλη ἁμαρτία', ποτὲ δὲ θὰ σταματήσει νὰ τὸ ὁμολογεῖ αὐτὸ πάντοτε, ἀλλὰ

οὐδέποτε τῆς διορθώσεως. Ἐὰν γὰρ ἄρξηται, πάντως καὶ τὰ ἄλλα ἕπεται, ἂν εἴσοδον ἐπιδείξηται· πανταχοῦ γὰρ ἡ ἀρχὴ καὶ τὰ προοίμια δύσκολα. Ταῦτα οὖν καταβαλώμεθα καὶ πάντα εὔκολα ἔσται καὶ ῥᾷστα.

Ἀρξώμεθα τοίνυν, παρακαλῶ, ὁ μὲν ἀπὸ τοῦ τὰς εὐχὰς 5 *ἐπιτεῖναι, ὁ δὲ ἀπὸ τοῦ δακρύειν συνεχῶς, ὁ δὲ ἀπὸ τοῦ κατηφεῖν· οὐδὲ γὰρ οὐδὲ τοῦτο τὸ οὕτω μικρὸν ἀνόητον· «εἶδον» γάρ, φησίν, «ὅτι ἐλυπήθη, καὶ ἐπορεύθη στυγνός, καὶ ἰασάμην τὰς ὁδοὺς αὐτοῦ». Πάντες δὲ ἀπὸ ἐλεημοσύνης καὶ τοῦ ἀφιέναι τοῖς πλησίον τὰ ἁμαρτήματα καὶ ἀπὸ τοῦ μὴ μνησικακεῖν μηδὲ ἀμύ-* 10 *νεσθαι, ταπεινώσωμεν ἑαυτῶν τὰς ψυχάς. Ἐὰν ἐννοῶμεν συνεχῶς τὰ ἡμαρτημένα ἡμῖν, οὐδὲν ἡμᾶς ἐπᾶραι τῶν ἔξωθεν δυνήσεται, οὐ πλοῦτος, οὐ δυναστεία, οὐκ ἀρχή, οὐ τιμή, ἀλλὰ κἂν εἰς αὐτὸ τὸ ὄχημα τὸ βασιλικὸν καθίσωμεν, στενάξομεν πικρόν. Ἐπεὶ καὶ ὁ μακάριος Δαυὶδ βασιλεὺς ἦν καὶ ἔλεγε· «λούσω καθ'* 15 *ἑκάστην νύκτα τὴν κλίνην μου»· καὶ οὐδὲν ἀπὸ τῆς ἀλουργίδος καὶ τοῦ διαδήματος παρεβλάβη καὶ οὐκ ἐτυφώθη· ᾔδει γὰρ ἑαυτὸν ἄνθρωπον ὄντα· καὶ ἐπειδὴ συντετριμμένην εἶχε τὴν καρδίαν, ἐθρήνει.*

Τί γάρ ἐστι τὰ ἀνθρώπινα πράγματα; τέφρα καὶ κόνις, καὶ 20 *ὡσεὶ χνοῦς κατὰ πρόσωπον ἀνέμου, καπνὸς καὶ σκιά, καὶ φύλλον περιφερόμενον καὶ ἄνθος, ὄναρ καὶ διήγημα, καὶ μῦθος, ἄνεμος καὶ ἀὴρ χαῦνος ἁπλῶς διαρρέων, πτερὸν οὐχ ἱστάμενον, ῥεῦμα παρατρέχον, καὶ εἴ τι τούτων οὐδαμινέστερον· τί γάρ, εἰπέ μοι, μέγα νομίζεις; ποῖον ἡγῇ μέγα ἀξίωμα εἶναι; τὸ τοῦ ὑπάτου;* 25 *οὐδὲν γὰρ τούτου τοῦ ἀξιώματος εἶναι μεῖζον νομίζουσιν οἱ πολλοί. Τοῦ ἐν τοσαύτῃ τοίνυν λαμπρότητι γενομένου, τοῦ μεγάλως θαυμασθέντος, ὁ μὴ ὕπατος ἔλαττον ἔχει οὐδέν· ἐν τῷ αὐτῷ καὶ οὗτος κἀκεῖνός ἐστιν ἀξιώματι· ὁμοίως ἑκάτεροι μετ' ὀλίγον οὐκ εἰσι. Πότε ἐγένετο, πόσον χρόνον, εἰπέ μοι; ἡμερῶν δύο; Τοῦτο* 30 *καὶ ἐν ὀνείροις γίνεται. Ἀλλ' ὄναρ, φησίν, ἐστί. Καὶ τί τοῦτο; τὸ γὰρ ἐν ἡμέρᾳ, οὐκ ὄναρ; εἰπέ μοι, διὰ τί μὴ ταῦτα μᾶλλον λέγομεν*

---

27. Ἡσ. 57,17.18.
28. Ψαλμ. 6,7.

ποτὲ δὲ θὰ φροντίσει γιὰ τὴ διόρθωσή του. Ἂν ὅμως ἀρχίσει, ὁπωσδήποτε ἀκολουθοῦν καὶ τὰ ἄλλα, ἂν κάνει ἀρχή. Γιατὶ παντοῦ ἡ ἀρχὴ καὶ τὰ πρῶτα βήματα εἶναι δύσκολα. Αὐτὰ λοιπὸν ἂς κάνουμε, καὶ ὅλα θὰ εἶναι εὔκολα καὶ δυνατά.

Ἂς ἀρχίσουμε λοιπόν, παρακαλῶ, ἄλλος ἀπὸ τὸ νὰ ἐντείνει τὶς προσευχές, ἄλλος ἀπὸ τὸ νὰ δακρύζει συνέχεια, ἄλλος ἀπὸ τὸ νὰ εἶναι σκυθρωπός· γιατὶ οὔτε αὐτὸ τὸ τόσο μικρὸ εἶναι ἀνώφελο. Γιατὶ λέγει, «εἶδα ὅτι λυπήθηκε καὶ βάδισε θλιμμένος καὶ ἐγὼ θεράπευσα τοὺς δρόμους τῆς ζωῆς του»[27]. Ὅλοι ὅμως ἂς ταπεινώσουμε τὶς ψυχές μας μὲ τὴν ἐλεημοσύνη, μὲ τὸ νὰ συγχωροῦμε τὶς ἁμαρτίες τῶν συνανθρώπων μας, μὲ τὸ νὰ μὴ μνησικακοῦμε καὶ μὲ τὸ νὰ μὴν ἐκδικούμαστε. Ἂν ἐνθυμούμαστε συνέχεια τὰ σφάλματά μας, δὲ θὰ μπορέσει κανένα ἀπὸ τὰ ἔξω πράγματα νὰ μᾶς ὁδηγήσει σὲ ἀλαζονεία, οὔτε τὰ πλούτη, οὔτε ἡ δύναμη, οὔτε ἡ ἐξουσία, οὔτε ἡ τιμή, ἀλλά, καὶ ἂν ἀκόμη καθίσουμε στὸ βασιλικὸ ὄχημα, θὰ στενάξουμε πικρά. Γιατὶ καὶ ὁ μακάριος Δαβὶδ ἦταν βασιλιὰς καὶ ἔλεγε, «θὰ λούζω κάθε νύχτα τὸ κρεββάτι μου»[28], καὶ δὲ ζημιώθηκε καθόλου ἀπὸ τὴ βασιλικὴ πορφύρα καὶ τὸ στέμμα καὶ δὲν ἀλαζονεύθηκε· καὶ ἐπειδὴ εἶχε συντριμμένη τὴν καρδιά του θρηνοῦσε.

Τί λοιπὸν εἶναι τὰ ἀνθρώπινα πράγματα; Στάχτη καὶ σκόνη, καὶ σὰν χνούδι μπροστὰ στὸν ἄνεμο, καπνὸς καὶ σκιά, φύλλο περιφερόμενο ἐδῶ καὶ ἐκεῖ καὶ ἄνθος, ὄνειρο καὶ μύθος καὶ παραμύθι, ἄνεμος καὶ ἀέρας ἁπλῶς σιγανὸς ποὺ φεύγει καὶ χάνεται, φτερὸ ποὺ δὲ στέκεται, φύσημα ἀέρα ποὺ τρέχει, καὶ ὁ,τιδήποτε ἄλλο ὑπάρχει πιὸ μηδαμινὸ ἀπ' αὐτά. Ποιό λοιπόν, πές μου, θεωρεῖς σπουδαῖο; ποιό ἀξίωμα νομίζεις πὼς εἶναι μεγάλο; Τὸ ἀξίωμα τοῦ ὑπάτου; Γιατὶ οἱ περισσότεροι νομίζουν πὼς κανένα δὲν εἶναι μεγαλύτερο ἀπ' αὐτὸ τὸ ἀξίωμα. Ἀπ' αὐτὸν λοιπὸν ποὺ βρέθηκε σὲ τόσο μεγάλη λαμπρότητα καὶ θαυμάστηκε τόσο πολὺ ὁποιος δὲν εἶναι ὕπατος δὲν ἔχει τίποτε λιγότερο. Στὸ ἴδιο ἀξίωμα εἶναι καὶ ὁ ἕνας καὶ ὁ ἄλλος· ὅμοια ὕστερα ἀπὸ λίγο καὶ οἱ δύο δὲν εἶναι. Πές μου, πότε ἔγινε, πόσο χρόνο; Δύο ἡμέρες; Τὸ ἴδιο γίνεται καὶ στὰ ὄνειρα. Ἀλλά, λέγει, εἶναι ὄνειρο. Καὶ τί σημασία ἔχει αὐτό; Μήπως αὐτὸ ποὺ γίνεται τὴν ἡμέρα δὲν εἶναι

ὄναρ; Ὥσπερ γὰρ τὰ ὀνείρατα, τῆς ἡμέρας καταλαβούσης, ἐλέγχεται οὐδὲν ὄντα, οὕτω καὶ ταῦτα, τῆς νυκτὸς καταλαβούσης, ἐλέγχεται οὐδὲν ὄντα· τὸ γὰρ ἴσον ἥ τε νὺξ καὶ ἡ ἡμέρα ἀπέλαβον τοῦ χρόνου, καὶ ἐξ ἴσης διενείμαντο τὸν πάντα χρόνον. Ὥσπερ 5 τοίνυν ἐν ἡμέρᾳ τοῖς ἐν νυκτὶ γενομένοις οὐ γάννυταί τις, οὕτως οὐδὲ ἐν νυκτὶ τῶν μεθ' ἡμέραν ἀπολαῦσαι δυνατόν.

Γέγονας ὕπατος; κἀγώ. Ἀλλὰ σὺ ἐν ἡμέρᾳ, ἐγὼ δὲ ἐν νυκτί. Καὶ τί τοῦτο; οὐδὲ οὕτω μου πλέον τι ἔχεις, εἰ μὴ ἄρα τὸ λέγεσθαι 'ὁ δεῖνα ὁ ὕπατος', καὶ τὸ τὴν ἀπὸ τῶν ῥημάτων ἔχειν 10 ἡδονὴν πλέον ἔχειν ποιεῖ· οἷόν τι λέγω, σαφέστερον γὰρ αὐτὸ ἐρῶ, ἐὰν εἴπω, ὁ δεῖνα ὕπατός ἐστι, καὶ χαρίσωμαι τὸ ῥῆμα, οὐχ ἅμα ἐλέχθη, καὶ ἀπῆλθεν; Οὕτω καὶ τὰ πράγματά ἐστιν· ἅμα ἐφάνη ὕπατος, καὶ οὐκέτι ἐστί. Θῶμεν δὲ ἐνιαυτὸν εἶναι, καὶ δύο ἐνιαυτούς, καὶ τρεῖς καὶ τέσσαρας· ποῦ οὖν εἰσιν οἱ δέκα ὕπατοι 15 γενόμενοι; Οὐδαμοῦ. Ἀλλ' ὁ Παῦλος οὐχ οὕτως· ἦν μὲν γὰρ καὶ ζῶν λαμπρὸς διαπαντός, οὐ μίαν ἡμέραν, οὐδὲ δύο, οὐδὲ δέκα, οὐκ εἴκοσιν, οὐ τριάκοντα, οὐδὲ ἐνιαυτοὺς δέκα καὶ εἴκοσι καὶ τριάκοντα· ἀλλὰ ἐξ οὗ ἐτελεύτησε, τετρακοσιοστὸν λοιπὸν ἔτος παρελήλυθε, καὶ ἔτι καὶ νῦν λαμπρότερός ἐστι, καὶ πολλῷ λαμ-20 πρότερος ἢ ὅτε ἔζη. Καὶ ταῦτα μὲν ἐν τῇ γῇ· τὴν δὲ ἐν τοῖς οὐρανοῖς λαμπρότητα τῶν ἁγίων τίς ἂν παραστήσειε λόγος;

Διό, παρακαλῶ, ταύτην ζητήσωμεν τὴν λαμπρότητα, ταύτην διώξωμεν, ἵνα αὐτῆς τύχωμεν· ἡ γὰρ ὄντως λαμπρότης αὕτη ἐστίν. Ἀποστῶμεν λοιπὸν τῶν βιωτικῶν, ἵνα εὕρωμεν χάριν καὶ 25 ἔλεον ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμὴ καὶ προσκύνησις, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

29. Στίς χρονολογίες ὁ Χρυσόστομος δὲν εἶναι ἀκριβής.

ὄνειρο; Πές μου, γιὰ ποιό λόγο μᾶλλον δὲν τὰ λέμε αὐτὰ ὄνειρο; Γιατί, ὅπως τὰ ὄνειρα, ὅταν ἔρθει ἡ ἡμέρα, ἀποδεικνύονται πὼς δὲν εἶναι τίποτε, ἔτσι καὶ αὐτά, ὅταν ἔρθει ἡ νύχτα, ἀποδεικνύονται πὼς δὲν εἶναι τίποτε. Γιατὶ καὶ ἡ νύχτα καὶ ἡ ἡμέρα ἔλαβαν ἴσο χρόνο καὶ μοίρασαν ἐξίσου ὅλο τὸ χρόνο. Ὅπως λοιπὸν κανεὶς δὲ χαίρεται στὴ διάρκεια τῆς ἡμέρας γιὰ ὅσα ἔγιναν τὴ νύχτα, ἔτσι οὔτε εἶναι δυνατὸ ν' ἀπολαύσει τὴ νύχτα ὅσα ἔγιναν τὴν ἡμέρα.

Ἔγινες ὕπατος; Ἔγινα καὶ ἐγώ. Ἀλλὰ ἐσὺ τὴν ἡμέρα καὶ ἐγὼ τὴ νύχτα. Καὶ τί μ' αὐτό; Οὔτε ἔτσι ἔχεις κάτι περισσότερο ἀπὸ μένα, ἐκτὸς ἴσως ἀπὸ τὸ ὅτι λέγεται ὁ τάδε ὁ ὕπατος καὶ ἡ εὐχαρίστηση ποὺ νιώθεις ἀπὸ τὰ λόγια κάνει νὰ ἔχεις κάτι περισσότερο· ἐννοῶ τὸ ἑξῆς μ' αὐτό, γιατὶ θὰ τὸ πῶ σαφέστερα· ἂν πῶ, ὁ τάδε εἶναι ὕπατος, καὶ ἂν χαρίσω αὐτὸ τὸ ὄνομα, συγχρόνως δὲ λέγεται καὶ δὲ χάνεται; Ἔτσι εἶναι καὶ τὰ πράγματα· συγχρόνως φάνηκε ὕπατος καὶ δὲν εἶναι πιά. Ἂς ὑποθέσουμε ὅμως ὅτι εἶναι ἕνα χρόνο καὶ δύο καὶ τρία καὶ τέσσερα χρόνια. Ποῦ λοιπὸν εἶναι οἱ δέκα ποὺ ἔγιναν ὕπατοι; Πουθενά. Ὁ Παῦλος ὅμως δὲν εἶναι τὸ ἴδιο. Γιατὶ καὶ ὅταν ζοῦσε ἦταν λαμπρὸς συνέχεια, ὄχι μία ἡμέρα, οὔτε δύο, οὔτε, δέκα, οὔτε εἴκοσι, οὔτε τριάντα, οὔτε δέκα καὶ εἴκοσι καὶ τριάντα χρόνια, ἀλλὰ ἀπὸ τότε ποὺ πέθανε πέρασαν ἤδη τετρακόσια χρόνια[29], καὶ ἀκόμη καὶ σήμερα εἶναι λαμπρότερος, καὶ μάλιστα πολὺ λαμπρότερος τώρα, παρὰ ὅταν ζοῦσε. Καὶ αὐτὰ βέβαια συμβαίνουν στὴ γῆ. Τὴ λαμπρότητα ὅμως τῶν ἁγίων στοὺς οὐρανοὺς ποιός λόγος θὰ μπορέσει νὰ τὴν παραστήσει;

Γι' αὐτό, παρακαλῶ, ἂς ἐπιζητήσουμε αὐτὴν τὴν λαμπρότητα, αὐτὴν ἂς ἐπιδιώξουμε, γιὰ νὰ τὴν ἐπιτύχουμε· γιατὶ αὐτὴ εἶναι ἡ πραγματικὴ λαμπρότητα. Ἂς ἀπομακρυνθοῦμε στὸ μέλλον ἀπὸ τὰ βιοτικά, γιὰ νὰ βροῦμε χάρη καὶ ἔλεος μὲ τὴ βοήθεια τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μαζὶ μὲ τὸν ὁποῖο στὸν Πατέρα καὶ συγχρόνως στὸ ἅγιο Πνεῦμα ἀνήκει ἡ δόξα, ἡ δύναμη, ἡ τιμὴ καὶ ἡ προσκύνηση, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

Ο Μ Ι Λ Ι Α Ι'

('Εβρ. 6,7-12)

«Γῆ γὰρ ἡ πιοῦσα τὸν ἐπ' αὐτῆς ἐρχόμενον πολλάκις ὑετόν, καὶ τίκτουσα βοτάνην εὔθετον ἐκείνοις δι' οὓς καὶ γεωργεῖται, μεταλαμβάνει εὐλογίας ἀπὸ τοῦ Θεοῦ· ἐκφέρουσα δὲ ἀκάνθας καὶ τριβόλους, ἀδόκιμος καὶ κατάρας ἐγ-
5 *γύς· ἧς τὸ τέλος εἰς καῦσιν».*

1. Μετὰ φόβου τῶν λογίων ἀκούωμεν τοῦ Θεοῦ, μετὰ φόβου καὶ τρόμου πολλοῦ· «δουλεύσατε», γάρ, φησί, «τῷ Κυρίῳ ἐν φόβῳ, καὶ ἀγαλλιᾶσθε αὐτῷ ἐν τρόμῳ». Εἰ δὲ καὶ ἡ χαρὰ ἡμῶν καὶ ἡ ἀγαλλίασις μετὰ τρόμου ὀφείλει γίνεσθαι, ὅταν καὶ φοβερὰ
10 *ᾖ τὰ λεγόμενα, οἷα τὰ νῦν, τίνος οὐκ ἐσμεν ἄξιοι τιμωρίας, μὴ μετὰ φρίκης ἐπακούοντες τῶν λεγομένων; Εἰπὼν ὅτι ἀδύνατον τοὺς παραπεσόντας βαπτισθῆναι δεύτερον καὶ τὴν διὰ τοῦ λουτροῦ ἄφεσιν πάλιν λαβεῖν, καὶ δείξας τὸ φρικτὸν τοῦ πράγματος, ἐπάγει· «γῆ γὰρ ἡ πιοῦσα τὸν ἐπ' αὐτῆς πολλάκις ἐρχόμενον ὑε-*
15 *τόν, καὶ τίκτουσα βοτάνην εὔθετον ἐκείνοις δι' οὓς καὶ γεωργεῖται, μεταλαμβάνει εὐλογίας ἀπὸ τοῦ Θεοῦ· ἐκφέρουσα δὲ ἀκάνθας καὶ τριβόλους, ἀδόκιμος, καὶ κατάρας ἐγγύς· ἧς τὸ τέλος εἰς καῦσιν».*

Φοβηθῶμεν οὖν, ἀγαπητοί· οὐκ ἔστι Παύλου αὕτη ἡ ἀπει-
20 *λή, οὐκ ἔστιν ἀνθρώπου τὰ ῥήματα· τοῦ Πνεύματός εἰσι τοῦ ἁγίου, τοῦ Χριστοῦ τοῦ λαλοῦντος ἐν αὐτῷ. Ἆρα τίς ἐστιν ὁ τούτων τῶν ἀκανθῶν καθαρός; Εἰ δὲ καὶ ἦμεν καθαροί, οὐδὲ οὕτω θαρρεῖν ἐχρῆν, ἀλλὰ δεδοικέναι καὶ τρέμειν μήποτε ἄκανθαι βλαστήσωσιν ἐν ἡμῖν· ὅταν δὲ ὅλοι δι' ὅλου ἄκανθαι ὦμεν*
25 *καὶ τρίβολοι, πόθεν θαρροῦμεν, εἰπέ μοι, καὶ ὕπτιοι γινόμεθα; τί*

---

1. Ψαλμ. 2,11.

Ο Μ Ι Λ Ι Α Γ'

(Ἑβρ. 6,7–12)

«Γιατὶ ἡ γῆ, ἡ ὁποία πίνει τὴ βροχὴ ποὺ συχνὰ πέφτει σ' αὐτὴ καὶ γεννάει χόρτα χρήσιμα γιὰ τοὺς καλλιεργητές της, δέχεται τὴν εὐλογία τοῦ Θεοῦ. Ὅταν ὅμως βλαστάνει ἀγκάθια καὶ τριβόλια, τότε εἶναι ἄχρηστη καὶ ἡ κατάρα πλησιάζει πάνω της· τὸ τέλος της θὰ εἶναι νὰ παραδοθεῖ στὴ φωτιά».

1. Μὲ φόβο ἂς ἀκοῦμε τὰ λόγια τοῦ Θεοῦ, μὲ φόβο καὶ τρόμο πολύ. «Ὑπηρετῆστε», λέγει, «τὸν Κύριο μὲ φόβο καὶ νοιῶστε τὴν ἀγαλλίασή του μὲ τρόμο»[1]. Ἂν ὅμως καὶ ἡ χαρά μας καὶ ἡ ἀγαλλίαση πρέπει νὰ γίνεται μὲ τρόμο, ὅταν τὰ λόγια εἶναι φοβερά, ὅπως τὰ τωρινά, γιὰ ποιά τιμωρία δὲ θὰ εἴμαστε ἄξιοι, ἂν δὲν προσέχουμε μὲ φρίκη τὰ λεγόμενα; Ἀφοῦ εἶπε, ὅτι ὅσοι ἔπεσαν εἶναι ἀδύνατο νὰ βαπτισθοῦν γιὰ δεύτερη φορὰ καὶ νὰ λάβουν πάλι τὴ συγχώρηση τῶν ἁμαρτημάτων μὲ τὸ βάπτισμα καὶ ἀφοῦ ἔδειξε πόσο φοβερὸ εἶναι τὸ πράγμα, προσθέτει· «γιατὶ ἡ γῆ, ἡ ὁποία πίνει τὴ βροχὴ ποὺ συχνὰ πέφτει σ' αὐτὴ καὶ γεννάει χόρτα χρήσιμα γιὰ τοὺς καλλιεργητές της, δέχεται τὴν εὐλογία τοῦ Θεοῦ. Ὅταν ὅμως βλαστάνει ἀγκάθια καὶ τριβόλια, τότε εἶναι ἄχρηστη καὶ ἡ κατάρα πλησιάζει πάνω της· τὸ τέλος της θὰ εἶναι νὰ παραδοθεῖ στὴ φωτιά».

Ἂς φοβηθοῦμε λοιπόν, ἀγαπητοί. Δὲν εἶναι τοῦ Παύλου αὐτὴ ἡ ἀπειλή, δὲν εἶναι ἀνθρώπου αὐτὰ τὰ λόγια, ἀλλὰ τοῦ ἁγίου Πνεύματος, τοῦ Χριστοῦ ποὺ μιλάει μέσω αὐτοῦ. Ἄραγε ποιός εἶναι καθαρὸς ἀπ' αὐτὰ τὰ ἀγκάθια; Ἀκόμη καὶ ἂν ἤμασταν καθαροί, οὔτε ἔτσι θὰ ἔπρεπε νὰ ἔχουμε θάρρος, ἀλλὰ νὰ φοβούμαστε καὶ νὰ τρέμουμε μήπως βλαστήσουν μέσα μας ἀγκάθια. Ὅταν ὅμως ὅλοι εἴμαστε ἐξ ὁλοκλήρου ἀγκάθια καὶ τριβόλια,

τὸ ποιοῦν ἡμᾶς ῥᾳθυμεῖν; Εἰ ὁ δοκῶν ἑστάναι, ὀφείλει δεδοικέναι μὴ πέσῃ («ὁ δοκῶν γὰρ ἑστάναι», φησί, «βλεπέτω μὴ πέσῃ»), ὁ πεσὼν πῶς ὀφείλει μεριμνᾶν ὥστε ἀναστῆναι; Εἰ Παῦλος φοβεῖται «μή πως ἄλλοις κηρύξας, αὐτὸς ἀδόκιμος γένηται», καὶ δέδοικε τὸ μὴ γενέσθαι ἀδόκιμος, ὁ οὕτω δόκιμος, ἡμεῖς οἱ γενόμενοι ἤδη ἀδόκιμοι, τίνα ἕξομεν ἀπολογίαν καὶ συγγνώμην, οὐδένα φόβον ἔχοντες, ἀλλ' ὡς συνήθειαν, οὕτω πληροῦντες τὸν Χριστιανισμὸν καὶ ἀφοσιούμενοι; Φοβηθῶμεν τοίνυν, ἀγαπητοί· «ἀποκαλύπτεται γὰρ ὀργὴ τοῦ Θεοῦ ἀπ' οὐρανοῦ»· φοβηθῶμεν· ἀποκαλύπτεται γὰρ οὐκ ἐπ' ἀσέβειαν μόνον, ἀλλὰ καὶ ἐπὶ πᾶσαν ἀδικίαν, καὶ μικρὰν καὶ μεγάλην.

Ἐνταῦθα τοῦ Θεοῦ τὸ φιλάνθρωπον αἰνίττεται. Ὑετὸν δὲ τὴν διδασκαλίαν φησί· καὶ ὅπερ ἀνωτέρω ἔλεγεν, «ὀφείλοντες εἶναι διδάσκαλοι διὰ τὸν χρόνον», τοῦτο καὶ ἐνταῦθά φησι. Καὶ πολλαχοῦ ὑετὸν τὴν διδασκαλίαν ἡ Γραφὴ λέγει· «ἐντελοῦμαι» γάρ, φησί, «ταῖς νεφέλαις τοῦ μὴ βρέξαι εἰς αὐτὸν ὑετόν», περὶ τοῦ ἀμπελῶνος λέγουσα· ὅπερ ἀλλαχοῦ λιμὸν ἄρτου καὶ δίψαν ὕδατος καλεῖ. Καὶ πάλιν, «ὁ ποταμὸς τοῦ Θεοῦ ἐπληρώθη ὑδάτων». «Γῆ γὰρ ἡ πιοῦσα», φησί, «τὸν ἐπ' αὐτῆς πολλάκις ἐρχόμενον ὑετόν». Ἐνταῦθα δηλοῖ, ὅτι καὶ ἐδέξαντο καὶ συνέπιον τὸν λόγον, καὶ πολλάκις τούτου ἔτυχον, καὶ οὐδὲ οὕτως ἀπώναντο. Εἰ μὲν γὰρ μὴ ἐγεωργήθης, φησίν, εἰ μὴ ἀπέλαυσας ὑετῶν, οὐκ ἦν τοσοῦτον τὸ κακόν· «εἰ γὰρ μὴ ἦλθον», φησί, «καὶ ἐλάλησα αὐτοῖς, ἁμαρτίαν οὐκ εἶχον»· εἰ δὲ πολλάκις ἔπιες καὶ ἐδέξω, τίνος ἕνεκεν ἀντὶ καρπῶν ἕτερα ἐξήγαγες; «Ἔμεινα» γάρ, φησίν, «ἵνα ποιήσῃ σταφυλήν, ἐποίησε δὲ ἀκάνθας».

Ὁρᾷς ὅτι πανταχοῦ ἡ Γραφὴ ἀκάνθας καλεῖ τὰ ἁμαρτήμα-

---

2. Α' Κορ. 10,12. 3. Α' Κορ. 9,27.
4. Ρωμ. 1,18. 5. Ἑβρ. 5,12.
6. Ἠσ. 5,6. 7. Ἀμὼς 8,11.

ἀπὸ ποῦ ἔχουμε θάρρος, πές μου, καὶ ἀπὸ ποῦ μένουμε ἀδιάφοροι; Τί μᾶς κάνει νωθρούς; Ἂν ἐκεῖνος ποὺ νομίζει ὅτι στέκεται, ὀφείλει νὰ φοβᾶται μήπως πέσει (γιατὶ λέγει, «ἐκεῖνος ποὺ νομίζει ὅτι στέκεται, ἂς προσέχει μήπως πέσει»[2]), ἐκεῖνος ποὺ ἔπεσε πῶς πρέπει νὰ φροντίζει, ὥστε νὰ σηκωθεῖ; Ἂν ὁ Παῦλος φοβᾶται μήπως, κηρύττοντας σὲ ἄλλους, θεωρηθεῖ ὁ ἴδιος ἀκατάλληλος[3], καὶ φοβᾶται νὰ μὴν γίνει ἀκατάλληλος, αὐτὸς ποὺ ἦταν τόσο δοκιμασμένος, ἐμεῖς ποὺ γίναμε ἤδη ἄξιοι ἀποβολῆς, ποιά ἀπολογία καὶ συγγνώμη θὰ ἔχουμε, ὅταν δὲν ἔχουμε κανένα φόβο, ἀλλὰ σὰν ἀπὸ συνήθεια ἔτσι ἐκπληρώνουμε τὸν Χριστιανισμὸ καὶ ἀφοσιωνόμαστε σ' αὐτόν; Ἂς φοβηθοῦμε λοιπόν, ἀγαπητοί. «Γιατὶ ἡ ὀργὴ τοῦ Θεοῦ φανερώνεται ἀπὸ τὸν οὐρανό»[4]. Ἂς φοβηθοῦμε, γιατὶ δὲ φανερώνεται μόνο ἐναντίον τῆς ἀσέβειας, ἀλλὰ καὶ ἐναντίον κάθε ἀδικίας, μικρῆς καὶ μεγάλης.

Ἐδῶ ὑπαινίσσεται τὴ φιλανθρωπία τοῦ Θεοῦ. Βροχὴ ἐννοεῖ τὴ διδασκαλία. Καὶ ὅπως παραπάνω ἔλεγε, «θὰ ἔπρεπε νὰ εἶστε διδάσκαλοι ἔπειτα ἀπὸ τόσο χρόνο»[5], τὸ ἴδιο λέγει καὶ ἐδῶ. Καὶ σὲ πολλὰ σημεῖα ἡ Γραφὴ λέγει βροχὴ τὴ διδασκαλία· «θὰ διατάξω», λέγει, «τὰ σύννεφα νὰ μὴ βρέξουν σ' αὐτὸ τὴ βροχή»[6], μιλώντας γιὰ τὸ ἀμπέλι τοῦ Θεοῦ. Τὸ ἴδιο πράγμα ἀλλοῦ τὸ ὀνομάζει πείνα ἀπὸ ἔλλειψη ψωμιοῦ καὶ δίψα ἀπὸ ἔλλειψη νεροῦ[7]. Καὶ ἀλλοῦ, «ὁ ποταμὸς τοῦ Θεοῦ γέμισε ἀπὸ νερά»[8]. Γιατὶ λέγει, «ἡ γῆ ἡ ὁποία πίνει τὴ βροχὴ ποὺ συχνὰ πέφτει σ' αὐτή». Ἐδῶ φανερώνει ὅτι καὶ δέχθηκαν καὶ ἤπιαν τὸ λόγο καὶ πολλὲς φορὲς τὸν ἔλαβαν, ἀλλὰ καὶ ὅτι οὔτε ἔτσι ὠφελήθηκαν. Ἂν δὲν εἶχες καλλιεργηθεῖ, λέγει, καὶ ἂν δὲν εἶχες δεχθεῖ τὶς βροχές, δὲ θὰ ἦταν τόσο μεγάλο τὸ κακὸ (γιατὶ λέγει, «ἂν δὲν εἶχα ἔρθει καὶ δὲν τοὺς εἶχα μιλήσει, δὲ θὰ εἶχαν ἁμαρτία»[9])· ἂν ὅμως ἤπιες καὶ δέχθηκες πολλὲς φορές, γιὰ ποιό λόγο ἔβγαλες ἀντὶ γιὰ καρποὺς ἄλλα πράγματα; Γιατὶ λέγει, «περίμενα νὰ βγάλει σταφύλια, ἔβγαλε ὅμως ἀγκάθια»[10].

Βλέπεις ὅτι παντοῦ ἡ Γραφὴ ὀνομάζει ἀγκάθια τὰ ἁμαρτή-

---

8. Ψαλμ. 64,11. 9. Ἰω. 15,22.
10. Ἠσ. 5,2.

τα; Καὶ γὰρ καὶ ὁ Δαυίδ φησιν, «ἐστράφην εἰς ταλαιπωρίαν, ἐν τῷ ἐμπαγῆναί μοι ἄκανθαν». Οὐ γὰρ ἁπλῶς ἐπέρχεται, ἀλλ' ἐμπήγνυται· κἂν μικρὸν αὐτῆς ἐναπομείνῃ, καὶ μὴ πᾶσαν αὐτὴν ἐξέλωμεν, αὐτὸ τὸ μικρὸν ὀδυνᾷ ὁμοίως, καθάπερ ἐπὶ τῆς ἀκάν-
5 θης· καὶ τί λέγω αὐτὸ τὸ μικρόν; καὶ μετὰ τὸ ἐξαιρεθῆναι, ἐπιπολὺ τῆς πληγῆς τὴν ὀδύνην ἐναφίησι· καὶ διὰ τοῦτο δεῖ θεραπείας πολλῆς καὶ ἰατρείας, ὥστε τέλεον αὐτῆς ἐλευθερωθῆναι· οὐδὲ γὰρ ἀρκεῖ τὸ ἐξελεῖν μόνον τὴν ἁμαρτίαν, ἀλλὰ δεῖ καὶ τὸν πληγέντα θεραπεῦσαι τόπον.

10 Ἀλλὰ δέδοικα μὴ πρὸς ἡμᾶς ᾖ τὸ λεγόμενον μᾶλλον ἢ πρὸς ἑτέρους, τό, «γῆ ἡ πιοῦσα τὸν ἐπ' αὐτῆς πολλάκις ἐρχόμενον ὑετόν»· ἀεὶ γὰρ πίνομεν, ἀεὶ ἀκούομεν, ἀλλ' εὐθέως τὴν νοτίδα ἀπόλλυμεν τοῦ ἡλίου ἀνατείλαντος, καὶ διὰ τοῦτο ἀκάνθας ἐκφέρομεν. Τίνες οὖν αἱ ἄκανθαι; Ἀκούσωμεν τοῦ Χριστοῦ λέ-
15 γοντος, ὅτι ἡ μέριμνα τοῦ αἰῶνος τούτου, καὶ ἡ ἀπάτη τοῦ πλούτου συμπνίγει τὸν λόγον καὶ ἄκαρπος γίνεται. «Γῆ γὰρ ἡ πιοῦσα», φησί, «τὸν ἐπ' αὐτῆς πολλάκις ἐρχόμενον ὑετόν, καὶ τίκτουσα βοτάνην εὔθετον».

2. Οὐδὲν οὕτως εὔθετον, ὡς βίου καθαρότης, οὐδὲν οὕτως εὔ-
20 ρυθμον, ὡς βίος ἄριστος, οὐδὲν οὕτως εὔθετον, ὡς ἀρετή. «Καὶ τίκτουσα», φησί, «βοτάνην εὔθετον ἐκείνοις δι' οὓς καὶ γεωργεῖται, μεταλαμβάνει εὐλογίας ἀπὸ τοῦ Θεοῦ». Ἐνταῦθά φησι τὸν Θεὸν αἴτιον τῶν ἁπάντων γίνεσθαι, πλήττων τοὺς Ἕλληνας ἠρέμα, τοὺς τῇ δυνάμει τῆς γῆς τῶν καρπῶν τὴν γέννησιν ἐπι-
25 γράφοντας. Οὐδὲ γὰρ αἱ γεωργικαὶ χεῖρες, φησίν, εἰσὶν αἱ τὴν γῆν πρὸς τὴν τῶν καρπῶν φορὰν διεγείρουσαι, ἀλλὰ τὸ παρὰ τοῦ Θεοῦ πρόσταγμα· διὰ τοῦτό φησι, «μεταλαμβάνει εὐλογίας ἀπὸ τοῦ Θεοῦ». Καὶ ὅρα πῶς ἐπὶ τῶν ἀκανθῶν οὐκ εἶπε, τίκτουσα ἀκάνθας, οὐδὲ τῷ χρησίμῳ τούτῳ ὀνόματι ἐχρήσατο, ἀλλὰ τί;
30 «Ἐκφέρουσα ἀκάνθας»· ὡς ἂν εἴποι τις, ἐκβράσσουσα, ἐκβάλλουσα.

«Ἀδόκιμος», φησί, «καὶ κατάρας ἐγγύς». Βαβαί, πόσην ἔχει παραμυθίαν ὁ λόγος· κατάρας γὰρ εἶπεν ἐγγύς, οὐ κατάρα· ὁ δὲ μηδέπω εἰς τὴν κατάραν ἐμπεσών, ἀλλ' ἐγγὺς γενόμενος, καὶ

11. Ψαλμ. 31,4. 12. Λουκᾶ 8,14.

ματα; Γιατὶ καὶ ὁ Δαβὶδ λέγει, «βυθίσθηκα σὲ ταλαιπωρία, ἐπειδὴ σὰν ἀγκάθι καρφώθηκε σὲ μένα ἡ ἁμαρτία»[11]. Δὲν εἰσέρχεται ἁπλῶς, ἀλλὰ καρφώνεται. Καὶ ἂν ἀκόμη ἀπομείνει ἕνα μικρὸ μέρος του καὶ δὲν τὸ βγάλουμε ὁλόκληρο, αὐτὸ τὸ μικρὸ μᾶς στενοχωρεῖ ὅμοια, ὅπως τὸ ἀγκάθι. Καὶ γιατί λέγω γι' αὐτὸ τὸ μικρό; Καὶ ἀφοῦ τὸ βγάλουμε, γιὰ πολὺ ἀκόμη μένει ὁ πόνος τῆς πληγῆς. Γι' αὐτὸ χρειάζεται πολλὴ θεραπεία καὶ φροντίδα, ὥστε νὰ ἐλευθερωθοῦμε τελείως ἀπ' αὐτήν. Γιατὶ δὲν ἀρκεῖ μόνο ν' ἀφανίσουμε τὴν ἁμαρτία, ἀλλὰ πρέπει νὰ θεραπεύσουμε καὶ τὸν τόπο ποὺ πλήγωσε.

Ἀλλὰ φοβᾶμαι μήπως σὲ μᾶς μᾶλλον παρὰ σὲ ἄλλους ἀπευθύνεται τὸ λεγόμενο, δηλαδὴ τό, «ἡ γῆ ἡ ὁποία πίνει τὴ βροχὴ ποὺ συχνὰ πέφτει σ' αὐτή». Γιατὶ πάντοτε πίνουμε, πάντοτε ἀκοῦμε, ἀλλ' ἀμέσως χάνουμε τὴν ὑγρασία, ὅταν ἀνατείλει ὁ ἥλιος, καὶ γι' αὐτὸ βγάζουμε ἀγκάθια. Ποιά λοιπὸν εἶναι τὰ ἀγκάθια; Ἂς ἀκούσουμε τὸ Χριστὸ ποὺ λέγει ὅτι «ἡ μέριμνα τοῦ κόσμου αὐτοῦ καὶ ἡ ἀπάτη τοῦ πλούτου πνίγουν τὸ λόγο, καὶ γίνεται ἄκαρπος»[12]. Γιατὶ λέγει, «ἡ γῆ, ἡ ὁποία πίνει τὴ βροχὴ ποὺ συχνὰ πέφτει σ' αὐτὴ καὶ γεννάει χόρτα χρήσιμα».

2. Τίποτε δὲν εἶναι τόσο χρήσιμο, ὅσο ἡ καθαρὴ ζωή, τίποτε τόσο ἁρμονικό, ὅσο ὁ ἄριστος τρόπος ζωῆς, τίποτε τόσο χρήσιμο, ὅσο ἡ ἀρετή. «Καὶ γεννάει», λέγει, «χόρτα χρήσιμα γιὰ τοὺς καλλιεργητές της, δέχεται τὴν εὐλογία τοῦ Θεοῦ». Ἐδῶ λέγει ὅτι ὁ Θεὸς γίνεται ἡ αἰτία τῶν πάντων, πλήττοντας σιγὰ-σιγὰ τοὺς Ἕλληνες, ποὺ ἀποδίδουν στὴ δύναμη τῆς γῆς τὴ γέννηση τῶν καρπῶν. Γιατὶ δὲν εἶναι τὰ χέρια τῶν γεωργῶν, λέγει, ποὺ προκαλοῦν τὴ γῆ γιὰ καρποφορία, ἀλλὰ ἡ προσταγὴ τοῦ Θεοῦ. Γι' αὐτὸ λέγει, «δέχεται τὴν εὐλογία τοῦ Θεοῦ». Καὶ πρόσεχε πῶς γιὰ τὰ ἀγκάθια δὲν εἶπε 'γεννάει ἀγκάθια', οὔτε χρησιμοποίησε αὐτὴ τὴ χρήσιμη λέξη, ἀλλὰ τί εἶπε; «Βλαστάνει ἀγκάθια». Ὅπως θὰ μποροῦσε νὰ πεῖ κάποιος, ἐκβράζει, βγάζει.

«Εἶναι ἄχρηστη», λέγει, «καὶ ἡ κατάρα πλησιάζει νὰ πέσει πάνω της». Πώ-πώ! Πόση παρηγοριὰ περιέχει ὁ λόγος! Ἡ κατάρα πλησιάζει, εἶπε, καὶ ὄχι βρίσκεται ἡ κατάρα ἐπάνω. Ἐκεῖνος ὅμως ποὺ δὲν ἔπεσε ἀκόμη στὴν κατάρα, ἀλλὰ βρέθηκε κοντά,

μακρὰν γενέσθαι δυνήσεσθαι. Καὶ οὐ τούτῳ μόνῳ παρεμυθήσατο, ἀλλὰ καὶ τῷ ἑξῆς· οὐ γὰρ εἶπεν, 'ἀδόκιμος', καὶ 'κατάρας ἐγγύς', ἥτις καήσεται, ἀλλὰ τί; «Ἧς τὸ τέλος εἰς καῦσιν», δηλῶν ὅτι, ἐὰν μέχρι τέλους οὕτως ἐπιμείνῃ, τούτῳ πείσεται. Ὥστε,
5 *ἐὰν ἐκτέμωμεν καὶ κατακαύσωμεν τὰς ἀκάνθας, δυνησόμεθα τῶν μυρίων ἀπολαῦσαι ἀγαθῶν καὶ γενέσθαι δόκιμοι καὶ εὐλογίας μετασχεῖν. Εἰκότως δὲ τὴν ἁμαρτίαν τρίβολον ἐκάλεσεν, εἰπών, «ἐκφέρουσα δὲ ἀκάνθας καὶ τριβόλους»· ὅθεν γὰρ ἂν αὐτὴν κατάσχῃς, πλήττει καὶ δάκνει, καί ἐστιν ἀειδὴς καὶ τῷ ἰδεῖν.*

10 *Καθαψάμενος τοίνυν αὐτῶν ἱκανῶς, καὶ φοβήσας καὶ πλήξας, θεραπεύει πάλιν, ὥστε μὴ πλέον καταβαλεῖν καὶ ὑπτίοις ἐργάσασθαι· τὸν γὰρ νωθρὸν ὁ πλήττων νωθρότερον ἐργάζεται. Οὔτε οὖν πάντῃ κολακεύει, ὥστε μὴ ἐπᾶραι, οὔτε πάντῃ πλήττει, ὥστε μὴ ὑπτιωτέρους ποιῆσαι· ἀλλ' ὀλίγον ἐμβαλὼν τὸ πληκτι-*
15 *κόν, πολὺ τὸ θεραπευτικὸν προσφέρει διὰ τῶν ἐπαγομένων, ὥστε ὃ βούλεται κατορθῶσαι. Τί γάρ φησι; «Πεπείσμεθα δὲ περὶ ὑμῶν, ἀγαπητοί, τὰ κρείττονα, καὶ ἐχόμενα σωτηρίας, εἰ καὶ οὕτω λαλοῦμεν». Τουτέστιν, οὐχ ὡς κατεγνωκότες ὑμῶν ταῦτα λέγομεν, οὐδὲ ὡς νομίζοντες ὑμᾶς ἀκανθῶν πλήρεις, ἀλλὰ*
20 *δεδοικότες μὴ τοῦτο γένηται· βέλτιον γὰρ ὑμᾶς τοῖς ῥήμασι φοβῆσαι, ἵνα μὴ τοῖς πράγμασιν ἀλγήσητε.*

Καὶ τοῦτο τῆς συνέσεως Παύλου μάλιστα. Καὶ οὐκ εἶπε, 'νομίζομεν', οὐδέ, 'στοχαζόμεθα', οὐδέ, 'προσδοκῶμεν', οὐδέ, 'ἐλπίζομεν', ἀλλὰ τί; «Πεπείσμεθα». Ὃ καὶ Γαλάταις γράφων
25 *ἔλεγε, «πέποιθα δὲ εἰς ὑμᾶς ἐν Κυρίῳ, ὅτι οὐδὲν ἄλλο φρονήσετε». Οὐκ εἶπε, 'φρονεῖτε', ἀλλά, «φρονήσετε». Ἐκεῖ μὲν γὰρ ἐπειδὴ σφόδρα κατεγνωσμένοι ἦσαν, καὶ οὐκ εἶχεν αὐτοὺς ἀπὸ τῶν παρόντων ἐπαινέσαι, ἀπὸ τῶν μελλόντων τοῦτο ποιεῖ, «οὐδὲν ἄλλο φρονήσετε», λέγων· ἐνταῦθα δὲ ἀπὸ τῶν παρόντων·*

---

13. Γαλ. 5,10.

θὰ μπορέσει καὶ ν' ἀπομακρυνθεῖ ἀπ' αὐτήν. Καὶ δὲν τοὺς παρηγόρησε μόνο μ' αὐτό, ἀλλὰ καὶ μὲ τὸ ἑπόμενο. Γιατὶ δὲν εἶπε, 'εἶναι ἄχρηστη καὶ ἡ κατάρα πλησιάζει νὰ πέσει πάνω της καὶ θὰ καεῖ', ἀλλὰ τί; «Τὸ τέλος της θὰ εἶναι νὰ παραδοθεῖ στὴ φωτιά». Μ' αὐτὸ δείχνει ὅτι, ἂν παραμείνει μέχρι τέλος ἔτσι, θὰ πάθει αὐτό. Ὥστε, ἂν ξερριζώσουμε καὶ κατακάψουμε τὰ ἀγκάθια, θὰ μπορέσουμε ν' ἀπολαύσουμε τὰ ἄπειρα ἀγαθὰ καὶ νὰ γίνουμε χρήσιμοι καὶ νὰ δεχθοῦμε εὐλογία. Πολὺ σωστὰ ὀνόμασε τριβόλι τὴν ἁμαρτία, λέγοντας «ὅταν ὅμως βλαστάνει ἀγκάθια καὶ τριβόλια», γιατὶ ἀπ' ὅποιο μέρος καὶ ἂν τὴν πιάσεις, πληγώνει καὶ δαγκώνει καὶ εἶναι ἄσχημη στὸ νὰ τὴ βλέπεις.

Ἀφοῦ λοιπὸν τοὺς κατηγόρησε ἀρκετὰ καὶ τοὺς φόβισε καὶ τοὺς ἔπληξε, τοὺς θεραπεύει πάλι, ὥστε νὰ μὴν τοὺς καταβάλει περισσότερο καὶ τοὺς κάνει νωθρούς. Γιατὶ τὸν νωθρὸ ἐκεῖνος ποὺ τὸν πλήττει τὸν κάνει νωθρότερο. Οὔτε λοιπὸν τοὺς κολακεύει ἐντελῶς, ὥστε νὰ μὴν τοὺς ἐξυψώσει, οὔτε τοὺς πλήττει ἐντελῶς, ὥστε νὰ μὴν τοὺς κάνει νωθρότερους· ἀλλά, ἀφοῦ τοὺς ἔπληξε γιὰ λίγο, τοὺς θεραπεύει ἀρκετὰ μὲ τὰ ἑπόμενα, ὥστε νὰ ἐπιτύχει αὐτὸ ποὺ θέλει. Τί λοιπὸν λέγει; «Γιὰ σᾶς ὅμως, ἀγαπητοί, ἂν καὶ μιλᾶμε μ' αὐτὸν τὸν τρόπο, ἔχουμε πεισθεῖ ὅτι ἀξίζετε γιὰ τὰ καλύτερα πράγματα ποὺ ὁδηγοῦν στὴ σωτηρία». Δηλαδή, δὲν τὰ λέμε αὐτὰ γιατὶ σᾶς ἔχουμε κατακρίνει, οὔτε γιατὶ σᾶς θεωροῦμε γεμάτους ἀπὸ ἀγκάθια, ἀλλὰ τὰ λέμε γιατὶ φοβούμαστε μήπως συμβεῖ αὐτό· εἶναι προτιμότερο δηλαδὴ νὰ σᾶς φοβίσω μὲ τὰ λόγια, γιὰ νὰ μὴ λυπηθεῖτε μὲ τὰ πράγματα.

Καὶ αὐτὸ φανερώνει πάρα πολὺ τὴ σύνεση τοῦ Παύλου. Δὲν εἶπε, 'νομίζω', οὔτε, 'συμπεραίνω', οὔτε, 'προσδοκῶ', οὔτε, 'ἐλπίζω', ἀλλὰ τί; «Ἔχουμε πεισθεῖ». Τὸ ἴδιο καὶ ὅταν ἔγραφε στοὺς Γαλάτες ἔλεγε, «ἔχω ἐμπιστοσύνη σὲ σᾶς, ὅτι μὲ τὴ βοήθεια τοῦ Κυρίου δὲ θὰ ἔχετε διαφορετικὴ γνώμη»[13]. Δὲν εἶπε 'ἔχετε διαφορετικὴ γνώμη', ἀλλά, «δὲ θὰ ἔχετε διαφορετικὴ γνώμη». Ἐκεῖ βέβαια ἐπειδὴ τοὺς εἶχε κατακρίνει πάρα πολὺ καὶ δὲν μποροῦσε νὰ τοὺς ἐπαινέσει ἀπὸ τὰ παρόντα, τὸ κάνει αὐτὸ ἀπὸ τὰ μελλοντικὰ λέγοντας, «δὲ θὰ ἔχετε διαφορετικὴ γνώμη». Ἐδῶ ὅμως τοὺς ἐπαινεῖ ἀπὸ τὰ παρόντα. «Γιὰ σᾶς ὅμως, ἀγαπη-

«πεπείσμεθα δὲ περὶ ὑμῶν, ἀγαπητοί, τὰ κρείττω, καὶ ἐχόμενα σωτηρίας, εἰ καὶ οὕτω λαλοῦμεν». Καὶ ἐπειδὴ ἀπὸ τῶν παρόντων οὐ τοσαῦτα εἶχεν εἰπεῖν, ἀπὸ τῶν παρελθόντων κατασκευάζει τὴν παραμυθίαν, καί φησιν· «οὐ γὰρ ἄδικος ὁ Θεὸς ἐπιλαθέ-
5 *σθαι τοῦ ἔργου ὑμῶν καὶ τοῦ κόπου τῆς ἀγάπης, ἧς ἐνεδείξασθε εἰς τὸ ὄνομα αὐτοῦ, διακονήσαντες τοῖς ἁγίοις καὶ διακονοῦντες».*

Βαβαί, πῶς αὐτῶν ἀνεκτήσατο τὴν ψυχὴν καὶ ἀνέρρωσε, τῶν παλαιῶν ἀναμνήσας πραγμάτων καὶ εἰς ἀνάγκην καταστή-
10 *σας τοῦ μὴ προσδοκᾶν ἐπιλελῆσθαι τὸν Θεόν; Ἀνάγκη γὰρ ἐκεῖνον ἁμαρτάνειν τὸν μὴ πεπληροφορημένον περὶ τῆς τοῦ Θεοῦ δικαιοκρισίας καὶ τῆς τῶν ἑκάστῳ βεβιωμένων κατ' ἀξίαν παρ' αὐτοῦ ἀνταποδόσεως, καὶ λέγειν ὅτι ἄδικος ὁ Θεός. Ὥστε συνηνάγκασεν αὐτοὺς πάντως προσδοκᾶν ἐκεῖνα τὰ μέλλοντα. Τὸν*
15 *γὰρ ἀπεγνωκότα ἀπὸ τῶν παρόντων καὶ ἀπαγορεύσαντα, ἀπὸ τῶν μελλόντων ἀναρρῶσαι δυνήσεταί τις· ὡς καὶ αὐτὸς Γαλάταις γράφων ἔλεγεν, «ἐτρέχετε καλῶς· τίς ὑμᾶς ἐνέκοψε;»· καὶ πάλιν, «τοσαῦτα ἐπάθετε εἰκῇ; εἴ γε καὶ εἰκῇ». Ὥσπερ δὲ ἐνταῦθα μετὰ ἐπιπλήξεως τίθησι τὸ ἐγκώμιον, λέγων, «ὀφείλοντες εἶ-*
20 *ναι διδάσκαλοι διὰ τὸ χρόνον», οὕτω καὶ ἐκεῖ, «θαυμάζω ὅτι οὕτω ταχέως μετατίθεσθε». Μετ' ἐκπλήξεως τὸ ἐγκώμιον· περὶ γὰρ μεγάλων, ὅταν ἐκπέσωσι, θαυμάζομεν.*

Ὁρᾷς ἐγκεκρυμμένον τὸν ἔπαινον τῇ κατηγορίᾳ καὶ τῇ διαβολῇ; Καὶ οὐ περὶ ἑαυτοῦ τοῦτο μόνον φησίν, ἀλλὰ καὶ περὶ
25 *πάντων· οὐ γὰρ εἶπε, 'πέπεισμαι', ἀλλά, «πεπείσμεθα περὶ ὑμῶν τὰ κρείττονα»· τουτέστι, τὰ χρηστά. Ἤτοι περὶ πολιτείας ἢ περὶ ἀντιδόσεως ταῦτά φησιν. Εἶτα εἰπὼν ἀνωτέρω, ὅτι «ἀδόκιμος καὶ κατάρας ἐγγύς», καὶ ὅτι «εἰς καῦσιν ἔσται», ἵνα μὴ δόξῃ περὶ αὐτῶν τοῦτο λέγειν, ἐπήγαγεν εὐθέως τό, «οὐ γὰρ ἄδικος ὁ Θεὸς*
30 *ἐπιλαθέσθαι τοῦ ἔργου ὑμῶν καὶ τοῦ κόπου τῆς ἀγάπης», δηλῶν ὅτι, εἰ καὶ οὕτω λαλοῦμεν, οὐ πάντως περὶ ὑμῶν τοῦτο λέγομεν.*

---

14. Γαλ. 5,7. 15. Γαλ. 3,4.
16. Ἑβρ. 5,12. 17. Γαλ. 1,6.

τοί, ἂν καὶ μιλᾶμε μ' αὐτὸν τὸν τρόπο, ἔχω πεισθεῖ ὅτι ἀξίζετε γιὰ καλύτερα πράγματα ποὺ ὁδηγοῦν στὴ σωτηρία». Καὶ ἐπειδὴ ἀπὸ τὰ παρόντα δὲν μποροῦσε νὰ πεῖ τόσο πολλά, κατασκευάζει τὴν παρηγοριὰ ἀπὸ τὰ παρελθόντα καὶ λέγει· «γιατὶ ὁ Θεὸς δὲν εἶναι ἄδικος γιὰ νὰ ξεχάσει τὸ ἔργο σας καὶ τὸν κόπο τῆς ἀγάπης σας ποὺ δείξατε στὸ ὄνομά του, ἀφοῦ ὑπηρετήσατε καὶ ὑπηρετεῖτε τοὺς πιστούς».

Πώ–πώ! Πῶς τόνωσε καὶ πῶς ἐνίσχυσε τὴν ψυχή τους, ὑπενθυμίζοντας τὰ παλαιὰ πράγματα καὶ ὑποχρεώνοντάς τους νὰ μὴ νομίζουν ὅτι τοὺς ἔχει ξεχάσει ὁ Θεός. Γιατὶ εἶναι ἀναπόφευκτο νὰ ἁμαρτάνει ἐκεῖνος ποὺ δὲν εἶναι βέβαιος γιὰ τὴ δίκαιη κρίση τοῦ Θεοῦ καὶ γιὰ τὴν ἀνταπόδοση ἀπ' αὐτόν, σύμφωνα μὲ ὅσα ἔχει πράξει ὁ καθένας στὴ ζωή του, καὶ νὰ λέγει ὅτι ὁ Θεὸς εἶναι ἄδικος. Ἑπομένως τοὺς ὑποχρέωσε νὰ περιμένουν ὁπωσδήποτε ἐκεῖνα τὰ μελλοντικά. Γιατὶ ἀπὸ τὰ μελλοντικὰ θὰ μπορέσει κανεὶς νὰ ἐνισχύσει αὐτὸν ποὺ ἀπὸ τὰ παρόντα ἀπελπίσθηκε καὶ ἀπόκαμε. Τὸ ἴδιο καὶ ὁ Παῦλος ἔγραφε στοὺς Γαλάτες καὶ ἔλεγε, «τρέχατε καλά· ποιός σᾶς ἔκοψε τὴν ὁρμή;»[14]· καὶ πάλι, «τόσα ποὺ πάθατε πῆγαν χαμένα; Ἐλπίζω νὰ μὴν πῆγαν χαμένα»[15]. Ὅπως ἀκριβῶς ἐδῶ μὲ ἐπίπληξη ἀναφέρει τὸ ἐγκώμιο, λέγοντας, «θὰ ἔπρεπε νὰ εἶστε διδάσκαλοι ὕστερα ἀπὸ τόσο καιρό»[16], ἔτσι καὶ ἐκεῖ, λέγοντας «ἀπορῶ, γιατὶ τόσο γρήγορα μεταπηδᾶτε»[17]. Τὸ ἐγκώμιο εἶναι μὲ ἔκπληξη. Γιατὶ ἀποροῦμε γιὰ τοὺς μεγάλους ὅταν ἐκπέσουν.

Βλέπεις κρυμμένο τὸν ἔπαινο στὴν κατηγορία καὶ τὴ διαβολή; Καὶ δὲ μιλάει μόνο γιὰ τὸν ἑαυτό του, ἀλλὰ γιὰ ὅλους. Γιατὶ δὲν εἶπε, «ἔχω πεισθεῖ», ἀλλά, «ἔχουμε πεισθεῖ γιὰ σᾶς, ὅτι ἀξίζετε γιὰ τὰ ἀνώτερα πράγματα», δηλαδή, τὰ καλά. Τὰ λέγει αὐτὰ ἢ γιὰ τὴ συμπεριφορά τους ἢ γιὰ τὴν ἀνταπόδοση. Στὴ συνέχεια, ἀφοῦ παραπάνω εἶπε ὅτι «ἡ γῆ εἶναι ἄχρηστη καὶ ἡ κατάρα πλησιάζει νὰ πέσει πάνω της» καὶ ὅτι «θὰ παραδοθεῖ στὴ φωτιά», γιὰ νὰ μὴ φανεῖ πὼς γι' αὐτοὺς τὸ λέγει αὐτό, πρόσθεσε ἀμέσως τό, «γιατὶ ὁ Θεὸς δὲν εἶναι ἄδικος γιὰ νὰ ξεχάσει τὸ ἔργο σας καὶ τὸ μόχθο τῆς ἀγάπης σας», δηλώνοντας ὅτι, ἂν καὶ μιλᾶμε μ' αὐτὸν τὸν τρόπο, δὲν τὰ λέμε αὐτὰ ὁπωσδήποτε γιὰ

Καὶ εἰ περὶ ἡμῶν οὐ λέγεις, τί δήποτε καθάπτῃ νωθροὺς καλῶν, καὶ μεμνημένος ἀκανθῶν ἐκφοβεῖς; «Ἐπειδὴ ἐπιθυμοῦμεν», φησίν, «ἕνα ἕκαστον ὑμῶν τὴν αὐτὴν ἐνδείκνυσθαι σπουδὴν πρὸς τὴν πληροφορίαν τῆς ἐλπίδος ἄχρι τέλους· ἵνα μὴ νωθροὶ 5 γένησθε, μιμηταὶ δὲ τῶν διὰ πίστεως καὶ μακροθυμίας κληρονομούντων τὰς ἐπαγγελίας».

3. «Ἐπιθυμοῦμεν», φησίν· οὐκ ἄρα μέχρι ῥημάτων τοῦτο βουλόμεθα μόνον. Ἀλλὰ τί ἐπιθυμεῖς, εἰπέ. Ἐπιθυμοῦμεν τῆς ἀρετῆς ὑμᾶς ἔχεσθαι· οὐχ ὡς τῶν προτέρων καταγινώσκοντες, φησίν, 10 ἀλλ' ὑπὲρ τῶν μελλόντων δεδοικότες. Καὶ οὐκ εἶπεν, ὅτι 'οὐχ ὡς τῶν προτέρων καταγινώσκοντές', ἀλλὰ τῶν παρόντων· ἐξελύθητε γάρ, ῥᾳθυμότεροι γεγόνατε. Ἀλλ' ὅρα πῶς προσηνῶς ἐνέφηνε καὶ οὐκ ἔπληξε. Τί γάρ φησιν; «Ἐπιθυμοῦμεν δὲ ἕκαστον ὑμῶν τὴν αὐτὴν σπουδὴν ἐνδείκνυσθαι ἄχρι τέλους». Τοῦτο γὰρ 15 τὸ θαυμαστόν ἐστι τῆς Παύλου συνέσεως, ὅτι οὐκ ἐνδείκνυται, ὅτι ἐνέδωκαν, ὅτι καθυφῆκαν. Τὸ γὰρ εἰπεῖν, «ἐπιθυμοῦμεν ἕκαστον ὑμῶν», τοῦτό ἐστιν, ὡς ἂν εἴποι τις, θέλω σε σπουδάζειν ἀεί, καὶ οἷος ἦς πρότερον, τοιοῦτον εἶναι καὶ νῦν καὶ εἰς τὸ μέλλον. Τοῦτο γὰρ τὸν ἔλεγχον προσηνέστερον καὶ εὐπαράδεκτον 20 εἰργάζετο. Καὶ οὐκ εἶπε, 'θέλω', ὅπερ ἦν διδασκαλικῆς αὐθεντίας, ἀλλ' ὃ πατρικῆς ἦν φιλοστοργίας καὶ πλέον τοῦ θέλειν, «ἐπιθυμοῦμεν»· μονονουχὶ λέγων, σύγγνωτε κἂν φορτικόν τι φθεγξώμεθα.

«Ἐπιθυμοῦμεν γὰρ ἕνα ἕκαστον ὑμῶν τὴν αὐτὴν ἐνδείκνυ- 25 σθαι σπουδὴν πρὸς τὴν πληροφορίαν τῆς ἐλπίδος ὑμῶν ἄχρι τέλους». Τί ἐστι τοῦτο; Ἡ ἐλπίς, φησί, διαβαστάζει, αὕτη ἀνακτᾶται πάλιν· μὴ ἐκλυθῆτε, μηδὲ ἀπελπίσητε, ἵνα μὴ περιττὴ ὑμῶν ἡ ἐλπὶς ᾖ· ὁ γὰρ ἀγαθὰ ἐργαζόμενος, καὶ ἀγαθὰ ἐλπίζει καὶ οὐδέποτε ἀπελπίζει ἑαυτόν. «Ἵνα μὴ νωθροὶ γένησθε», ἀκμὴν γένη- 30 σθε. Καὶ μὴν ἀνωτέρω ἔλεγεν, «ἐπεὶ νωθροὶ γεγόνατε ταῖς ἀκοαῖς». Ἀλλ' ὅρα πῶς ἐκεῖ μέχρι τῆς ἀκοῆς τὴν νωθρότητα ἔστησεν, ἐνταῦθα εἰ καὶ αὐτὸ τοῦτο φθέγγεται, ἀλλ' ἕτερόν τι αἰνίττεται· ἀντὶ γὰρ τοῦ εἰπεῖν, 'μὴ ἐναπομείνητε τῇ ῥᾳθυμίᾳ', «μὴ

18. Ἑβρ. 5,11.

σᾶς. Ἂν ὅμως δὲν τὰ λέγεις γιὰ μᾶς, γιατί μᾶς κατηγορεῖς ὀνομάζοντάς μας νωθροὺς καὶ μᾶς ἐκφοβίζεις ἀναφέροντας τὰ ἀγκάθια; «Ἐπειδή», λέγει, «ἐπιθυμοῦμε ὁ καθένας ἀπὸ σᾶς νὰ δείχνει ὣς τὸ τέλος τὸ ἴδιο ἐνδιαφέρον γιὰ τὴν ἐκπλήρωση τῆς ἐλπίδας σας, γιὰ νὰ μὴ γίνετε ὀκνηροί, ἀλλὰ νὰ μιμεῖστε ἐκείνους ποὺ μὲ τὴν πίστη καὶ τὴν ὑπομονὴ κληρονομοῦν τὶς ὑποσχέσεις τοῦ Θεοῦ».

3. «Ἐπιθυμοῦμε», λέγει· δὲν τὸ θέλουμε αὐτὸ νὰ φθάνει μόνο στὰ λόγια. Ἀλλὰ πές, τί ἐπιθυμεῖς. Ἐπιθυμοῦμε ν' ἀκολουθεῖτε τὴν ἀρετή, ὄχι γιατὶ καταδικάζουμε τὰ προηγούμενα, ἀλλὰ γιατὶ φοβούμαστε γιὰ τὰ μελλοντικά. Καὶ δὲν εἶπε, 'ὄχι γιατὶ καταδικάζουμε τὰ προηγούμενα', ἀλλὰ τὰ παρόντα· γιατὶ ἔχετε παραλύσει, γίνατε ὀκνηρότεροι. Ἀλλὰ πρόσεχε πῶς τὸ παρουσίασε μὲ φιλικὴ διάθεση καὶ δὲν τοὺς ἔπληξε. Τί λοιπὸν λέγει; «Ἐπιθυμοῦμε ὅμως ὁ καθένας ἀπὸ σᾶς νὰ δείχνει ὥς τὸ τέλος το ἴδιο ἐνδιαφέρον». Γιατὶ αὐτὸ εἶναι τὸ ἀξιοθαύμαστο τῆς σύνεσης τοῦ Παύλου, ὅτι δηλαδὴ δὲ φανερώνει πὼς ἐνέδωσαν, πὼς ὑποχώρησαν. Γιατὶ τὸ νὰ πεῖ «ἐπιθυμοῦμε ὁ καθένας σας», σημαίνει αὐτό, ὅπως θὰ μποροῦσε νὰ πεῖ κανείς, θέλω νὰ προσπαθεῖς πάντοτε καὶ ὅποιος ἦσουν προηγουμένως τέτοιος νὰ εἶσαι καὶ τώρα καὶ στὸ μέλλον. Αὐτὸ λοιπὸν ἔκανε τὸν ἔλεγχο ἠπιότερο καὶ εὐπρόσδεκτο. Καὶ δὲν εἶπε, 'θέλω', πράγμα ποὺ θὰ ἦταν ἀπόδειξη διδασκαλικῆς αὐθεντίας, ἀλλὰ «ἐπιθυμοῦμε», ποὺ ἦταν ἀπόδειξη πατρικῆς φιλοστοργίας καὶ ἰσχυρότερο ἀπὸ τὸ θέλω. Σὰν νὰ ἔλεγε· 'συγχωρῆστε μας καὶ ἂν ἀκόμη ποῦμε κάτι δυσάρεστο'.

«Ἐπιθυμοῦμε ὅμως ὁ καθένας ἀπὸ σᾶς νὰ δείχνει ὣς τὸ τέλος τὸ ἴδιο ἐνδιαφέρον γιὰ τὴν ἐκπλήρωση τῆς ἐλπίδας σας». Τί σημαίνει αὐτό; Ἡ ἐλπίδα, λέγει, στηρίζει, αὐτὴ ἐμψυχώνει πάλι· νὰ μὴ καταβληθεῖτε, οὔτε ν' ἀπελπισθεῖτε, γιὰ νὰ μὴ γίνει περιττὴ ἡ ἐλπίδα σας, γιατὶ ὅποιος πράττει ἀγαθά, αὐτὸς ἐλπίζει ἀγαθὰ καὶ ποτὲ δὲ θ' ἀπελπισθεῖ. «Γιὰ νὰ μὴ γίνετε ὀκνηροί»· νὰ μὴ γίνετε ἀκόμη. Ὅμως παραπάνω ἔλεγε, «ἐπειδὴ γίνατε ὀκνηροὶ στὸ νὰ ἀκοῦτε»[18]. Ἀλλὰ πρόσεχε, πῶς ἐκεῖ σταμάτησε τὴν ὀκνηρία μέχρι τὴν ἀκοή, ἐνῶ ἐδῶ, ἂν καὶ λέγει ἀκριβῶς τὸ ἴδιο, ὑπαινίσσεται κάτι ἄλλο. Ἀντὶ δηλαδὴ νὰ πεῖ, 'νὰ μὴ παραμείνετε στὴ

νωθροὶ γένησθε», εἶπε. Πάλιν αὐτοὺς εἰς τὸν μέλλοντα ἐξάγει καιρὸν τὸν ἀνεύθυνον, εἰπών, «ἵνα μὴ νωθρότεροι γένησθε»· ἐκείνου γὰρ τοῦ μήπω παρόντος οὐκ ἂν εἴημεν ὑπεύθυνοι. Ὁ μὲν γὰρ εἰς τὸ παρὸν παρακαλούμενος σπουδάζειν, ὡς ῥᾳθυμῶν, 5 ἴσως καὶ ὀκνηρότερος ἔσται, ὁ δὲ εἰς τὸ μέλλον, οὐχ οὕτως.

«Ἐπιθυμοῦμεν δέ», φησίν, «ἕκαστον ὑμῶν». Πολλὴ ἡ φιλοστοργία· καὶ μεγάλων καὶ μικρῶν ὁμοίως κήδεται, καὶ πάντας οἶδε, καὶ οὐδένα παρορᾷ, ἀλλὰ τὴν αὐτὴν περὶ ἕκαστον κηδεμονίαν ἐπιδείκνυται καὶ τὴν ἰσοτιμίαν πρὸς πάντας· ὅθεν καὶ μᾶλ-10 λον ἔπειθε δέξασθα τὸ φορτικὸν τῶν ῥημάτων. «Ἵνα μὴ νωθροὶ γένησθε», φησί. Καθάπερ γὰρ ἡ ἀργία τὸ σῶμα βλάπτει, οὕτω καὶ τὴν ψυχὴν ἡ ἀργία τῶν ἀγαθῶν ὑπτιωτέραν ἐργάζεται καὶ ἀσθενῆ. «Μιμηταὶ δέ», φησί, «τῶν διὰ πίστεως καὶ μακροθυμίας κληρονομούντων τὰς ἐπαγγελίας». Καὶ τίνες οὗτοί εἰσιν, 15 ἑξῆς λέγει. Πρότερον εἴρηκε, μιμήσασθε τὰ πρότερα ὑμῶν κατορθώματα· εἶτα, ἵνα μὴ λέγωσι, 'ποῖα;' αὐτοὺς ἀνάγει ἐπὶ τὸν πατριάρχην, τῶν μὲν κατορθωμάτων οἴκοθεν αὐτοῖς φέρων τὰ ὑποδείγματα, τοῦ δὲ νομίζειν ἐγκαταλελεῖφθαι, ἀπὸ τοῦ πατριάρχου. Τοῦτο δὲ ποιεῖ, ἵνα μὴ λέγωσιν ὅτι ὡς οὐδενὸς ἄξιοι λόγου 20 καταφρονηθέντες ἐγκατελείφθησαν, ἀλλ' εἰδέναι ἔχωσιν ὅτι τῶν μάλιστα γενναίων ἀνδρῶν τοῦτό ἐστι, τὸ διὰ πειρασμῶν ὁδεύειν τὸν βίον, καὶ ὅτι τοῖς θαυμαστοῖς καὶ μεγάλοις ἀνδράσιν οὕτω κέχρηται ὁ Θεός.

Δεῖ δέ, φησί, μετὰ μακροθυμίας ἅπαντα φέρειν· τοῦτο γάρ 25 ἐστι καὶ πιστεῦσαι. Ἐὰν δὲ εἴπῃ ὅτι δίδωσι, καὶ λάβῃς εὐθέως, τί καὶ ἐπίστευσας; οὐκέτι γὰρ τῆς πίστεώς ἐστι τοῦτο τῆς σῆς, ἀλλ' ἐμοῦ, φησί, τοῦ προλαβόντος τὴν ἐπαγγελίαν καὶ δεδωκότος. Ἐὰν δὲ εἴπω ὅτι δίδωμι, καὶ μετὰ ἑκατὸν ἔτη δώσω, σὺ δὲ μὴ ἀπελπίσῃς, τότε με ἐνόμισας ἀξιόπιστον, τότε τὴν προσήκουσαν 30 περὶ ἐμοῦ δόξαν ἔχεις· ὁρᾷς ὅτι πολλάκις ἡ ἀπιστία οὐκ ἐξ ἀνελ-

ραθυμία', εἶπε, «νὰ μὴ γίνετε ὀκνηροί». Πάλι τοὺς ὁδηγεῖ στὸν μελλοντικὸ χρόνο, τὸν ἀνεύθυνο, λέγοντας, «γιὰ νὰ μὴ γίνετε ὀκνηρότεροι». Ἀφοῦ ἐκεῖνος ὁ χρόνος δὲν εἶναι τώρα, δὲ θὰ εἴμαστε ὑπεύθυνοι. Γιατὶ ἐκεῖνος ποὺ στὸ παρὸν προτρέπεται νὰ φροντίζει, ἐπειδὴ εἶναι ἀδιάφορος, ἴσως νὰ γίνει καὶ ὀκνηρότερος, ἐνῶ ἐκεῖνος ποὺ προτρέπεται γιὰ τὸ μέλλον, δὲ θὰ γίνει τὸ ἴδιο.

«Ἐπιθυμοῦμε ὅμως», λέγει, «ὁ καθένας ἀπὸ σᾶς». Εἶναι μεγάλη ἡ στοργή του. Φροντίζει τὸ ἴδιο καὶ γιὰ μεγάλους καὶ γιὰ μικρούς, καὶ τοὺς γνωρίζει ὅλους, καὶ δὲν περιφρονεῖ κανέναν, ἀλλὰ δείχνει τὸ ἴδιο ἐνδιαφέρον γιὰ τὸν καθένα καὶ τὴν ἴδια τιμὴ πρὸς ὅλους. Γι' αὐτὸ καὶ περισσότερο τοὺς ἔπειθε νὰ δεχθοῦν τὰ ἐνοχλητικά του λόγια. «Γιὰ νὰ μὴ γίνετε ὀκνηροί», λέγει. Γιατί, ὅπως ἡ ἀργία βλάπτει τὸ σῶμα, ἔτσι καὶ ἡ ἀργία τῶν ἀγαθῶν κάνει τὴν ψυχὴ πιὸ ράθυμη καὶ ἀδύνατη. «Καὶ νὰ μιμεῖστε», λέγει, «ἐκείνους ποὺ μὲ τὴν πίστη καὶ τὴν ὑπομονὴ κληρονομοῦν τὶς ὑποσχέσεις τοῦ Θεοῦ». Καὶ ποιοί εἶναι αὐτοὶ τὸ λέγει στὴ συνέχεια. Προηγουμένως εἶπε, «νὰ μιμεῖστε τὰ προηγούμενα κατορθώματά σας»· ἔπειτα, γιὰ νὰ μὴ λένε, 'ποιά εἶναι αὐτά', τοὺς ὁδηγεῖ στὸν πατριάρχη, φέροντας σ' αὐτοὺς τὰ παραδείγματα τῶν κατορθωμάτων ἀπὸ τοὺς ἴδιους, ἐνῶ γιὰ τὸ ὅτι νόμιζαν πὼς εἶχαν ἐγκαταλειφθεῖ ἀπὸ τὸν πατριάρχη. Τὸ κάνει αὐτό, γιὰ νὰ μὴ λένε ὅτι ἐγκατελείφθηκαν, ἐπειδὴ περιφρονήθηκαν ὡς ἐντελῶς ἀνάξιοι, ἀλλὰ γιὰ νὰ μποροῦν νὰ γνωρίζουν ὅτι γνώρισμα τῶν πολὺ γενναίων ἀνδρῶν εἶναι αὐτό, τὸ νὰ ζοῦν μέσα σὲ πειρασμούς, καὶ ὅτι ὁ Θεὸς συμπεριφέρεται ἔτσι στοὺς θαυμαστοὺς καὶ μεγάλους ἄνδρες.

Πρέπει ὅμως, λέγει, νὰ τὰ ὑποφέρει κανεὶς ὅλα μὲ ὑπομονή· γιατὶ αὐτὸ σημαίνει καὶ τὸ νὰ πιστέψει κανείς. Ἂν ὅμως πεῖ ὅτι δίνει καὶ ἀμέσως λάβεις, γιατί πίστεψες; Αὐτό, λέγει, δὲν ἀνήκει στὴ δική σου πίστη, ἀλλὰ σὲ μένα ποὺ ἐκπλήρωσα πρῶτα τὴν ὑπόσχεση καὶ ἔδωσα. Ἂν ὅμως πῶ ὅτι δίνω καὶ δώσω ὕστερα ἀπὸ ἑκατὸ χρόνια, ἐσὺ νὰ μὴν ἀπελπισθεῖς. Τότε μὲ θεώρησες ἀξιόπιστο, τότε θὰ ἔχεις γιὰ μένα τὴν πρέπουσα γνώμη. Βλέπεις ὅτι πολλὲς φορὲς ἡ ἀπιστία γίνεται ὄχι μόνο ἀπὸ ἔλλειψη

πιστίας γίνεται μόνον, ἀλλὰ καὶ ἐκ τοῦ ὀλιγοψυχεῖν καὶ μὴ μακροθυμεῖν, οὐκ ἐκ τοῦ ἐπαγγειλαμένου;

«Οὐ γὰρ ἄδικος ὁ Θεός», φησί, «ἐπιλαθέσθαι τῆς ἀγάπης ὑμῶν καὶ τῆς σπουδῆς ἧς ἐνεδείξασθε εἰς τὸ ὄνομα αὐτοῦ, δια- 5 *κονήσαντες τοῖς ἁγίοις καὶ διακονοῦντες». Μεγάλα αὐτοῖς μαρτυρεῖ, οὐκ ἔργα μόνον, ἀλλὰ καὶ μετὰ προθυμίας ἔργα· ὃ καὶ ἀλλαχοῦ φησιν, «οὐ μόνον δέ, ἀλλὰ καὶ ἑαυτοὺς ἔδωκαν τῷ Κυρίῳ καὶ ἡμῖν». «Ἧς ἐνεδείξασθε», φησίν, «εἰς τὸ ὄνομα αὐτοῦ, διακονήσαντες τοῖς ἁγίοις καὶ διακονοῦντες». Ὅρα πῶς πάλιν αὐ-* 10 *τοὺς θεραπεύει ἐπαγαγὼν καὶ εἰπών, «διακονοῦντες». Ἔτι καὶ νῦν, λέγει, διακονοῦντες, διανιστῶν αὐτοὺς καὶ δεικνὺς ὅτι οὐκ ἐκείνοις πεποιήκασιν, ἀλλὰ τῷ Θεῷ. «Ἣν ἐνεδείξασθε», φησίν· οὐχ ἁπλῶς εἰς τοὺς ἁγίους, ἀλλ' εἰς τὸν Θεόν· τοῦτο γάρ ἐστιν, «εἰς τὸ ὄνομα αὐτοῦ»· ὡσεὶ ἔλεγε, διὰ τὸ ὄνομα αὐτοῦ πάντα πε-* 15 *ποιήκατε. Ὁ τοίνυν τοσαύτης παρ' ὑμῶν ἀπολαύων σπουδῆς καὶ ἀγάπης, οὐ καταφρονήσει ποτὲ ὑμῶν οὐδὲ ἐπιλήσεται.*

4. Ταῦτα ἀκούοντες, παρακαλῶ, διακονῶμεν τοῖς ἁγίοις. Πᾶς γὰρ πιστὸς ἅγιος, καθὸ πιστός ἐστι· κἂν κοσμικὸς ᾖ τις, ἅγιός ἐστιν· «ἡγίασται» γάρ, φησίν, «ὁ ἀνὴρ ὁ ἄπιστος ἐν τῇ γυναικί, 20 *καὶ ἡ γυνὴ ἡ ἄπιστος ἐν τῷ ἀνδρί». Ὅρα πῶς τὸν ἁγιασμὸν ἡ πίστις ποιεῖ. Κἂν κοσμικὸν τοίνυν ἴδωμεν ἐν περιστάσει, ὀρέγωμεν χεῖρα· μὴ πρὸς τοὺς ἐν ὄρεσι μόνον καθημένους ὦμεν σπουδαῖοι· ἅγιοι μὲν γὰρ ἐκεῖνοι καὶ βίῳ καὶ πίστει, ἅγιοι δὲ καὶ οὗτοι τῇ πίστει, πολλοὶ δὲ καὶ βίῳ. Μή, ἐὰν ἴδωμεν μοναχὸν εἰς φυλα-* 25 *κήν, τότε εἰσέλθωμεν, ἐὰν δὲ κοσμικόν, μὴ εἰσέλθωμεν· ἅγιός ἐστι καὶ οὗτος καὶ ἀδελφός. Τί οὖν, φησίν, ἐὰν ᾖ ἀκάθαρτος καὶ μιαρός; Ἄκουε τοῦ Χριστοῦ λέγοντος, «μὴ κρίνετε, ἵνα μὴ κριθῆτε». Σὺ διὰ τὸν Θεὸν ποίησον. Καὶ τί λέγω; κἂν Ἕλληνα ἴδωμεν ἐν περιστάσει, εὖ ποιεῖν δεῖ, καὶ ἁπλῶς πάντα ἄνθρωπον ἐν* 30 *περιστάσεσιν ὄντα, πολλῷ δὲ μᾶλλον πιστὸν κοσμικόν. Ἄκουε*

---

19. Β' Κορ. 8,5.
20. Α' Κορ. 7,14.
21. Ματθ. 7,1.

ἐλπίδας, ἀλλὰ καὶ ἀπὸ τὴν ὀλιγοψυχία καὶ ἀπὸ ἔλλειψη ὑπομονῆς, καὶ ὄχι ἀπὸ ἐκεῖνον ποὺ ὑποσχέθηκε;

«Γιατὶ ὁ Θεός», λέγει, «δὲν εἶναι ἄδικος γιὰ νὰ ξεχάσει τὴν ἀγάπη σας καὶ τὸ ἐνδιαφέρον ποὺ δείξατε στὸ ὄνομά του, ἀφοῦ ὑπηρετήσατε καὶ ὑπηρετεῖτε τοὺς πιστούς». Μαρτυρεῖ γι' αὐτοὺς μεγάλα, ὄχι μόνο ἔργα, ἀλλὰ καὶ ἔργα ποὺ ἔγιναν μὲ ὑπομονή. Αὐτὸ τὸ λέγει καὶ ἀλλοῦ· «καὶ ὄχι μόνο πρόσφεραν αὐτά, ἀλλὰ παρέδωσαν τὸν ἑαυτό τους στὸν Κύριο καὶ σ' ἐμᾶς»[19]. «Ποὺ δείξατε», λέγει, «στὸ ὄνομά του, ἀφοῦ ὑπηρετήσατε καὶ ὑπηρετεῖτε τοὺς πιστούς». Πρόσεχε πῶς πάλι τοὺς θεραπεύει προσθέτοντας καὶ λέγοντας «καὶ ὑπηρετεῖτε». Ἀκόμη καὶ τώρα, λέγει, ὑπηρετεῖτε, ἐξυψώνοντας αὐτοὺς καὶ δείχνοντας ὅτι δὲν τὰ ἔχουν κάνει σ' ἐκείνους, ἀλλὰ στὸ Θεό. «Ποὺ δείξατε», λέγει, ὄχι ἁπλῶς στοὺς πιστούς, ἀλλὰ στὸ Θεό. Γιατὶ αὐτὸ σημαίνει «στὸ ὄνομά του». Σὰν νὰ ἔλεγε· γιὰ τὸ ὄνομά του τὰ ἔχετε κάνει ὅλα. Αὐτὸς ὅμως ποὺ ἀπὸ σᾶς ἀπολαμβάνει τόσο πολὺ ἐνδιαφέρον καὶ τόσο μεγάλη ἀγάπη δὲ θὰ σᾶς περιφρονήσει ποτὲ οὔτε θὰ σᾶς ξεχάσει.

4. Ἀκούοντας αὐτά, παρακαλῶ, ἂς ὑπηρετοῦμε τοὺς ἁγίους. Γιατὶ κάθε πιστὸς εἶναι ἅγιος, ἀφοῦ εἶναι πιστός. Καὶ ἂν κάποιος εἶναι λαϊκός, εἶναι ἅγιος· «γιατὶ ὁ ἄνδρας ἄπιστος ἔχει ἁγιασθεῖ μέσω τῆς γυναίκας καὶ ἡ ἄπιστη γυναίκα μέσω τοῦ ἄνδρα της»[20]. Πρόσεχε πῶς τὸν ἁγιασμὸ τὸν κάνει ἡ πίστη. Ἂν λοιπὸν δοῦμε ἕνα λαϊκὸ σὲ δύσκολη θέση, ἂς τοῦ ἁπλώνουμε χέρι βοήθειας. Ἂς μὴν ἐνδιαφερόμαστε μόνο γιὰ ὅσους ζοῦν στὰ ὄρη. Γιατὶ ἐκεῖνοι εἶναι ἅγιοι στὴ ζωὴ καὶ στὴν πίστη, ἐνῶ αὐτοὶ εἶναι ἅγιοι στὴν πίστη, πολλοὶ ὅμως καὶ στὴ ζωή. Ὄχι ὅταν δοῦμε μοναχὸ στὴ φυλακή, τότε νὰ τὸν ἐπισκεφθοῦμε, καὶ ὅταν δοῦμε λαϊκὸ νὰ μὴν τὸν ἐπισκεφθοῦμε. Ἅγιος εἶναι αὐτὸς καὶ ἀδελφός. Τί λοιπόν, λέγει, ὅταν εἶναι ἀκάθαρτος καὶ μιαρός; Ἄκου τὸ Χριστὸ ποὺ λέγει, «νὰ μὴν κρίνετε, γιὰ νὰ μὴν κριθεῖτε»[21]. Ἐσὺ κάμε το γιὰ τὸ Θεό. Καὶ τί λέγω; Καὶ ἂν ἀκόμη δοῦμε ἕναν εἰδωλολάτρη σὲ δυσκολία, πρέπει νὰ τὸν εὐεργετοῦμε καὶ γενικὰ κάθε ἄνθρωπο ὅταν βρίσκεται σὲ δύσκολη θέση, πολὺ περισσότερο ὅμως ἕναν πιστὸ λαϊκό. Ἄκου τὸν Παῦλο ποὺ λέγει, «νὰ κάνετε τὸ

Παύλου λέγοντος, «τὸ καλὸν ποιεῖτε πρὸς πάντας, μάλιστα δὲ πρὸς τοὺς οἰκείους τῆς πίστεως».

Ἀλλ' οὐκ οἶδα πόθεν τοῦτο εἰσενήνεκται καὶ πόθεν αὕτη κεκράτηκεν ἡ συνήθεια. Ὁ γὰρ τοὺς μονάζοντας μόνον ἐπιζητῶν 5 κἀκείνους μόνους εὖ ποιεῖν θέλων καὶ ἐκείνους δὲ πάλιν περιεργαζόμενος, καὶ λέγων, 'ἐὰν μὴ ᾖ ἄξιος, ἐὰν μὴ ᾖ δίκαιος, ἐὰν μὴ σημεῖα ποιῇ, οὐκ ὀρέγω χεῖρα', τὸ πλέον τῆς ἐλεημοσύνης ἐξεῖλε, καὶ τοῦτο δὲ αὐτὸ τῷ χρόνῳ πάλιν ἀναιρήσει· καίτοι γε ἐλεημοσύνη ἐκείνη ἐστίν, ἡ εἰς τοὺς ἁμαρτωλούς, ἡ εἰς τοὺς ὑπευθύ- 10 νους γινομένη. Ἐλεημοσύνη γὰρ τοῦτό ἐστιν, οὐ τὸ τοὺς κατωρθωκότας, ἀλλὰ τὸ τοὺς πεπλημμεληκότας ἐλεεῖν.

Καὶ ἵνα μάθῃς, ἄκουε τί φησιν ὁ Χριστὸς διὰ τῆς παραβολῆς· «κατήει», φησί, «τὶς ἀπὸ Ἱεροσολύμων εἰς Ἱεριχώ, καὶ λῃσταῖς περιέπεσε»· καὶ τυπτήσαντες αὐτόν, εἴασαν παρὰ τὴν 15 ὁδὸν ἡμιθανῆ τυγχάνοντα. Κατὰ δὲ συγκυρίαν Λευίτης τις παρὰ τὴν ὁδὸν ἦλθε, καὶ ἰδὼν αὐτόν, ἀντιπαρῆλθεν· ὁμοίως δὲ καὶ ἱερεύς τις τὸ αὐτὸ ποιήσας παρέδραμεν. Ὕστερον δὲ ἦλθέ τις Σαμαρείτης καὶ πολλὴν τὴν κηδεμονίαν ἐποιήσατο ἐπ' αὐτῷ. Ἐπέδησε γὰρ τὰ τραύματα, ἐπέσταξεν ἔλαιον, ἀνεβίβασεν αὐτὸν ἐπὶ 20 τὸν ὄνον, ἤγαγεν αὐτὸν εἰς τὸ πανδοχεῖον, εἶπε τῷ πανδοχεῖ, θεράπευσον αὐτόν. Καὶ ὅρα τὴν φιλοτιμίαν τὴν πολλήν· «καὶ ἐγώ σοι δώσω», φησίν, «ὅσον ἂν ἀναλώσῃς». Εἶτα πυνθάνεται· «τίς οὖν δοκεῖ σοι πλησίον αὐτοῦ γεγονέναι;». Ὁ δὲ νομικὸς εἰπών, «ὁ ποιήσας τὸ ἔλεος μετ' αὐτοῦ», ἀκούει· «πορεύου οὖν καὶ σύ, 25 ποίει ὁμοίως». Καὶ θέα ποίαν εἶπε παραβολήν. Οὐκ εἶπεν ὅτι Ἰουδαῖος εἰς Σαμαρείτην ἐποίησεν, ἀλλ' ὅτι Σαμαρείτης τὴν φιλοτιμίαν ἐκείνην ἅπασαν ἐνεδείξατο. Ἐντεῦθεν μανθάνομεν, ἐξ ἴσης προνοεῖσθαι τῶν πάντων, οὐ τῶν οἰκείων τῆς πίστεως μόνον ἐπιμελουμένους, τῶν ἀλλοτρίων δὲ ἀμελοῦντας.

30 *Οὕτω τοίνυν καὶ σύ, ἐὰν ἴδῃς τινὰ κακῶς πάσχοντα, μηδὲν περιεργάζου λοιπόν· ἔχει τὸ δικαίωμα τῆς βοηθείας τὸ κακῶς παθεῖν αὐτόν. Εἰ γὰρ ὄνον ἐὰν ἴδῃς ἀγχόμενον ἐγείρεις αὐτόν, καὶ*

---

22. Γαλ. 6,10.
23. Λουκᾶ 10,30-37.

καλὸ σὲ ὅλους καὶ κυρίως σ' αὐτοὺς ποὺ ἔχουν τὴν ἴδια πίστη μὲ μᾶς»[22].

Δὲν ξέρω ὅμως ἀπὸ ποῦ ἔχει εἰσαχθεῖ αὐτό, καὶ πῶς ἔχει ἐπικρατήσει αὐτὴ ἡ συνήθεια. Γιατὶ ὅποιος ἀναζητεῖ μόνο τοὺς μοναχοὺς καὶ θέλει νὰ εὐεργετεῖ μόνον αὐτούς, καὶ αὐτοὺς πάλι ἐξετάζει προσεκτικὰ καὶ λέγει, 'ἂν δὲν εἶναι ἄξιος, ἂν δὲν εἶναι δίκαιος, ἂν δὲν κάνει θαύματα, δὲν τὸν βοηθῶ', κατέστρεψε τὸ περισσότερο μέρος τῆς ἐλεημοσύνης, καὶ τὸ ὑπόλοιπο πάλι θὰ τὸ καταστρέψει μὲ τὸν καιρό. Ἂν καὶ βέβαια ἐλεημοσύνη εἶναι ἐκείνη ποὺ γίνεται στοὺς ἁμαρτωλοὺς καὶ στοὺς ἐνόχους. Γιατὶ ἐλεημοσύνη σημαίνει, τὸ νὰ ἐλεεῖ κανεὶς ὄχι ἐκείνους ποὺ κατόρθωσαν τὴν ἀρετή, ἀλλ' ἐκείνοὺς ποὺ ἁμάρτησαν.

Καὶ γιὰ νὰ μάθεις, ἄκου τί λέγει ὁ Χριστὸς μὲ τὴν παραβολή[23]. «Κάποιος», λέγει, «κατέβαινε, ἀπὸ τὰ Ἱεροσόλυμα στὴν Ἱεριχὼ καὶ ἔπεσε πάνω σὲ ληστές». Αὐτοὶ τὸν κτύπησαν καὶ τὸν ἄφησαν μισοπεθαμένο στὴν ἄκρη τοῦ δρόμου. Κατὰ τύχη ἕνας λευΐτης πέρασε ἀπὸ τὸ δρόμο καὶ παρ' ὅλο ποὺ τὸν εἶδε, γύρισε ἀλλοῦ τὸ κεφάλι του. Ὁμοίως καὶ κάποιος ἱερέας, ἀφοῦ ἔκαμε τὸ ἴδιο, τὸν προσπέρασε. Τελευταῖα ὅμως πέρασε ἕνας Σαμαρείτης καὶ τὸν περιποιήθηκε πάρα πολύ. Ἔδεσε τὰ τραύματά του, τὰ ἄλειψε μὲ λάδι, τὸν ἀνέβασε στὸ ζῶο του, τὸν ἔφερε στὸ πανδοχεῖο καὶ εἶπε στὸν πανδοχέα, «πειρποιήσου τον». Καὶ πρόσεχε τὴ μεγάλη γενναιοδωρία· «καὶ ἐγὼ θὰ σοῦ δώσω», λέγει, «ὅσα θὰ ξοδέψεις». Ἔπειτα ἐρωτᾶ· «ποιός λοιπὸν κατὰ τὴ γνώμη σου ἔγινε πλησίον του;». Καὶ ὅταν ὁ νομικὸς τοῦ εἶπε, «αὐτὸς ποὺ τὸν εὐσπλαχνίσθηκε», ἀκούει, «πήγαινε λοιπὸν καὶ σύ, καὶ νὰ κάνεις τὸ ἴδιο». Καὶ πρόσεχε ποιά παραβολὴ εἶπε. Δὲν εἶπε ὅτι ἕνας Ἰουδαῖος τὸ ἔκαμε σὲ Σαμαρείτη, ἀλλ' ὅτι ἕνας Σαμαρείτης ἔδειξε ὅλη ἐκείνη τὴ γενναιοδωρία. Ἀπὸ ἐδῶ μαθαίνουμε νὰ φροντίζουμε ἐξίσου γιὰ ὅλους, καὶ ὄχι μόνο νὰ ἐνδιαφερόμαστε γιὰ τοὺς οἰκείους τῆς πίστης καὶ νὰ ἀδιαφοροῦμε γιὰ τοὺς ξένους.

Ἔτσι λοιπὸν καὶ σύ, ἂν δεῖς κάποιον νὰ ὑποφέρει, νὰ μὴν τὸν περιεργάζεσαι καθόλου· δικαιοῦται τὴ βοήθειά σου γιατὶ ὑποφέρει. Γιατί, ἂν βλέποντας ἕναν ὄνο νὰ πνίγεται τὸν ση-

οὐ περιεργάζῃ τίνος ἐστί, πολλῷ μᾶλλον ἄνθρωπον οὐ δεῖ περιεργάζεσθαι τίνος ἐστί· τοῦ Θεοῦ ἐστι, κἂν Ἕλλην ᾖ, κἂν Ἰουδαῖος. Εἰ γὰρ καὶ ἄπιστος, ἀλλὰ βοηθείας δεῖται. Εἰ μὲν γὰρ ἐξετάζειν καὶ κρίνειν ἐπετράπη σοι, καλῶς ταῦτα ἔλεγες· νῦν δὲ ἡ
5 *συμφορὰ ταῦτα οὐκ ἀφίησί σε ἐξετάζειν. Εἰ γὰρ οὐδὲν ὑγιαίνοντας περιεργάζεσθαι χρή, οὐδὲ τὰ ἑτέρων πολυπραγμονεῖν, πολλῷ μᾶλλον τοὺς κακῶς πάσχοντας. Ἄλλως δὲ τί; Εἶδες εὐθυνοῦντα αὐτὸν ἢ εὐδοκιμοῦντα, ὅτι λέγεις, πονηρός ἐστι καὶ φαῦλος; κακῶς πάσχει· εἰ δὲ κακῶς πάσχοντα ὁρᾷς, μὴ λέγε ὅτι*
10 *πονηρός ἐστιν. Ὅταν μὲν γὰρ εὐδοκιμῇ, καλῶς ταῦτα λέγομεν· ὅταν δὲ ἐν συμφορᾷ ᾖ καὶ βοηθείας δεῖται, οὐ χρὴ λέγειν ὅτι πονηρός ἐστιν· ὠμότητος γὰρ τοῦτο καὶ ἀπανθρωπίας καὶ ἀλαζονείας.*

Τί τῶν Ἰουδαίων ἀνομώτερον γέγονεν, εἰπέ μοι; Ἀλλ'
15 *ὅμως ἐκόλασεν αὐτοὺς ὁ Θεός, καὶ δικαίως καὶ σφόδρα δικαίως· καὶ ὅμως τοὺς μὲν συναλγοῦντας αὐτοῖς ἀπεδέξατο, τοὺς δὲ ἐφησθέντας ἐκόλασεν. «Οὐκ ἔπασχον» γάρ, φησίν, «οὐδὲν ἐπὶ τῇ συντριβῇ τοῦ Ἰωσήφ». Καὶ πάλιν φησίν, «ἐκπρίου κτεινομένους, μὴ φείσῃ». Οὐκ εἶπε, 'περιέργασαι καὶ μάθε τίς ἐστι'·*
20 *καίτοι ὡς τὰ πολλὰ πονηροὶ οἱ ἀπαγόμενοι· ἀλλ' εἶπεν ἁπλῶς, «ἐκπρίου», ὅστις ἂν ᾖ, φησί. Τοῦτο γάρ ἐστι μάλιστα ἐλεημοσύνη. Ὁ μὲν γὰρ φίλον εὖ ποιῶν, οὐ διὰ τὸν Θεὸν πάντως ποιεῖ, ὁ δὲ ἀγνῶτα, οὗτος καθαρῶς διὰ τὸν Θεὸν ἐργάζεται. Καὶ ὁ μέν φησι, μὴ φείσῃ χρημάτων, ἀλλὰ κἂν πάντα δέῃ κενῶσαι, δός,*
25 *ἡμεῖς δὲ ἀγχομένους ὁρῶντες, ἀποδυρομένους, μυρίων θανάτων χαλεπώτερα πάσχοντας, καὶ ἀδίκως πολλάκις, φειδόμεθα τῶν χρημάτων καὶ ἀφειδοῦμεν τῶν ἀδελφῶν· τῶν ἀψύχων μὲν κηδόμεθα, ψυχῆς δὲ ἀμελοῦμεν.*

Καίτοι γε Παῦλος κελεύει ἐν πρᾳότητι παιδεύειν τοὺς ἀν-

---

24. Ἀμὼς 6,6.
25. Παροιμ. 24,11.

κώνεις καὶ δὲν ἐξετάζεις τίνος εἶναι, πολὺ περισότερο δὲν πρέπει νὰ ἐξετάζεις ἕναν ἄνθρωπο σὲ ποιὸν ἀνήκει· στὸ Θεό, εἴτε εἶναι Ἕλληνας εἴτε εἶναι Ἰουδαῖος. Γιατί, κι ἂν ἀκόμη εἶναι ἄπιστος, ἔχει ἀνάγκη ἀπὸ βοήθεια. Ἂν βέβαια σοῦ ἐπιτρεπόταν νὰ ἐξετάζεις καὶ νὰ κρίνεις, καλῶς θὰ τὰ ἔλεγες αὐτά. Τώρα ὅμως ἡ συμφορὰ δὲ σὲ ἀφήνει νὰ τὰ ἐξετάζεις αὐτά. Γιατί, ἂν δὲν πρέπει νὰ περιεργάζεται κανεὶς τοὺς ὑγιεῖς καὶ νὰ μὴν πολυεξετάζει τὰ πράγματα τῶν ἄλλων, πολὺ περισσότερο δὲν πρέπει νὰ ἐξετάζει ὅσους ὑποφέρουν. Ἄλλωστε τί; Τὸν εἶδες νὰ εὐημερεῖ ἢ νὰ προκόβει, καὶ γι' αὐτὸ λές, εἶναι κακὸς καὶ φαῦλος; Κακοπαθεῖ· ἂν ὅμως τὸν βλέπεις νὰ ὑποφέρει, νὰ μὴ λές, ὅτι εἶναι κακός. Ὅταν λοιπὸν εὐημερεῖ, καλῶς τὰ λέμε αὐτά, ὅταν ὅμως βρίσκεται σὲ συμφορὰ καὶ ἔχει ἀνάγκη ἀπὸ βοήθεια, δὲν πρέπει νὰ λέμε ὅτι εἶναι κακός. Γιατὶ αὐτὸ εἶναι ἀπόδειξη σκληρότητας καὶ ἀπανθρωπιᾶς καὶ ἀλαζονείας.

Τί ὑπῆρξε, πές μου, πιὸ ἄδικο ἀπὸ τοὺς Ἰουδαίους; Ὁ Θεὸς ὅμως τοὺς τιμώρησε δίκαια καὶ μάλιστα πάρα πολὺ δίκαια· δέχθηκε ἐκείνους ποὺ ὑπέφεραν μαζί τους, ἐνῶ τιμώρησε ὅσους εὐχαριστήθηκαν μ' αὐτούς. «Δὲν πονοῦσαν καθόλου», λέγει, «γιὰ τὴν καταστροφὴ τοῦ ἰσραηλιτικοῦ λαοῦ»[24]. Καὶ πάλι λέγει, «νὰ ἐξαγοράζεις ἐκείνους ποὺ πρόκειται νὰ φονευθοῦν καὶ νὰ μὴ λυπηθεῖς τὰ χρήματα»[25]. Δὲν εἶπε, 'νὰ ἐξετάσεις καὶ νὰ μάθεις ποιός εἶναι' (ἂν καὶ ὅσοι ὁδηγοῦνται σὲ ἐκτέλεση εἶναι πάρα πολὺ κακοί), ἀλλ' ἁπλῶς εἶπε, «νὰ ἐξαγοράζεις»· ὁποιος κι ἂν εἶναι, λέγει. Γιατὶ αὐτὸ εἶναι κυρίως ἐλεημοσύνη. Ὅποιος δηλαδὴ εὐεργετεῖ ἕνα φίλο δὲν κάνει ὁπωσδήποτε τὴν εὐεργεσία γιὰ τὸ Θεό, ἐνῶ ἐκεῖνος ποὺ εὐεργετεῖ ἕναν ἄγνωστο, τὸ κάνει αὐτὸ καθαρὰ γιὰ τὸ Θεό. Καὶ αὐτός λέγει, νὰ μὴ λυπηθεῖς χρήματα, ἀλλά, καὶ ἂν ἀκόμη χρειασθεῖ νὰ τὰ ξοδέψεις ὅλα, νὰ τὰ δώσεις. Ἐμεῖς ὅμως ἂν καὶ βλέπουμε ἀνθρώπους ν' ἀπαγχονίζονται, νὰ ὀδύρονται, νὰ ὑποφέρουν χειρότερα ἀπὸ ἄπειρους θανάτους, καὶ μάλιστα ἄδικα πολλὲς φορές, λυπούμαστε τὰ χρήματα καὶ δὲ λυπούμαστε τοὺς ἀδελφούς, φροντίζουμε γιὰ τὰ ἄψυχα καὶ ἀδιαφοροῦμε γιὰ τὴν ψυχή.

Ὅμως ὁ Παῦλος προτρέπει νὰ διδάσκουμε μὲ πραότητα

τιδιατιθεμένους, «μήποτε», φησί, «δῷ αὐτοῖς ὁ Θεὸς μετάνοιαν εἰς ἐπίγνωσιν τῆς ἀληθείας καὶ ἀνανήψωσιν ἐκ τῆς τοῦ διαβόλου παγίδος, ἐζωγρημένοι ὑπ' αὐτοῦ εἰς τὸ ἐκείνου θέλημα». «Μήποτε», φησίν· ὁρᾷς πόσης μακροθυμίας τὸ ῥῆμα γέμει; Τοῦτον 5 καὶ ἡμεῖς μιμούμενοι, μηδένα ἀπελπίζωμεν. Καὶ γὰρ οἱ ἁλιεῖς πολλάκις τὸ ἄγκιστρον ῥίψαντες εἰς τὴν θάλατταν, οὐκ ἐπέτυχον, ὕστερον δὲ βαλόντες, τὸ πᾶν ἀπέλαβον. Οὕτω καὶ ἡμεῖς οὐκ ἀπελπίζομεν, ἀλλὰ προσδοκῶμεν ὅτι ἀθρόον δείξετε ἡμῖν καρπὸν ὥριμον. Καὶ γὰρ ὁ γηπόνος ἐπειδὰν σπείρῃ, καὶ τὴν 10 πρώτην ἡμέραν καὶ τὴν δευτέραν ἀναμένει, καὶ πολὺν χρόνον ἐκδέχεται· εἶτα ἀθρόον πάντοθεν ὁρᾷ τοὺς καρποὺς βλαστάνοντας.

Τοῦτο καὶ ἐφ' ὑμῶν ἔσεσθαι προσδοκῶμεν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ 15 ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

26. Β' Τιμ. 2,25–26.

τοὺς ἀντιθέτους, «μήπως», λέγει, «τοὺς δώσει κάποτε ὁ Θεὸς μετάνοια, ὥστε νὰ καταλάβουν τὴν ἀλήθεια καὶ νὰ συνέλθουν, ξεφεύγοντας ἀπὸ τὴν παγίδα τοῦ διαβόλου, ποὺ τοὺς εἶχε αἰχμαλωτίσει γιὰ νὰ κάνουν τὸ θέλημά του»[26]. «Μήπως κάποτε», λέγει. Βλέπεις πόση ὑπομονὴ περιέχει ἡ λέξη; Αὐτὸν ἂς μιμούμαστε καὶ ἐμεῖς καὶ ἂς μὴν ἀπελπιζόμαστε. Γιατὶ καὶ οἱ ψαράδες πολλὲς φορὲς ἔρριξαν τὸ ἀγκίστρι στὴ θάλασσα καὶ δὲν ἔπιασαν ψάρια, ἐνῶ ὅταν τὸ ἔρριξαν ἀργότερα ἀπήλαυσαν τὰ πάντα. Ἔτσι καὶ ἐγὼ δὲν ἀπελπίζομαι, ἀλλὰ περιμένω νὰ μοῦ παρουσιάσετε ὅλον μαζὶ τὸν ὥριμο καρπό. Γιατὶ καὶ ὁ γεωργὸς ὅταν σπείρει, περιμένει καὶ τὴν πρώτη καὶ τὴ δεύτερη ἡμέρα καὶ κάνει ὑπομονὴ γιὰ πολὺ καιρό· ἔπειτα ἀπὸ παντοῦ βλέπει νὰ βλαστάνουν ὅλοι μαζὶ οἱ καρποί.

Αὐτὸ περιμένω νὰ συμβεῖ καὶ μὲ σᾶς, μὲ τὴ χάρη καὶ τὴ φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μαζὶ μὲ τὸν ὁποῖο στὸν Πατέρα καὶ συγχρόνως στὸ ἅγιο Πνεῦμα ἀνήκει ἡ δόξα, ἡ δύναμη, καὶ ἡ τιμή, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

Ο Μ Ι Λ Ι Α ΙΑ'

(Ἑβρ. 6,13–20)

«Τῷ γὰρ Ἀβραὰμ ἐπαγγειλάμενος ὁ Θεός, ἐπεὶ κατ' οὐδενὸς μείζονος εἶχεν ὀμόσαι, ὤμοσε καθ' ἑαυτοῦ, λέγων· ἦ μὴν εὐλογῶν εὐλογήσω σε καὶ πληθύνων πληθυνῶ σε. Καὶ οὕτω μακροθυμήσας, ἐπέτυχε τῆς ἐπαγγελίας. Ἄν-
5 θρωποι μὲν γὰρ κατὰ τοῦ μείζονος ὀμνύουσι, καὶ πάσης αὐτοῖς ἀντιλογίας πέρας εἰς βεβαίωσιν ὁ ὅρκος».

1. Καθαψάμενος γενναίως τῶν Ἑβραίων καὶ φοβήσας αὐτοὺς ἱκανῶς, πρῶτον μὲν τοῖς ἐγκωμίοις παραμυθεῖται, δεύτερον δέ, ὃ καὶ ἰσχυρότερόν ἐστι, τῷ πάντως ἐπιτεύξεσθαι αὐτοὺς τῶν ἐλ-
10 πιζομένων. Καὶ τὴν παράκλησιν οὐκ ἀπὸ τῶν ἐνεστώτων ποιεῖται, ἀλλὰ πάλιν ἀπὸ τῶν παρελθόντων, ὃ δὴ μᾶλλον αὐτοὺς ἔπειθεν. Ὥσπερ γὰρ ἐν τῇ κολάσει δι' ἐκείνων μᾶλλον φοβεῖ, οὕτω καὶ ἐν τοῖς ἐπάθλοις διὰ τούτων παρακαλεῖ, τὸ τοῦ Θεοῦ δεικνὺς ἔθος· τοῦτο δέ ἐστι, τὸ μὴ ταχέως ἐπάγειν τὰ ἐπηγγελμέ-
15 να, ἀλλὰ διὰ μακροῦ τοῦ χρόνου. Ποιεῖ δὲ τοῦτο, τῆς τε αὐτοῦ δυνάμεως μέγιστον τεκμήριον ἐκφέρων, καὶ ἡμᾶς εἰς πίστιν ἐνάγων, ἵνα, οἱ ἐν θλίψει ζῶντες καὶ τὰς ἐπαγγελίας μὴ λαμβάνοντες μηδὲ τοὺς μισθούς, μὴ ἀπαγορεύωσι πρὸς τοὺς καμάτους. Καὶ πάντας ἀφιείς, καίτοι γε ἔχων πολλοὺς εἰπεῖν, τὸν Ἀβραὰμ εἰς
20 μέσον ἤγαγε, διά τε τὸ ἀξίωμα τοῦ προσώπου καὶ διὰ τὸ μάλιστα ἐπ' αὐτοῦ τοῦτο συμβεβηκέναι. Καίτοι γε ἐν τῷ τέλει τῆς ἐπιστολῆς φησιν, ὅτι οὗτοι πάντες πόρρωθεν αὐτὰς ἰδόντες καὶ ἀσπασάμενοι, «οὐκ ἐκομίσαντο τὰς ἐπαγγελίας, ἵνα μὴ χωρὶς ἡμῶν τελειωθῶσι».

Ο Μ Ι Λ Ι Α ΙΑ'

(Ἑβρ. 6,13–20)

«Ὅταν ὁ Θεὸς ἔδωσε ὑπόσχεση στὸν Ἀβραάμ, ἐπειδὴ δὲν εἶχε κανένα ἀνώτερο γιὰ νὰ ὁρκισθεῖ, ὁρκίσθηκε στὸν ἑαυτό του λέγοντας· σοῦ 'ὑπόσχομαι ὅτι θὰ σὲ εὐλογήσω πλούσια καὶ θὰ πληθύνω πολὺ τοὺς ἀπογόνους σου'. Καὶ ἔτσι μὲ τὴν ὑπομονή του πραγματοποίησε τὴν ὑπόσχεση. Οἱ ἄνθρωποι ὁρκίζονται σὲ κάποιον ἀνώτερό τους καὶ ὁ ὅρκος θέτει σ' αὐτοὺς τέλος σὲ κάθε ἀμφισβήτηση καὶ δίνει ἐπιβεβαίωση».

1. Ἀφοῦ ἐπέκρινε σφοδρὰ τοὺς Ἑβραίους καὶ ἀφοῦ τοὺς φόβισε ἀρκετά, πρῶτα τοὺς παρηγορεῖ μὲ τοὺς ἐπαίνους καὶ ὕστερα μὲ τὸ ὅτι θὰ πραγματοποιήσουν ὁπωσδήποτε τὶς ἐλπίδες τους, πράγμα ποὺ εἶναι καὶ ἰσχυρότερο. Δὲν τοὺς παρηγορεῖ ὅμως ἀπὸ τὰ παρόντα, ἀλλὰ πάλι ἀπὸ τὰ περασμένα. Αὐτὸ τοὺς ἔπειθε περισσότερο. Ὅπως δηλαδὴ στὴν τιμωρία τοὺς φοβίζει περισσότερο μ' ἐκεῖνα, ἔτσι καὶ στὰ βραβεῖα τοὺς παρηγορεῖ μ' αὐτά, δείχνοντας ποιά εἶναι ἡ συνήθεια τοῦ Θεοῦ. Καὶ εἶναι αὐτή, νὰ μὴ δίνει ἀμέσως τὶς ὑποσχέσεις, ἀλλ' ὕστερα ἀπὸ πολὺ καιρό. Καὶ τὸ κάνει αὐτό, καὶ φανερώνοντας μέγιστη ἀπόδειξη τῆς δύναμής του, καὶ ὁδηγώντας ἐμᾶς στὴν πίστη, ὥστε ὅσοι ζοῦν σὲ θλίψεις καὶ δὲ λαμβάνουν τὶς ὑποσχέσεις οὔτε τοὺς μισθοὺς νὰ μὴν ἀποκάμουν ἀπὸ τοὺς κόπους τους. Καὶ ἀφοῦ τοὺς ἄφησε ὅλους, παρ' ὅλο ποὺ μποροῦσε ν' ἀναφέρει πολλούς, ἔφερε στὴ μέση τὸν Ἀβραάμ, καὶ ἐξαιτίας τοῦ ἀξιώματος τοῦ προσώπου καὶ ἐξαιτίας τοῦ ὅτι σ' αὐτὸν κυρίως ἔχει συμβεῖ αὐτό. Ἂν καὶ βέβαια στὸ τέλος τῆς ἐπιστολῆς λέγει ὅτι ὅλοι αὐτοί, ἀφοῦ εἶδαν ἀπὸ μακριὰ καὶ ἀσπάσθηκαν τὶς ὑποσχέσεις, δὲν τὶς ἔλαβαν, γιὰ νὰ μὴ φθάσουν στὴν τελειότητα χωρὶς ἐμᾶς.

«Τῷ γὰρ Ἀβραάμ», φησίν, «ἐπαγγειλάμενος ὁ Θεός, ἐπεὶ κατ' οὐδενὸς μείζονος εἶχεν ὀμόσαι, ὤμοσε καθ' ἑαυτοῦ, λέγων· ἦ μὴν εὐλογῶν εὐλογήσω σε καὶ πληθύνων πληθυνῶ σε. Καὶ οὕτω μακροθυμήσας ἐπέτυχε τῆς ἐπαγγελίας». Πῶς οὖν ἐν τῷ 5 τέλει φησίν, ὅτι «οὐκ ἐκομίσατο τὰς ἐπαγγελίας»[1], ἐνταῦθα δέ, ὅτι «μακροθυμήσας ἐπέτυχε τῆς ἐπαγγελίας»; πῶς οὐκ ἔλαβε; πῶς καὶ ἐπέτυχεν; Οὐ περὶ τῶν αὐτῶν ἐνταῦθά φησι κἀκεῖ, ἀλλὰ καὶ διπλῆν ποιεῖται τὴν παράκλησιν. Ἐπηγγείλατο τῷ Ἀβραάμ· καὶ τὰ μὲν ἐνταῦθα μετὰ μακρὸν χρόνον ἔδωκε, τὰ δὲ 10 ἐκεῖ οὐδέπω· καὶ οὕτω μακροθυμήσας ἐπέτυχε τῆς ἐπαγγελίας. Ὁρᾷς ὅτι οὐχ ἡ ἐπαγγελία μόνη τὸ πᾶν εἰργάσατο, ἀλλὰ καὶ ἡ μακροθυμία; Ἐνταῦθα φοβεῖ αὐτούς, δεικνὺς ὅτι πολλάκις ἐγκόπτεται ἐπαγγελία δι' ὀλιγοψυχίαν. Καὶ τοῦτο ἔδειξε μὲν διὰ τοῦ λαοῦ· ἐπειδὴ γὰρ ὠλιγοψύχησαν, διὰ τοῦτο τῆς ἐπαγγελίας οὐκ 15 ἔτυχον οὐδαμῶς· τὸ δὲ ἐναντίον δείκνυσι διὰ τοῦ Ἀβραάμ. Εἶτα πρὸς τῷ τέλει καὶ πλεῖόν τι ποιεῖ· δείκνυσι γὰρ ὅτι καὶ μακροθυμήσαντες οὐκ ἐπέτυχον, καὶ οὐδὲ οὕτως ἀσχάλλωσιν.

«Ἄνθρωποι μὲν γὰρ κατὰ τοῦ μείζονος ὀμνύουσι, καὶ πάσης αὐτοῖς ἀντιλογίας πέρας εἰς βεβαίωσιν ὁ ὅρκος· ὁ δὲ Θεός, 20 ἐπεὶ κατ' οὐδενὸς μείζονος εἶχε ὀμόσαι, ὤμοσε καθ' ἑαυτοῦ». Καλῶς. Τίς οὖν ἐστιν ὁ ὀμόσας τῷ Ἀβραάμ; οὐχὶ ὁ Υἱός; Οὔ, φησί. Πόθεν τοῦτο λέγεις; Μάλιστα μὲν γὰρ αὐτός· πλὴν οὐκ ἀμφισβητῶ. Ὅταν οὖν αὐτὸς ὀμνύῃ τὸν αὐτὸν ὅρκον, «ἀμὴν ἀμὴν λέγω ὑμῖν», οὐ δῆλον ὅτι ἐκ τοῦ μὴ ἔχειν κατὰ μείζονος ὀμόσαι; 25 Ὥσπερ γὰρ ὁ Πατὴρ ὤμοσεν, οὕτω καὶ ὁ Υἱὸς ὀμνύει καθ' ἑαυτοῦ, λέγων, «ἀμὴν ἀμὴν λέγω ὑμῖν». Ἐνταῦθα αὐτοὺς ἀναμιμνήσκει ἐκείνων τῶν ὅρκων τῶν τοῦ Χριστοῦ, ὧν συνεχῶς ἔλεγεν, «ἀμὴν ἀμὴν λέγω σοι, ὁ πιστεύων εἰς ἐμέ, οὐ μὴ ἀποθάνῃ εἰς τὸν αἰῶνα»[2].

---

1. Ἑβρ. 11,39.
2. Ἰω. 11,26.

«Ὅταν ὁ Θεός», λέγει, «ἔδωσε ὑπόσχεση στὸν Ἀβραάμ, ἐπειδὴ δὲν εἶχε κανέναν ἀνώτερο γιὰ νὰ ὁρκισθεῖ, ὁρκίσθηκε στὸν ἑαυτό του λέγοντας· ἀλήθεια, σοῦ ὑπόσχομαι ὅτι θὰ σὲ εὐλογήσω πλούσια καὶ θὰ πληθύνω πολὺ τοὺς ἀπογόνους σου. Καὶ ἔτσι μὲ τὴν ὑπομονή του πραγματοποίησε τὴν ὑπόσχεση». Πῶς λοιπὸν στὸ τέλος λέγει ὅτι «δὲν ἔλαβε τὶς ὑποσχέσεις»[1], καὶ ἐδῶ ὅτι «μὲ τὴν ὑπομονή του πραγματοποίησε τὴν ὑπόσχεση»; Πῶς δὲν ἔλαβε αὐτές; καὶ πῶς πραγματοποίησε αὐτές; Δὲ λέγει γιὰ τὰ ἴδια πράγματα ἐδῶ καὶ ἐκεῖ, ἀλλὰ τοὺς παρηγορεῖ δυὸ φορές. «Ἔδωσε ὑπόσχεση στὸν Ἀβραάμ». Καὶ τὰ ἐδῶ βέβαια τοῦ τὰ ἔδωσε ὕστερα ἀπὸ πολὺ καιρό, ἐνῶ τὰ ἐκεῖ ὄχι ἀκόμη. «Καὶ ἔτσι μὲ τὴν ὑπομονή του πραγματοποίησε τὴν ὑπόσχεση».

Βλέπεις ὅτι δὲν ἔκαμε τὰ πάντα μόνο ἡ ὑπόσχεση, ἀλλὰ καὶ ἡ ὑπομονή; Ἐδῶ τοὺς φοβίζει, δείχνοντας ὅτι πολλὲς φορὲς ἡ ὑπόσχεση ἐμποδίζεται ἀπὸ ὀλιγοψυχία. Καὶ αὐτὸ βέβαια τὸ ἀπέδειξε μέσω τοῦ λαοῦ· γιατὶ ὀλιγοψύχησαν καὶ γι' αὐτὸ δὲν πραγματοποιήθηκε σ' αὐτοὺς καθόλου ἡ ὑπόσχεση· ἐνῶ τὸ ἀντίθετο τὸ δείχνει μὲ τὸν Ἀβραάμ. Ἔπειτα πρὸς τὸ τέλος κάνει καὶ κάτι περισσότερο. Δείχνει δηλαδὴ πώς, ἂν καὶ ἔδειξαν ὑπομονή, δὲν πραγματοποιήθηκαν σ' αὐτοὺς οἱ ὑποσχέσεις καὶ οὔτε ἔτσι ὅμως στενοχωρήθηκαν.

«Οἱ ἄνθρωποι ὁρκίζονται σὲ κάποιον ἀνώτερό τους καὶ ὁ ὅρκος θέτει σ' αὐτοὺς τέλος σὲ κάθε ἀμφισβήτηση καὶ δίνει ἐπιβεβαίωση. Ὁ Θεὸς ὅμως, ἐπειδὴ δὲν εἶχε κανέναν ἀνώτερο γιὰ νὰ ὁρκισθεῖ, ὁρκίσθηκε στὸν ἑαυτό του». Σωστά. Ποιός λοιπὸν εἶναι ἐκεῖνος ποὺ ὁρκίσθηκε στὸν Ἀβραάμ; Δὲν εἶναι ὁ Υἱός; Ὄχι, λέγει. Ἀπὸ ποῦ τὸ λέγεις αὐτό; Κυρίως βέβαια τὸ λέγει ὁ Υἱός, ἀλλὰ δὲν τὸ ἀμφισβητῶ. Ὅταν λοιπὸν αὐτὸς κάνει τὸν ἴδιο ὅρκο, «ἀλήθεια, ἀλήθεια σᾶς λέγω», δὲ φαίνεται ὅτι τὸν κάνει, ἐπειδὴ δὲν ἔχει κάποιον ἀνώτερο νὰ ὁρκισθεῖ; Ὅπως λοιπὸν ὁρκίσθηκε ὁ Πατέρας, ἔτσι ὁρκίζεται καὶ ὁ Υἱὸς στὸν ἑαυτό του, λέγοντας «ἀλήθεια, ἀλήθεια σᾶς λέγω». Ἐδῶ τοὺς ὑπενθυμίζει ἐκείνους τοὺς ὅρκους τοῦ Χριστοῦ, τοὺς ὁποίους ἔλεγε συνέχεια, «ἀλήθεια σᾶς λέγω, ὅποιος πιστεύει σὲ μένα δὲ θὰ πεθάνει ποτέ»[2].

Τί ἐστι, «καὶ πάσης αὐτοῖς ἀντιλογίας πέρας εἰς βεβαίωσιν ὁ ὅρκος»; Ἀντὶ τοῦ, 'ἐκ τούτου λύεται πάσης ἀντιλογίας ἀμφισβήτησις'· οὐ τῆσδε ἢ τῆσδε, ἀλλὰ πάσης. Ἔδει μὲν οὖν καὶ χωρὶς ὅρκου πιστεύεσθαι τὸν Θεόν. «Ἐν ᾧ περισσότερον βου-
5 *λόμενος ὁ Θεός», φησίν, «ἐπιδεῖξαι τοῖς κληρονόμοις τῆς ἐπαγγελίας τὸ ἀμετάθετον τῆς βουλῆς αὐτοῦ, ἐμεσίτευσεν ὅρκῳ». Ἐνταῦθα καὶ τοὺς πιστοὺς περιλαμβάνει· διὰ τοῦτο καὶ ταύτης τῆς ἐπαγγελίας μέμνηται τῆς πρὸς ἡμᾶς κοινῶς γενομένης. «Ἐμεσίτευσε», φησίν, «ὅρκῳ». Πάλιν ἐνταῦθα τὸν Υἱόν φησι*
10 *μεταξὺ ἀνθρώπων τοῦ Θεοῦ μεσίτην γεγονέναι. «Ἵνα διὰ δύο πραγμάτων ἀμεταθέτων, ἐν οἷς ἀδύνατον ψεύσασθαι τὸν Θεόν». Ποίου καὶ ποίου; Τοῦ τε εἰπεῖν καὶ ὑποσχέσθαι, τοῦ τε ὅρκον προσθεῖναι τῇ ὑποσχέσει. Ἐπειδὴ γὰρ παρὰ ἀνθρώποις τοῦτο δοκεῖ πιστότερον εἶναι τὸ τοῦ ὅρκου, διὰ τοῦτο καὶ αὐτὸ προσέ-*
15 *θηκεν.*

2. Ὁρᾷς ὅτι οὐ τὴν ἀξίαν τὴν ἑαυτοῦ σκοπεῖ, ἀλλ' ὅπως τοὺς ἀνθρώπους πείσῃ καὶ ἀνάξια περὶ ἑαυτοῦ ἀνέχεται λέγεσθαι; τουτέστι, πληροφορῆσαι θέλων. Καὶ ἐπὶ μὲν τοῦ Ἀβραὰμ δείκνυσι τοῦ Θεοῦ ὂν τὸ πᾶν, οὐ τῆς μακροθυμίας ἐκείνου, εἴ γε καὶ
20 *ὅρκον ἠνέσχετο προσθεῖναι, εἰ καθ' οὗ ὀμνύουσιν ἄνθρωποι, καὶ ὁ Θεὸς κατ' αὐτοῦ ὤμοσε, τουτέστι, καθ' ἑαυτοῦ. Ἀλλ' ἐκεῖνοι μὲν ὡς μείζονος, οὗτος δὲ οὐχ ὡς μείζονος· καὶ ὅμως ἐποίησεν. Οὐ γὰρ ἴσον, ἄνθρωπον καθ' ἑαυτοῦ ὀμόσαι καὶ Θεόν· ὁ γὰρ ἄνθρωπος ἐξουσίαν ἑαυτοῦ οὐκ ἔχει. Ὁρᾷς τοίνυν ὅτι οὐ πρὸς τὸν*
25 *Ἀβραὰμ μᾶλλον ἢ πρὸς ἡμᾶς τοῦτο εἴρηται.*

«Ἰσχυράν», φησί, «παράκλησιν ἔχωμεν οἱ καταφυγόντες κρατῆσαι τῆς προκειμένης ἐλπίδος». Καὶ ἐνταῦθα πάλιν μακροθυμήσας ἐπέτυχε τῆς ἐπαγγελίας. Νῦν, φησί· καὶ οὐκ εἶπεν, ἐπειδὴ ὤμοσεν. Ὅρκος δὲ τίς ἐστιν, ἐδήλωσεν εἰπὼν τό, «κατὰ τοῦ
30 *μείζονος ὀμόσαι». Ἀλλ' ἐπειδὴ ἄπιστόν ἐστι τὸ τῶν ἀνθρώπων γένος, συγκάτεισιν εἰς τὰ αὐτὰ ἡμῖν. Ὥσπερ οὖν ὄμνυσι δι' ἡμᾶς,*

Τί σημαίνει, «καὶ ὁ ὅρκος θέτει σ' αὐτοὺς τέλος σὲ κάθε ἀντιλογία καὶ δίνει ἐπιβεβαίωση»; Ἀντὶ γιὰ τό, 'ἀπ' αὐτὸν διαλύεται ἡ ἀμφισβήτηση κάθε ἀντιλογίας'· ὄχι αὐτῆς ἢ ἐκείνης, ἀλλὰ κάθε ἀντιλογίας. Ἔπρεπε βέβαια καὶ χωρὶς ὅρκο νὰ πιστεύεται ὁ Θεός. «Ἔτσι καὶ ὁ Θεός», λέγει, «θέλοντας νὰ δείξει πιὸ καθαρὰ στοὺς κληρονόμους τῆς ὑπόσχεσης τὸ ἀμετάκλητο τῆς ἀπόφασής του, τὴν ἐγγυήθηκε μὲ ὅρκο». Ἐδῶ περιλαμβάνει καὶ τοὺς πιστούς. Γι' αὐτὸ ὑπενθυμίζει καὶ τὴν ὑπόσχεση αὐτὴ ποὺ γενικὰ δόθηκε σὲ μᾶς. «Ἐγγυήθηκε», λέγει, «μὲ ὅρκο». Πάλι ἐδῶ λέγει ὅτι ὁ Υἱὸς ἔγινε ἐγγυητὴς ἀνάμεσα στοὺς ἀνθρώπους καὶ στὸ Θεό. «Γιὰ δύο πράγματα ἀμετακίνητα, γιὰ τὰ ὁποῖα εἶναι ἀδύνατο ν' ἀποδεχθεῖ ψεύτης ὁ Θεός». Ποιό εἶναι τὸ ἕνα καὶ ποιό τὸ ἄλλο; Τὸ νὰ πεῖ καὶ νὰ ὑποσχεθεῖ, καὶ τὸ νὰ προσθέσει τὸν ὅρκο στὴν ὑπόσχεση. Ἐπειδὴ λοιπὸν στοὺς ἀνθρώπους αὐτὸ φαίνεται πὼς εἶναι πιὸ ἀξιόπιστο, δηλαδὴ ὁ ὅρκος, γι' αὐτὸ καὶ τὸ πρόσθεσε.

2. Βλέπεις ὅτι δὲν προσέχει τὴ δική του ἀξία, ἀλλὰ πῶς νὰ πείσει τοὺς ἀνθρώπους, καὶ ὅτι ἀνέχεται νὰ λέγονται ἀνάξια πράγματα γιὰ τὸν ἑαυτό του; Δηλαδή, θέλει νὰ βεβαιώσει. Καὶ στὴν περίπτωση τοῦ Ἀβραὰμ δείχνει ὅτι ὅλα ἀνήκουν στὸ Θεὸ καὶ ὄχι στὴν ὑπομονὴ ἐκείνου, ἐπειδὴ δέχθηκε νὰ προσθέσει καὶ ὅρκο, ἀφοῦ σ' αὐτὸ ποὺ ὁρκίζονται οἱ ἄνθρωποι, σ' αὐτὸ ὁρκίσθηκε καὶ ὁ Θεός, δηλαδὴ στὸν ἑαυτό του. Ἀλλ' ἐκεῖνοι ὁρκίζονται σὲ ἀνώτερο, αὐτὸς ὅμως ὄχι σὲ ἀνώτερο· παρ' ὅλα αὐτὰ τὸ ἔκαμε. Δὲν εἶναι δηλαδὴ τὸ ἴδιο νὰ ὁρκισθεῖ στὸν ἑαυτό του ὁ ἄνθρωπος καὶ ὁ Θεός· γιατὶ ὁ ἄνθρωπος δὲν ἐξουσιάζει τὸν ἑαυτό του. Βλέπεις λοιπὸν ὅτι αὐτὸ δὲν λέχθηκε μᾶλλον πρὸς τὸν Ἀβραάμ, ἀλλὰ πρὸς ἐμᾶς.

«Ἐμεῖς», λέγει, «ποὺ καταφύγαμε σ' αὐτόν, νὰ ἔχουμε ἰσχυρὴ παρηγοριὰ νὰ κρατήσουμε τὴν ἐλπίδα ποὺ ἔχουμε μπροστά μας». Καὶ ἐδῶ πάλι μὲ τὴν ὑπομονὴ πραγματοποίησε τὴν ὑπόσχεση. Τώρα, λέγει· καὶ δὲν εἶπε, ἐπειδὴ ὁρκίσθηκε. Καὶ τί σημαίνει ὅρκος, τὸ φανέρωσε λέγοντας τὸ «νὰ ὁρκισθεῖ στὸ μεγαλύτερο». Ἀλλ' ἐπειδὴ τὸ ἀνθρώπινο γένος εἶναι ἄπιστο, κατεβαίνει στὰ ἴδια μὲ μᾶς. Ὅπως λοιπὸν ὁρκίζεται γιὰ μᾶς, παρ'

καίτοι ἀνάξιον αὐτοῦ τὸ μὴ πιστεύεσθαι, οὕτω καὶ τό, «ἔμαθεν ἐξ ὧν ἔπαθεν», εἴρηκεν, ἐπειδὴ οἱ ἄνθρωποι τοῦτο νομίζουσι μᾶλλον εἶναι ἀξιοπιστότερον, τὸ διὰ τῆς πείρας ἐλθεῖν. Τί ἐστι, «τῆς προκειμένης ἐλπίδος»; Ἀπὸ τούτων τὰ μέλλοντα, φησί,
5 *στοχαζόμεθα· εἰ γὰρ ταῦτα μετὰ τοσοῦτον ἐξέβη χρόνον, πάντως κἀκεῖνα. Ὥστε τὰ πρὸς τὸν Ἀβραὰμ γεγενημένα πιστοῦται ἡμᾶς καὶ περὶ τῶν μελλόντων.*

«Ἣν ὡς ἄγκυραν ἔχομεν τῆς ψυχῆς ἀσφαλῆ τε καὶ βεβαίαν καὶ εἰσερχομένην εἰς τὸ ἐσώτερον τοῦ καταπετάσματος,
10 *ὅπου πρόδρομος ὑπὲρ ἡμῶν εἰσῆλθεν Ἰησοῦς, κατὰ τὴν τάξιν Μελχισεδὲκ ἀρχιερεὺς γενόμενος εἰς τὸν αἰῶνα». Ἐν τῷ κόσμῳ ἔτι ὄντας καὶ οὐδέπω μεταστάντας τοῦ βίου, δείκνυσιν ἤδη ὄντας ἐν τοῖς ἐπηγγελμένοις· διὰ γὰρ τῆς ἐλπίδος ἤδη ἐν τῷ οὐρανῷ ἐσμεν. Εἶπεν, ἀναμείνατε· πάντως γὰρ ἔσται. Εἶτα πληροφορῶν*
15 *λέγει· μᾶλλον δέ, τῇ ἐλπίδι ἤδη ἐτύχετε. Καὶ οὐκ εἶπεν, 'ἡμεῖς ἐσμεν ἔνδον', ἀλλ', αὐτὴ εἰσῆλθεν ἔνδον· ὅπερ ἀληθέστερον ἦν καὶ πιθανώτερον. Ὥσπερ γὰρ ἡ ἄγκυρα ἐξαρτηθεῖσα τοῦ πλοίου οὐκ ἀφίησιν αὐτὸ περιφέρεσθαι, κἂν μυρίοι παρασαλεύωσιν ἄνεμοι, ἀλλ' ἐξαρτηθεῖσα ἑδραῖον ποιεῖ, οὕτω καὶ ἡ ἐλπίς.*

20 *Καὶ ὅρα πῶς σφόδρα ἁρμόδιον εὗρεν εἰκόνα· οὐ γὰρ εἶπε 'θεμέλιον', ὅπερ ἀπῇδεν, ἀλλὰ «ἄγκυραν». Τὸ γὰρ ἐν σάλῳ ὂν καὶ οὐ σφόδρα δοκοῦν ἡδράσθαι, ἐπὶ τῆς ὑγρᾶς, ὡς ἐπὶ γῆς, ἕστηκε, καὶ σαλεύεται καὶ οὐ σαλεύεται. Ἐπὶ μὲν γὰρ τῶν σφόδρα στερρῶν καὶ φιλοσόφων, εἰκότως ἐκεῖνο τέθεικεν ὁ Χρι-*
25 *στὸς λέγων, «ὅστις ᾠκοδόμησε τὴν οἰκίαν αὐτοῦ ἐπὶ τὴν πέτραν»· ἐπὶ δὲ τῶν ἀπαγορευόντων καὶ ὀφειλόντων διὰ τῆς ἐλπίδος διαβαστάζεσθαι, οἰκείως τοῦτο τέθεικεν ὁ Παῦλος. Ἡ μὲν γὰρ ζάλη καὶ ὁ πολὺς χειμὼν σαλεύει τὸ σκάφος, ἡ δὲ ἐλπὶς οὐκ ἀφίησι περιφέρεσθαι, κἂν μυρίοι παρασαλεύωσιν ἄνεμοι. Ὥστε*
30 *εἴ γε μὴ ταύτην εἴχομεν, πάλαι ἂν κατεποντίσθημεν. Οὐκ ἐν τοῖς*

---

3. Ἑβρ. 5,8.
4. Ματθ. 7,24.

ὅλο ποὺ εἶναι ἀνάξιο γι' αὐτὸν τὸ νὰ μὴ πιστεύεται, ἔτσι εἶπε καὶ τὸ «ἔμαθε ἀπὸ ὅσα ἔπαθε»[3], ἐπειδὴ οἱ ἄνθρωποι θεωροῦν ὅτι αὐτὸ εἶναι περισσότερο ἀξιοπιστότερο, τὸ νὰ τὰ δοκιμάσει ὁ ἴδιος. Τί σημαίνει, «τὴν ἐλπίδα ποὺ ἔχουμε μπροστά μας»; Ἀπ' αὐτά, λέγει, συμπεραίνουμε τὰ μελλοντικά. Γιατί, ἂν αὐτὰ πραγματοποιήθηκαν ὕστερα ἀπὸ τόσο χρόνο, ὁπωσδήποτε θὰ πραγματοποιηθοῦν καὶ ἐκεῖνα. Ἑπομένως ὅσα ἔγιναν στὸν Ἀβραὰμ μᾶς ἐγγυῶνται καὶ γιὰ τὰ μελλοντικά.

«Αὐτὴ ἡ ἐλπίδα, ποὺ τὴν ἔχουμε σὰν ἄγκυρα ἀσφαλὴ καὶ βεβαία, μπαίνει στὰ ἐνδότερα τοῦ καταπετάσματος, ὅπου μπῆκε πρόδρομος γιὰ χάρη μας ὁ Ἰησοῦς, ἀφοῦ ἔγινε ἀρχιερέας γιὰ πάντα κατὰ τὴν τάξη Μελχισεδέκ». Ἐνῶ βρισκόμαστε ἀκόμη στὸν κόσμο καὶ δὲν ἀναχωρήσαμε ἀκόμη ἀπὸ τὴ ζωή, δείχνει ὅτι ἀπολαμβάνουμε ἤδη τὶς ὑποσχέσεις, γιατὶ μέσω τῆς ἐλπίδας εἴμαστε ἤδη στὸν οὐρανό. Εἶπε, 'περιμένετε'· γιατὶ ὁπωσδήποτε θὰ συμβοῦν. Ἔπειτα βεβαιώνοντας αὐτὸ λέγει· μᾶλλον ὅμως, τὰ ἀπολαύσατε ἤδη μὲ τὴν ἐλπίδα. Καὶ δὲν εἶπε, 'ἐμεῖς εἴμαστε μέσα', ἀλλά, «αὐτὴ μπῆκε μέσα», πράγμα ποὺ ἦταν ἀληθέστερο καὶ πιθανότερο. Γιατί, ὅπως ἡ ἄγκυρα ὅταν κρεμασθεῖ ἀπὸ τὸ πλοῖο δὲν τὸ ἀφήνει νὰ πηγαίνει ἐδῶ καὶ ἐκεῖ, ἔστω καὶ ἂν τὸ χτυποῦν ἄπειροι ἄνεμοι, ἀλλὰ ὅταν ριφθεῖ τὸ σταθεροποιεῖ, ἔτσι καὶ ἡ ἐλπίδα.

Καὶ πρόσεχε πῶς βρῆκε τὴν κατάλληλη εἰκόνα. Γιατὶ δὲ μίλησε γιὰ θεμέλιο, πράγμα ποὺ δὲν ταίριαζε, ἀλλὰ γιὰ ἄγκυρα. Ἐκεῖνο δηλαδὴ ποὺ βρίσκεται σὲ τρικυμία καὶ δὲ φαίνεται νὰ εἶναι πάρα πολὺ σταθερό, στέκεται πάνω σὲ νερό, ὅπως ἐπάνω στὴ γῆ, καὶ ταλανεύεται καὶ δὲν ταλαντεύεται. Γιὰ ὅσους λοιπὸν εἶναι πάρα πολὺ σταθεροὶ καὶ πιστοί, εὔλογα ἀνέφερε ἐκεῖνο ὁ Χριστὸς λέγοντας, «αὐτὸς ἔκτισε τὸ σπίτι του πάνω στὴν πέτρα»[4]. Γιὰ ὅσους ὅμως ἀποκάμνουν καὶ πρέπει νὰ στηρίζονται μὲ τὴν ἐλπίδα, ὀρθὰ τὸ ἀνέφερε αὐτὸ ὁ Παῦλος. Γιατὶ ἡ θύελλα καὶ ἡ μεγάλη τρικυμία ταλαντεύει τὸ σκάφος, ἐνῶ ἡ ἐλπίδα δὲν ἀφήνει νὰ περιφέρεται ἐδῶ καὶ ἐκεῖ, ἔστω καὶ ἂν τὸ χτυποῦν ἄπειροι ἄνεμοι. Ἑπομένως ἂν δὲν τὴν εἴχαμε, θὰ εἴχαμε καταποντισθεῖ πρὶν ἀπὸ πολὺ καιρό. Ὄχι μόνο στὰ πνευματικά, ἀλλὰ καὶ στὰ

πνευματικοῖς δὲ μόνον, ἀλλὰ καὶ ἐν τοῖς βιωτικοῖς πολλὴν ταύτης εὕροι τις ἂν τὴν ἰσχύν· οἷον, ἐπὶ ἐμπορίας, ἐπὶ γεωργίας, ἐπὶ στρατείας· ἐὰν γὰρ μὴ ταύτην εὐθέως τις πρόθηται, οὐδ' ἂν ἅψαιτο ἔργου.

5 *«Ἄγκυραν» δὲ οὐχ ἁπλῶς εἶπεν, ἀλλ' «ἀσφαλῆ τε καὶ βεβαίαν»· ἵνα δηλώσῃ τὸ ἀψευδὲς τῶν αὐτῇ ἐπερειδομένων εἰς σωτηρίαν· διὸ ἐπάγει, «εἰσερχομένην εἰς τὸ ἐσώτερον τοῦ καταπετάσματος». Τί ἐστι τοῦτο; Ἀντὶ τοῦ, 'διικνουμένην εἰς τὸν οὐρανόν'. Εἶτα καὶ τὴν πίστιν ἐπήγαγεν, ἵνα μὴ μόνον ἐλπὶς ᾖ, ἀλλὰ*
10 *καὶ ἀληθὴς σφόδρα. Μετὰ γὰρ τὸν ὅρκον καὶ ἕτερον τίθησι, τὴν διὰ τῶν πραγμάτων ἀπόδειξιν, ὅτι πρόδρομος ὑπὲρ ἡμῶν εἰσῆλθεν Ἰησοῦς. Ὁ δὲ πρόδρομος, τινῶν ἐστι πρόδρομος, ὥσπερ Ἰωάννης τοῦ Χριστοῦ. Καὶ οὐκ εἶπεν ἁπλῶς, «εἰσῆλθεν», ἀλλ', «ὅπου πρόδρομος ὑπὲρ ἡμῶν εἰσῆλθεν», ὡς καὶ ἡμῶν ὀφειλόν-*
15 *των καταλαβεῖν. Οὐ πολὺ γὰρ τοῦ προδρόμου καὶ τῶν ἑπομένων ὀφείλει εἶναι τὸ μέσον· ἐπεὶ οὐδ' ἂν εἴη πρόδρομος. Τὸν γὰρ πρόδρομον καὶ τοὺς ἑπομένους ἐν τῇ αὐτῇ χρὴ εἶναι ὁδῷ, καὶ τὸν μὲν ὁδεύειν, τοὺς δὲ ἐπικαταλαμβάνειν.*

«Κατὰ τὴν τάξιν», φησί, «Μελχισεδὲκ ἀρχιερεὺς γενόμε-
20 *νος εἰς τὸν αἰῶνα». Ἰδοὺ καὶ ἄλλη παράκλησις, εἴ γε ἄνω ὁ ἀρχιερευς ἡμῶν, καὶ πολὺ βελτίων τῶν παρὰ Ἰουδαίοις, οὐ τῷ τρόπῳ μόνον, ἀλλὰ καὶ τῷ τόπῳ καὶ τῇ σκηνῇ καὶ τῇ διαθήκῃ καὶ τῷ προσώπῳ. Καὶ τοῦτο δὲ εἰς τὸ κατὰ σάρκα εἴρηται.*

3. Χρὴ τοίνυν καὶ τοὺς ὧν ἐστιν ἱερεὺς σφόδρα εἶναι βελτίους·
25 *καὶ ὥσπερ πολὺ τὸ μέσον Ἀαρὼν καὶ τοῦ Χριστοῦ, τοσοῦτον ἡμῶν καὶ τῶν Ἰουδαίων τὸ μέσον. Ὅρα γάρ, ἄνω ἔχομεν τὸ ἱερεῖον, ἄνω τὸν ἱερέα, ἄνω τὴν θυσίαν. Οὐκοῦν τοιαύτας ἀναφέρωμεν θυσίας τὰς ἐν ἐκείνῳ δυναμένας προσφέρεσθαι τῷ θυσιαστηρίῳ· οὐκέτι πρόβατα καὶ βόας, οὐκέτι αἷμα καὶ κνῖσσαν·*
30 *πάντα ταῦτα λέλυται καὶ ἀντεισενήνεκται ἀντὶ τούτων ἡ λογικὴ λατρεία. Τί δέ ἐστιν ἡ λογικὴ λατρεία; Τὰ διὰ ψυχῆς, τὰ διὰ*

βιοτικὰ θὰ μποροῦσε κανεὶς νὰ βρεῖ μεγάλη τὴ δύναμή της, ὅπως στὸ ἐμπόριο, στὴ γεωργία καὶ στὴν ἐκστρατεία. Γιατί, ἂν κανεὶς δὲν τὴν προτάξει ἀμέσως, δὲ θὰ μπορέσει ν' ἀσχοληθεῖ μὲ κανένα ἔργο.

Δὲν εἶπε ἁπλῶς «ἄγκυρα», ἀλλὰ καὶ «ἀσφαλὴ καὶ βεβαία», γιὰ νὰ φανερώσει τὴ σταθερότητα ἐκείνων ποὺ στηρίζονται σ' αὐτὴν γιὰ τὴ σωτηρία τους. Γι' αὐτὸ προσθέτει, «αὐτὴ μπαίνει στὰ ἐνδότερα τοῦ καταπετάσματος». Τί σημαίνει αὐτό; Ἀντὶ γιὰ τό, «αὐτὴ φθάνει στὸν οὐρανό». Στὴ συνέχεια πρόσθεσε καὶ τὴν πίστη, γιὰ νὰ μὴν εἶναι μόνο ἐλπίδα, ἀλλὰ καὶ πολὺ ἀληθινή. Γιατὶ μετὰ τὸν ὅρκο προσθέτει καὶ κάτι ἄλλο, τὴν ἀπόδειξη ἀπὸ τὰ πράγματα, ὅτι δηλαδὴ πρόδρομος γιὰ χάρη μας μπῆκε ὁ Ἰησοῦς. Ὁ πρόδρομος ὅμως εἶναι πρόδρομος γιὰ κάποιους, ὅπως ἦταν ὁ Ἰωάννης γιὰ τὸ Χριστό. Καὶ δὲν εἶπε ἁπλῶς «μπῆκε», ἀλλά, «ὅπου μπῆκε γιὰ χάρη μας πρόδρομος», ἐπειδὴ ἐπρόκειτο καὶ ἐμεῖς ν' ἀκολουθήσουμε. Γιατὶ δὲν πρέπει νὰ εἶναι μεγάλη ἡ ἀπόσταση τοῦ προδρόμου ἀπὸ αὐτοὺς ποὺ τὸν ἀκολουθοῦν, ἐπειδὴ δὲ θὰ ἦταν τότε πρόδρομος. Ὁ πρόδρομος δηλαδὴ καὶ ὅσοι ἀκολουθοῦν πρέπει νὰ βρίσκονται στὸν ἴδιο δρόμο, καὶ αὐτὸς νὰ βαδίζει, ἐνῶ οἱ ἄλλοι νὰ προσπαθοῦν νὰ τὸν φθάσουν.

«Ἀφοῦ ἔγινε», λέγει, «ἀρχιερέας γιὰ πάντα κατὰ τὴν τάξη Μελχισεδέκ». Νὰ καὶ ἄλλη παρηγοριά, ἀφοῦ ὁ ἀρχιερέας μας βρίσκεται στὸν οὐρανὸ καὶ εἶναι πολὺ καλύτερος ἀπὸ τοὺς ἀρχιερεῖς τῶν Ἰουδαίων, ὄχι μόνο ὡς πρὸς τὸν τρόπο, ἀλλὰ καὶ ὡς πρὸς τὸν τόπο καὶ τὴ σκηνὴ καὶ τὴ διαθήκη καὶ τὸ πρόσωπο. Καὶ αὐτὸ ἀναφέρεται στὴ σάρκα.

3. Πρέπει λοιπὸν καὶ αὐτοὶ στοὺς ὁποίους εἶναι ἱερέας νὰ εἶναι πολὺ καλύτεροι. Καὶ ὅπως εἶναι μεγάλη ἡ διαφορὰ τοῦ Χριστοῦ ἀπὸ τὸν Ἀαρών, τέτοια εἶναι καὶ ἡ δική μας διαφορὰ ἀπὸ τοὺς Ἰουδαίους. Πρόσεχε λοιπόν, στὸν οὐρανὸ ἔχουμε τὸ ἱερὸ σφάγιο, στὸν οὐρανὸ τὸν ἱερέα, στὸν οὐρανὸ τὴ θυσία. Ἑπομένως ἂς προσφέρουμε τέτοιες θυσίες ποὺ μποροῦν νὰ προσφέρονται σ' ἐκεῖνο τὸ θυσιαστήριο· ὄχι πιὰ πρόβατα καὶ βόδια, ὄχι αἷμα καὶ κνίσσα. Ὅλα αὐτὰ ἔχουν καταργηθεῖ καὶ ἔχει εἰσαχθεῖ στὴ θέση τους ἡ λογικὴ λατρεία. Τί ὅμως εἶναι ἡ λογικὴ λατρεία;

πνεύματος («Πνεῦμα», φησίν, «ὁ Θεός· καὶ τοὺς προσκυνοῦντας αὐτὸν ἐν πνεύματι καὶ ἀληθείᾳ χρὴ προσκυνεῖν»)· ὅσα μὴ δεῖται σώματος, ὅσα μὴ δεῖται ὀργάνων, μὴ τόπων· τὰ δέ ἐστιν, οἷον ἐπιείκεια, σωφροσύνη, ἐλεημούνη, ἀνεξικακία, μακροθυμία, τα-
5 *πεινοφροσύνη.*

Τὰ θύματα ταῦτα καὶ ἐν τῇ Παλαιᾷ ἴδοι τις ἂν ἄνωθεν προδιατετυπωμένα. «Θύσατε» γάρ, φησὶν ὁ Δαυίδ, «τῷ Θεῷ θυσίαν δικαιοσύνης»· καὶ πάλιν, «θύσω σοι θυσίαν αἰνέσεως»· καί, «θυσία αἰνέσεως δοξάσει με»· καί, «θυσία τῷ Θεῷ πνεῦμα
10 *συντετριμμένον»· καί, «τί Κύριος ἐκζητεῖ παρὰ σοῦ, ἀλλ' ἢ τὸ ἀκούειν αὐτοῦ;». «Ὁλοκαυτώματα καὶ περὶ ἁμαρτίας οὐκ ηὐδόκησας». «Τότε εἶπον, ἰδοὺ ἥκω τοῦ ποιῆσαι, ὁ Θεός, τὸ θέλημά σου»· καὶ πάλιν, «ἵνα τί μοι λίβανον ἐκ Σαβὰ φέρετε;»· καὶ ἕτερος, «ἀπόστησον ἀπ' ἐμοῦ ἦχον ᾠδῶν σου καὶ ψαλμὸν ὀργάνων*
15 *σου οὐκ ἀκούσομαι»· ἀλλ' ἀντὶ τούτων, «ἔλεον θέλω, καὶ οὐ θυσίαν».*

Ὁρᾷς οἵαις θυσίαις εὐαρεστεῖται ὁ Θεός; ὁρᾷς καὶ ἄνωθεν ἤδη τὰς μὲν ἐκκεχωρηκυίας, τὰς δὲ ἀντεισελθούσας; Ταύτας τοίνυν προσάγωμεν. Ἐκεῖναι μὲν γὰρ πλούτου καὶ τῶν ἐχόν-
20 *των εἰσίν, αὗται δὲ ἀρετῆς· ἐκεῖναι ἔξωθεν, αὗται ἔνδοθεν· ἐκείνας καὶ ὁ τυχὼν ἐργάσασθαι δύναιτ' ἄν, ταύτας δὲ ὀλίγοι. Ὅσῳ δὲ προβάτου κρείττων ὁ ἄνθρωπος, τοσούτῳ αὕτη ἐκείνης ἡ θυσία· ἐνταῦθα γὰρ τὴν ψυχήν σου ἀναφέρεις θῦμα. Ἔστι δὲ καὶ ἄλλα θύματα, τὰ ὄντως ὁλοκαυτώματα, τὰ τῶν ἁγίων μαρ-*
25 *τύρων σώματα· ἐκεῖ ἅγια καὶ ψυχὴ καὶ σῶμα· ἐκεῖνα ὀσμὴν εὐωδίας ἔχει μεγάλην.*

Δύνασαι καὶ σύ, ἐὰν θέλῃς, τοιαύτην θυσίαν ἀναγαγεῖν. Τί γάρ, ἐὰν μὴ τῷ πυρὶ καύσῃς τὸ σῶμα; ἀλλ' ἑτέρῳ πυρὶ δύνασαι·

---

5. Ἰω. 4,24. 6. Ψαλμ. 4,6.
7. Ψαλμ. 115,8. 8. Ψαλμ. 49,23.
9. Ψαλμ. 50,19. 10. Μιχ. 6,8.
11. Ψαλμ. 50,18. 12. Ψαλμ. 39,8.9.

Αὐτὰ ποὺ προσφέρονται μὲ τὴν ψυχή, μὲ τὸ πνεῦμα (γιατὶ λέγει, «ὁ Θεὸς εἶναι Πνεῦμα καὶ ἐκεῖνοι ποὺ τὸν λατρεύουν πρέπει νὰ τὸν λατρεύουν πνευματικὰ καὶ ἀληθινά»[5])· ὅσα δὲν ἔχουν ἀνάγκη ἀπὸ τὸ σῶμα, ἀπὸ ὄργανα, ἀπὸ τόπους. Καὶ τέτοια εἶναι ἡ πραότητα, ἡ σωφροσύνη, ἡ ἐλεημοσύνη, ἡ ἀνεξικακία, ἡ ὑπομονή, ἡ ταπεινοφροσύνη.

Τὶς θυσίες αὐτὲς θὰ μποροῦσε νὰ τὶς δεῖ κανεὶς καὶ στὴν Παλαιὰ Διαθήκη νὰ ἔχουν ἀπὸ τὴν ἀρχὴ προεικονισθεῖ. Γιατὶ λέγει ὁ Δαβίδ, «προσφέρατε στὸ Θεὸ θυσία δικαιοσύνης»[6]. Καὶ πάλι, «θὰ προσφέρω σὲ σένα θυσία δοξολογίας»[7]· καί, «θυσία δοξολογίας θὰ μὲ δοξάσει»[8]· καὶ «θυσία γιὰ τὸ Θεὸ εἶναι ψυχὴ συντριμμένη»[9]. Καὶ πάλι, «τί ζητάει ἀπὸ σένα ὁ Θεός, παρὰ μόνο νὰ τὸν ἀκοῦς;»[10]. «Ὁλοκαυτώματα καὶ γιὰ τὴν ἁμαρτία δὲν εὐαρεστήθηκες»[11]. «Τότε εἶπα, νὰ ἔρχομαι, Θεέ μου, νὰ ἐκτελέσω τὸ θέλημά σου»[12]. Καὶ πάλι, «γιατί μοῦ φέρνετε λιβάνι ἀπὸ τὴ Σαβά;»[13] Καὶ ἄλλος, «ἀπομάκρυνε ἀπὸ κοντά μου τὸν ἦχο τῶν ᾠδῶν σου καὶ δὲ θ' ἀκούσω τὶς μελωδίες τῶν ὀργάνων σου»[14]. Ἀλλὰ ἀντὶ γιὰ ὅλα αὐτά, «εὐσπλαχνία θέλω καὶ ὄχι θυσία»[15].

Βλέπεις μὲ ποιές θυσίες εὐαρεστεῖται ὁ Θεός; Βλέπεις ὅτι ἄλλες ἔχουν ἤδη παραμερισθεῖ ἀπὸ τὴν ἀρχὴ καὶ ὅτι ἄλλες πῆραν τὴ θέση τους; Αὐτὲς λοιπὸν ἂς προσφέρουμε. Γιατὶ ἐκεῖνες εἶναι ἀπόδειξη πλούτου καὶ τῶν πλουσίων, αὐτὲς ὅμως τῆς ἀρετῆς· ἐκεῖνες εἶναι ἐξωτερικές, αὐτὲς ἐσωτερικές· ἐκεῖνες θὰ μποροῦσε νὰ τὶς κάνει καὶ ὁ τυχαῖος ἄνθρωπος, αὐτὲς ὅμως λίγοι. Ὅσο ἀνώτερος εἶναι ὁ ἄνθρωπος ἀπὸ τὸ πρόβατο, τόσο ἀνώτερη εἶναι αὐτὴ ἡ θυσία ἀπὸ ἐκείνη, γιατὶ ἐδῶ προσφέρεις θυσία τὴν ψυχή σου. Ὑπάρχουν ὅμως καὶ ἄλλες θυσίες, τὰ πραγματικὰ ὁλοκαυτώματα, τὰ σώματα τῶν ἁγίων μαρτύρων. Ἐκεῖ εἶναι ἅγια καὶ ἡ ψυχὴ καὶ τὸ σῶμα, ἐκεῖνα ἔχουν μεγάλη εὐωδιαστὴ ὀσμή.

Μπορεῖς καὶ σύ, ἂν θέλεις, νὰ προσφέρεις τέτοια θυσία. Τί δηλαδὴ ἂν δὲν κάψεις τὸ σῶμα μὲ τὴ φωτιά; Μπορεῖς ὅμως νὰ τὸ

---

13. Ἱερ. 6,20. 14. Ἀμὼς 5,23.
15. Ὠσηὲ 6,6.

οἷον, τῷ τῆς πενίας τῆς ἑκουσίου, τῷ τῆς θλίψεως. Τὸ γὰρ ἐξεῖναι μετὰ τρυφῆς καὶ πολυτελείας διάγειν, τὸν δὲ ἐπίμοχθον καὶ κατάπικρον ἀναιρεῖσθαι βίον καὶ τὸ σῶμα νεκροῦν, οὐχὶ ὁλοκαύτωσίς ἐστι; Νέκρωσόν σου τὸ σῶμα καὶ σταύρωσον, καὶ 5 λήψῃ καὶ αὐτὸς τοῦ μαρτυρίου τούτου τὸν στέφανον. Ὅπερ γὰρ ἐκεῖ τὸ ξίφος ἐργάζεται, τοῦτο ἐνταῦθα ἡ προθυμία ποιείτω. Μὴ καιέτω, μηδὲ κατεχέτω χρημάτων ἔρως, ἀλλὰ κατακαιέσθω καὶ κατασβεννύσθω ἡ ἐπιθυμία αὕτη ἡ ἄτοπος τῷ πυρὶ τοῦ πνεύματος, καὶ κατακοπτέσθω τῇ μαχαίρᾳ τοῦ Πνεύματος. 10 Αὕτη θυσία καλή, οὐ δεομένη ἱερέως, ἀλλ' αὐτοῦ τοῦ προσφέροντος αὐτήν· θυσία καλή, κάτω μὲν ἐπιτελουμένη, ἄνω δὲ εὐθέως ἀναλαμβανομένη.

Οὐχὶ θαυμάζομεν ὅτι τὸ παλαιὸν πῦρ κατιὸν ἅπαντα ἀνήλισκεν; Ἔξεστι καὶ νῦν πῦρ κατελθεῖν πολὺ θαυμαστότερον 15 ἐκείνου, καὶ πάντα ἀναλῶσαι τὰ προκείμενα· μᾶλλον δὲ οὐκ ἀναλῶσαι, ἀλλ' ἀναγαγεῖν εἰς τὸν οὐρανόν· οὐ γὰρ τέφραν αὐτὰ ποιεῖ, ἀλλὰ δῶρα προσφέρει τῷ Θεῷ. Τοιαῦται ἦσαν αἱ τοῦ Κορνηλίου προσφοραί· «αἱ προσευχαί σου», γάρ, φησί, «καὶ αἱ ἐλεημοσύναι σου ἀνέβησαν εἰς μνημόσυνον ἐνώπιον τοῦ 20 Θεοῦ». Ὁρᾷς συζυγίαν ἀρίστην; Τότε ἀκουόμεθα, ὅταν καὶ αὐτοὶ ἀκούωμεν τῶν προσιόντων πενήτων. «Ὃς ἀποφράσει», φησί, «τὰ ὦτα αὐτοῦ τοῦ μὴ ἀκοῦσαι πτωχοῦ, τῆς δεήσεως αὐτοῦ οὐκ εἰσακούσεται ὁ Θεός». «Μακάριος ὁ συνιὼν ἐπὶ πτωχὸν καὶ πένητα· ἐν ἡμέρᾳ πονηρᾷ ῥύσεται αὐτὸν ὁ Κύριος». Οὐκ ἄλλη δὲ 25 αὕτη ἐστίν, ἀλλ' ἣ ἡ ἡμέρα ἐκείνη, ἣ πονηρὰ γίνεται τοῖς ἁμαρτωλοῖς.

Τί ἐστιν, «ὁ συνιών»; Ὁ νοῶν τί ἐστι πένης, ὁ τὴν θλῖψιν αὐτοῦ καταμανθάνων· ὁ γὰρ μαθὼν αὐτοῦ τὴν θλῖψιν, πάντως καὶ εὐθέως αὐτὸν ἐλεήσει. Ὅταν ἴδῃς πένητα, μὴ παραδράμῃς, 30 ἀλλ' εὐθέως ἐννόησον τίς ἂν ἦς, εἰ σὺ ἦς ἐκεῖνος· τί οὐκ ἂν ἠθέλησας πάντας ποιεῖν; «Ὁ συνιών», φησίν. Ἐννόησον ὅτι ὁμοίως

---

16. Πράξ. 10,4.
17. Παροιμ. 21,13.
18. Ψαλμ. 40,2.

κάψεις μὲ ἄλλη φωτιά, ὅπως μὲ τὴ φωτιὰ τῆς θεληματικῆς φτώχειας, τῆς θλίψης. Τὸ νὰ μπορεῖ δηλαδὴ κάποιος νὰ ζεῖ μὲ ἀπολαύσεις καὶ πολυτέλεια, ἀλλὰ νὰ προτιμᾶ τὴν ἐπίπονη καὶ δύσκολη ζωὴ καὶ νὰ νεκρώνει τὸ σῶμα, δὲν εἶναι ὁλοκαύτωμα; Νέκρωσε καὶ σταύρωσε τὸ σῶμα σου, καὶ τότε θὰ λάβεις καὶ ὁ ἴδιος τὸ στεφάνι αὐτοῦ τοῦ μαρτυρίου. Ἐκεῖνο δηλαδὴ ποὺ κάνει ἐκεῖ τὸ ξίφος, ἂς τὸ κάνει ἐδῶ ἡ προθυμία. Ἂς μὴ σὲ καίει καὶ ἂς μὴ σὲ κατέχει ὁ ἔρωτας γιὰ τὰ χρήματα, ἀλλὰ ἂς κατακαίεται καὶ ἂς σβήνει τελείως ἡ παράλογη αὐτὴ ἐπιθυμία μὲ τὴ φωτιὰ τοῦ πνεύματος καὶ ἂς κατακόβεται μὲ τὴ μάχαιρα τοῦ Πνεύματος. Αὐτὴ εἶναι θυσία καλή, δὲ χρειάζεται ἱερέα, ἀλλ' αὐτὸν ποὺ τὴν προσφέρει· θυσία καλή, ποὺ τελεῖται βέβαια στὴ γῆ, ἀλλ' ἀμέσως ἀνεβαίνει στὸν οὐρανό.

Δὲ θαυμάζουμε ὅτι ἡ φωτιὰ στὴν παλαιὰ ἐποχὴ κατέβαινε καὶ κατέστρεφε τὰ πάντα; Μπορεῖ καὶ τώρα νὰ κατεβεῖ φωτιὰ πολὺ πιὸ θαυμαστὴ ἀπὸ ἐκείνη καὶ νὰ καταστρέψει ὅλα ὅσα βρίσκονται μπροστά της· ἢ καλύτερα ὄχι νὰ καταστρέψει, ἀλλὰ νὰ ἀνεβάσει στὸν οὐρανό. Γιατὶ δὲν τὰ κάνει αὐτὰ στάχτη, ἀλλὰ προσφέρει δῶρα στὸ Θεό. Τέτοιες ἦταν οἱ προσφορὲς τοῦ Κορνηλίου. Γιατὶ λέγει, «οἱ προσευχές σου καὶ οἱ ἐλεημοσύνες σου ἀνέβηκαν στὸν οὐρανὸ γιὰ νὰ σὲ θυμᾶται ὁ Θεός»[16]. Βλέπεις ἄριστη σύζευξη; Τότε μᾶς ἀκοῦν, ὅταν καὶ ἐμεῖς ἀκοῦμε τοὺς φτωχοὺς ποὺ μᾶς πλησιάζουν. «Ἐκεῖνος», λέγει, «ποὺ κλείνει τὰ αὐτιά του γιὰ νὰ μὴν ἀκούσει τὸ φτωχό, δὲ θὰ τοῦ ἀκούσει τὴν παράκληση ὁ Θεός»[17]. «Μακάριος εἶναι ὁ ἄνθρωπος ποὺ κατανοεῖ τὸ φτωχὸ καὶ ἄπορο. Αὐτὸν σὲ ἡμέρα δύσκολη θὰ τὸν βοηθήσει ὁ Κύριος»[18]. Καὶ δὲν εἶναι ἄλλη αὐτὴ ἡ ἡμέρα, παρὰ ἐκείνη ἡ ἡμέρα τῆς κρίσης, ἡ ὁποία γίνεται δύσκολη γιὰ τοὺς ἁμαρτωλούς.

Τί σημαίνει, «αὐτὸς ποὺ κατανοεῖ»; Αὐτὸς ποὺ καταλαβαίνει τί σημαίνει φτωχός, αὐτὸς ποὺ γνωρίζει καλὰ τὴ στενοχώρια του. Γιατί, ὅποιος μάθει τὴ στενοχώρια του, ὁπωσδήποτε θὰ τὸν βοηθήσει ἀμέσως. Ὅταν δεῖς φτωχό, μὴν τὸν περιφρονήσεις, ἀλλ' ἀμέσως σκέψου ποιός θὰ ἦσουν, ἂν ἐσὺ ἦσουν ἐκεῖνος· τί δὲ θὰ ἤθελες νὰ σοῦ κάνουν ὅλοι; «Αὐτὸς ποὺ κατανοεῖ», λέγει.

σοι ἐλεύθερός ἐστι, καὶ τῆς αὐτῆς σοὶ κοινωνεῖ εὐγενείας, καὶ πάντα σοι κοινὰ κέκτηται· ἀλλὰ τοῦτον τὸν οὐδὲν ἔλαττον ἔχοντά σου, οὐδὲ τῶν κυνῶν πολλάκις τῶν σῶν ἴσον ποιεῖς. Οἱ μὲν γὰρ ἄρτου κορέννυνται, οὗτος δὲ πολλάκις ἐκοιμήθη πεινῶν· καὶ 5 δούλων τῶν σῶν ὁ ἐλεύθερος ἀτιμότερος γέγονεν.

Ἀλλ᾽ ἐκεῖνοι ἡμῖν χρείαν πληροῦσι, φησί. Ποίαν δὴ ταύτην, εἰπέ μοι· ὅτι δουλεύουσί σοι καλῶς; Ἐὰν οὖν δείξω καὶ τοῦτον χρείαν σοι πληροῦντα πολλῷ μείζονα ἐκείνων, τί ἐρεῖς; παραστήσεται γάρ σοι ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως καὶ ἐξαιρήσεταί σε 10 τοῦ πυρός. Τί τοιοῦτον οἱ δοῦλοι ποιοῦσι πάντες; Ὅτε ἡ Ταβιθὰ ἐτελεύτησε, τίς ἀνέστησεν αὐτήν; δοῦλοι περιστάντες ἢ πτωχοί; Σὺ δὲ οὐδὲ τῶν δούλων τὸν ἐλεύθερον ἐν ἴσῳ ποιεῖν ἐθέλεις. Πολύς ἐστιν ὁ κρυμός, καὶ ἔρριπται ἐπ᾽ ἐδάφους ῥάκια ἔχων ὁ πένης, ἀποτεθνηκὼς τῷ κρύει, κροτῶν τοὺς ὀδόντας, καὶ τῇ 15 ὄψει καὶ τῷ σχήματι ἱκανὸς παρακαλέσαι, σὺ δὲ θερμαινόμενος καὶ μεθύων παρέρχῃ· καὶ πῶς ἀξιοῖς τὸν Θεὸν ἐν συμφορᾷ σε ὄντα ἐξελέσθαι; Πολλάκις δὲ καὶ τοῦτο λέγεις, 'ἐγὼ εἰ ἤμην, καὶ ἔλαβον πολλὰ ἁμαρτόντα τινά, ἀφῆκα ἂν αὐτόν, καὶ ὁ Θεὸς οὐκ ἀφίησι;' Μὴ τοῦτο εἴπῃς· καὶ γὰρ σὺ τὸν οὐδὲν ἁμαρτόντα εἰς σέ, 20 ὃν δύνασαι ἀπαλλάξαι, τοῦτον περιορᾷς.

Εἰ δὲ τὸν τοιοῦτον σὺ παραλογίζῃ, πῶς ὁ Θεὸς εἰς αὐτὸν ἁμαρτάνοντά σε ἀφήσει; σῶμα μὲν πολλάκις νεκρὸν καὶ ἀναίσθητον, οὐκέτι τῆς τιμῆς αἰσθανόμενον, μυρίοις καὶ ποικίλοις καὶ διαχρύσοις ἱματίοις περιστέλλεις, τὸ δὲ ἀλγοῦν καὶ κατακο- 25 πτόμενον καὶ βασανιζόμενον καὶ κατατεινόμενον ὑπὸ λιμοῦ καὶ κρυμοῦ περιορᾷς καὶ πλέον τῇ κενοδοξίᾳ χαρίζῃ, ἢ τῷ φόβῳ τοῦ Θεοῦ. Καὶ εἴθε μέχρι τούτου· ἀλλ᾽ εὐθέως κατηγορίαι κατὰ τοῦ

---

19. Πράξ. 9, 36–43.

Σκέψου ὅτι εἶναι ἐλεύθερος ὅμοια μὲ σένα καὶ ὅτι μετέχει στὴν ἴδια μὲ σένα εὐγενικὴ καταγωγὴ καὶ ὅτι ὅλα τὰ ἔχει κοινὰ μὲ σένα. Παρ' ὅλο ὅμως ποὺ αὐτὸς δὲν ἔχει τίποτε κατώτερο ἀπὸ σένα, οὔτε μὲ τὰ σκυλιά σου πολλὲς φορὲς τὸν θεωρεῖς ἴσο. Γιατὶ ἐκεῖνα χορταίνουν ψωμί, αὐτὸς ὅμως κοιμήθηκε πολλὲς φορὲς πεινασμένος· ὁ ἐλεύθερος ἔγινε περισσότερο περιφρονημένος καὶ ἀπὸ τοὺς δούλους σου.

Οἱ δοῦλοι ὅμως, λέγει, ἐκτελοῦν ὑπηρεσία σὲ μᾶς. Πές μου, ποιά ἀκριβῶς εἶναι αὐτή; ὅτι σὲ ὑπηρετοῦν καλά; Ἂν λοιπὸν ἀποδείξω ὅτι καὶ αὐτὸς ἐκπληρώνει ὑπηρεσία σὲ σένα πολὺ μεγαλύτερη ἀπὸ ἐκείνους, τί θὰ πεῖς; Γιατὶ θὰ σοῦ παρασταθεῖ τὴν ἡμέρα τῆς κρίσης καὶ θὰ σὲ γλυτώσει ἀπὸ τὴ φωτιά. Τί παρόμοιο κάνουν ὅλοι οἱ δοῦλοι; Ὅταν πέθανε ἡ Ταβιθά, ποιός τὴν ἀνάστησε[19]; Δοῦλοι ποὺ τὴν περιστοίχισαν ἢ φτωχοί; Ἐσὺ ὅμως δὲ θέλεις νὰ ἐξισώνεις τὸν ἐλεύθερο μὲ τοὺς δούλους. Εἶναι πολὺ τὸ κρύο καὶ πεσμένος στὸ χῶμα ρακένδυτος ὁ φτωχός, πεθαίνοντας ἀπὸ τὸ κρύο, κτυπώντας τὰ δόντια, καὶ ἀπὸ τὸ πρόσωπο καὶ τὴν ἐμφάνιση εἶναι ἱκανὸς νὰ σὲ παρακαλέσει, ἐνῶ ἐσὺ ποὺ ζεσταίνεσαι καὶ μεθᾶς τὸν περιφρονεῖς. Πῶς λοιπὸν ἔχεις τὴν ἀξίωση νὰ σὲ σώσει ὁ Θεὸς ὅταν βρίσκεσαι σὲ συμφορά; Πολλὲς φορὲς ὅμως λὲς καὶ αὐτό· 'ἂν ἤμουν ἐγὼ καὶ ἔπιανα κάποιον νὰ ἔχει ἁμαρτήσει πολύ, θὰ τὸν συγχωροῦσα, καὶ ὁ Θεὸς δὲ συγχωρεῖ;' Μὴ τὸ πεῖς αὐτό, γιατὶ καὶ σὺ αὐτὸν ποὺ δὲν ἁμάρτησε καθόλου σὲ σένα, ποὺ μπορεῖς νὰ τὸν ἀπαλλάξεις, τὸν περιφρονεῖς.

Ἂν ὅμως περιφρονεῖς ἕναν τέτοιο ἄνθρωπο, πῶς ὁ Θεὸς θὰ σὲ συγχωρήσει ὅταν ἁμαρτάνεις σ' αὐτόν; Ἄραγε δὲν εἶναι ἄξια αὐτὰ γιὰ τὴ γέεννα; Καὶ τί τὸ παράξενο; Πολλὲς φορὲς ἕνα σῶμα νεκρὸ καὶ ἀναίσθητο, ποὺ δὲν αἰσθάνεται πιὰ τὴν τιμή, τὸ στολίζεις μὲ πολλὰ καὶ ποικίλα καὶ χρυσοΰφαντα ροῦχα, ἀλλὰ περιφρονεῖς τὸ σῶμα ποὺ ὑποφέρει καὶ ἀφανίζεται καὶ βασανίζεται καὶ ταλαιπωρεῖται ἀπὸ τὴν πείνα καὶ τὸ κρύο, καὶ ἐνδίδεις περισσότερο στὴν ματαιοδοξία παρὰ στὸ φόβο τοῦ Θεοῦ. Καὶ εἴθε νὰ σταματοῦσε ἐδῶ, ἀλλ' ἀμέσως ἀκολουθοῦν κατηγορίες ἐναντίον ἐκείνου ποὺ τὸν πλησιάζει· γιατὶ δὲν ἐργάζεται, λέγει,

προσιόντος· 'τί γὰρ οὐκ ἐργάζεται', φησί· 'τί δὲ ἀργῶν τρέφεται;' Εἰπέ μοι, σὺ δὲ ἐργαζόμενος ἔχεις ἃ ἔχεις, οὐχὶ κλῆρον πατρῷον παραλαβών; Εἰ δὲ καὶ ἐργάζῃ, διὰ τοῦτο ὀνειδίζεις ἑτέρῳ; οὐκ ἀκούεις Παύλου λέγοντος, «ὑμεῖς δὲ τὸ καλὸν ποιοῦντες μὴ ἐκ-
5 *κακήσετε»; μετὰ γὰρ τὸ εἰπεῖν, «ὁ μὴ ἐργαζόμενος μηδὲ ἐσθιέτω», τοῦτο ἐπήγαγεν. ''Αλλ' ἐπιθέτης', φησίν, 'ἐστί'.*

4. Τί φῄς ἄνθρωπε; ἄρτου ἑνὸς ἕνεκεν καὶ ἱματίου ἐπιθέτην καλεῖς; ''Αλλ' εὐθέως πωλεῖ αὐτό', φησί. Σὺ δὲ πάντα τὰ σαυτοῦ καλῶς διοικεῖς; Τί δέ; πάντες ἀπὸ ἀργίας πένονται; οὐδεὶς ἀπὸ
10 *ναυαγίων; οὐδεὶς ἀπὸ δικαστηρίων; οὐδεὶς ἀπὸ κλοπῆς; οὐδεὶς ἀπὸ κινδύνων; οὐδεὶς ἀπὸ νόσων; οὐδεὶς ἀπὸ ἄλλης περιστάσεως; 'Αλλ', ἂν ἀκούσωμέν τινος τοιαῦτα ἀποδυρομένου καὶ μεγάλα βοῶντος καὶ γυμνοῦ ἀναβλέποντος εἰς τὸν οὐρανὸν καὶ κομῶντος καὶ ῥάκια ἠμφιεσμένου, εὐθέως 'τὸν ἐπιθέτην', 'τὸν*
15 *ἀπατεῶνα', 'τὸν εἴρωνα' καλοῦμεν. Οὐκ αἰσχύνῃ; τίνα 'ἐπιθέτην' καλεῖς; μηδὲν δῷς, καὶ μὴ κατηγορήσῃς τοῦ ἀνδρός. ''Αλλ' ἔχει', φησί, 'καὶ σχηματίζεται'. Τοῦτό σου κατηγορία, οὐκ ἐκείνου· οἶδε πρὸς ὠμοὺς ἔχων, πρὸς θηρία μᾶλλον ἢ πρὸς ἀνθρώπους, καὶ ὅτι, κἂν ἐλεεινὸν φθέγξηται ῥῆμα, οὐδένα ἐφέλκεται·*
20 *καὶ διὰ τοῦτο ἀναγκάζεται καὶ σχῆμα περιθεῖναι ἑαυτῷ ἐλεεινότερον, ἵνα σου κατακλάσῃ τὴν ψυχήν.*

Ἐὰν ἴδωμέν τινα ἐν ἐλευθερίῳ σχήματι προσιόντα, 'οὗτος ἐπιθέτης ἐστί', φησί, 'καὶ ἵνα δόξῃ ἀπὸ εὐγενῶν εἶναι, οὕτω πρόσεισιν'· ἂν ἴδωμεν ἐν τῷ ἐναντίῳ σχήματι, καὶ τοῦτον κακί-
25 *ζομεν. Τί πράξουσι λοιπόν; Ὢ τῆς ὠμότητος, ὢ τῆς ἀπηνείας. 'Καὶ τίνος ἕνεκεν', φησί, 'τὰ ἠκρωτηριασμένα μέλη γυμνοῦσι;' Διὰ σέ· εἰ ἐλεήμονες ἦμεν, οὐκ ἔδει τούτων αὐτοῖς τῶν τεχνῶν· εἰ ἐκ πρώτης προσόδου ἔπειθον, οὐκ ἂν τοσαῦτα ἐμηχανήσαντο. Τίς ἐστιν οὕτως ἄθλιος, ὡς ἐθέλειν τοσαῦτα βοᾶν, ὡς ἐθέλειν*
30 *ἀσχημονεῖν, ὡς ἐθέλειν ἀποδύρεσθαι δημοσίᾳ μετὰ τῆς γυναικὸς*

20. Β' Θεσ. 3,13.
21. Β' Θεσ. 3,10.

καὶ γιατὶ τρέφεται χωρὶς νὰ ἐγάζεται; Πές μου, ἐσὺ ἀπὸ τὴν ἐργασία σου ἔχεις αὐτὰ ποὺ ἔχεις καὶ δὲν πῆρες πατρικὸ κλῆρο; Ἂν ὅμως ἐργάζεσαι, γι' αὐτὸ κατηγορεῖς ἄλλον; Δὲν ἀκοῦς τὸν Παῦλο ποὺ λέγει, «καὶ σεῖς, ἀδελφοί, νὰ μὴν ἀποκάμετε στὸ νὰ κάνετε τὸ καλό»[20]; Γιατί, ἀφοῦ εἶπε, «ὅποιος δὲ θέλει νὰ ἐργάζεται, αὐτὸς νὰ μὴν τρώει»[21], πρόσθεσε αὐτό. Ἀλλά, λέγει, εἶναι ἀπατεώνας.

4. Τί λές, ἄνθρωπε; Τὸν ὀνομάζεις 'ἀπατεώνα' γιὰ ἕνα ψωμὶ καὶ ἕνα ἔνδυμα; Ἀλλὰ τὸ πουλάει ἀμέσως, λέγει. Ἀλλὰ μήπως ἐσὺ διαχειρίζεσαι τὰ δικά σου σωστά; Τί δηλαδή; Ὅλοι εἶναι φτωχοὶ ἐπειδὴ δὲν ἐργάζονται; κανεὶς δὲν εἶναι φτωχὸς ἀπὸ ναυάγια; κανεὶς ἀπὸ δικαστήρια; κανεὶς ἀπὸ κλοπή; κανεὶς ἀπὸ κινδύνους; κανεὶς ἀπὸ ἀρρώστιες; κανεὶς ἀπὸ ἄλλη περίσταση; Ἀλλά, ἂν ἀκούσουμε κάποιον νὰ ὀδύρεται καὶ νὰ τὰ φωνάζει δυνατὰ αὐτά, καὶ γυμνὸ νὰ βλέπει στὸν οὐρανό, καὶ νὰ ἔχει μακριὰ μαλλιὰ καὶ νὰ εἶναι ρακένδυτος, τὸν ἀποκαλοῦμε ἀγύρτη, ἀπατεώνα καὶ ὑποκριτή; Δὲν ντρέπεσαι; Ποιόν ὀνομάζεις ἀπατεώνα; Μὴ δώσεις τίποτε, καὶ νὰ μὴν κατηγορήσεις ὅμως τὸν ἄνθρωπο. Ἀλλὰ ἔχει, λέγει, καὶ προσποιεῖται. Αὐτὸ εἶναι κατηγορία ἐναντίον σου, ὄχι ἐναντίον ἐκείνου. Αὐτὸς γνωρίζει ὅτι ἔχει νὰ κάνει μὲ σκληρούς, μὲ θηρία μᾶλλον παρὰ μὲ ἀνθρώπους, καὶ ὅτι, καὶ ἂν ἀκόμη μιλήσει ἀξιολύπητα, δὲν παρασύρει κανέναν· καὶ γι' αὐτὸ ἀναγκάζεται νὰ περιβληθεῖ καὶ μὲ ἀξιολύπητη ἐνδυμασία γιὰ νὰ σοῦ λυγίσει τὴν ψυχή.

Ἂν δοῦμε κάποιον νὰ πλησιάζει μὲ ἐνδυμασία ποὺ ταιριάζει σὲ ἐλεύθερο, αὐτὸς εἶναι ἀπατεώνας, λέγει, καὶ γιὰ νὰ φανεῖ ὅτι κατάγεται ἀπὸ εὐγενεῖς πλησιάζει μ' αὐτὸν τὸν τρόπο. Ἂν δοῦμε κάποιον μὲ τὴν ἀντίθετη ἐνδυμασία, καὶ αὐτὸν τὸν κακίζουμε. Τί νὰ κάνουν λοιπόν; Πὼ πὼ πόση ἀγριότητα, πόση σκληρότητα! Καὶ γιὰ ποιό λόγο, λέγει, γυμνώνουν τὰ ἀκρωτηριασμένα μέλη τους; Γιὰ σένα. Ἂν ἤμασταν ἐλεήμονες, δὲ θὰ εἶχαν ἀνάγκη ἀπ' αὐτὰ τὰ τεχνάσματα· ἂν ἔπειθαν ἀπὸ τὴν πρώτη προσέλευση, δὲ θὰ μηχανεύονταν τόσα πολλά. Ποιός εἶναι τόσο ἄθλιος, ὥστε νὰ θέλει νὰ φωνάζει τόσα πολλά, ὥστε νὰ θέλει ν' ἀσχημονεῖ, ὥστε νὰ θέλει νὰ ὀδύρεται δημόσια μὲ τὴ γυμνὴ γυ-

γεγυμνωμένης, μετὰ τῶν παίδων σποδὸν καταπάττεσθαι; Πόσης ταῦτα πενίας χείρονα; Ἀλλ' ὑπὲρ τούτων οὐ μόνον οὐκ ἐλεοῦνται, ἀλλὰ καὶ κατηγοροῦνται παρ' ἡμῶν. Ἔτι οὖν ἀγανακτήσομεν, ὅτι τοῦ Θεοῦ δεόμενοι οὐκ εἰσακουόμεθα; ἔτι οὖν δυσχε- 5 *ρανοῦμεν, ὅτι οὐ πείθομεν παρακαλοῦντες; Οὐ φρίττομεν, ἀγαπητοί;*

"Ἀλλὰ πολλάκις ἔδωκα', φησί. Σὺ δὲ οὐκ ἀεὶ ἐσθίεις; τοὺς δὲ παῖδας πολλάκις ἀπαιτοῦντας ἀπάγεις; Ὢ τῆς ἀναισχυντίας. Πένητα ἀναίσχυντον καλεῖς; καὶ σὺ μὲν ἁρπάζων οὐκ ἀναίσχυν- 10 *τος, ἐκεῖνος δὲ ὑπὲρ ἄρτου δεόμενος ἀναίσχυντος; Οὐκ ἐννοεῖς ὅση τῆς γαστρὸς ἡ ἀνάγκη; οὐχὶ πάντα διὰ τοῦτο ποιεῖς; οὐχὶ τῶν πνευματικῶν διὰ τοῦτο ἀμελεῖς; οὐχὶ οὐρανὸς πρόκειται καὶ οὐρανῶν βασιλεία; σὺ δὲ τὴν ἐκείνης δεδοικὼς τυραννίδα, πάντα ὑπομένεις καὶ ἐκείνης οὐ καταφρονεῖς; Αὕτη ἐστὶν ἀναισχυντία.* 15 *Οὐχ ὁρᾷς γέροντας ἀναπήρους; Ἀλλ', ὢ τῆς ληρωδίας· 'ὁ δεῖνα', φησί, 'τοσούσδε χρυσοῦς δανείζει· ὁ δεῖνα δὲ τόσους, καὶ ἐπαιτεῖ'. Παίδων μικρῶν μύθους διηγεῖσθαι καὶ λήρους· καὶ γὰρ ἐκεῖνοι τοιούτων ἀεὶ μύθων παρὰ τῆς τιτθίδος ἀκούουσιν. Οὐ πείθομαι, οὐ πιστεύω, μὴ γένοιτο. Δανείζει τις καὶ ἐν ἀφθονίᾳ ὧν* 20 *προσαιτεῖ; τίνος ἕνεκεν, εἰπέ μοι; τί δὲ ἀσχημονέστερον τοῦ ἐπαιτεῖν; κρεῖσσον ἀποθανεῖν ἢ ἐπαιτεῖν.*

Μέχρι τίνος ἀπηνεῖς ἐσμεν; Τί οὖν; πάντες δανείζουσι; πάντες ἐπιθέται εἰσίν; οὐδεὶς πένης ὄντως; 'Ναί', φησί, 'καὶ πολλοί'. Τί οὖν ἐκείνοις οὐκ ἐπικουρεῖς, ἐπειδὴ ἀκριβὴς εἶ τῶν βίων 25 *αὐτῶν ἐξεταστής; Σκῆψις ταῦτα καὶ πρόφασις. Παντὶ τῷ αἰτοῦντί σε δίδου, καὶ τὸν θέλοντα δανείσασθαι ἀπὸ σοῦ μὴ ἀποστραφῇς· ἔκτεινον τὴν χεῖρά σου, μὴ ἔστω συνεσταλμένη. Οὐχὶ τῶν βίων κατέστημεν ἐξετασταί, ἐπεὶ οὐδένα οὕτως ἐλεήσομεν. Διὰ τί, ὅταν τὸν Θεὸν παρακαλῇς, λέγεις, μὴ μνησθῇς τῶν* 30 *ἁμαρτιῶν μου; Ὥστε, εἰ καὶ σφόδρα ἐστὶν ἐκεῖνος ἁμαρτωλός, τοῦτο καὶ ἐπ' αὐτοῦ λογίζου, καὶ μὴ μιμνήσκου τῶν ἁμαρτιῶν*

---

22. Ματθ. 5,42.

ναίκα του, μὲ τὰ παιδιά του καὶ νὰ πασπαλίζεται μὲ σκόνη; Ἀπὸ πόση φτώχεια εἶναι χειρότερα αὐτά; Ἀλλὰ γι' αὐτὰ ὄχι μόνο δὲν ἐλεοῦνται, ἀλλὰ καὶ κατηγοροῦνται ἀπὸ μᾶς. Ἀκόμη λοιπὸν θὰ ἀγανακτήσουμε, ἐπειδὴ δὲν εἰσακουόμαστε ὅταν προσευχόμαστε στὸ Θεό; Ἀκόμη λοιπὸν θὰ δυσανασχετήσουμε, ἐπειδὴ δὲν πείθουμε ὅταν παρακαλοῦμε; Δὲ φρίττουμε, ἀγαπητοί;

Ἀλλὰ πολλὲς φορές, λέγει, ἔδωσα. Ἀλλὰ μήπως ἐσὺ δὲν τρῶς πάντοτε; Καὶ τὰ παιδιὰ πολλὲς φορὲς ὅταν ζητοῦν τὰ διώχνεις; Πὼ πὼ ἀδιαντροπιά! Ὀνομάζεις ἀδιάντροπο τὸ φτωχό; Καὶ σὺ βέβαια ὅταν ἁρπάζεις δὲν εἶσαι ἀδιάντροπος, ἐνῶ ἐκεῖνος ὅταν παρακαλεῖ γιὰ ψωμὶ εἶναι ἀδιάντροπος; Δὲν καταλαβαίνεις πόση εἶναι ἡ ἀνάγκη τῆς κοιλιᾶς; Δὲν τὰ κάνεις ὅλα γι' αὐτό; Δὲν ἀδιαφορεῖς γιὰ τὰ πνευματικὰ γι' αὐτὸν τὸ λόγο; Δὲν εἶναι μπροστά μας ὁ οὐρανὸς καὶ ἡ βασιλεία τῶν οὐρανῶν; Ἐσὺ ὅμως φοβούμενος τὴν ἐξουσία ἐκείνης, ὑπομένεις τὰ πάντα, καὶ δὲν τὴν περιφρονεῖς; Αὐτὴ εἶναι ἀδιαντροπιά. Δὲ βλέπεις γέρους ἀνάπηρους; Ἀλλά, πὼ πὼ ἀνοησία! Ὁ τάδε, λέγει, δανείζει τόσα χρυσὰ νομίσματα, καὶ ὁ τάδε τόσα καὶ ὅμως ἐπαιτεῖ. Λέτε παραμύθια γιὰ μικρὰ παιδιὰ καὶ ἀνοησίες. Γιατὶ καὶ ἐκεῖνα πάντοτε ἀκοῦν τέτοια παραμύθια ἀπὸ τὴν τροφό τους. Δὲν πείθομαι, δὲν πιστεύω, μακριὰ μιὰ τέτοια σκέψη. Δανείζει κάποιος καὶ ἐνῶ ἔχει πολλὰ ἐπαιτεῖ; Πές μου, γιὰ ποιό λόγο; Καὶ τί εἶναι αἰσχρότερο ἀπὸ τὴν ἐπαιτεία; Προτιμότερος ὁ θάνατος παρὰ ἡ ἐπαιτεία.

Μέχρι πότε θὰ εἴμαστε σκληροί; Τί λοιπόν; Ὅλοι δανείζουν; ὅλοι εἶναι ἀπατεῶνες; κανεὶς δὲν εἶναι ἀληθινὰ φτωχός; Ναί, λέγει, καὶ πολλοὶ μάλιστα. Γιατί λοιπὸν δὲν τοὺς βοηθεῖς ἐκείνους, ἐπειδὴ ἐξετάζεις λεπτομερῶς τὴ ζωή τους; Πρόσχημα εἶναι αὐτὰ καὶ δικαιολογία. «Στὸν καθένα ποὺ σοῦ ζητᾶ νὰ δίνεις καὶ νὰ μὴν ἀποστραφεῖς ἐκεῖνον ποὺ θέλει νὰ δανεισθεῖ ἀπὸ σένα»[22]· ἅπλωσε τὸ χέρι σου, καὶ μὴν τὸ ἔχεις μαζεμένο. Δὲν ὁρισθήκαμε ἐξεταστὲς τῆς ζωῆς τῶν ἀνθρώπων, γιατὶ ἔτσι δὲ θὰ ἐλεήσουμε κανέναν. Γιατί ὅταν παρακαλεῖς τὸ Θεὸ λές, «νὰ μὴ θυμηθεῖς τὶς ἁμαρτίες μου»; Ἑπομένως, καὶ ἂν ἀκόμη εἶναι πάρα πολὺ ἁμαρτωλὸς ἐκεῖνος, τὸ ἴδιο νὰ σκέπτεσαι καὶ γι' αὐτὸν καὶ

αὐτοῦ. Φιλανθρωπίας ἐστὶν ὁ καιρός, οὐκ ἀκριβοῦς ἐξετάσεως· ἐλέους, οὐ λογισμοῦ. Διατραφῆναι βούλεται· ἂν μὲν βούλῃ, δός· ἂν δὲ μὴ βούλῃ, ἀπόπεμψον, μὴ ἐπαπορήσας διὰ τί ἄθλιος ᾖ καὶ ταλαίπωρος. Διὰ τί οὐδὲ αὐτὸν ἐλεεῖς, καὶ τοὺς θέλοντας ἀπο- 5 *τρέπεις; Ὅταν γὰρ ὁ δεῖνα ἀκούσῃ παρὰ σοῦ, 'ὅτι οὗτος ἀπατεών', 'ὅτι ἐκεῖνος ὑποκριτής', 'ὅτι ἐκεῖνος δανείζει', οὔτε τούτοις δίδωσιν, οὔτε ἐκείνοις· πάντας γὰρ ὑποπτεύει τοιούτους εἶναι. Ἴστε γὰρ ὅτι τὰ πονηρὰ εὐκόλως ὑποπτεύομεν, τὰ δὲ χρηστὰ οὐκέτι.*

10 *Γενώμεθα ἐλεήμονες, οὐχ ἁπλῶς, ἀλλ' ὡς ὁ Πατὴρ ἡμῶν ὁ οὐράνιος· αὐτὸς καὶ μοιχοὺς καὶ πόρνους καὶ γόητας τρέφει· καὶ τί λέγω; πᾶν εἶδος κακίας ἔχοντας. Ἐν γὰρ τοσούτῳ κόσμῳ ἀνάγκη εἶναι καὶ τοιούτους πολλούς, ἀλλ' ὅμως ἅπαντας τρέφει, ἅπαντας ἐνδιδύσκει· οὐδεὶς λιμῷ διεφθάρη ποτέ, πλὴν εἴ τις* 15 *ἑκών. Οὕτω γενώμεθα οἰκτίρμονες· ἐὰν δέηται καὶ ἐν ἀνάγκῃ ᾖ, βοήθει. Νῦν δὲ εἰς τοσοῦτον ἤλθομεν ἀλογίας, ὥστε μὴ μόνον ἐπὶ τῶν πενήτων τοῦτο ποιειν τῶν διὰ τῶν στενωπῶν βαδιζόντων, ἀλλὰ καὶ ἐπὶ μοναζόντων ἀνδρῶν. 'Ὁ δεῖνα ἐπιθέτης ἐστί', φησίν. Οὐχὶ τοῦτο ἔλεγον πρῴην, ὅτι ἂν μὲν πᾶσιν ἀδιαφόρως* 20 *διδῶμεν, ἀεὶ ἐλεήσομεν, ἐὰν δὲ ἀρξώμεθα περιεργάζεσθαι, οὐδέποτε ἐλεήσομεν; Τί λέγεις; ἵνα ἄρτον λάβῃ, ἐπιθέτης ἐστίν; Εἰ μὲν χρυσίου τάλαντα αἰτεῖ καὶ ἀργυρίου, ἢ ἱμάτια πολυτελῆ, ἢ ἀνδράποδα, ἢ ἀλλ' ὁτιοῦν, εἰκότως ἄν τις τοῦτον εἴποι ἀπατεῶνα· εἰ δὲ μηδὲν τούτων, ἀλλὰ διατροφὴν καὶ σκέπην, ἃ φιλοσο-* 25 *φίας ἐστί, τοῦτο ἀπατεῶνος, εἰπέ μοι;*

Παυσώμεθα τῆς ἀκαίρου ταύτης φιλοπραγμοσύνης, τῆς σατανικῆς, τῆς ὀλεθρίας. Εἰ μὲν γὰρ ἐν κλήρῳ κατειλεγμένον ἑαυτὸν εἶναι λέγοι, ἢ ἱερέα ἑαυτὸν ὀνομάζοι, περιεργάζου, πολυπραγμόνει· οὐ γὰρ ἀκίνδυνος ἐκεῖ ἡ ἀνεξέταστος κοινωνία· περὶ 30 *γὰρ μεγάλων ὁ κίνδυνος· ἂν δὲ διατροφῆς δέηται, μηδὲν ἐξέταζε·*

νὰ μὴ θυμᾶσαι τὶς ἁμαρτίες του. Ὁ καιρὸς εἶναι γιὰ φιλανθρωπία, ὄχι γιὰ λεπτομερὴ ἐξέταση· γιὰ ἐλεημοσύνη, ὄχι γιὰ ὑπολογισμούς. Θέλει νὰ τὸν θρέψεις· ἂν θέλεις, δῶσε του· ἂν ὅμως δὲ θέλεις, διῶξε τον, χωρὶς νὰ ἀπορεῖς γιατί εἶναι ἄθλιος καὶ ταλαίπωρος. Γιατί δὲν τὸν ἐλεεῖς καὶ γιατί ἀποτρέπεις καὶ αὐτοὺς ποὺ θέλουν νὰ τὸν ἐλεήσουν; Ὅταν δηλαδὴ ὁ τάδε ἀκούσει ἀπὸ σένα ὅτι αὐτὸς εἶναι ἀπατεώνας, ὅτι ἐκεῖνος εἶναι ὑποκριτής, ὅτι ὁ ἄλλος δανείζει, οὔτε σ' αὐτοὺς δίνει οὔτε σ' ἐκείνους, ἐπειδὴ ὑποψιάζεται πὼς ὅλοι εἶναι τέτοιοι. Γνωρίζετε βέβαια ὅτι εὔκολα ὑποψιαζόμαστε τὰ κακά, ἐνῶ τὰ καλὰ καθόλου.

Ἂς γίνουμε ἐλεήμονες, ὄχι ἁπλῶς, ἀλλὰ ὅπως ὁ Πατέρας μας ὁ οὐράνιος. Αὐτὸς τρέφει καὶ μοιχοὺς καὶ πόρνους καὶ ἀγύρτες. Καὶ τί λέγω; Τρέφει καὶ ἐκείνους ποὺ ἔχουν κάθε εἶδος κακίας. Γιατὶ μέσα σὲ τόσο κόσμο εἶναι ἀνάποφευκτο νὰ ὑπάρχουν καὶ πολλοὶ τέτοιοι. Ὅμως ὅλους τοὺς τρέφει, ὅλους τοὺς ντύνει. Κανεὶς δὲν πέθανε ποτὲ ἀπὸ πείνα, ἐκτὸς ἂν κάποιος τὸ ἤθελε. Ἔτσι ἂς γίνουμε εὐσπλαχνικοί· ἂν ἔχει ἀνάγκη καὶ βρίσκεται σὲ οἰκονομικὴ δυσκολία, βοήθα. Τώρα ὅμως φθάσαμε σὲ τόσο μεγάλο σημεῖο ἀδιαφορίας, ὥστε νὰ τὸ κάνουμε αὐτὸ ὄχι μόνο στοὺς φτωχοὺς ποὺ βαδίζουν μέσα ἀπὸ στενωπούς, ἀλλὰ καὶ στοὺς μοναχούς. Ὁ τάδε εἶναι ἀπατεώνας, λέγει. Δὲν τὸ ἔλεγα αὐτὸ προηγουμένως, ὅτι ἂν δίνουμε σὲ ὅλους χωρὶς διάκριση πάντοτε θὰ ἐλεοῦμε, ἂν ὅμως ἀρχίσουμε νὰ ἐξετάζουμε λεπτομερῶς δὲ θὰ ἐλεήσουμε ποτέ; Τί λές; Γιὰ νὰ πάρει ψωμί, εἶναι ἀπατεώνας; Ἂν βέβαια ζητάει τάλαντα χρυσοῦ καὶ ἀργύρου ἢ πολυτελὴ ἐνδύματα ἢ δούλους ἢ ὁ,τιδήποτε ἄλλο, δίκαια θὰ μποροῦσε νὰ τὸν ὀνομάσει κανεὶς ἀπατεώνα. Ἂν ὅμως δὲ ζητάει τίποτε ἀπ' αὐτά, ἀλλὰ τροφὴ καὶ στέγη, ποὺ εἶναι ἀπόδειξη εὐσέβειας, αὐτό, πές μου, εἶναι γνώρισμα ἀπατεώνα;

Ἂς σταματήσουμε αὐτὴ τὴν ἄκαιρη, σατανικὴ καὶ ὀλέθρια πολυπραγμοσύνη. Ἂν κάποιος λέγει ὅτι ἀνήκει στὸν κλῆρο ἢ ὀνομάζει τὸν ἑαυτό του ἱερέα, νὰ τὸν περιεργάζεσαι καὶ νὰ τὸν ἐξετάζεις προσεκτικά, γιατὶ ἐκεῖ δὲν εἶναι ἀκίνδυνη ἡ ἀνεξέταστη παροχή, ἀλλὰ ὁ κίνδυνος εἶναι γιὰ μεγάλα πράγματα. Ἂν ὅμως ἔχει ἀνάγκη ἀπὸ τροφή, νὰ μὴν ἐξετάζεις τίποτε, γιατὶ δὲ

οὐ γὰρ δίδως, ἀλλὰ λαμβάνεις. Ἐξέτασον, εἰ βούλει, πῶς Ἀβραὰμ τὴν φιλοξενίαν περὶ πάντας τοὺς προσιόντας ἐπεδείκνυτο. Εἰ περίεργος ἦν περὶ τοὺς καταφεύγοντας πρὸς αὐτόν, οὐκ ἂν ἀγγέλους ἐξένισεν· ἴσως γὰρ ἂν μὴ νομίζων αὐτοὺς ἀγγέλους εἶ-
5 *ναι, μετὰ τῶν ἄλλων καὶ τούτους ἀπώσατο· ἀλλ', ἐπειδὴ πάντας ἐδέχετο, ἐδέξατο καὶ ἀγγέλους.*

Μὴ γὰρ ἀπὸ τοῦ βίου σοι τῶν λαμβανόντων τὸν μισθὸν δίδωσιν ὁ Θεός; Ἀπὸ τῆς προαιρέσεως τῆς σῆς, ἀπὸ τῆς φιλοτιμίας τῆς οἰκείας, ἀπὸ τῆς φιλανθρωπίας τῆς πολλῆς, ἀπὸ τῆς
10 *ἀγαθότητος· αὕτη ἔστω, καὶ πάντων ἐπιτεύξῃ τῶν ἀγαθῶν, ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.*

δίνεις ἀλλὰ παίρνεις. Ἐξέτασε, ἂν θέλεις, πῶς ἔδειχνε τὴ φιλοξενία ὁ Ἀβραὰμ σὲ ὅλους ποὺ ἔρχονταν κοντά του. Ἂν ἦταν περίεργος γιὰ ἐκείνους ποὺ κατεύφεγαν σ' αὐτόν, δὲ θὰ φιλοξενοῦσε ἀγγέλους. Γιατὶ ἴσως δὲ θὰ πίστευε ὅτι εἶναι ἄγγελοι καὶ θὰ τοὺς ἔδιωχνε καὶ αὐτοὺς μαζὶ μὲ τοὺς ἄλλους, ἀλλ' ἐπειδὴ τοὺς δεχόταν ὅλους, δέχθηκε καὶ ἀγγέλους.

Μήπως ὁ Θεὸς σοῦ δίνει τὸ μισθὸ ἀπὸ τὴ συμπεριφορὰ αὐτῶν ποὺ λαμβάνουν; Ἀπὸ τὴ δική σου προαίρεση, ἀπὸ τὴν ἀνάλογη γενναιοδωρία, ἀπὸ τὴν πολλὴ φιλανθρωπία, ἀπὸ τὴν καλωσύνη. Αὐτὴ ἂς ὑπάρχει καὶ θὰ ἀπολαύσεις ὅλα τὰ ἀγαθά, τὰ ὁποῖα εἴθε νὰ τὰ ἀπολαύσουμε ὅλοι μας, μὲ τὴ χάρη καὶ τὴ φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μαζὶ μὲ τὸν ὁποῖο στὸν Πατέρα καὶ συγχρόνως στὸ ἅγιο Πνεῦμα ἀνήκει ἡ δόξα, ἡ δύναμη καὶ ἡ τιμή, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

Ο Μ Ι Λ Ι Α ΙΒ'

(Ἑβρ. 7,1–10)

«Οὗτος γὰρ ὁ Μελχισεδέχ, βασιλεὺς Σαλήμ, ἱερεὺς τοῦ Θεοῦ τοῦ Ὑψίστου, ὁ συναντήσας Ἀβραὰμ ὑποστρέφοντι ἀπὸ τῆς κοπῆς τῶν βασιλέων, καὶ εὐλογήσας αὐτόν, ᾧ καὶ δεκάτην ἐμέρισεν ἀπὸ πάντων Ἀβραάμ, πρῶτον μὲν ἑρμη-
5 *νευόμενος βασιλεὺς δικαιοσύνης, ἔπειτα δὲ καὶ βασιλεὺς Σαλὴμ (ὅ ἐστι βασιλεὺς εἰρήνης), ἀπάτωρ, ἀμήτωρ, ἀγενεαλόγητος, μήτε ἀρχὴν ἡμερῶν, μήτε ζωῆς τέλος ἔχων, ἀφωμοιωμένος δὲ τῷ Υἱῷ τοῦ Θεοῦ, μένει ἱερεὺς εἰς τὸ διηνεκές».*

10 1. *Βουλόμενος ὁ Παῦλος τὸ διάφορον δεῖξαι τῆς Καινῆς καὶ τῆς Παλαιᾶς, πολλαχοῦ αὐτὸ διασπείρει καὶ ἀκροβολίζεται καὶ διακωδωνίζει τὰς ἀκοὰς τῶν ἀκροατῶν καὶ προγυμνάζει. Εὐθέως γὰρ καὶ ἀπὸ τοῦ προοιμίου τοῦτο κατεβάλλετο, εἰπών, ὅτι ἐκείνοις μὲν ἐλάλησεν ἐν προφήταις, ἡμῖν δὲ ἐν Υἱῷ· κἀκείνοις*
15 *μὲν πολυμερῶς καὶ πολυτρόπως, ἡμῖν δὲ διὰ τοῦ Υἱοῦ. Εἶτα περὶ τοῦ Υἱοῦ διαλεχθεὶς τίς εἴη καὶ τί ἐργασάμενος, καὶ παραινέσας αὐτῷ πείθεσθαι, ἵνα μὴ τὰ αὐτὰ πάθωμεν τοῖς Ἰουδαίοις, καὶ εἰπὼν ὅτι ἀρχιερεύς ἐστι κατὰ τὸν Μελχισεδέχ, καὶ πολλάκις εἰς τὴν διαφορὰν ταύτην ἐμβῆναι βουληθείς, καὶ πολλὰ προ-*
20 *οικονομήσας, καὶ ἐπιτιμήσας αὐτοῖς ὡς ἀσθενέσι καὶ πάλιν θεραπεύσας καὶ ἀνακτησάμενος ὥστε θαρρεῖν, τότε λοιπὸν εἰσάγει τὸν τῆς διαφορᾶς λόγον ἀκμαζούσαις ταῖς ἀκοαῖς· ὁ γὰρ ἀναπεπτωκὼς οὐκ ἂν εὐκόλως ἀκούσειε. Καὶ ἵνα μάθῃς, ἄκουε τῆς Γραφῆς λεγούσης· «καὶ οὐκ ἤκουσαν Μωϋσῆ διὰ τὴν ὀλιγοψυ-*
25 *χίαν»*.

---

1. Ἐξ. 6,9.

Ο Μ Ι Λ Ι Α ΙΒ΄

(Ἑβρ. 7,1–10)

«Αὐτὸς ὁ Μελχισεδὲκ ἦταν βασιλιὰς τῆς Σαλήμ, ἱερέας τοῦ ὑψίστου Θεοῦ, συνάντησε καὶ εὐλόγησε τὸν Ἀβραάμ, ὅταν ἐπέστρεφε ἀπὸ τὴν κατατρόπωση τῶν βασιλέων, καὶ σ' αὐτὸν ὁ Ἀβραὰμ ἔδωσε τὸ ἕνα δέκατο ἀπ' ὅλα τὰ λάφυρα. Ἑρμηνευόμενο τὸ ὄνομά του σημαίνει πρῶτα βασιλιὰς τῆς δικαιοσύνης καὶ ἔπειτα βασιλιὰς τῆς Σαλήμ, δηλαδὴ βασιλιὰς τῆς εἰρήνης. Δὲν ἔχει πατέρα, οὔτε μητέρα, οὔτε γενεαλογία· οἱ ἡμέρες του δὲν ἔχουν ἀρχὴ οὔτε ἡ ζωή του τέλος καὶ ὁμοιάζοντας μὲ τὸν Υἱὸ τοῦ Θεοῦ παραμένει παντοτινὰ ἱερέας».

1. Θέλοντας ὁ Παῦλος νὰ δείξει τὴ διαφορὰ τῆς Καινῆς ἀπὸ τὴν Παλαιὰ Διαθήκη τὸ λέγει αὐτὸ σὲ πολλὲς περιπτώσεις, τὸ συζητάει, τὸ διατυμπαντίζει στ' αὐτιὰ τῶν ἀκροατῶν καὶ τὸ διδάσκει. Ἀμέσως καὶ ἀπὸ τὸ προοίμιο τὸ ἀνέφερε, λέγοντας ὅτι σ' ἐκείνους μίλησε μέσω τῶν προφητῶν, ἐνῶ σ' ἐμᾶς μέσω τοῦ Υἱοῦ· καὶ σ' ἐκείνους βέβαια μὲ πολλοὺς καὶ ποικίλους τρόπους, ἐνῶ σ' ἐμᾶς μέσω τοῦ Υἱοῦ. Στὴ συνέχεια, ἀφοῦ μίλησε γιὰ τὸν Υἱὸ καὶ εἶπε ποιός ἦταν καὶ τί ἔπραξε, καὶ συμβούλεψε νὰ ὑπακοῦμε σ' αὐτόν, γιὰ νὰ μὴ πάθουμε τὰ ἴδια μὲ τοὺς Ἰουδαίους, καὶ ἀφοῦ εἶπε ὅτι εἶναι ἀρχιερέας κατὰ τὴν τάξη Μελχισεδέκ, καὶ θέλησε πολλὲς φορὲς ν' ἀναφερθεῖ σ' αὐτὴ τὴ διαφορά, καὶ ἀφοῦ τακτοποίησε πολλὰ καὶ τοὺς ἐπιτίμησε, ἐπειδὴ ἦταν ἀσθενεῖς στὴν πίστη, καὶ τοὺς θεράπευσε πάλι καὶ τοὺς ἔδωσε θάρρος ὥστε νὰ ἐλπίζουν, τότε πλέον μιλάει σὲ ἀκμαῖες ἀκοὲς γιὰ τὴ διαφορά· γιατὶ αὐτὸς ποὺ ἔχει ἀποθαρρυνθεῖ δὲ θὰ μποροῦσε ν' ἀκούσει εὔκολα. Καὶ γιὰ νὰ μάθεις, ἄκου τὴ Γραφὴ ποὺ λέγει· «καὶ δὲν ἄκουσαν τὸ Μωυσῆ ἐξαιτίας τῆς λιποψυχίας τους»[1].

Διὰ τοῦτο πρότερον κενώσας αὐτῶν τὴν ἀθυμίαν διὰ πολλῶν, καὶ διὰ φοβερῶν καὶ διὰ χρηστοτέρων, τότε λοιπὸν καθίησιν εἰς τὸν τῆς διαφορᾶς λόγον· καὶ τί φησιν; «Οὗτος γὰρ ὁ Μελχισεδέχ, βασιλεὺς Σαλήμ, ἱερεὺς τοῦ Θεοῦ τοῦ Ὑψίστου». Καὶ τὸ 5 δὴ θαυμαστόν, ἐν τῷ τύπῳ δείκνυσι πολλὴν οὖσαν τὴν διαφοράν. Ὅπερ γὰρ εἶπον, ἀπὸ τοῦ τύπου ἀεὶ πιστοῦται τὴν ἀλήθειαν, ἀπὸ τῶν παρελθόντων τὰ ἐνεστῶτα, διὰ τὴν ἀσθένειαν τῶν ἀκροατῶν. «Οὗτος» γάρ, φησίν, «ὁ Μελχισεδέχ, βασιλεὺς Σαλήμ, ἱερεὺς τοῦ Θεοῦ τοῦ Ὑψίστου, ὁ συναντήσας Ἀβραὰμ 10 ὑποστρέφοντι ἀπὸ τῆς κοπῆς τῶν βασιλέων καὶ εὐλογήσας αὐτόν, ᾧ καὶ δεκάτην ἀπὸ πάντων ἐμέρισεν Ἀβραάμ».

Θεὶς τὴν διήγησιν πᾶσαν ἐν συντόμῳ, μυστικῶς αὐτὴν ἐθεώρησε· καὶ πρῶτον ἀπὸ τοῦ ὀνόματος· «πρῶτον μέν», φησίν, «ἑρμηνευόμενος βασιλεὺς δικαιοσύνης». Καλῶς· Σεδὲχ γὰρ δι- 15 καιοσύνη λέγεται, Μελχὶ δὲ βασιλεύς· ἄρα ὁ Μελχισεδὲχ βασιλεὺς δικαιοσύνης ἐστίν. Ὁρᾷς καὶ ἐν τοῖς ὀνόμασι τὴν ἀκρίβειαν; Τίς δέ ἐστι βασιλεὺς δικαιοσύνης, ἀλλ' ἢ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός; «Ἔπειτα δὲ βασιλεὺς Σαλήμ», ἀπὸ τῆς πόλεως· τουτέστι, βασιλεὺς εἰρήνης· οὕτω γὰρ ἑρμηνεύεται τό, Σαλήμ. Ὃ 20 πάλιν ἐστὶ τοῦ Χριστοῦ· οὗτος γὰρ ἡμᾶς δικαίους ἐποίησε καὶ εἰρηνοποίησε τὰ ἐν τοῖς οὐρανοῖς καὶ τὰ ἐπὶ τῆς γῆς. Τίς δαὶ ἄνθρωπος βασιλεὺς δικαιοσύνης καὶ εἰρήνης ἐστίν; Οὐδεὶς ἕτερος, ἀλλ' ἢ μόνος ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός.

Εἶτα καὶ ἑτέραν διαφορὰν ἐπάγει λέγων, «ἀπάτωρ, ἀμή- 25 τωρ, ἀγενεαλόγητος, μήτε ἀρχὴν ἡμερῶν, μήτε ζωῆς τέλος ἔχων, ἀφωμοιωμένος δὲ τῷ Υἱῷ τοῦ Θεοῦ, μένει ἱερεὺς εἰς τὸ διηνεκές». Ἐπειδὴ τοίνυν ἀντέπιπτεν αὐτῷ τό, «σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέχ», ἐκεῖνος δὲ ἐτεθνήκει καὶ οὐκ ἐγένετο ἱερεὺς εἰς τὸν αἰῶνα, ὅρα πῶς αὐτὸ τεθεώρηκεν. 30 Ἵνα γὰρ μηδεὶς ἀντεπενέγκῃ λέγων, 'καὶ τίς τοῦτο εἴποι ἂν περὶ ἀνθρώπου;' οὐ τῷ πράγματι, φησί, λέγω· τουτέστιν, οὐκ ἴσμεν ποτὲ τίνα πατέρα ἔσχεν, ἢ τίνα μητέρα, οὐ πότε ἐδέξατο τὴν ἀρ-

2. Ἑβρ. 5,6.

Γι' αὐτό, ἀφοῦ πρῶτα μὲ πολλὰ καὶ μὲ φοβερὰ καὶ μὲ ἠπιότερα λόγια ἀπομάκρυνε τὴ λιποψυχία τους, τότε πλέον ἔρχεται στὴ διαφορά. Καὶ τί λέγει; «Αὐτὸς ὁ Μελχισεδὲκ ἦταν βασιλιάς, τῆς Σαλὴμ καὶ ἱερέας τοῦ ὑψίστου Θεοῦ». Καὶ τὸ θαυμαστὸ βέβαια εἶναι, τὸ ὅτι δείχνει ὅτι ὑπάρχει πολλὴ διαφορὰ στὸν τύπο. Αὐτὸ ποὺ εἶπα δηλαδή, ὅτι ἀπὸ τὸν τύπο βεβαιώνει πάντοτε τὴν ἀλήθεια, ἀπὸ τὰ περασμένα τὰ παρόντα, ἐξαιτίας τῆς πνευματικῆς ἀδυναμίας τῶν ἀκροατῶν. «Αὐτός», λέγει, «ὁ Μελχισεδὲκ ἦταν βασιλιὰς τῆς Σαλήμ, ἱερέας τοῦ ὑψίστου Θεοῦ, καὶ εἶναι αὐτὸς ποὺ συνάντησε καὶ εὐλόγησε τὸν Ἀβραὰμ ὅταν ἐπέστρεφε ἀπὸ τὴν κατατρόπωση τῶν βασιλέων, καὶ σ' αὐτὸν ὁ Ἀβραὰμ ἔδωσε τὸ ἕνα δέκατο ἀπ' ὅλα τὰ λάφυρα».

Ἀφοῦ ἀνέφερε σύντομα τὴν ἱστορία, τὴν ἑρμήνευσε ἀλληγορικά. «Ἑρμηνευόμενο», λέγει, «τὸ ὄνομά του σημαίνει πρῶτα βασιλιὰς τῆς δικαιοσύνης». Σωστά. Γιατὶ «Σεδὲχ» λέγεται ἡ δικαιοσύνη καὶ «Μελχὶ» ὁ βασιλιάς. Ἄρα ὁ Μελιχεσεδὲκ εἶναι ὁ βασιλιὰς τῆς δικαιοσύνης. Βλέπεις ἀκόμη καὶ στὰ ὀνόματα τὴν ἀκρίβεια; Ποιός ὅμως εἶναι ὁ βασιλιὰς τῆς δικαιοσύνης, παρὰ μόνο ὁ Κύριός μας Ἰησοῦς Χριστός; «Καὶ ἔπειτα βασιλιὰς τῆς Σαλήμ», ἀπὸ τὴν πόλη· δηλαδή, βασιλιὰς τῆς εἰρήνης. Γιατὶ ἔτσι ἑρμηνεύεται τὸ «Σαλήμ». Καὶ αὐτὸ πάλι εἶναι γνώρισμα τοῦ Χριστοῦ· γιατὶ αὐτὸς μᾶς ἔκαμε δικαίους καὶ ἔφερε τὴν εἰρήνη σὲ ὅσα βρίσκονται στοὺς οὐρανοὺς καὶ στὴ γῆ. Ποιός ἄνθρωπος εἶναι βασιλιὰς τῆς δικαιοσύνης καὶ τῆς εἰρήνης; Κανεὶς ἄλλος, παρὰ μόνο ὁ Κύριός μας Ἰησοῦς Χριστός.

Στὴ συνέχεια προσθέτει καὶ ἄλλη διαφορὰ λέγοντας, «δὲν ἔχει πατέρα οὔτε μητέρα οὔτε γενεαλογία· οἱ ἡμέρες του δὲν ἔχουν ἀρχὴ οὔτε ἡ ζωή του τέλος καὶ ὁμοιάζοντας μὲ τὸν Υἱὸ τοῦ Θεοῦ παραμένει παντοτινὰ ἱερέας». Ἐπειδὴ δηλαδὴ τοῦ ἦταν ἀντίθετο τό, «ἐσὺ εἶσαι ἱερέας αἰώνιος κατὰ τὴν τάξη Μελχισεδέκ»[2], ἀλλ' ἐκεῖνος πέθανε καὶ δὲν ἔγινε ἱερέας αἰώνιος, πρόσεχε πῶς τὸ ἐξέλαβε αὐτό. Γιὰ νὰ μὴν τοῦ ἀντιτάξει δηλαδὴ κάποιος καὶ τοῦ πεῖ, 'καὶ ποιός θὰ μποροῦσε νὰ τὸ πεῖ αὐτὸ γιὰ ἄνθρωπο;', δὲν ἀναφέρομαι, λέγει, στὸ πρᾶγμα. Δηλαδή, δὲ γνωρίζουμε ποιόν εἶχε πατέρα ἢ ποιά μητέρα, οὔτε πότε ἀνέλαβε

χήν, οὐ πότε ἐτελεύτησε. 'Καὶ τί τοῦτο', φησί; 'μὴ γάρ, ἐπειδὴ ἡμεῖς οὐκ ἴσμεν, οὐκ ἐτελεύτησεν ἢ οὐκ ἔσχε γονεῖς; Καλῶς λέγεις, καὶ ἐτελεύτησε καὶ ἔσχε γονεῖς. Πῶς οὖν, «ἀπάτωρ, ἀμήτωρ»; πῶς, «μήτε ἀρχὴν ἡμερῶν, μήτε ζωῆς τέλος ἔχων»;'
5 *Πῶς; Τῷ μὴ ἐμφέρεσθαι τῇ Γραφῇ. 'Καὶ τί τοῦτο;' Ὅτι, ὥσπερ οὗτος ἀπάτωρ τῷ μὴ γενεαλογεῖσθαι, οὕτως ὁ Χριστὸς αὐτῇ τῇ φύσει τοῦ πράγματος.*

2. Ἰδοὺ τὸ ἄναρχον, ἰδοὺ τὸ ἀτελεύτητον. Ὥσπερ τούτου οὐκ ἴσμεν οὔτε ἀρχὴν ἡμερῶν, οὔτε ζωῆς τέλος, διὰ τὸ μὴ γεγράφθαι,
10 *οὕτως οὐκ ἴσμεν οὐδὲ τοῦ Ἰησοῦ, οὐ διὰ τὸ μὴ γεγράφθαι, ἀλλὰ διὰ τὸ μὴ εἶναι. Ἐκεῖνο μὲν γὰρ τύπος, καὶ διὰ τοῦτο ἀπὸ τοῦ μὴ εἶναι. Ὥσπερ γὰρ καὶ ἐν τοῖς ὀνόμασιν· ἐνταῦθα μὲν γὰρ προσηγορίαι ἦσαν βασιλεὺς δικαιοσύνης καὶ εἰρήνης, ἐκεῖ δὲ πραγμάτων ἀλήθεια· οὕτω καὶ ἐνταῦθα προσηγορίαι εἰσίν, ἐκεῖ δὲ πρα-*
15 *γμάτων ἀλήθεια. Πῶς οὖν ἀρχὴν ἔχει; Ὁρᾷς ἄναρχον τὸν Υἱόν, οὐ κατὰ τὸ μὴ ἔχειν αἴτιον (τοῦτο γὰρ ἀδύνατον· ἔχει γὰρ Πατέρα· ἐπεὶ πῶς υἱός;), ἀλλὰ κατὰ τὸ μὴ ἔχειν ἀρχὴν ζωῆς, μήτε τέλος.*

«Ἀφωμοιωμένος δέ», φησί, «τῷ Υἱῷ τοῦ Θεοῦ». Καὶ ποῦ
20 *ἡ ὁμοιότης; Ὅτι καὶ τούτου κἀκείνου τὸ τέλος ἀγνοοῦμεν, καὶ τὴν ἀρχήν· ἀλλὰ τούτου μὲν παρὰ τὸ μὴ γεγράφθαι, ἐκείνου δὲ παρὰ τὸ μὴ εἶναι. Ἐνταῦθα ἡ ὁμοιότης. Εἰ δὲ πανταχοῦ ἔμελλεν ἡ ὁμοιότης εἶναι, οὐκέτι τύπος ἦν καὶ ἀλήθεια, ἀλλὰ τύπος τὰ ἀμφότερα. Οὕτω καὶ ἐν ταῖς σκιαγραφουμέναις εἰκόσι γινόμενον*
25 *ἴδοι τις ἄν· ἐν ἐκείνοις γάρ ἐστι μέν τι καὶ ὅμοιον, ἔστι δὲ καὶ ἀνόμοιον· διὰ μὲν γὰρ τῆς ἁπλῶς γραφῆς ὁμοιότης τίς ἐστι τοῦ χαρακτῆρος, τῶν χρωμάτων δὲ ἐπιτεθέντων, τότε φανερῶς δείκνυται ἡ διαφορά, καὶ τὸ ὅμοιον καὶ το ἀνόμοιον.*

«Θεωρεῖτε δέ», φησί, «πηλίκος οὗτος, ᾧ καὶ δεκάτην
30 *Ἀβραὰμ ἔδωκεν ἐκ τῶν ἀκροθινίων ὁ πατριάρχης». Τέως ἥρμοσε τὸν τύπον. Θαρρῶν λοιπὸν δείκνυσι αὐτὸν τῶν ἀληθι-*

τὸ ἀξίωμα οὔτε πότε πέθανε. Καὶ τί σημασία, λέγει, ἔχει αὐτό; Μήπως, ἐπειδὴ ἐμεῖς δὲ γνωρίζουμε, δὲν πέθανε ἢ δὲν εἶχε γονεῖς; Σωστὰ λές, καὶ πέθανε καὶ γονεῖς εἶχε. Πῶς λοιπὸν «δὲν εἶχε πατέρα οὔτε μητέρα»; Πῶς «οἱ ἡμέρες του δὲν εἶχαν ἀρχὴ οὔτε ἡ ζωή του τέλος»; Πῶς; Μὲ τὸ νὰ μὴ γίνεται λόγος στὴ Γραφή. Καὶ τί σημασία ἔχει αὐτό; Ὅτι, ὅπως ἀκριβῶς αὐτὸς δὲν εἶχε πατέρα μὲ τὸ νὰ μὴν ὑπάρχει ἡ γενεαλογία του, ἔτσι καὶ ὁ Χριστὸς δὲν εἶχε ὡς πρὸς τὴ φύση τοῦ πράγματος.

2. Νὰ τὸ ἄναρχο, νὰ τὸ ἀτελεύτητο. Ὅπως γι' αὐτὸν δὲ γνωρίζουμε οὔτε τὴν ἀρχὴ τῶν ἡμερῶν του οὔτε τὸ τέλος τῆς ζωῆς του, ἐπειδὴ δὲν εἶναι γραμμένα, ἔτσι καὶ γιὰ τὸν Ἰησοῦ δὲ γνωρίζουμε, ὄχι γιατὶ δὲν εἶναι γραμμένα, ἀλλὰ γιατὶ δὲν ὑπάρχουν. Ἐκεῖνο δηλαδὴ ἦταν τύπος, καὶ γι' αὐτὸ δὲν τὸ γνωρίζουμε, ἐπειδὴ δὲν εἶναι γραμμένο· αὐτὸ ὅμως εἶναι ἀλήθεια, καὶ γι' αὐτὸ δὲν τὸ γνωρίζουμε, ἐπειδὴ δὲν ὑπάρχει. Ὅπως δηλαδὴ καὶ στὰ ὀνόματα· γιατὶ ἐδῶ οἱ ὀνομασίες ἦταν βασιλιὰς τῆς δικαιοσύνης καὶ τῆς εἰρήνης, ἐνῶ ἐκεῖ ἡ ἀλήθεια τῶν πραγμάτων· ἔτσι λοιπὸν ἐδῶ εἶναι ὀνομασίες, ἐνῶ ἐκεῖ ἀλήθεια τῶν πραγμάτων. Πῶς λοιπὸν ἔχει ἀρχή; Βλέπεις ἄναρχο τὸν Υἱό, ὄχι ἐπειδὴ δὲν ἔχει αἰτία (γιατὶ αὐτὸ εἶναι ἀδύνατο· ἔχει λοιπὸν Πατέρα· γιατὶ πῶς θὰ ἦταν Υἱός;), ἀλλὰ γιατὶ ἡ ζωή του δὲν ἔχει ἀρχὴ οὔτε τέλος.

«Ἐξομοιωμένος», λέγει, «μὲ τὸν Υἱὸ τοῦ Θεοῦ». Καὶ ποῦ εἶναι ἡ ὁμοιότητα; Στὸ ὅτι δὲ γνωρίζουμε τὸ τέλος καὶ τὴν ἀρχὴ οὔτε αὐτοῦ οὔτε ἐκείνου, ἀλλ' ἐκείνου γιατὶ δὲν εἶναι γραμμένο, ἐνῶ αὐτοῦ γιατὶ δὲν ὑπάρχει. Ἐδῶ εἶναι ἡ ὁμοιότητα. Ἂν ὅμως ἐπρόκειτο νὰ ὑπάρχει παντοῦ ὁμοιότητα, δὲ θὰ ἦταν τότε τύπος καὶ ἀλήθεια, ἀλλὰ καὶ τὰ δύο θὰ ἦταν τύπος. Αὐτὸ θὰ μποροῦσε νὰ δεῖ κανεὶς νὰ γίνεται καὶ στὶς ζωγραφιστὲς εἰκόνες. Γιατὶ σ' ἐκεῖνες ὑπάρχει βέβαια κάτι ὅμοιο, ὑπάρχει ὅμως καὶ κάτι ἀνόμοιο· κατὰ τὸ ἁπλὸ σχεδίασμα ὑπάρχει κάποια ὁμοιότητα τοῦ χαρακτήρα, ἀλλὰ μὲ τὴν προσθήκη τῶν χρωμάτων τότε φανερώνεται καλὰ ἡ διαφορά, καὶ τὸ ὅμοιο καὶ τὸ ἀνόμοιο.

«Σκεφθεῖτε», λέγει, «πόσο μεγάλος ἦταν αὐτός, ἀφοῦ καὶ ὁ πατριάρχης Ἀβραὰμ τοῦ ἔδωσε τὸ ἕνα δέκατο ἀπὸ τὰ λάφυρα». Πρῶτα προσάρμοσε τὸν τύπο. Στὴ συνέχεια μὲ θάρρος δεί-

*νῶν πραγμάτων τῶν παρὰ Ἰουδαίοις λαμπρότερον. Εἰ δὲ ὁ τύπον ἔχων τοῦ Χριστοῦ τοσοῦτον, οὐ τῶν ἱερέων, ἀλλὰ καὶ αὐτοῦ τοῦ προπάτορος τῶν ἱερέων βελτίων, τί ἂν τις εἴποι περὶ τῆς ἀληθείας; Ὁρᾷς ἐξ ὅσης περιουσίας δείκνυσι τὴν ὑπεροχήν;
5 «Θεωρεῖτε δέ», φησί, «πηλίκος οὗτος, ᾧ καὶ δεκάτην ἔδωκεν Ἀβραὰμ ἐκ τῶν ἀκροθινίων ὁ πατριάρχης». «Ἀκροθίνια» τὰ λάφυρα λέγεται. Καὶ οὐκ ἔστιν εἰπεῖν, ὅτι ὡς μετασχόντι τοῦ πολέμου ἔδωκε· διὰ γὰρ τοῦτο εἶπεν, «ὑπήντησεν ὑποστρέφοντι ἀπὸ τῆς κοπῆς τῶν βασιλέων»· δηλῶν ὅτι οἴκοι ἐκάθητο, καὶ
10 ὅτι τῶν αὐτῷ πεπονημένων τὰς ἀπαρχὰς ἔδωκε.*

*«Καὶ οἱ μὲν ἐκ τῶν υἱῶν Λευὶ τὴν ἱερατείαν λαμβάνοντες, ἐντολὴν ἔχουσιν ἀποδεκατοῦν τὸν λαὸν κατὰ τὸν νόμον, τουτέστι, τοὺς ἀδελφοὺς αὐτῶν, καίπερ ἐξεληλυθότας ἐκ τῆς ὀσφύος Ἀβραάμ». Τοσαύτη, φησί, τῆς ἱερωσύνης ἡ ὑπερβολή, ὥστε
15 τοὺς ὁμοτίμους ἀπὸ προγόνων καὶ τὸν αὐτὸν ἔχοντας προπάτορα, πολλῷ βελτίους εἶναι τῶν ἄλλων. Δεκάτας γοῦν παρ' ἐκείνων λαμβάνουσιν. Ὅταν οὖν εὑρεθῇ τις παρ' αὐτῶν τούτων δεκάτας λαμβάνων, ἆρα οὐχ οὗτοι μὲν ἐν τάξει λαϊκῶν, ἐκεῖνος δὲ ἐν τοῖς ἱερεῦσι; Καὶ οὐ τοῦτο μόνον, ἀλλ' οὐδὲ ὁμότιμος ἦν αὐ-
20 τοῖς, ἀλλ' ἐξ ἑτέρου γένους. Ὥστε οὐκ ἂν ἔδωκεν ἀλλοφύλῳ δεκάτας, εἰ μὴ πολλὴ ἦν ἡ τιμή. Βαβαί, τί εἰργάσατο; μεῖζον ἢ τὰ κατὰ τὴν πίστιν ἐν τῇ πρὸς Ρωμαίους κινῶν ἐπιστολῇ διεσάφησεν. Ἐκεῖ μὲν γὰρ καὶ τῆς ἡμετέρας καὶ τῆς ἰουδαϊκῆς πολιτείας τὸν Ἀβραὰμ προπάτορα εἶναί φησιν, ἐνταῦθα δὲ αὐτοῦ σφόδρα
25 κατατολμᾷ, καὶ δείκνυσι τὸν ἀκρόβυστον πολλῷ βελτίονα. Πῶς οὖν ἔδειξεν; ὅτι Λευὶ δεκάτας ἔδωκεν; Ὁ Ἀβραάμ, φησίν, ἔδωκε. Καὶ τί πρὸς ἡμᾶς τοῦτο; Μάλιστα μὲν οὖν πρὸς ὑμᾶς· οὐ γὰρ δὴ φιλονεικήσετε τοὺς Λευίτας βελτίονας εἶναι τοῦ Ἀβραάμ.*

*«Ὁ δὲ μὴ γενεαλογούμενος ἐξ αὐτῶν, δεδεκάτωκε τὸν
30 Ἀβραάμ». Εἶτα καὶ οὐχ ἁπλῶς παρῆλθεν, ἀλλὰ προσέθηκε, «καὶ τὸν ἔχοντα τὰς ἐπαγγελίας εὐλόγησεν». Ἐπειδὴ ἄνω καὶ κάτω τοῦτο ἦν τὸ σεμνὸν Ἰουδαίοις, δείκνυσιν ἐκείνου ὄντα σε-*

χνει ὅτι αὐτὸς εἶναι λαμπρότερος ἀπὸ τὰ ἀληθινὰ πράγματα τῶν Ἰουδαίων. Ἂν ὅμως αὐτὸς ποὺ ἦταν τύπος τοῦ Χριστοῦ ἦταν τόσο πολὺ ἀνώτερος ὄχι ἀπὸ τοὺς ἱερεῖς, ἀλλὰ καὶ ἀπὸ τὸν ἴδιο τὸν προπάτορα τῶν ἱερέων, τί θὰ μποροῦσε νὰ πεῖ κανεὶς γιὰ τὴν ἀλήθεια; Βλέπεις πόσο ἔντονα δείχνει τὴν ὑπεροχή; «Σκεφθεῖτε», λέγει, πόσο μεγάλος ἦταν αὐτός, ἀφοῦ καὶ ὁ πατριάρχης Ἀβραὰμ τοῦ ἔδωσε τὸ ἕνα δέκατο ἀπὸ τὰ λάφυρα». «Ἀκροθίνια» ὀνομάζονται τὰ λάφυρα. Καὶ δὲν μπορεῖ κανεὶς νὰ πεῖ ὅτι τοῦ ἔδωσε ἐπειδὴ πῆρε μέρος στὸν πόλεμο. Γι' αὐτὸ ἀκριβῶς εἶπε ὅτι τὸν συνάντησε ὅταν ἐπέστρεφε ἀπὸ τὴν κατατρόπωση τῶν βασιλέων, φανερώνοντας μ' αὐτὸ ὅτι ἔμενε στὸ σπίτι του καὶ ὅτι τοῦ ἔδωσε τὶς ἀπαρχὲς ἀπὸ ἐκεῖνα ποὺ μὲ κόπο ἀπέκτησε.

«Καὶ ὅσοι ἀπὸ τοὺς ἀπογόνους τοῦ Λευῒ γίνονται ἱερεῖς ἔχουν ἐντολὴ σύμφωνα μὲ τὸ νόμο νὰ παίρνουν τὸ ἕνα δέκατο ἀπὸ τὸ λαό, δηλαδή, ἀπὸ τοὺς ἀδελφούς τους, παρ' ὅλο ποὺ καὶ αὐτοὶ κατάγονται ἀπὸ τὸν Ἀβραάμ». Τόσο μεγάλη λέγει εἶναι ἡ ὑπεροχὴ τῆς ἱερωσύνης, ὥστε, ὅσοι ἀπὸ τοὺς ἀπογόνους κατέχουν τὸ ἴδιο ἀξίωμα καὶ ἔχουν τὸν ἴδιο προπάτορα, νὰ εἶναι πολὺ ἀνώτεροι ἀπὸ τοὺς ἄλλους. Παίρνουν ἀπ' αὐτοὺς τὸ ἕνα δέκατο. Ὅταν λοιπὸν βρεθεῖ κάποιος νὰ παίρνει τὰ δέκατα ἀπ' αὐτοὺς τοὺς ἴδιους, ἄραγε αὐτοὶ δὲν ἀνήκουν στὴν τάξη τῶν λαϊκῶν καὶ ἐκεῖνος στοὺς ἱερεῖς; Κι ὄχι μόνο αὐτό, ἀλλ' οὔτε ἰσότιμος ἦταν μ' αὐτούς, ἀλλὰ ἀπὸ ἄλλο γένος. Ὥστε δὲ θὰ ἔδινε σὲ ξένο δέκατα, ἂν δὲν ἦταν μεγάλη ἡ τιμή. Πώ–πώ, τί ἔκαμε; Διευκρίνισε τὸ πράγμα περισσότερο τώρα, παρὰ ὅταν μιλοῦσε γιὰ τὴν πίστη στὴν πρὸς Ρωμαίους ἐπιστολή. Γιατὶ ἐκεῖ λέγει ὅτι ὁ Ἀβραὰμ εἶναι γενάρχης καὶ τοῦ δικοῦ μας καὶ τοῦ ἰουδαϊκοῦ τρόπου ζωῆς, ἐνῶ ἐδῶ τὸν ὑποβιβάζει πολὺ καὶ δείχνει ὅτι ὁ ἀπερίτμητος εἶναι πολὺ ἀνώτερος. Πῶς λοιπὸν τὸ ἔδειξε; Καὶ τί σχέση ἔχει αὐτὸ μὲ μᾶς; Πρὸ πάντων μὲ ἐμᾶς ἔχει σχέση· γιατὶ δὲ θὰ ἰσχυρισθεῖτε ὅτι οἱ λευίτες εἶναι ἀνώτεροι ἀπὸ τὸν Ἀβραάμ.

«Ὁ Μελχισεδὲκ ὅμως, ἂν καὶ δὲν κατάγεται ἀπὸ τὴ γενεὰ τοῦ Λευί, πῆρε τὸ ἕνα δέκατο ἀπὸ τὸν Ἀβραάμ». Στὴ συνέχεια δὲν τὸ ξεπέρασε ἔτσι ἁπλῶς, ἀλλὰ καὶ πρόσθεσε· «καὶ εὐλόγησε ἐκεῖνον ποὺ εἶχε τὶς ἐπαγγελίες». Ἐπειδὴ αὐτὸ ἦταν παντοῦ τὸ

μνότερον ἐκεῖνον, καὶ ἀπὸ τῆς κοινῆς κρίσεως ἁπάντων. «Χωρὶς δὲ πάσης ἀντιλογίας», φησί, «τὸ ἔλαττον ὑπὸ τοῦ κρείττονος εὐλογεῖται». Τουτέστι, πᾶσι δοκεῖ τὸ ἔλαττον ὑπὸ τοῦ κρείττονος εὐλογεῖσθαι. Οὐκοῦν κρείττων ὁ τύπος τοῦ Χριστοῦ,
5 *καὶ αὐτοῦ τοῦ τὰς ἐπαγγελίας ἔχοντος.*

«Καὶ ὧδε μὲν δεκάτας ἀποθνήσκοντες ἄνθρωποι λαμβάνουσιν, ἐκεῖ δέ, μαρτυρούμενος ὅτι ζῇ». Ἀλλ' ἵνα ἐκεῖνα μὴ εἴπωσι, τί ἄνω ἀπέρχῃ; τί πρὸς τοὺς ἱερέας ἡμῶν, εἰ Ἀβραὰμ δεκάτην ἔδωκεν; εἰπὲ τὰ εἰς ἡμᾶς· ἐπάγει καὶ λέγει· «καί, ὡς ἔπος
10 *εἰπεῖν». Καὶ καλῶς αὐτὸ ἐκάλεσε, φανερῶς μὴ εἰπών, ἵνα μη πλήξῃ. «Διὰ Ἀβραὰμ καὶ Λευὶ ὁ δεκάτας λαμβάνων δεδεκάτωται». Πῶς; «Ἔτι γὰρ ἐν τῇ ὀσφύι τοῦ πατρὸς ἦν, ὅτε συνήντησεν αὐτῷ ὁ Μελχισεδέχ». Τουτέστιν, ἐν αὐτῷ ἦν ὁ Λευὶ καὶ μήπω τεχθείς, δι' αὐτοῦ τὴν δεκάτην ἐδίδου. Ὅρα, οὐκ εἶπεν, οἱ Λευῖ-*
15 *ται, ἀλλ' ὁ Λευί· τὸ μεῖζον, ὡς ἤθελε, κἀντεῦθεν συνάγων εἰς ὑπερβολήν.*

Εἶδες πόσον τὸ μέσον τοῦ Ἀβραὰμ καὶ τοῦ Μελχισεδὲχ τοῦ τὸν τύπον φέροντος τοῦ ἀρχιερέως τοῦ ἡμετέρου; Καὶ δείκνυσι τὴν ὑπεροχὴν ἐξουσίᾳ, οὐκ ἀνάγκῃ γεγενημένην. Ἐκεῖνος
20 *γὰρ ἔδωκε τὴν δεκάτην, ὅπερ ἐστὶν ἱερέως, οὗτος εὐλόγησεν, ὅπερ ἐστὶ κρείττονος. Αὕτη ἡ ὑπεροχὴ καὶ εἰς τοὺς ἐκγόνους διαβαίνει. Θαυμαστῶς καὶ περιγεγονότως ἔρριψεν ἔξω τὰ ἰουδαϊκά. Διὰ τοῦτο ἄρα ἔλεγε, «νωθροὶ γεγόνατε», ἐπειδὴ ταῦτα καταβαλέσθαι ἐβούλετο, ὥστε μὴ ἀποσκιρτῆσαι αὐτούς. Τοιαύτη γὰρ*
25 *ἡ σοφία τοῦ Παύλου· προκατασεκυάζων πρῶτον, οὕτως ἐμβάλλει εἰς ἃ βούλεται. Δυσπειθὲς γὰρ τὸ γένος τὸ ἀνθρώπινον καὶ πολλῆς δεόμενον ἐπιμελείας, καὶ πλείονος ἢ τὰ φυτά. Ἐκεῖ μὲν γὰρ φύσις σωμάτων ἐστὶ καὶ γῆς, εἴκουσα ταῖς τῶν γηπόνων χερσίν, ἐνταῦθα δὲ προαίρεσις, πολλὰς δεχομένη μεταβολάς, καὶ*
30 *νῦν μὲν τοῦτο, νῦν δὲ ἐκεῖνο αἱρουμένη· ὀξυρρεπὴς γὰρ αὕτη πρὸς κακίαν.*

---

3. Ἑβρ. 5,11.

καύχημα τῶν Ἰουδαίων, δείχνει καὶ ἀπὸ τὴν κοινὴ κρίση ὅλων, ὅτι ὁ Μελχισεδὲκ ἦταν σπουδαιότερος ἀπὸ τὸν Ἀβραάμ. «Χωρὶς καμμιὰ ἀντίρρηση», λέγει, τὸ κατώτερο εὐλογεῖται ἀπὸ τὸ ἀνώτερο». Δηλαδή, ὅλοι πιστεύουν ὅτι τὸ κατώτερο εὐλογεῖται ἀπὸ τὸ ἀνώτερο. Ἑπομένως ὁ τύπος τοῦ Χριστοῦ εἶναι ἀνώτερος καὶ ἀπὸ ἐκεῖνον ποὺ εἶχε τὶς ἐπαγγελίες.

«Καὶ ἐδῶ βέβαια παίρνουν τὰ δέκατα ἄνθρωποι ποὺ πεθαίνουν, ἐκεῖ ὅμως τὰ πῆρε ἐκεῖνος πού, ὅπως μαρτυροῦν οἱ Γραφές, ζεῖ». Ἀλλὰ γιὰ νὰ μὴ ποῦν ἐκεῖνα, 'γιατί ἐπανέρχεσαι στὰ προηγούμενα; τί σημασία ἔχει γιὰ τοὺς ἱερεῖς μας, ἂν ὁ Ἀβραὰμ ἔδωσε τὸ ἕνα δέκατο; πὲς αὐτὰ ποὺ ἐνδιαφέρουν ἐμᾶς', προσθέτει καὶ λέγει· «καὶ ὅπως θὰ μποροῦσε νὰ πεῖ κάποιος». Σωστὰ τὸ εἶπε αὐτὸ καὶ δὲ μίλησε φανερά, γιὰ νὰ μὴν τοὺς πλήξει. «Μέσω τοῦ Ἀβραὰμ ἔδωσε τὸ ἕνα δέκατο καὶ ὁ Λευί, αὐτὸς ποὺ παίρνει δέκατα». Μὲ ποιόν τρόπο; «Γιατὶ ὁ Λευὶ ἦταν ἀκόμη στὰ σπλάχνα τοῦ Ἀβραάμ, ὅταν τὸν συνάντησε ὁ Μελχισεδέκ». Δηλαδή, μέσα του ἦταν ὁ Λευί, ἂν καὶ δὲν εἶχε γεννηθεῖ ἀκόμη, καὶ μέσω τοῦ Ἀβραὰμ ἔδινε τὴ δεκάτη. Πρόσεχε, δὲν εἶπε, 'οἱ λευίτες', ἀλλὰ «ὁ Λευΐ»· συμπεραίνοντας ἀπὸ ἐδῶ, ὅπως ἤθελε, τὸ ἀνώτερο, ποὺ ἀποδεικνύει τὴν ὑπεροχή.

Εἶδες πόση εἶναι ἡ διαφορὰ μεταξὺ τοῦ Ἀβραὰμ καὶ τοῦ Μελχισεδὲκ ποὺ ἔφερε τὸν τύπο τοῦ δικοῦ μας ἀρχιερέα; Καὶ δείχνει ὅτι ἡ ὑπεροχὴ ἔχει γίνει ἀπὸ ἐξουσία καὶ ὄχι ἀπὸ ἀνάγκη. Γιατὶ ἐκεῖνος ἔδωσε τὴ δεκάτη, πράγμα ποὺ ἀνήκει σὲ ἱερέα· ἐκεῖνος εὐλόγησε, πράγμα ποὺ ἀνήκει σὲ ἀνώτερο. Αὐτὴ ἡ ὑπεροχὴ μεταφέρεται καὶ στοὺς ἀπογόνους. Μὲ θαυμαστὸ τρόπο καὶ μὲ ἐπιτυχία ἔρριξε ἔξω τὰ ἰουδαϊκὰ πράγματα. Ἄρα γι' αὐτὸ ἔλεγε, «γίνατε νωθροί»[3], ἐπειδὴ ἤθελε νὰ θέσει αὐτὰ τὰ θεμέλια, ὥστε νὰ μὴν ἀπομακρυνθοῦν αὐτοί. Τέτοια δηλαδὴ εἶναι ἡ σοφία τοῦ Παύλου· πρῶτα προετοιμάζει καὶ ὕστερα ὁδηγεῖ σ' αὐτὰ ποὺ θέλει. Γιατὶ τὸ ἀνθρώπινο γένος δύσκολα πείθεται καὶ χρειάζεται πολλὴ φροντίδα, καὶ μάλιστα περισσότερη ἀπὸ τὰ φυτά. Γιατὶ ἐκεῖ ὑπάρχει ἡ φύση τῶν σωμάτων καὶ τῆς γῆς ποὺ πειθαρχεῖ στὰ χέρια τῶν γεωργῶν, ἐνῶ ἐδῶ ἡ προαίρεση, ποὺ μεταβάλλεται πολλὲς φορὲς καὶ προτιμᾶ ἄλλοτε αὐτὸ καὶ ἄλλοτε ἐκεῖνο, καθόσον ρέπει πολὺ εὔκολα πρὸς τὴν κακία.

3. Διὸ χρὴ πάντοτε φυλάττειν ἑαυτούς, μήποτε ἀπονυστάξωμεν. «Ἰδοὺ» γάρ, φησίν, «οὐ νυστάξει, οὐδὲ ὑπνώσει, ὁ φυλάσσων τὸν Ἰσραήλ»· καί, «μὴ δῷς εἰς σάλον τὸν πόδα σου». Οὐκ εἶπε, 'μὴ σαλευθῇς', ἀλλὰ «μὴ δῷς». Ἄρα ἐφ' ἡμῖν τὸ δοῦναι,
5 καὶ οὐκ ἐφ' ἑτέρῳ τινί. Ἂν γὰρ ἐθέλωμεν ἑστάναι ἑδραῖοι καὶ ἀμετακίνητοι, οὐ σαλευθησόμεθα· τῷ γὰρ οὕτως εἰπεῖν, τοῦτο ᾐνίξατο. Τί οὖν; οὐδὲν ἐπὶ τῷ Θεῷ; Πάντα μὲν ἐπὶ τῷ Θεῷ· ἀλλ' οὐχ οὕτως, ὥστε τὸ αὐτεξούσιον ἡμῶν βλάπτεσθαι. Εἰ τοίνυν ἐπὶ τῷ Θεῷ, φησί, τί ἡμᾶς αἰτιᾶται; Διὰ τοῦτο εἶπον, οὐχ οὕτως,
10 ὥστε τὸ αὐτεξούσιον ἡμῶν μὴ βλάπτεσθαι. Ἐφ' ἡμῖν ἐστι τοίνυν, καὶ ἐπ' αὐτῷ· δεῖ γὰρ ἡμᾶς πρῶτον ἑλέσθαι τὰ ἀγαθά, καὶ ὅτε ἑλώμεθα ἡμεῖς, τότε καὶ αὐτὸς τὰ παρ' ἑαυτοῦ εἰσάγει. Οὐ προφθάνει τὰς ἡμετέρας βουλήσεις, ἵνα μὴ λυμήνηται τὸ αὐτεξούσιον ἡμῶν· ὅταν δὲ ἡμεῖς ἑλώμεθα, τότε πολλὴν εἰσάγει τὴν
15 βοήθειαν ἡμῖν.

Πῶς οὖν, εἰ καὶ ἐφ' ἡμῖν ἐστιν, ὁ Παῦλός φησιν, «οὐ τοῦ θέλοντος, οὐδὲ τοῦ τρέχοντος, ἀλλὰ τοῦ ἐλεοῦντος Θεοῦ»; Πρῶτον μὲν οὐχ ὡς ἰδίαν γνώμην εἰσήγαγεν, ἀλλ' ὡς ἐκ τοῦ προκειμένου αὐτὸ συνήγαγε, καὶ ἐκ τοῦ προβληθέντος. Εἰπὼν
20 γάρ, «γέγραπται, ἐλεήσω ὃν ἂν ἐλεῶ, καὶ οἰκτειρήσω ὃν ἂν οἰκτείρω», ἐπήγαγεν, «ἄρα οὖν οὐ τοῦ θέλοντος, οὐδὲ τοῦ τρέχοντος, ἀλλὰ τοῦ ἐλεοῦντος Θεοῦ». Ἐρεῖς οὖν μοι, τί ἔτι μέμφεται; Δεύτερον δέ, ἐκεῖνον ἔστιν εἰπεῖν, ὅτι οὗ τὸ πλέον ἐστί, τὸ πᾶν φησιν εἶναι. Ἡμῶν γὰρ τὸ προελέσθαι καὶ βουληθῆναι, Θεοῦ δὲ
25 τὸ ἀνύσαι καὶ εἰς τέλος ἀγαγεῖν. Ἐπεὶ οὖν ἐκείνου τὸ πλέον ἐστί, τὸ πᾶν ἐκείνου εἶναί φησι, κατὰ τὴν συνήθειαν τὴν ἀνθρωπίνην τοῦτο λέγων.

Οὕτω γὰρ καὶ ἡμεῖς ποιοῦμεν· οἷόν τι λέγω· ὁρῶμεν οἰκίαν οἰκοδομουμένην καλῶς καὶ λέγομεν, τὸ πᾶν τοῦ τεχνίτου ἐστί·
30 καίτοι γε οὐ τὸ πᾶν αὐτοῦ ἐστιν, ἀλλὰ καὶ τῶν ἐργατῶν, καὶ τοῦ τὴν ὕλην παρασχόντος δεσπότου, καὶ πολλῶν ἑτέρων· ἀλλ'

---

4. Ψαλμ. 120,4.3.
5. Ρωμ. 9,16.
6. Ρωμ. 9,15.

3. Γι' αὐτὸ πρέπει πάντοτε νὰ ἐπαγρυπνοῦμε μήπως νυστάξουμε. Γιατὶ λέγει, «νά, δὲ θὰ νυστάξει, οὔτε θὰ κοιμηθεῖ αὐτὸς ποὺ προφυλάσσει τὸν ἰσραηλιτικὸ λαό», καὶ «νὰ μὴν ἀφήσεις νὰ σαλευθεῖ τὸ πόδι σου»[4]. Δὲν εἶπε, 'νὰ μὴ σαλευθεῖς', ἀλλά, «νὰ μὴν ἀφήσεις». Ἄρα ἀπὸ μᾶς ἐξαρτᾶται ν' ἀφήσουμε νὰ σαλευθεῖ, καὶ ὄχι ἀπὸ κάποιον ἄλλο. Ἂν θέλουμε δηλαδὴ νὰ σταθοῦμε σταθεροὶ καὶ ἀμετακίνητοι, δὲ θὰ σαλευθοῦμε. Γιατὶ μὲ τὸ νὰ μιλήσει ἔτσι, αὐτὸ ὑπαινίχθηκε. Τί λοιπόν; Τίποτε δὲν ἐξαρτᾶται ἀπὸ τὸ Θεό; Ὅλα βέβαια ἐξαρτῶνται ἀπὸ τὸ Θεό, ἀλλὰ ὄχι ἔτσι, ὥστε νὰ βλάπτεται τὸ αὐτεξούσιό μας. Ἂν λοιπόν, λέγει, ἐξαρτῶνται ἀπὸ τὸ Θεό, γιατί μᾶς κατηγορεῖ; Γι' αὐτὸ εἶπα, ὄχι ἔτσι, ὥστε νὰ μὴ βλάπτεται τὸ αὐτεξούσιό μας. Ἀπὸ μᾶς λοιπὸν ἐξαρτᾶται καὶ ἀπ' αὐτόν. Ἐμεῖς πρέπει πρῶτα νὰ διαλέξουμε τὰ ἀγαθά, καὶ ὅταν τὰ διαλέξουμε ἐμεῖς, τότε προσφέρει καὶ αὐτὸς τὰ δικά του. Δὲν ἐνεργεῖ πρὶν ἀπὸ τὴ δική μας θέληση, γιὰ νὰ μὴν καταστρέψει τὸ αὐτεξούσιό μας. Ὅταν ὅμως διαλέξουμε τὰ ἀγαθά, τότε μᾶς προσφέρει μεγάλη τὴ βοήθειά του.

Πῶς λοιπόν, ἂν ἐξαρτᾶται καὶ ἀπὸ μᾶς, ὁ Παῦλος λέγει, «ὅλα ἐξαρτῶνται ἀπὸ τὸ ἔλεος τοῦ Θεοῦ, καὶ ὄχι ἀπὸ τὴν ἀνθρώπινη θέληση καὶ προσπάθεια»[5]; Πρῶτον, δὲν τὸ παρουσιάσε σὰν δική του γνώμη, ἀλλὰ τὸ συμπέρανε ἀπὸ ἐκεῖνο ποὺ συζητοῦσε καὶ ποὺ εἶχε προηγηθεῖ. Γιατί, ἀφοῦ εἶπε «ἔχει γραφεῖ, θὰ ἐλεήσω ἐκεῖνον ποὺ θέλω νὰ ἐλεήσω καὶ θὰ εὐσπλαχνισθῶ ἐκεῖνον ποὺ θέλω νὰ εὐσπλαχνισθῶ»[6], πρόσθεσε· «ἄρα λοιπὸν ὅλα ἐξαρτῶνται ἀπὸ τὸ Θεό, καὶ ὄχι ἀπὸ τὴν ἀνθρώπινη θέληση καὶ προσπάθεια». Θὰ μοῦ πεῖς ὅμως, 'γιατί κατηγορεῖ ἀκόμη;' Δεύτερον, μποροῦμε νὰ ποῦμε ἐκεῖνο, ὅτι δηλαδὴ σ' ἐκεῖνον ποὺ ἀνήκει τὸ περισσότερο, σ' αὐτὸν λέμε ὅτι ἀνήκει τὸ πᾶν. Σ' ἐμᾶς ἀνήκει ἡ ἀπόφαση καὶ ἡ θέληση, ἀλλὰ στὸ Θεὸ ἡ ἐκπλήρωση καὶ ἡ πραγματοποίηση. Ἀφοῦ λοιπὸν σ' ἐκεῖνον ἀνήκει τὸ περισσότερο, λέγει πὼς ὅλο ἀνήκει σ' ἐκεῖνον, λέγοντας αὐτὸ κατὰ τὴ συνήθεια τῶν ἀνθρώπων.

Τὸ ἴδιο ἀκριβῶς κάνουμε καὶ ἐμεῖς. Ἐννοῶ τὸ ἑξῆς μ' αὐτὸ ποὺ λέγω· βλέπουμε νὰ κτίζεται καλὰ μία οἰκία καὶ λέμε, τὸ πᾶν εἶναι τοῦ τεχνίτη· ἂν καὶ βέβαια δὲν εἶναι τὸ πᾶν δικό του, ἀλλὰ καὶ τῶν ἐργατῶν καὶ τοῦ ἰδιοκτήτη ποὺ πρόσφερε τὰ ὑλικὰ καὶ

ὅμως, ἐπειδὴ τὸ πλέον ἐκεῖνος εἰσήνεγκεν, ἐκείνου τὸ πᾶν εἶναι λέγομεν. Οὕτω δὴ καὶ ἐνταῦθα. Καὶ πάλιν ἐπὶ πλήθους, ἔνθα μὲν οἱ πολλοί, πάντας εἶναί φαμεν, ἔνθα δὲ ὀλίγοι, οὐδένα. Οὕτω καὶ Παῦλος ἐνταῦθά φησι τό, «οὐ τοῦ θέλοντος, οὐδὲ τοῦ τρέχοντος,
5 ἀλλὰ τοῦ ἐλεοῦντος Θεοῦ». Τοῦτο δὲ λέγων, δύο τὰ μέγιστα κατορθοῖ· ἓν μέν, τὸ μὴ ἐπαίρεσθαι ἐφ' οἷς κατορθοῦμεν· δεύτερον δέ, τὸ κατορθοῦντας ἀνατιθέναι τῷ Θεῷ τὴν τῶν κατορθουμένων αἰτίαν. Κἂν τρέχῃς τοίνυν, κἂν σπουδάζῃς, φησί, μὴ νόμιζε σὸν εἶναι τὸ κατόρθωμα· ἂν γὰρ μὴ τῆς ἄνωθεν τύχῃς ῥοπῆς,
10 πάντα εἰκῇ.

Πλὴν ὅτι τεύξῃ τοῦ σπουδαζομένου μετὰ τῆς ἐκεῖθεν συμμαχίας, εὔδηλόν ἐστιν· ἀλλ' ἂν τρέχῃς καὶ σύ, ἂν θέλῃς. Οὐ τοῦτο οὖν εἶπεν, ὅτι εἰκῇ τρέχομεν, ἀλλ' ὅτι εἰκῇ τρέχομεν, ἐὰν ἡμέτερον εἶναι τὸ πᾶν νομίζωμεν, ἐὰν μὴ τὸ πλέον ἀπονέμωμεν τῷ
15 Θεῷ. Οὔτε γὰρ αὐτοῦ εἶναι τὸ πᾶν ἠθέλησεν ὁ Θεός, ἵνα μὴ δόξῃ εἰκῇ στεφανοῦν ἡμᾶς, οὔτε ἡμῶν πάλιν, ἵνα μὴ εἰς ἀπόνοιαν ἐκπέσωμεν. Εἰ γὰρ το ἔλαττον μέρος ἔχοντες μεγάλα φρονοῦμεν, τί, εἰ τοῦ ὅλου κύριοι ἦμεν; πολλὰ γὰρ ὁ Θεὸς ἐποίησεν ὑπὲρ τοῦ τὴν ἀλαζονείαν ἡμῶν ἐκκόψαι. «Καὶ ἔτι ἡ χεὶρ αὐτοῦ ὑψηλή»,
20 φησί. Πόσοις ἡμᾶς πάθεσι περιέβαλεν, ὥστε ἐκκόψαι ἡμῶν τὸ φρόνημα, πόσοις ἐκύκλωσε θηρίοις; καὶ γὰρ ὅταν λέγωσί τινες, 'τί τοῦτο; εἰς τί τοῦτο;' παρὰ τὸ τῷ Θεῷ δοκοῦν ταῦτά φασιν. Ἐν τοσούτῳ σε φόβῳ κατέστησε, καὶ οὐδὲ οὕτω ταπεινοφρονεῖς, ἀλλὰ μικρᾶς εὐπραγίας ἂν ἐπιλάβῃ ποτέ, πρὸς αὐτὸν φθάνεις τὸν
25 οὐρανὸν τῷ φρονήματι.

4. Διὰ τοῦτο αἱ τάχισται μεταβολαὶ καὶ μεταπτώσεις, καὶ οὐδὲ οὕτω παιδευόμεθα· διὰ τοῦτο θάνατοι συνεχεῖς καὶ ἄωροι, ἡμεῖς δὲ ὡς ἀθάνατοι φρονοῦμεν, ὡς οὐδέποτε τεθνηξόμενοι· οὕτως ἁρπάζομεν, οὕτω πλεονεκτοῦμεν, ὡς οὐδέποτε δώσοντες λόγον·
30 οὕτως οἰκοδομοῦμεν, ὡς ἐνταῦθα μένοντες ἀεί, καὶ οὐδὲ ὁ τοῦ

---

7. Ἡσ. 5,25.

πολλῶν ἄλλων· ἀλλ' ὅμως, ἐπειδὴ ἐκεῖνος πρόσφερε τὸ περισσότερο, λέμε ὅτι τὸ πᾶν εἶναι δικό του. Τὸ ἴδιο λοιπὸν συμβαίνει καὶ ἐδῶ. Καὶ πάλι στὴν περίπτωση πλήθους, ὅπου εἶναι οἱ περισσότεροι, λέμε ὅτι εἶναι ὅλοι, ὅπου ὅμως εἶναι λίγοι, λέμε ὅτι δὲν εἶναι κανείς. Ἔτσι καὶ ὁ Παῦλος λέγει ἐδῶ ὅτι «ὅλα ἐξαρτῶνται ἀπὸ τὸ ἔλεος τοῦ Θεοῦ, καὶ ὄχι ἀπὸ τὴν ἀνθρώπινη θέληση καὶ προσπάθεια». Καὶ λέγοντας αὐτὸ κατορθώνει δύο πολὺ μεγάλα πράγματα· τὸ ἕνα, νὰ μὴν ὑπερηφανευόμαστε γι' αὐτὰ ποὺ κατορθώνουμε, καὶ τὸ δεύτερο, ὅταν κατορθώνουμε κάτι, ν' ἀναθέτουμε στὸ Θεὸ τὴν αἰτία τῶν κατορθωμάτων μας. Εἴτε ἀγωνίζεσαι λοιπόν, εἴτε προσπαθεῖς, λέγει, νὰ μὴ νομίζεις πὼς εἶναι δικό σου τὸ κατόρθωμα, γιατί, ἂν δὲν ἔχεις τὴν ἐνίσχυση ἀπὸ τὸ Θεό, τὰ πάντα γίνονται ἄσκοπα.

Ἀλλὰ τὸ ὅτι θὰ ἐπιτύχεις στὴν προσπάθειά σου μὲ τὴ βοήθεια τοῦ Θεοῦ εἶναι ὁλοφάνερο, ἀρκεῖ ὅμως καὶ σὺ νὰ προσπαθεῖς καὶ νὰ θέλεις. Δὲν εἶπε λοιπὸν αὐτό, ὅτι δηλαδὴ ἀγωνιζόμαστε ἄσκοπα, ἀλλ' ὅτι ἀγωνιζόμαστε ἄσκοπα ἂν νομίζουμε πὼς ὅλα εἶναι δικά μας, ἂν δὲν ἀποδίδουμε τὸ περισσότερο στὸ Θεό. Οὔτε βέβαια θέλησε ὁ Θεὸς τὰ πάντα νὰ εἶναι δικά του, γιὰ νὰ μὴ φανεῖ ὅτι μᾶς στεφανώνει χωρὶς λόγο· οὔτε πάλι θέλησε νὰ εἶναι δικά μας, γιὰ νὰ μὴν ἐκπέσουμε σὲ ἀλαζονεία. Γιατὶ ἄν, ἔχοντας τὸ μικρότερο μέρος, ἔχουμε μεγάλη ἰδέα γιὰ τὸν ἑαυτό μας, τί θὰ συνέβαινε ἂν ἦταν ὅλο στὴ δική μας ἐξουσία; Πολλὰ δηλαδὴ ἔκαμε ὁ Θεὸς γιὰ ν' ἀποκόψει τὴν ἀλαζονεία μας. «Ἀκόμη», λέγει, «τὸ χέρι του εἶναι ὑψωμένο»[7]. Μὲ πόσα πάθη μᾶς περιέβαλε, ὥστε νὰ ἀποκόψει τὴν ὑπερηφάνεια μας; μὲ πόσα θηρία μᾶς κύκλωσε; Γιατὶ καὶ ὅταν λένε μερικοί, 'γιατί αὐτό; σὲ τί ἀποβλέπει αὐτό;' τὰ λένε αὐτὰ ἀντίθετα πρὸς τὸ θέλημα τοῦ Θεοῦ. Σὲ ἔβαλε σὲ τόσο μεγάλο φόβο, καὶ οὔτε ἔτσι ταπεινοφρονεῖς, ἀλλά, ἂν κάποτε κάνεις μιὰ μικρὴ καλὴ πράξη, φθάνεις μὲ τὴν ὑπερηφάνειά σου στὸν ἴδιο τὸν οὐρανό.

4. Γι' αὐτὸ ὑπάρχουν οἱ ἀπότομες μεταβολὲς καὶ μεταπτώσεις, καὶ οὔτε ἔτσι διδασκόμαστε. Γι' αὐτὸ συμβαίνουν θάνατοι συχνοὶ καὶ πρόωροι, ἐμεῖς ὅμως σκεπτόμαστε σὰν ἀθάνατοι καὶ σὰν νὰ μὴν πρόκειται νὰ πεθάνουμε ποτέ. Ἔτσι ἁρπάζουμε, ἔτσι γινόμαστε πλεονέκτες, σὰν νὰ μὴν πρόκειται νὰ δώσουμε ποτὲ

Θεοῦ λόγος καθ' ἑκάστην ἡμέραν ἡμῖν ἐνηχούμενος, οὐδὲ αὐτὰ παιδεύει τὰ πράγματα. Οὐκ ἔστιν ἡμέραν, οὐκ ἔστιν ὥραν εἰπεῖν, ἐν ᾗ μὴ συνεχεῖς ἐστιν ἰδεῖν ἐκφοράς· ἀλλὰ πάντα μάτην, καὶ τῆς σκληρότητος ἡμῶν οὐδὲν καθικνεῖται. Οὐδὲ ἐν ταῖς ἑτέρων συμ-
5 *φοραῖς βελτίους γενέσθαι δυνάμεθα, μᾶλλον δέ, οὐδὲ θέλομεν· ἀλλ' ὅταν αὐτοὶ μόνοι πενθῶμεν, τότε συστελλόμεθα· κἂν ἀνῇ τὴν χεῖρα ὁ Θεός, πάλιν ἡμεῖς τὴν χεῖρα ἐπήραμεν.*

Οὐδεὶς τὰ ἄνω φρονεῖ, οὐδεὶς καταφρονεῖ τῶν ἐν τῇ γῇ, οὐδεὶς πρὸς τὸν οὐρανὸν ὁρᾷ· ἀλλ' ὥσπερ οἱ χοῖροι κάτω νεύου-
10 *σι, πρὸς τὴν γαστέρα κύπτοντες καὶ τῷ βορβόρῳ ἐγκαλινδούμενοι, οὕτω καὶ οἱ πολλοὶ τῶν ἀνθρώπων, βορβόρω χαλεπωτάτῳ ἑαυτοὺς μολύνοντες οὐκ αἰσθάνονται· βέλτιον γὰρ πηλῷ μολύνεσθαι ἀκαθάρτῳ, ἢ ἁμαρτήμασιν. Ὁ μὲν γὰρ ἐκεῖθεν μολυνθεὶς ἀπενίψατο ἐν βραχεῖ χρόνῳ καὶ γέγονεν ὅμοιος τῷ μηδὲ ἐμπε-*
15 *σόντι παρὰ τὴν ἀρχὴν εἰς ἐκεῖνο τὸ τέλμα, ὁ δὲ εἰς τὸ βάραθρον τῆς ἁμαρτίας ἐμπεσών, ἐδέξατο μολυσμὸν οὐχ ὕδατι καθαιρόμενον, ἀλλὰ πολλοῦ δεόμενον χρόνου, καὶ μετανοίας ἀκριβοῦς καὶ δακρύων καὶ κοπετῶν καὶ πλείονος θρήνου καὶ θερμοτέρου, ἢ ἐπὶ τοῖς φιλτάτοις ἐπιδείκνυσθε.*

20 *Οὗτος μὲν γὰρ ὁ ῥύπος ἔξωθεν ἡμῖν προσγίνεται, διὸ καὶ ταχέως αὐτὸν ἀποτιθέμεθα· ἐκεῖνο δὲ ἔνδοθεν τίκτεται, διὸ καὶ μόλις αὐτὸν ἀπονιπτόμενοι καθαιρόμεθα. «Ἐκ γὰρ τῆς καρδίας», φησίν, «ἐξέρχονται διαλογισμοὶ πονηροί, πορνεῖαι, μοιχεῖαι, κλοπαί, ψευδομαρτυρίαι». Διὸ καὶ ὁ προφήτης ἔλεγε·*
25 *«καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός»· ἕτερος δέ, «ἀπόπλυνον ἀπὸ κακίας τὴν καρδίαν σου, Ἱερουσαλήμ». Ὁρᾷς ὅτι τὸ κατορθοῦν καὶ ἡμῶν ἐστι καὶ τοῦ Θεοῦ; Καὶ πάλιν, «μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι αὐτοὶ τὸν Θεὸν ὄψονται». Οὐκοῦν γενώμεθα καθαροὶ εἰς δύναμιν τὴν ἡμετέραν· ἀποσμήξωμεν ἑαυτῶν*
30 *τὰ ἁμαρτήματα.*

Πῶς δὲ ἔστιν ἀποσμῆξαι; Ὁ προφήτης διδάσκει, λέγων,

---

8. Ματθ. 15,19. 9. Ψαλμ. 50,12.
10. Ἱερ. 4,14. 11. Ματθ. 5,8.

λόγο. Ἔτσι οἰκοδομοῦμε σὰν νὰ πρόκειται νὰ μένουμε πάντοτε ἐδῶ, καὶ οὔτε ὁ λόγος τοῦ Θεοῦ ποὺ καθημερινὰ ἠχεῖ στὰ αὐτιά μας οὔτε τὰ ἴδια τὰ πράγματα μᾶς διδάσκουν. Δὲν ὑπάρχει ἡμέρα δὲν ὑπάρχει ὥρα, ποὺ νὰ εἶναι δυνατὸ νὰ μὴ δοῦμε πολλὲς κηδεῖες. Ὅλα λοιπὸν γίνονται ἄσκοπα καὶ τίποτε δὲν ἀγγίζει τὴ σκληρότητά μας. Οὔτε μὲ τὶς συμφορὲς τῶν ἄλλων μποροῦμε νὰ γίνουμε καλύτεροι, ἢ καλύτερα, δὲ θέλουμε. Ἀλλὰ ὅταν πενθοῦμε μόνοι μας, τότε συστελλόμαστε· καὶ ἂν ὁ Θεος χαλαρώσει τὸ χέρι, πάλι ἐμεῖς σηκώνουμε τὸ χέρι.

Κανεὶς δὲ φρονεῖ τὰ οὐράνια, κανεὶς δὲν περιφρονεῖ τὰ γήινα, κανεὶς δὲ βλέπει πρὸς τὸν οὐρανό. Ὅπως οἱ χοῖροι κλίνουν τὸ κεφάλι πρὸς τὰ κάτω καὶ σκύβουν πρὸς τὴν κοιλιὰ καὶ κυλιένται στὸ βοῦρκο, ἔτσι καὶ οἱ περισσότεροι ἀπὸ τοὺς ἀνθρώπους μολύνοντας τὸν ἑαυτό τους μὲ τὸν πιὸ χειρότερο βοῦρκο δὲν αἰσθάνονται. Γιατὶ εἶναι προτιμότερο νὰ μολύνεται κανεὶς μὲ ἀκάθαρτη λάσπη, παρὰ μὲ ἁμαρτήματα. Ἐκεῖνος δηλαδὴ ποὺ μολύνθηκε ἀπὸ τὴ λάσπη καθαρίζεται πολὺ γρήγορα καὶ γίνεται ὅμοιος μ' ἐκεῖνον ποὺ ἀπὸ τὴν ἀρχὴ δὲν ἔπεσε καθόλου σ' ἐκεῖνο τὸ τέλμα. Ἐκεῖνος ὅμως ποὺ ἔπεσε στὸ βάραθρο τῆς ἁμαρτίας μολύνθηκε μὲ ἀκαθαρσία, ποὺ δὲν καθαρίζεται μὲ νερό, ἀλλὰ χρειάζεται πολὺ καιρὸ καὶ εἰλικρινὴ μετάνοια καὶ δάκρυα καὶ κοπετοὺς καὶ θρῆνο περισσότερο καὶ θερμότερο ἀπ' αὐτὸν ποὺ δείχνετε γιὰ αὐτοὺς ποὺ ἀγαπᾶτε.

Αὐτὴ ἡ ἀκαθαρσία μᾶς ἔρχεται ἀπὸ ἔξω, καὶ γι' αὐτὸ τὴν ἀποβάλλουμε γρήγορα. Ἐκείνη ὅμως γεννιέται ἀπὸ μέσα, καὶ γι' αὐτὸ μὲ δυσκολία τὴν ἐξαλείφουμε ὅταν τὴν καθαρίζουμε. Γιατὶ λέγει, «ἀπὸ τὴν καρδιὰ βγαίνουν σκέψεις πονηρές, πορνεῖες, μοιχεῖες, κλοπές, ψευδομαρτυρίες»[8]. Γι' αὐτὸ καὶ ὁ προφήτης ἔλεγε, «κτίσε μέσα μου καθαρὴ καρδιά, Θεέ»[9]· καὶ ἄλλος, «Ἰερουσαλήμ, καθάρισε τὴν καρδιά σου ἀπὸ τὴν κακία»[10]. Βλέπεις ὅτι τὸ κατόρθωμα εἶναι καὶ δικό μας καὶ τοῦ Θεοῦ; Καὶ πάλι, «μακάριοι ὅσοι εἶναι καθαροὶ στὴν καρδιά, γιατὶ αὐτοὶ θὰ δοῦν τὸ Θεό»[11]. Λοιπὸν ἂς γίνουμε καθαροί, ὅσο ἐπιτρέπουν οἱ δυνάμεις μας· ἂς καθαρίσουμε τὰ ἁμαρτήματά μας.

Πῶς ὅμως μποροῦμε νὰ τὰ καθαρίσουμε; Ὁ προφήτης δι-

«λούσασθε, καθαροὶ γίνεσθε, ἀφέλετε τὰς πονηρίας ὑμῶν ἀπὸ τῶν ψυχῶν ὑμῶν ἀπέναντι τῶν ὀφθαλμῶν μου». Τί ἐστιν, «ἀπέναντι τῶν ὀφθαλμῶν μου»; Ἐπειδή τινες εἶναι δοκοῦσιν ἀπόνηροι, ἀλλὰ τοῖς ἀνθρώποις, τῷ δὲ Θεῷ δῆλοι ὄντες τάφοι
5 *κεκονιαμένοι, διὰ τοῦτό φησιν, οὕτως ἀφέλετε, ὡς ἐγὼ ὁρῶ. «Μάθετε καλὸν ποιεῖν, ἐκζητήσατε κρίσιν, ταπεινὸν καὶ πένητα δικαιώσατε· καὶ δεῦτε καὶ διελεγχθῶμεν, λέγει Κύριος· καί, ἐὰν ὦσιν αἱ ἁμαρτίαι ὑμῶν ὡς φοινικοῦν, ὡς χιόνα λευκανῶ· ἐὰν δὲ ὦσιν ὡς κόκκινον, ὡσεὶ ἔριον λευκανῶ».*

10 *Ὁρᾷς ὅτι προτέρους ἡμᾶς ἑαυτοὺς δεῖ καθαίρειν, καὶ τότε ὁ Θεὸς καθαίρει; Πρῶτον γὰρ εἰπών, «λούσασθε, καθαροὶ γένεσθε», τότε ἐπήγαγεν, «ἐγὼ λευκανῶ». Μηδεὶς τοίνυν τῶν εἰς ἐσχάτην κακίαν ἡκόντων, ἀπογινωσκέτω ἑαυτοῦ· κἂν γὰρ εἰς ἕξιν, φησίν, ἔλθῃς, καὶ σχεδὸν εἰς φύσιν τῆς κακίας αὐτῆς, μὴ*
15 *φοβηθῇς. Διὰ γὰρ τοῦτο χρώματα οὐκ ἐξίτηλα, ἀλλὰ σχεδὸν συνουσιωμένα τοῖς ὑποκειμένοις λαβών, εἰς τὴν ἐναντίαν αὐτὰ ἔφησε κατάστασιν ἥξειν. Οὐ γὰρ ἁπλῶς πλύνειν, ἔφη, ἀλλ' ὡς χιόνα, καὶ ὡς ἔριον λευκαίνειν, ἵνα ἡμῖν χρηστὰς ὑποτείνῃ τὰς ἐλπίδας. Ἄρα μεγάλη τῆς μετανοίας ἡ δύναμις, εἴ γε ὡς χιόνα*
20 *ἡμᾶς ἐργάζεται, καὶ ὡς ἔριον λευκαίνει, κἂν προλαβοῦσα ἡ ἁμαρτία βάψῃ τὰς ἡμετέρας ψυχάς. Σπουδάσωμεν τοίνυν καθαροὶ γενέσθαι· οὐδὲν φορτικὸν ἐπέταξε· «κρίνατε ὀρφανῷ, καὶ δικαιώσατε χήραν», φησίν. Ὁρᾷς πανταχοῦ πῶς πολὺς τῷ Θεῷ ὁ τοῦ ἐλέους λόγος καὶ τῆς τῶν ἀδικουμένων προστασίας;*

25 *Ταῦτα μετίωμεν τὰ κατορθώματα, καὶ δυνησόμεθα τῇ χάριτι τοῦ Θεοῦ καὶ τῶν μελλόντων ἐπιτυχεῖν ἀγαθῶν, ὧν πάντας ἡμᾶς ἀξιοῦσθαι γένοιτο ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.*

---

12. Ἡσ. 1,16.
13. Ἡσ. 1,17.18.

δάσκει λέγοντας· «λουσθεῖτε, γίνετε καθαροί, ἀφαιρέστε τὶς κακίες ἀπὸ τὶς ψυχές σας, ὥστε νὰ εἶστε καθαροὶ ἐνώπιόν μου»[12]. Τί σημαίνει, «ἐνώπιόν μου»; Ἐπειδὴ μερικοὶ φαίνονται ὅτι δὲν εἶναι κακοί, στοὺς ἀνθρώπους ὅμως, ἐνῶ στὸ Θεὸ εἶναι φανεροὶ τάφοι ἀσβεστωμένοι, γι' αὐτὸ λέγει, ἔτσι ἀφαιρέστε αὐτές, ὅπως ἐγὼ βλέπω. «Νὰ μάθετε νὰ κάνετε τὸ καλό, νὰ ἐπιδιώξετε τὸ δίκαιο, νὰ δικαιώσετε τὸν ταπεινὸ καὶ φτωχό, καὶ ἐλᾶτε νὰ συζητήσουμε, λέγει ὁ Κύριος. Καὶ ἂν οἱ ἁμαρτίες σας εἶναι ἐρυθρές, θὰ τὶς κάνω λευκὲς σὰν τὸ χιόνι· ἂν ὅμως εἶναι κόκκινες, θὰ τὶς κάνω λευκὲς σὰν τὸ μαλλὶ τῶν προβάτων»[13].

Βλέπεις ὅτι πρέπει πρῶτα ἐμεῖς νὰ καθαρίζουμε τὸν ἑαυτό μας καὶ ὕστερα μᾶς καθαρίζει ὁ Θεός; Γιατί, ἀφοῦ πρῶτα εἶπε, «λουσθεῖτε, γίνετε καθαροί», ὕστερα πρόσθεσε, «ἐγὼ θὰ τὶς κάνω λευκές». Κανεὶς λοιπὸν ἀπ' αὐτοὺς ποὺ ἔφθασαν στὴ χειρότερη κακία ἂς μὴν ἀπελπίζεται. Γιατὶ καὶ ἂν ἀκόμη, λέγει, φθάσεις στὴ συνήθεια καὶ σχεδὸν στὴ φύση τῆς κακίας αὐτῆς, νὰ μὴ φοβηθεῖς. Γι' αὐτὸ παίρνοντας χρώματα ὄχι τέτοια ποὺ ξεβάφουν εὔκολα, ἀλλὰ σχεδὸν ἑνωμένα μὲ τὴν οὐσία τῶν πραγμάτων, εἶπε ὅτι θὰ τὰ μεταβάλει στὴν ἀντίθετη κατάσταση. Γιατὶ δὲν εἶπε ὅτι θὰ τὶς πλύνει ἁπλῶς, ἀλλὰ ὅτι θὰ τὶς κάνει λευκὲς σὰν τὸ χιόνι καὶ σὰν τὸ μαλλὶ τῶν προβάτων, γιὰ νὰ μᾶς δώσει ἀγαθὲς ἐλπίδες. Ἑπομένως εἶναι μεγάλη ἡ δύναμη τῆς μετάνοιας, ἐφόσον μᾶς κάνει σὰν τὸ χιόνι καὶ μᾶς λευκαίνει σὰν τὸ μαλλί, ἔστω καὶ ἂν προλάβει ἡ ἁμαρτία καὶ βάψει τὶς ψυχές μας. Ἂς φροντίσουμε λοιπὸν νὰ γίνουμε καθαροί. Δὲν ἔδωσε καμμιὰ ἐνοχλητικὴ ἐντολή. «Ἀποδῶστε», λέγει, «τὸ δίκαιο στὸ ὀρφανὸ καὶ δῶστε δικαιοσύνη στὴ χήρα». Βλέπεις πῶς παντοῦ ὁ Θεὸς μιλάει πολὺ γιὰ τὴν εὐσπλαχνία καὶ τὴν προστασία τῶν ἀδικουμένων;

Ἂς ἐπιδιώκουμε αὐτὸ τὸ κατόρθωμα καὶ θὰ μπορέσουμε μὲ τὴ χάρη τοῦ Θεοῦ νὰ ἐπιτύχουμε καὶ τὰ μελλοντικὰ ἀγαθά, τὰ ὁποῖα εὔχομαι ν' ἀξιωθοῦμε ὅλοι μας μὲ τὴ βοήθεια τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μαζὶ μὲ τὸν ὁποῖο στὸν Πατέρα καὶ συγχρόνως στὸ ἅγιο Πνεῦμα ἀνήκει ἡ δόξα, ἡ δύναμη καὶ ἡ τιμή, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

Ο Μ Ι Λ Ι Α ΙΓ'

(Ἑβρ. 7,11–28)

«Εἰ μὲν οὖν τελείωσις διὰ τῆς Λευιτικῆς ἱερωσύνης ἦν (ὁ λαὸς γὰρ ἐπ' αὐτῇ νενομοθέτητο), τίς ἔτι χρεία, κατὰ τὴν τάξιν Μελχισεδὲκ ἕτερον ἀνίστασθαι ἱερέα καὶ οὐ κατὰ τὴν τάξιν Ἀαρὼν λέγεσθαι; μετατιθεμένης γὰρ τῆς ἱερω-
5 *σύνης, ἐξ ἀνάγκης καὶ νόμου μετάθεσις γίνεται. Ἐφ' ὃν γὰρ λέγεται ταῦτα, φυλῆς ἑτέρας μετέσχηκεν, ἀφ' ἧς οὐδεὶς προσέσχηκε τῷ θυσιαστηρίῳ. Πρόδηλον γὰρ ὅτι ἐξ Ἰούδα ἀνατέταλκεν ὁ Κύριος ἡμῶν, εἰς ἣν φυλὴν οὐδὲν περὶ ἱε-ρωσύνης Μωϋσῆς ἐλάλησεν».*

10 *1. «Εἰ μὲν οὖν τελείωσις διὰ τῆς Λευιτικῆς ἱερωσύνης ἦν», φησίν. Εἰπὼν περὶ τοῦ Μελχισεδὲκ καὶ δείξας ὅσῳ κρείττων ἦν τοῦ Ἀβραὰμ καὶ πολὺ τὸ διάφορον ἀποφήνας, ἐντεῦθεν ἄρχεται λοιπὸν τῆς διαθήκης αὐτῆς τὸ μέσον ἀποδεικνύναι, καὶ πῶς ἡ μὲν ἀτελής, ἡ δὲ τελεία. Καὶ οὐδέπω εἰς αὐτὰ τὰ πράγματα ἐμ-*
15 *βαίνει, ἀλλ' ἀπὸ τῆς ἱερωσύνης τέως μάχεται καὶ τῆς διαθήκης. Τότε γὰρ ταῦτα πιστότερα ἦν τοῖς ἀπίστοις, ὅταν ἀπὸ τῶν ἤδη προειλημμένων καὶ πεπιστευμένων ἡ ἀπόδειξις γίνηται. Ἔδειξεν ὅτι πολὺ καὶ τοῦ Λευὶ καὶ τοῦ Ἀβραὰμ βελτίων ἦν ὁ Μελχι-σεδέκ, ἐν τάξει ἱερέων αὐτοῖς γενόμενος. Ἐξ ἑτέρου δὲ πάλιν*
20 *ἐπιχειροῖ. Ποίου δὴ τούτου; Τῆς νῦν ἱερωσύνης, καὶ τῆς ἰουδαϊκῆς.*

Καὶ θέα μοι συνέσεως ὑπερβολήν· ἀφ' οὗ γὰρ εἰκὸς ἦν αὐτὸν ἐκβαλεῖν τῆς ἱερωσύνης, ἐπειδὴ μὴ κατὰ τὴν τάξιν Ἀαρών, ἀπὸ τούτου τοῦτον μὲν ἵστησιν, ἐκβάλλει δὲ ἐκείνους. Ποιεῖ δὲ
25 *τοῦτο ἑαυτὸν εἰσάγων ὥσπερ ἀπό τινος διαπορούμενον, τί δήπο-*

ΟΜΙΛΙΑ ΙΓ'

(Ἑβρ. 7,11–28)

«Ἂν λοιπὸν ἡ τελειότητα ἦταν κατορθωτὴ μὲ τὴ λευιτικὴ ἱερωσύνη –γιατὶ μὲ βάση αὐτὴ δόθηκε στὸ λαὸ ὁ νόμος–, ποιά ἀνάγκη ὑπῆρχε νὰ ἐμφανισθεῖ ἄλλος ἱερέας ἀπὸ τὴ γενιὰ τοῦ Μελχισεδὲκ καὶ νὰ μὴν λέγεται ἀπὸ τὴ γενιὰ τοῦ Ἀαρών; Γιατί, ὅταν ἀλλάζει ἡ ἱερωσύνη, τότε ἀναγκαστικὰ ἀλλάζει καὶ ὁ νόμος. Ἐκεῖνος, γιὰ τὸν ὁποῖον λέγονται αὐτά, ἀνῆκε σὲ ἄλλη φυλή, ἀπὸ τὴν ὁποία κανεὶς δὲν ἔχει ὑπηρετήσει τὸ θυσιαστήριο. Γιατὶ εἶναι φανερὸ ὅτι ὁ Κύριός μας γεννήθηκε ἀπὸ τὴ φυλὴ τοῦ Ἰούδα, γιὰ τὴν ὁποία ὁ Μωυσῆς δὲν εἶπε τίποτε περὶ ἱερωσύνης».

1. «Ἂν λοιπόν», λέγει, «ἡ τελειότητα ἦταν κατορθωτὴ μὲ τὴ λευιτικὴ ἱερωσύνη». Ἀφοῦ μίλησε γιὰ τὸν Μελχισεδὲκ καὶ ἀπέδειξε ὅτι ἦταν ἀνώτερος ἀπὸ τὸν Ἀβραὰμ καὶ παρουσίασε μεγάλη τὴ διαφορά, ἀπὸ ἐδῶ πλέον ἀρχίζει νὰ δείχνει τὴ διαφορὰ αὐτῆς τῆς Διαθήκης, καὶ πῶς ἐκείνη εἶναι ἀτελής, ἐνῶ αὐτὴ τέλεια. Καὶ δὲ μιλάει ἀκόμη γι' αὐτὰ τὰ πράγματα, ἀλλὰ ἀπὸ τὴν ἱερωσύνη πρῶτα μάχεται καὶ τὴ Διαθήκη. Γιατὶ τότε αὐτὰ γίνονται ἀξιοπιστότερα στοὺς ἀπίστους, ὅταν ἡ ἀπόδειξη γίνεται ἀπὸ ἐκεῖνα ποὺ ἤδη ἀποδέχθηκαν καὶ πίστεψαν. Ἔδειξε ὅτι ὁ Μελχισεδὲκ ἦταν πολὺ ἀνώτερος καὶ ἀπὸ τὸν Λευΐ καὶ ἀπὸ τὸν Ἀβραάμ, ἀφοῦ ἔγινε ἱερέας σ' αὐτούς. Ἐπιχειρεῖ λοιπὸν πάλι καὶ ἀπὸ κάποιο ἄλλο. Ἀπὸ ποιό πράγμα; Ἀπὸ τὴν ἱερωσύνη τὴν τωρινή, καὶ ἀπὸ τὴν ἰουδαϊκή.

Πρόσεχε, σὲ παρακαλῶ, τὴν ὑπερβολική του σύνεση. Γιατὶ ἀπὸ ἐκεῖνον ποὺ ἦταν φυσικὸ νὰ τὸν βγάλει ἀπὸ τὴν ἱερωσύνη, ἐπειδὴ δὲν ἦταν ἀπὸ τὴν γενιὰ τοῦ Ἀαρών, ἀπ' αὐτὸν ἐγκαθιστᾶ αὐτὸν καὶ βγάζει ἐκείνους. Καὶ αὐτὸ τὸ κάνει παρουσιάζοντας

τε μὴ κατὰ τὴν τάξιν Ἀαρὼν λέγεται, οὕτω τὴν διαπόρησιν λύοντα· καὶ ἐγώ, φησί, τοῦτο αὐτὸ διαπορῶ, τίνος ἕνεκεν μὴ κατὰ τὴν τάξιν Ἀαρὼν γέγονε. Τοῦτο γὰρ δηλοῖ τῷ εἰπεῖν, «εἰ μὲν οὖν τελείωσις διὰ τῆς Λευιτικῆς ἱερωσύνης ἦν». Καὶ τό, «τίς ἔτι 5 χρεία», πολλὴν ἔμφασιν ἔχει. Εἰ μὲν οὖν πρῴην ὁ Χριστὸς τὸ κατὰ σάρκα κατὰ τὴν τάξιν Μελχισεδέχ, ἔπειτα ὁ νόμος γέγονε, καὶ τὰ κατὰ τὸν Ἀαρών, εἰκότως ἄν τις εἴποι, ἅτε ὄντα τελειότερα, ταῦτα ἐκεῖνα καταλύειν, ἅτε ἐπεισελθόντα· εἰ δὲ ὁ Χριστὸς ὕστερος καὶ ἕτερον λαμβάνει τύπον τὸν τῆς ἱερωσύνης, δῆλον ὅτι 10 ὡς ἀτελεστέρων ὄντων ἐκείνων.

Θῶμεν γάρ, φησί, τῷ λόγῳ πάντα πεπληρῶσθαι καὶ μηδὲν ἀτελὲς εἶναι ἐν τῇ ἱερωσύνῃ· τί οὖν ἔδει, «κατὰ τὴν τάξιν Μελχισεδέχ», λέγεσθαι, καὶ οὐ 'κατὰ τὴν τάξιν Ἀαρών'; τίνος ἕνεκεν ἀφεὶς τὸν Ἀαρών, ἑτέραν εἰσήνεγκεν ἱερωσύνην, τὴν τοῦ 15 Μελχισεδέχ; «Εἰ μὲν οὖν τελείωσις διὰ τῆς Λευιτικῆς ἱερωσύνης», φησίν, «ἦν»· τουτέστι, τῆς τῶν πραγμάτων, τῆς τῶν δογμάτων, τοῦ βίου ἡ τελείωσις διὰ τῆς Λευιτικῆς ἱερωσύνης ἦν. Καὶ ὅρα πῶς ὁδῷ προβαίνει. Εἶπεν ὅτι «κατὰ τὴν τάξιν Μελχισεδέχ», δεικνὺς ὅτι βελτίων ἡ «κατὰ τὴν τάξιν Μελχισεδέχ»· 20 πολὺ γὰρ βελτίων ἐκεῖνος. Λοιπὸν δὲ καὶ ἀπὸ τοῦ χρόνου τοῦτο δείκνυσιν· ὅτι μετὰ Ἀαρών, δηλονότι ὡς ἀμείνων.

Καὶ τί βούλεται τὸ ἑξῆς, «ὁ λαὸς» γάρ, φησίν, «ἐπ' αὐτῇ νενομοθέτητο»; τί ἐστιν, «ἐπ' αὐτῇ»; Αὐτῇ στοιχεῖ, φησί, δι' αὐτῆς ἅπαντα πράττει· οὐκ ἔστιν εἰπεῖν, ὅτι ἑτέροις ἐδόθη. «Ὁ 25 λαὸς ἐπ' αὐτῇ νενομοθέτητο»· τουτέστι, κέχρηται αὐτῇ καὶ ἐχρήσατο· οὐκ ἔστιν εἰπεῖν ὅτι τελεία μὲν ἦν, οὐ προειστήκει δὲ τοῦ λαοῦ. «Ἐπ' αὐτῇ νενομοθέτητο»· τουτέστιν, αὐτῇ ἐχρήσατο. Τίς οὖν ἑτέρας ἦν ἱερωσύνης χρεία, εἰ τὸ τέλειον εἶχε; Μετατιθεμένης γὰρ τῆς ἱερωσύνης, ἐξ ἀνάγκης καὶ νόμου μετάθεσις γίνεται· 30 εἰ δὲ ἕτερον δεῖ ἱερέα εἶναι, μᾶλλον δὲ ἑτέραν ἱερωσύνην, ἀνάγκη

τὸν ἑαυτό του ὡσὰν νὰ ἀπορεῖ γιὰ κάτι, γιατί δηλαδὴ δὲ λέγεται ἀπὸ τὴ γενιὰ τοῦ Ἀαρών, καὶ ἔτσι λύνει τὴν ἀπορία· καὶ ἐγώ, λέγει, ἔχω ἀκριβῶς τὴν ἴδια ἀπορία, γιατί δὲν ἔγινε ἀπὸ τὴ γενιὰ τοῦ Ἀαρών. Γιατὶ αὐτὸ φανερώνει αὐτὸ ποὺ λέγει· «ἂν λοιπὸν ἡ τελειότητα ἦταν κατορθωτὴ μὲ τὴ λευϊτικὴ ἱερωσύνη». Καὶ τὸ «ποιά ἀνάγκη ὑπῆρχε», ἔχει πολλὴ ἔμφαση. Ἂν λοιπὸν πρῶτα ἐρχόταν ὁ Χριστὸς ὡς ἄνθρωπος ἀπὸ τὴ γενιὰ τοῦ Μελχισεδὲκ καὶ ἔπειτα δινόταν ὁ νόμος καὶ ἡ ἱερωσύνη τοῦ Ἀαρών, εὔλογα θὰ μποροῦσε νὰ πεῖ κανεὶς ὅτι, ἐπειδὴ αὐτὰ εἶναι τελειότερα, καταργοῦν ἐκεῖνα, ἐπειδὴ ἀκολούθησαν. Ἂν ὅμως ὁ Χριστὸς εἶναι τελευταῖος καὶ λαμβάνει ἄλλον τύπο, τὸν τῆς ἱερωσύνης, εἶναι φανερὸ ὅτι ἔγινε αὐτό, ἐπειδὴ ἐκεῖνα ἦταν ἀτελέστερα.

Ἂς ὑποθέσουμε, λέγει, ὅτι ὅλα ἔχουν ἐκπληρωθεῖ καὶ τίποτε δὲν εἶναι ἀτελὲς στὴν ἱερωσύνη. Τί λοιπὸν ἔπρεπε νὰ λέγεται, «ἀπὸ τὴ γενιὰ τοῦ Μελχισεδὲκ» καὶ ὄχι «ἀπὸ τὴ γενιὰ τοῦ Ἀαρών»; Γιὰ ποιό λόγο ἄφησε τὸν Ἀαρὼν καὶ εἰσήγαγε ἄλλη ἱερωσύνη, τὴν ἀπὸ τὸν Μελχισεδέκ; «Ἂν λοιπόν», λέγει, «ἡ τελειότητα ἦταν κατορθωτὴ μὲ τὴ λευϊτικὴ ἱερωσύνη»· δηλαδή, ἂν ἡ τελειότητα τῶν πραγμάτων, τῶν δογμάτων καὶ τῆς ζωῆς ἦταν κατορθωτὴ μὲ τὴ λευϊτικὴ ἱερωσύνη. Καὶ πρόσεχε πῶς προχωρεῖ σιγὰ σιγά. Εἶπε ὅτι προέρχεται ἀπὸ τὴ γενιὰ τοῦ Μελχισεδέκ, γιὰ νὰ δείξει ὅτι εἶναι ἀνώτερη ἡ ἱερωσύνη ἀπὸ τὴ γενιὰ τοῦ Μελχισεδέκ· γιατὶ ἐκεῖνος ἦταν πολὺ ἀνώτερος. Στὴ συνέχεια τὸ δείχνει αὐτὸ καὶ ἀπὸ τὸ χρόνο· ὅτι ἦταν μετὰ τὸν Ἀαρών, δηλαδὴ ὡς ἀνώτερος.

Καὶ τί θέλει τὸ ἑπόμενο, «γιατί μὲ βάση αὐτὴ δόθηκε στὸ λαὸ ὁ νόμος»; Τί σημαίνει «μὲ βάση αὐτή»; Σύμφωνα μ' αὐτή, λέγει, μέσω αὐτῆς κάμνει τὰ πάντα· δὲν μποροῦμε νὰ ποῦμε ὅτι δόθηκε σὲ ἄλλους· «Μὲ βάση αὐτὴ δόθηκε στὸ λαὸ ὁ νόμος»· δηλαδή, αὐτὴ χρησιμοποιεῖ καὶ αὐτὴν χρησιμοποίησε· δὲν μποροῦμε νὰ ποῦμε ὅτι ἦταν τέλεια βέβαια, ἀλλὰ δὲν προστάτευε τὸ λαό. «Μὲ βάση αὐτὴ δόθηκε ὁ νόμος»· δηλαδή, αὐτὴ χρησιμοποίησε. Ποιά ἀνάγκη λοιπὸν ὑπῆρχε γιὰ ἄλλη ἱερωσύνη, ἂν εἶχε τὸ τέλειο; Γιατὶ ὅταν ἀλλάζει ἡ ἱερωσύνη, ἀναγκαστικὰ ἀλλάζει καὶ ὁ νόμος. Ἂν ὅμως πρέπει νὰ ὑπάρχει ἄλλος ἱερέας, ἢ καλύ-

καὶ νόμον ἕτερον εἶναι. Τοῦτο πρὸς τοὺς λέγοντας, 'τί ἔδει καινῆς διαθήκης;' Εἶχε μὲν γὰρ καὶ μαρτυρίαν εἰπεῖν ἀπὸ προφητείας· «αὕτη διαθήκη, ἣν διεθέμην τοῖς πατράσιν ὑμῶν»· τέως δὲ ἀπὸ τῆς ἱερωσύνης μάχεται.

5 *Καὶ ὅρα πῶς ἄνωθεν ταῦτα εἰπεῖν ὤδινεν. Εἶπε, «κατὰ τὴν τάξιν Μελχισεδέχ». Τοῦτο τὴν Ἀαρὼν ἐξέβαλεν· οὐ γὰρ ἄν, «κατὰ τὴν τάξιν Μελχισεδὲχ» εἶπεν, εἰ αὕτη ἀμείνων ἦν. Εἰ τοίνυν ἱερωσύνη εἰσῆκται ἄλλη, δεῖ διαθήκην εἶναι ἑτέραν· οὔτε γὰρ ἱερέα ἔστι διαθήκης χωρὶς εἶναι καὶ νόμων καὶ προσταγμάτων,*
10 *οὔτε ἑτέραν λαβόντα ἱερωσύνην ἐκείνῃ κεχρῆσθαι. Εἶτα, ὅπερ ἀντιθέσεως ἦν, πῶς ἱερεὺς ἂν εἴη μὴ ὢν Λευίτης, τοῦτο διὰ τῶν ἄνω προκαταβαλών, οὐδὲ λῦσαι ἀξιοῖ, ἀλλ' ἐν παραδρομῇ εἰσάγει αὐτό· εἶπον, φησίν, ὅτι μετετέθη ἡ ἱερωσύνη· οὐκοῦν καὶ ἡ διαθήκη. Μετετέθη δὲ οὐ τῷ τρόπῳ μόνον, οὐδὲ τοῖς προστά-*
15 *γμασιν, ἀλλὰ καὶ τῇ φυλῇ· ἔδει γὰρ καὶ τῇ φυλῇ. Πῶς; «Μετατιθεμένης γὰρ τῆς ἱερωσύνης», φησί. Τουτέστι, διὰ τοῦτο μετετέθη ἀπὸ φυλῆς εἰς φυλήν, ἀπὸ τῆς ἱερατικῆς ἐπὶ τὴν βασιλικήν, ἵνα ᾖ ἡ αὐτὴ καὶ βασιλικὴ καὶ ἱερατική. Καὶ θέα τὸ μυστήριον· πρῶτον μὲν ἦν βασιλική, καὶ νῦν γέγονεν ἱερατική· ὥσπεροῦν*
20 *καὶ ἐπὶ τοῦ Χριστοῦ· βασιλεὺς μὲν γὰρ ἦν ἀεί, ἱερεὺς δὲ γέγονεν, ὅτε τὴν σάρκα ἐνάλαβεν, ὅτε τὴν θυσίαν προσήγαγεν. Ὁρᾷς τὴν μεταβολήν;*

Καὶ ἅπερ ἀντιθέσεως ἦν, ταῦτα, ὡς τῆς τῶν πραγμάτων ἀκολουθίας ἀπαιτούσης, εἰσάγει· «ἐφ' ὃν γὰρ λέγεται ταῦτα»,
25 *φησί, «φυλῆς ἑτέρας μετέσχηκεν, ἀφ' ἧς οὐδεὶς προσέσχηκε τῷ θυσιαστηρίῳ. Πρόδηλον γὰρ ὅτι ἐξ Ἰούδα ἀνατέταλκεν ὁ Κύριος ἡμῶν, εἰς ἣν φυλὴν περὶ ἱερωσύνης οὐδὲν Μωϋσῆς ἐλάλησεν». Ὃ δὲ λέγει, τοιοῦτόν ἐστι· κἀγώ φημι καὶ οἶδα, ὅτι οὐδὲν ἱερωσύνης εἶχεν αὕτη ἡ φυλή, οὐδέ τις ἀπὸ ταύτης ἱεράτευσε (τοῦτο*
30 *γὰρ δηλοῖ τό, «οὐδεὶς προσέσχηκε τῷ θυσιαστηρίῳ»), ἀλλὰ τὸ*

---

1. Πράξ. 3,25.

τερα ἄλλη ἱερωσύνη, ἀναγκαστικὰ πρέπει νὰ ὑπάρχει καὶ ἄλλος νόμος. Αὐτὸ ἀπευθύνεται σ' ἐκείνους ποὺ λένε, 'τί χρειαζόταν ἡ Καινὴ Διαθήκη;' Μποροῦσε βέβαια ν' ἀναφέρει ἀκόμη καὶ μαρτυρία ἀπὸ τοὺς προφῆτες «αὐτὴ εἶναι ἡ διαθήκη, ποὺ ἔκαμα μὲ τοὺς πατέρες σας»[1], ἀλλὰ πρῶτα μάχεται ἀπὸ τὴν ἱερωσύνη.

Καὶ πρόσεχε πῶς ἀπὸ τὴν ἀρχὴ προσπαθοῦσε νὰ τὰ πεῖ αὐτά. Εἶπε, «ἀπὸ τὴ γενιὰ τοῦ Μελχισεδέκ». Αὐτὸ ἐκτοπίζει τὴν ἱερωσύνη τοῦ Ἀαρών, γιατί, ἂν αὐτὴ ἦταν ἀνώτερη, δὲ θὰ ἔλεγε, «ἀπὸ τὴ γενιὰ τοῦ Μελχισεδέκ». Ἂν λοιπὸν ἔχει εἰσαχθεῖ ἄλλη ἱερωσύνη, πρέπει νὰ ὑπάρχει ἄλλη διαθήκη. Γιατὶ οὔτε ἱερέας εἶναι δυνατὸ νὰ ὑπάρχει χωρὶς διαθήκη καὶ νόμους καὶ ἐντολές, οὔτε, ἀφοῦ ἔλαβε ἄλλη ἱερωσύνη, νὰ χρησιμοποιεῖ ἐκείνη. Ἔπειτα, πράγμα ποὺ ἦταν ἀντίθετο, πῶς θὰ μποροῦσε νὰ εἶναι ἱερέας χωρὶς νὰ εἶναι Λευίτης; αὐτό, ἀφοῦ τὸ ἀνάφερε προκαταβολικὰ μὲ τὰ παραπάνω, δὲ θέλει νὰ τὸ ἐξηγήσει, ἀλλὰ ἁπλῶς καὶ μόνο τὸ θίγει. Εἶπα, λέγει, ὅτι ἄλλαξε ἡ ἱερωσύνη· ἐπομένως ἄλλαξε καὶ ἡ διαθήκη. Ἄλλαξε ὅμως ὄχι μόνο ὡς πρὸς τὸν τρόπο οὔτε ὡς πρὸς τὶς ἐντολές, ἀλλὰ καὶ ὡς πρὸς τὴ φυλή. Γιατὶ ἔπρεπε ν' ἀλλάξει καὶ ὡς πρὸς τὴ φυλή. Πῶς; «Γιατὶ ὅταν ἀλλάζει ἡ ἱερωσύνη», λέγει. Δηλαδή, γι' αὐτὸ ἄλλαξε ἀπὸ φυλὴ σὲ φυλή, ἀπὸ τὴν ἱερατικὴ στὴ βασιλική, γιὰ νὰ εἶναι ἡ ἴδια καὶ βασιλικὴ καὶ ἱερατική. Καὶ πρόσεχε τὸ μυστήριο· πρῶτα ἦταν βασιλικὴ καὶ τώρα ἔγινε ἱερατική, ὅπως ἀκριβῶς συνέβηκε καὶ στὴν περίπτωση τοῦ Χριστοῦ. Γιατὶ ὁ Χριστὸς ἦταν πάντοτε βασιλιὰς καὶ ἔγινε ἱερέας, ὅταν ἐνανθρώπησε, ὅταν πρόσφερε τὴ θυσία. Βλέπεις τὴ μεταβολή;

Καὶ ἐκεῖνα ποὺ ἦταν ἀντίθετα, αὐτὰ τὰ παρουσιάζει ἔτσι σὰν νὰ τὰ ἀπαιτοῦσε ἡ ἀκολουθία τῶν πραγμάτων. «Ἐκεῖνος», λέγει, «γιὰ τὸν ὁποῖο λέγονται αὐτά, ἀνῆκε σὲ ἄλλη φυλή, ἀπὸ τὴν ὁποία κανεὶς δὲν ἔχει ὑπηρετήσει τὸ θυσιαστήριο. Γιατὶ εἶναι φανερὸ ὅτι ὁ Κύριός μας γεννήθηκε ἀπὸ τὴ φυλὴ τοῦ Ἰούδα, γιὰ τὴν ὁποία ὁ Μωυσῆς δὲν εἶπε τίποτε περὶ ἱερωσύνης». Αὐτὸ ποὺ λέγει σημαίνει τὸ ἑξῆς· καὶ ἐγὼ λέγω καὶ ξέρω ὅτι ἡ φυλὴ αὐτὴ δὲν εἶχε καμμιὰ σχέση μὲ τὴν ἱερωσύνη καὶ ὅτι κανεὶς ἀπ' αὐτὴ δὲν ἔγινε ἱερέας (γιατὶ αὐτὸ φανερώνει τό, «κανεὶς δὲν ἔχει

πᾶν μετάθεσίς ἐστιν. Οὕτως ἀναγκαῖον ἦν τὸν νόμον καὶ τὴν παλαιὰν διαθήκην μετατεθῆναι, ὅτι καὶ αὐτὴ ἐνήλλακται ἡ φυλή. Ὁρᾷς πῶς δείκνυσι καὶ ἄλλην διαφορὰν ἀπὸ τῆς ἐναλλαγῆς τῆς φυλῆς; Οὐ μόνον δὲ καὶ ἀπὸ ταύτης δείκνυται ὅσον τὸ διάφορον, 5 ἀλλ' ἤδη καὶ ἀπὸ τοῦ προσώπου, καὶ ἀπὸ τῆς διαθήκης, καὶ ἀπὸ τοῦ τρόπου, καὶ ἀπ' αὐτοῦ τοῦ τύπου. «Ὃς οὐ κατὰ νόμον ἐντολῆς σαρκικῆς γέγονεν, ἀλλὰ κατὰ δύναμιν ζωῆς ἀκαταλύτου».

2. «Γέγονε», φησίν, ἱερεύς, ἀλλ' «οὐ κατὰ νόμον σαρκικῆς ἐντολῆς»· ὁ γὰρ νόμος ἐκεῖνος τὰ πολλὰ ἄνομος ἦν. Καὶ καλῶς αὐ- 10 τὸν «ἐντολὴν» ἐκάλεσε «σαρκικήν»· πάντα γὰρ ὅσα διωρίζετο σαρκικὰ ἦν. Τὸ γὰρ λέγειν, περίτεμε τὴν σάρκα, χρῖσον τὴν σάρκα, λοῦσον τὴν σάρκα, καθάρισον τὴν σάρκα, περίκειρον τὴν σάρκα, ἐπίδησον τὴν σάρκα, θρέψον τὴν σάρκα, ἄργησον τῇ σαρκί, ταῦτα, εἰπέ μοι, οὐχὶ σαρκικά; Εἰ δὲ θέλεις μαθεῖν καὶ 15 τίνα ἃ ἐπηγγέλλετο ἀγαθά, ἄκουε· πολλὴ ζωή, φησί, τῇ σαρκί, γάλα καὶ μέλι τῇ σαρκί, εἰρήνη τῇ σαρκί, τρυφὴ τῇ σαρκί. Ἀπὸ τούτου τοῦ νόμου τὴν ἱερωσύνην ἔλαβεν ὁ Ἀαρών· ὁ μέντοι Μελχισεδὲχ οὐχ οὕτω.

«Καὶ περισσότερον ἔτι κατάδηλόν ἐστιν, εἰ κατὰ τὴν 20 ὁμοιότητα Μελχισεδὲχ ἀνίσταται ἱερεὺς ἕτερος». Τί ἐστι κατάδηλον; Τὸ μέσον τῆς ἱερωσύνης ἑκατέρας, τὸ διάφορον, ὅσον κρείττων ὃς οὐ κατὰ νόμον ἐντολῆς σαρκικῆς γέγονε. Τίς; ὁ Μελχισεδὲχ οὗτος; Οὔκ, ἀλλ' ὁ Χριστός. «Ἀλλὰ κατὰ δύναμιν ζωῆς ἀκαταλύτου. Μαρτυρεῖται γάρ, ὅτι σὺ ἱερεὺς εἰς τὸν αἰῶνα 25 κατὰ τὴν τάξιν τοῦ Μελχισεδέχ». Τουτέστιν, οὐ πρόσκαιρος, οὐδὲ πέρας ἔχων, ἀλλά, «κατὰ δύναμιν ζωῆς ἀκαταλύτου». Τοῦτο εἶπεν, ἵνα δηλώσῃ, ὅτι ἱερεὺς γέγονε διὰ δυνάμεως ἰδίας καὶ τοῦ Πατρός, διὰ ζωῆς ἀπεράντου. Καίτοι οὐκ ἔστιν ἀκόλουθον τοῦτο τῷ, «ὃς οὐ κατὰ νόμον ἐντολῆς σαρκικῆς γέγονε»· τὸ γὰρ 30 ἀκόλουθον ἦν εἰπεῖν, 'Ἀλλὰ κατὰ πνευματικῆς'. Ἀλλὰ διὰ τοῦ

ὑπηρετήσει τὸ θυσιαστήριο»), ἀλλὰ ὅλα ἔχουν ἀλλάξει. Ἔτσι ἦταν ἀνάγκη ν' ἀλλάξει ὁ νόμος καὶ ἡ παλαιὰ διαθήκη, ἀφοῦ καὶ αὐτὴ ἡ φυλὴ ἔχει ἀλλάξει. Βλέπεις πῶς δείχνει καὶ ἄλλη διαφορὰ ἀπὸ τὴν ἀλλαγὴ τῆς φυλῆς; Καὶ ὄχι μόνο ἀπ' αὐτὴ δείχνει πόση εἶναι ἡ διαφορά, ἀλλὰ ἀκόμη καὶ ἀπὸ τὸ πρόσωπο καὶ ἀπὸ τὴ διαθήκη καὶ ἀπὸ τὸν τρόπο καὶ ἀπὸ τὸν ἴδιο τὸν τύπο. «Αὐτὸς ἔγινε ἱερέας ὄχι σύμφωνα μὲ τὶς ἐντολὲς τοῦ ἀνθρώπινου νόμου, ἀλλὰ μὲ τὴ δύναμη ζωῆς ἀκατάλυτης».

2. «Ἔγινε», λέγει, «ἱερέας, ἀλλὰ ὄχι σύμφωνα μὲ τὶς ἐντολὲς τοῦ ἀνθρώπινου νόμου». Γιατὶ ὁ νόμος ἐκεῖνος σὲ πολλὰ ἦταν ἄνομος. Καὶ σωστὰ τὸν ὀνόμασε αὐτὸν ἀνθρώπινη ἐντολή, γιατὶ ὅσα ὅριζε ἀναφέρονταν στὴ σῶμα τοῦ ἀνθρώπου. Γιατὶ τὸ νὰ λέγει, περίτεμνε τὴ σάρκα, χρίσε τὴ σάρκα, λοῦσε τὴ σάρκα, καθάρισε τὴ σάρκα, κούρευσε τὴ σάρκα, δέσε τὴ σάρκα, θρέψε τὴ σάρκα, ξεκούρασε τὴ σάρκα, ὅλα αὐτά, πές μου, δὲν ἀναφέρονται στὸ σῶμα τοῦ ἀνθρώπου; Ἂν ὅμως θέλεις νὰ μάθεις καὶ ποιά ἀγαθὰ ὑποσχόταν, ἄκου· πολλὴ ζωή, λέγει, στὴ σάρκα, γάλα καὶ μέλι γιὰ τὴ σάρκα, εἰρήνη γιὰ τὴ σάρκα, ἀπολαύσεις γιὰ τὴ σάρκα. Ἀπ' αὐτὸν τὸ νόμο ἔλαβε τὴν ἱερωσύνη ὁ Ἀαρών, ἐνῶ ὁ Μελχισεδὲκ δὲν τὴν ἔλαβε ἔτσι.

«Καὶ αὐτὸ γίνεται ἀκόμη περισσότερο ὁλοφάνερο, ὅταν ἐμφανίζεται ἕνας ἄλλος ἱερέας, ὅμοιος μὲ τὸν Μελχισεδέκ». Ποιό γίνεται ὁλοφάνερο; Ἡ ἀπόσταση τῆς μιᾶς ἱερωσύνης ἀπὸ τὴν ἄλλη, ἡ διαφορά τους, πόσο ἀνώτερος εἶναι αὐτὸς ποὺ ἔγινε ἱερέας ὄχι σύμφωνα μὲ τὶς ἐντολὲς τοῦ ἀνθρώπινου νόμου. Ποιός εἶναι αὐτός; Ὁ Μελχισεδέκ; Ὄχι, ἀλλὰ ὁ Χριστός. «Ἀλλὰ σύμφωνα μὲ τὴ δύναμη ζωῆς ἀκατάλυτης. Γιατὶ μαρτυρεῖ ἡ Γραφή, ἐσὺ εἶσαι αἰώνιος ἱερέας κατὰ τὴν τάξη Μελχισεδέκ». Δηλαδή, ὄχι πρόσκαιρος, οὔτε ἔχει τέλος, ἀλλὰ «σύμφωνα μὲ τὴ δύναμη ζωῆς ἀκατάλυτης». Αὐτὸ τὸ εἶπε, γιὰ νὰ φανερώσει ὅτι ἔγινε ἱερέας μὲ τὴ δύναμη τὴ δική του καὶ τοῦ Πατέρα, μὲ τὴ ζωὴ ποὺ δὲν ἔχει τέλος. Ἂν καὶ βέβαια αὐτὸ δὲν εἶναι σύμφωνο μὲ τὸ «αὐτὸς ἔγινε ἱερέας ὄχι σύμφωνα μὲ τὶς ἐντολὲς τοῦ ἀνθρώπινου νόμου»· γιατὶ τὸ σύμφωνο θὰ ἦταν νὰ πεῖ, 'ἀλλὰ μὲ πνευματικὴ ἐντολή'. Ἀλλὰ μὲ «τὸν ἀνθρώπινο νόμο» ἔδειξε τὸ πρόσκαιρο,

σαρκικοῦ τὸ πρόσκαιρον ἔδειξεν· ὥσπερ καὶ ἀλλαχοῦ λέγει, «μέχρι καιροῦ διορθώσεως ἐπικείμενα τὰ δικαιώματα τῆς σαρκὸς» κατὰ δύναμιν ζωῆς· «τουτέστιν, ὅτι οἰκείᾳ δυνάμει ζῇ.

Εἶπεν, ὅτι νόμου μετάθεσις γίνεται, καὶ ἔδειξε πῶς· ζητεῖ
5 *λοιπὸν τὴν αἰτίαν, ὃ μάλιστα πάντων πληροφορεῖ τὰς τῶν ἀνθρώπων ψυχάς, τὸ τὴν αἰτίαν πάντως εἰδέναι, καὶ εἰς πίστιν πλείονα ἄγει. Τότε γὰρ μᾶλλον πιστεύομεν, ὅταν καὶ τὴν αἰτίαν μάθωμεν καὶ τὸν λόγον καθ' ὃν γίνεται. «Ἀθέτησις μὲν γὰρ γίνεται», φησί, «προαγούσης ἐντολῆς, διὰ τὸ αὐτῆς ἀσθενὲς καὶ*
10 *ἀνωφελές». Ἐνταῦθα ἡμῖν οἱ αἱρετικοὶ ἐπιφύονται λέγοντες, ἰδοὺ καὶ ὁ Παῦλος πονηρὰν τὴν ἐντολὴν εἴρηκεν. Ἀλλὰ πρόσεχε ἀκριβῶς· οὐκ εἶπε, διὰ τὸ πονηρόν, οὐδὲ διὰ τὸ μοχθηρόν, ἀλλά, «διὰ τὸ αὐτῆς ἀσθενὲς καὶ ἀνωφελές». Καὶ ἀλλαχοῦ δὲ δείκνυσι τὸ ἀσθενές· ὡς ὅταν λέγῃ, «ἐν ᾧ ἠσθένει διὰ τῆς σαρκός». Οὐκ*
15 *ἄρα αὕτη ἀσθενής, ἀλλ' ἡμεῖς. «Οὐδὲν γὰρ ἐτελείωσεν ὁ νόμος». Τί ἐστιν, «οὐδὲν ἐτελείωσεν»; Οὐδένα, φησί, τέλειον εἰργάσατο παρακουόμενος. Ἄλλως δέ, οὐδὲ εἰ ἠκούσθη, τέλειον ἐποίησεν ἂν καὶ ἐνάρετον. Τέως δὲ οὐ τοῦτό φησιν ὁ λόγος ἐνταῦθα, ἀλλ' ὅτι οὐδὲν ἴσχυσε· καὶ εἰκότως. Γράμματα γὰρ ἦν κείμενα, τόδε*
20 *πρᾶττε, καὶ τόδε μὴ πρᾶττε· ὑποτιθέμενα μόνον, οὐχὶ δὲ καὶ δύναμιν ἐντιθέντα. Ἡ δὲ ἐλπὶς οὐ τοιαύτη.*

Τί ἐστιν «ἀθέτησις»; Ἄμειψις, ἐκβολή. Τίνος δὲ ταύτης δηλῶν, ἐπήγαγε εἰπών, «προαγούσης ἐντολῆς»; Οὕτω τὸν νόμον καλῶν, διότι ἐκβέβληται διὰ τὸ αὐτοῦ ἀσθενές· προαγόμενον
25 *δὲ τὸ παρελθὸν καὶ παλαιωθὲν διὰ τὴν ἀσθένειαν. Ὥστε ἡ ἀθέτησις τῶν κρατούντων ἐστὶν ἀθέτησις. Καὶ δῆλον ἐκ τούτου λοιπόν, ὅτι ἐκράτει, ἀλλὰ κατεφρονήθη, ἐπεὶ μηδὲν ἤνυσεν. Οὐδὲν οὖν ὠφέλησεν ὁ νόμος; Ὠφέλησε μέν, καὶ σφόδρα ὠφέλησεν, ἀλλὰ πρὸς τὸ ποιῆσαι τελείους οὐκ ὠφέλησε. Κατὰ τοῦτο τοίνυν*
30 *λέγει τό, «οὐδὲν γὰρ ἐτελείωσεν ὁ νόμος», καθὸ πάντα τύποι*

---

2. Ἑβρ. 9,10.
3. Ρωμ. 8,3.

ὅπως λέγει καὶ ἀλλοῦ, «μέχρι τὸν καιρὸ τῆς ἀλλαγῆς ἰσχύουν οἱ διατάξεις γιὰ τὸ σῶμα»[2] «μὲ τὴ δύναμη τῆς ζωῆς»· δηλαδή, ὅτι ζεῖ μὲ τὴ δική του δύναμη.

Εἶπε ὅτι ἀλλάζει ὁ νόμος καὶ ἔδειξε πῶς. Στὴ συνέχεια ζητάει τὴν αἰτία. Αὐτὸ τὸ πράγμα, δηλαδὴ τὸ νὰ γνωρίζουν ὁπωσδήποτε τὴν αἰτία οἱ ἄνθρωποι, στηρίζει περισσότερο ἀπ' ὅλα τὶς ψυχές τους καὶ ὁδηγεῖ σὲ περισσότερη πίστη. Γιατὶ τότε πιστεύουμε περισσότερο, ὅταν μάθουμε καὶ τὴν αἰτία καὶ τὸ λόγο γιὰ τὸν ὁποῖο γίνεται. «Καταργεῖται», λέγει, «μία προηγούμενη ἐντολή, γιατὶ ἦταν ἀνίσχυρη καὶ ἄχρηστη». Ἐδῶ μᾶς ἐπιτίθενται οἱ αἱρετικοὶ λέγοντας, 'νά, καὶ ὁ Παῦλος ὀνόμασε τὴν ἐντολὴ κακή'. Πρόσεχε ὅμως πολὺ καλά· δὲν εἶπε, ἐπειδὴ ἦταν κακὴ οὔτε ἐπειδὴ ἦταν μοχθηρή, ἀλλὰ «ἐπειδὴ ἦταν ἀνίσχυρη καὶ ἄχρηστη». Ἀλλὰ καὶ ἀλλοῦ δείχνει τὴν ἀδυναμία της, ὅπως ὅταν λέγει, «ἐξαιτίας τῆς ἀνθρώπινης ἀδυναμίας»[3]. Ἑπομένως δὲν εἶναι αὐτὴ ἀνίσχυρη, ἀλλ' ἐμεῖς. «Γιατὶ ὁ νόμος δὲν ὁδήγησε τίποτε στὴν τελειότητα». Τί σημαίνει, «δὲν ὁδήγησε τίποτε στὴν τελειότητα»; Κανέναν, λέγει, δὲν ἔκαμε τέλειο ἐπειδὴ παρακουόταν. Ἄλλωστε οὔτε ἂν εἰσακουόταν, θὰ ἔκανε κάποιον τέλειο καὶ ἐνάρετο. Τώρα ὅμως δὲν ἐννοεῖ αὐτὸ ἐδῶ ὁ λόγος, ἀλλ' ὅτι δὲν κατόρθωσε τίποτε. Καὶ πολὺ σωστά. Γιατὶ ἦταν γράμματα γραμμένα, ποὺ ἔλεγαν 'αὐτὸ κάνε', 'ἐκεῖνο μὴν τὸ κάνεις'· πρότρεπαν μόνο, ἀλλὰ δὲν ἔδιναν καὶ δύναμη. Ἡ ἐλπίδα ὅμως δὲν εἶναι τέτοια.

Τί σημαίνει «ἀθέτηση»; Μεταβολή, ἀπόρριψη. Ποιά ὅμως ἐντολὴ δηλώνει μ' αὐτὸ ποὺ προσθέτει, «μιὰ προηγούμενη ἐντολή»; Ἔτσι ὀνομάζει τὸ νόμο, γιατὶ καταργεῖται, ἐπειδὴ ἦταν ἀνίσχυρος· καὶ ὀνομάζει προηγούμενο, τὸ περασμένο καὶ τὸ παλαιὸ ἐξαιτίας τῆς ἀδυναμίας του. Ἑπομένως κατάργηση σημαίνει, κατάργηση ἐκείνων ποὺ ἴσχυαν. Καὶ φαίνεται πλέον ἀπ' αὐτό, ὅτι ἴσχυε, ἀλλὰ περιφρονήθηκε, ἐπειδὴ δὲν κατόρθωσε τίποτε. Καθόλου λοιπὸν δὲν ὠφέλησε ὁ νόμος; Ὠφέλησε βέβαια, καὶ πάρα πολὺ μάλιστα, ἀλλὰ στὸ νὰ ὁδηγήσει στὴν τελειότητα δὲν ὠφέλησε. Γι' αὐτὸ λοιπὸν λέγει, «γιατὶ ὁ νόμος δὲν ὁδήγησε τίποτε στὴν τελειότητα», ἀφοῦ ὅλα ἦταν τύποι, ὅλα σκιά, περιτομή, θυ-

ἦσαν, πάντα σκιά, περιτομή, θυσία, σάββατον, ἃ οὐκ ἴσχυσεν διαβῆναι εἰς τὴν ψυχήν· διὰ τοῦτο παραχωρεῖ καὶ ὑπεξίσταται.

«Ἐπεισαγωγὴ δὲ κρείττονος ἐλπίδος, δι' ἧς ἐγγίζομεν τῷ Θεῷ· καὶ καθόσον οὐ χωρὶς ὁρκωμοσίας». Ὁρᾷς ὅτι ἀναγκαῖον 5 οὕτω γέγονε τὸ τοῦ ὅρκου ἐνταῦθα; Ὥστε διὰ τοῦτο πολλὰ ἄνω ἐφιλοσόφησεν, ὅτι ὤμοσεν ὁ Θεός, καὶ ὤμοσεν ὑπὲρ πλείονος πληροφορίας. «Ἐπεισαγωγὴ δε κρείττονος ἐλπίδος». Τί ἐστὶ τοῦτο; Εἶχε καὶ ὁ νόμος ἐλπίδα, φησίν, ἀλλ' οὐ τοιαύτην· ἤλπιζον γὰρ εὐαρεστήσαντες ἕξειν τὴν γῆν, μηδὲν πείσεσθαι δεινόν· ἐν-10 ταῦθα δὲ ἐλπίζομεν εὐαρεστήσαντες, οὐ γῆν καθέξειν, ἀλλὰ τὸν οὐρανόν· μᾶλλον δέ, ὃ πολλῷ τούτου κρεῖττόν ἐστιν, ἐλπίζομεν ἐγγὺς στήσεσθαι τοῦ Θεοῦ, παρ' αὐτὸν ἥξειν τὸν θρόνον τὸν πατρικόν, λειτουργήσειν αὐτῷ μετὰ ἀγγέλων. Καὶ ὅρα πῶς αὐτὰ τίθησι κατὰ μικρόν. Ἐκεῖ μὲν γάρ φησιν, «εἰσερχομένην εἰς τὸ 15 ἐσώτερον τοῦ καταπετάσματος», ἐνταῦθα δέ, «δι' ἧς ἐγγίζομεν τῷ Θεῷ· καὶ καθόσον οὐ χωρὶς ὁρκωμοσίας».

Τί ἐστι, «καὶ καθόσον οὐ χωρὶς ὁρκωμοσίας»; Τουτέστιν, οὐ χωρὶς ὅρκου. Ἰδοὺ καὶ ἄλλη διαφορά. Καὶ οὐδὲ ἁπλῶς ταῦτα ἐπήγγελται, φησίν. «Οἱ μὲν γὰρ χωρὶς ὁρκωμοσίας εἰσὶν ἱερεῖς 20 γεγονότες, ὁ δὲ μεθ' ὁρκωμοσίας, διὰ τοῦ λέγοντος πρὸς αὐτόν, ὤμοσε Κύριος, καὶ οὐ μεταμεληθήσεται, σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέχ· κατὰ τοσοῦτον κρείττονος διαθήκης γέγονεν ἔγγυος Ἰησοῦς. Καὶ οἱ μὲν πλείονές εἰσι γεγονότες ἱερεῖς, διὰ τὸ θανάτῳ κωλύεσθαι παραμένειν, ὁ δὲ διὰ τὸ μένειν αὐτὸν 25 εἰς τὸν αἰῶνα, ἀπαράβατον ἔχει τὴν ἱερωσύνην». Δύο τίθησι διαφοράς, ὅτι οὐκ ἔχει τέλος, ὥσπερ ἡ νομική, καὶ ὅτι μεθ' ὁρκωμοσίας· τοῦτο δὲ ποιεῖ ἀπὸ τοῦ Χριστοῦ τοῦ ἀεὶ ὄντος· «κατὰ δύναμιν» γάρ, φησί, «ζωῆς ἀκαταλύτου»· ποιεῖ δὲ αὐτὸ καὶ ἀπὸ τοῦ ὅρκου, ὅτι ὤμοσε· καὶ ἀπὸ τοῦ πράγματος· εἰ γὰρ ἐπειδὴ 30 ἀσθενὴς ἦν, φησίν, ἐκείνη ἐξεβλήθη, αὕτη, ἐπειδὴ δυνατή ἐστιν, ἕστηκε.

Ποιεῖ δὲ αὐτὸ καὶ ἀπὸ τοῦ ἱερέως. Πῶς; Δεικνὺς ὅτι εἷς

---

4. Ἑβρ. 6,19.

σία, Σάββατο, τὰ ὁποῖα δὲν μπόρεσαν νὰ μποῦν στὴν ψυχή. Γι' αὐτὸ ὑποχωρεῖ καὶ παραχωρεῖ τὴ θέση του.

«Προσφέρεται ὅμως μιὰ καλύτερη ἐλπίδα, μὲ τὴν ὁποία πλησιάζουμε τὸ Θεό. Καὶ μάλιστὰ δὲν ἔγινε αὐτὸ χωρὶς ὅρκο». Βλέπεις ὅτι ὁ ὅρκος ἐδῶ ἦταν ἀναγκαῖος; Ἑπομένως γι' αὐτὸ ἀσχολήθηκε παραπάνω μὲ πολλά, ὅτι ὁρκίσθηκε ὁ Θεός, καὶ ὁρκίσθηκε γιὰ περισσότερη ἐγγύηση. «Προσφέρεται ὅμως μιὰ καλύτερη ἐλπίδα». Τί σημαίνει αὐτό; Εἶχε καὶ ὁ νόμος ἐλπίδα, ἀλλ' ὄχι τέτοια· γιατὶ ἔλπιζαν, ἂν εὐαρεστήσουν τὸ Θεό, ὅτι θὰ ἔχουν τὴ γῆ καὶ δὲ θὰ πάθουν κανένα κακό. Τώρα ὅμως ἐλπίζουμε, ἂν εὐαρεστήσουμε τὸ Θεό, ὅτι δὲ θὰ κατακτήσουμε τὴ γῆ, ἀλλὰ τὸν οὐρανό. Ἢ καλύτερα, πράγμα ποὺ εἶναι πολὺ ἀνώτερο ἀπ' αὐτό, ἐλπίζουμε ὅτι θὰ σταθοῦμε κοντὰ στὸ Θεό, θὰ φθάσουμε κοντὰ στὸν πατρικὸ θρόνο καὶ θὰ τὸν ὑπηρετήσουμε μαζὶ μὲ τοὺς ἀγγέλους. Καὶ πρόσεχε πῶς τὰ ἀναφέρει σιγὰ-σιγά. Γιατὶ ἐκεῖ λέγει, «ἡ ὁποία μπαίνει στὰ ἐνδότερα τοῦ καταπετάσματος»[4], καὶ ἐδῶ, «μὲ τὴν ὁποία πλησιάζουμε τὸ Θεό· καὶ μάλιστα δὲν ἔγινε αὐτὸ χωρὶς ὅρκο».

Τί σημαίνει, «καὶ μάλιστα δὲν ἔγινε αὐτὸ χωρὶς ὁρκωμοσία»; Δηλαδή, ὄχι χωρὶς ὅρκο. Νὰ καὶ ἄλλη διαφορά. Καὶ δὲν τὰ ὑποσχέθηκε χωρὶς λόγο αὐτά, λέγει. «Γιατὶ οἱ ἄλλοι ἔγιναν ἱερεῖς χωρὶς ὅρκο, ἐνῶ αὐτὸς μὲ τὸν ὅρκο ἐκείνου ὁ ὁποῖος τοῦ λέγει· ὁρκίσθηκε ὁ Κύριος καὶ δὲ θὰ ἀθετήσει τὸ λόγο του· ἐσὺ εἶσαι ἱερέας αἰώνιος κατὰ τὴν τάξη Μελχισεδέκ. Καὶ ἔτσι ὁ Ἰησοῦς ἔγινε ἐγγυητὴς μιᾶς ἀνώτερη διαθήκης. Καὶ ἐκεῖνοι οἱ ἱερεῖς ἦταν πολλοί, γιατὶ ὁ θάνατος τοὺς ἐμπόδιζε νὰ παραμένουν αἰώνια, ἀλλ' ὁ Ἰησοῦς, ἐπειδὴ παραμένει αἰώνιος, ἔχει ἀμετάβίβαστη τὴν ἱερωσύνη». Ἀναφέρει δύο διαφορές, ὅτι δὲν ἔχει τέλος, ὅπως ἡ ἱερωσύνη τοῦ νόμου, καὶ ὅτι εἶναι δοσμένη μὲ ὅρκο. Αὐτὸ ὅμως τὸ κάνει ἀπὸ τὸ Χριστὸ ποὺ ὑπάρχει αἰώνια· γιατὶ λέγει «σύμφωνα μὲ τὴ δύναμη ζωῆς ἀκατάλυτης». Τὸ κάνει ἀκόμη καὶ ἀπὸ τὸν ὅρκο, γιατὶ ὁρκίσθηκε, καὶ ἀπὸ τὸ ἴδιο τὸ πράγμα· γιατί, ἂν ἐκείνη, λέγει, ἐπειδὴ ἦταν ἀνίσχυρη, ἐκτοπίσθηκε, αὐτή, ἐπειδὴ εἶναι δυνατή, παρέμεινε.

Τὸ κάνει ὅμως αὐτὸ καὶ ἀπὸ τὸν ἱερέα. Πῶς; Δείχνοντας

ἐστι· καὶ οὐκ ἂν εἷς ἦν, εἰ μὴ ἀθάνατος ἦν. Ὥσπερ γὰρ πολλοὶ ἱερεῖς, διὰ τὸ θνητοὶ εἶναι, οὕτως εἷς ὁ εἷς, διὰ τὸ ἀθάνατος εἶναι· «κατὰ τοσοῦτον κρείττονος διαθήκης γέγονεν ἔγγυος Ἰησοῦς», καθότι ὤμοσεν αὐτῷ ἀεὶ αὐτὸν ἔσεσθαι ἱερέα, φησίν, οὐκ ἂν τοῦτο ποιήσας, εἰ μὴ ζῶν ἦν. «Ὅθεν καὶ σώζειν εἰς τὸ παντελὲς δύναται τοὺς προσερχομένους δι' αὐτοῦ τῷ Θεῷ, πάντοτε ζῶν εἰς τὸ ἐντυγχάνειν ὑπὲρ αὐτῶν».

3. Ὁρᾷς ὅτι εἰς τὸ κατὰ σάρκα τοῦτό φησιν; Ὅτε ἔδειξεν αὐτὸν ἱερέα, τότε εὐκαίρως λέγει τὸ ἐντυγχάνειν. Ὥστε καὶ ὅταν λέγῃ Παῦλος, «ὃς καὶ ἐντυγχάνει ὑπὲρ ἡμῶν», τὸ αὐτὸ αἰνίττεται, ὅτι ἀρχιερεὺς ὢν ἐντυγχάνει. Ἐπεὶ ὁ ἐγείρων τοὺς νεκροὺς ὡς θέλει, καὶ ζωοποιῶν οὕτως ὡς ὁ Πατήρ, πῶς ἔνθα σῶσαι δεῖ, ἐντυγχάνει; ὁ πᾶσαν τὴν κρίσιν ἔχων, πῶς ἐντυγχάνει; ὁ ἀποστέλλων τοὺς ἀγγέλους, ὥστε τοὺς μὲν εἰς κάμινον ἐμβαλεῖν, τοὺς δὲ σῶσαι, πῶς ἐντυγχάνει;

«Ὅθεν», φησί, «καὶ σώζειν δύναται». Διὰ τοῦτο οὖν σώζει, ἐπειδὴ οὐκ ἀποθνήσκει. Ἐπειδὴ ἀεὶ ζῇ, οὐκ ἔχει διάδοχον, φησίν· εἰ δὲ οὐκ ἔχει διάδοχον, καὶ δύναται πάντων προΐστασθαι. Ἐνταῦθα μὲν γὰρ ὁ ἀρχιερεύς, εἰ καὶ θαυμαστὸς ἦν, μέχρι τοῦ καιροῦ ἐκείνου ἐν ᾧ ἦν, οἷον ὁ Σαμουήλ, καὶ ὅσοι τοιοῦτοι· μετὰ δε ταῦτα, οὐκέτι· ἐτεθνήκεσαν γάρ· ἐνταῦθα δὲ οὐχ οὕτως, ἀλλὰ σώζει «εἰς τὸ παντελές». Τί ἐστιν, «εἰς τὸ παντελές»; Μυστήριόν τι μέγα αἰνίττεται. Οὐκ ἐνταῦθα μόνον, φησίν, ἀλλὰ καὶ ἐκεῖ σώζει τοὺς προσερχομένους δι' αὐτοῦ τῷ Θεῷ. Πῶς σώζει; «Πάντοτε ζῶν εἰς τὸ ἐντυγχάνειν ὑπὲρ αὐτῶν», φησίν.

Ὁρᾷς ὅσον τὸ ταπεινὸν εἶπε διὰ τὴν ἀνθρωπότητα; οὐ γὰρ ἅπαξ αὐτὸν ἐντυχόντα τούτου τυχεῖν λέγει, ἀλλ' ἀεί, καὶ ἡνίκα ἂν δέηται ἐντυγχάνειν ὑπὲρ αὐτῶν· τοῦτο γὰρ δηλοῖ τό, «εἰς τὸ παντελές». Τί ἐστιν, «εἰς τὸ παντελές»; Οὐ πρὸς τὸ παρὸν μόνον, φησίν, ἀλλὰ καὶ ἐκεῖ ἐν τῇ μελλούσῃ ζωῇ. Ἀεὶ οὖν δεῖται τοῦ εὔχεσθαι; καὶ πῶς ἂν ἔχοι λόγον; καὶ ἄνθρωποι μὲν πολλάκις δί-

ὅτι εἶναι ἕνας. Καὶ δὲ θὰ ἦταν ἕνας, ἂν δὲν ἦταν ἀθάνατος. Γιατί, ὅπως ὑπάρχουν πολλοὶ ἱερεῖς, ἐπειδὴ εἶναι θνητοί, ἔτσι ἕνας εἶναι ὁ ἕνας, ἐπειδὴ εἶναι ἀθάνατος. «Καὶ ἔτσι ὁ Ἰησοῦς ἔγινε ἐγγυητὴς μιᾶς ἀνώτερης διαθήκης», ἐπειδὴ τοῦ ὁρκίσθηκε, λέγει, ὅτι θὰ εἶναι γιὰ πάντα ἱερέας. Δὲ θὰ μποροῦσε νὰ τὸ κάνει αὐτό, ἂν δὲ ζοῦσε αἰώνια. «Γι' αὐτὸ μπορεῖ νὰ σώζει γιὰ πάντα ἐκείνους ποὺ μέσω αὐτοῦ πλησιάζουν τὸ Θεό, γιατὶ ζεῖ αἰώνια γιὰ νὰ μεσιτεύει γι' αὐτούς».

3. Βλέπεις ὅτι αὐτὸ τὸ λέγει γιὰ τὴ σάρκα του; Ὅταν ἔδειξε ὅτι εἶναι ἱερέας, τότε στὸν κατάλληλο χρόνο λέγει, ὅτι μεσιτεύει. Ἑπομένως ὅταν ὁ Παῦλος λέγει, αὐτὸς μεσιτεύει γιὰ μᾶς, ὑπαινίσσεται τὸ ἴδιο, ὅτι μεσιτεύει ἐπειδὴ εἶναι ἀρχιερέας. Γιατὶ ἐκεῖνος ποὺ ἀνασταίνει τοὺς νεκροὺς ὅπως θέλει καὶ δίνει ζωὴ ὅπως ὁ Πατέρας, πῶς μεσιτεύει ἐκεῖ ποὺ πρέπει νὰ σώσει; Ἐκεῖνος ποὺ τὰ κρίνει ὅλα, πῶς μεσιτεύει; Ἐκεῖνος ποὺ ἀποστέλλει τοὺς ἀγγέλους, ὥστε ἄλλους νὰ ρίξουν σὲ καμίνι καὶ ἄλλους νὰ σώσουν, πῶς μεσιτεύει;

«Γι' αὐτό», λέγει, «μπορεῖ νὰ σώζει». Γι' αὐτὸ λοιπὸν σώζει, ἐπειδὴ δὲν πεθαίνει. Ἐπειδὴ ζεῖ αἰώνια, δὲν ἔχει διάδοχο, λέγει. Ἂν ὅμως δὲν ἔχει διάδοχο, μπορεῖ νὰ τοὺς προστατεύει ὅλους. Τότε βέβαια ὁ ἀρχιερέας, ἔστω καὶ ἂν ἦταν θαυμαστός, ὅσο καιρὸ ἦταν ἀρχιερέας, ὅπως ὁ Σαμουὴλ καὶ ὅλοι οἱ ἄλλοι οἱ παρόμοιοι, ὕστερα ὅμως ὄχι, γιατὶ πέθαναν. Ἐδῶ ὅμως δὲν γίνεται τὸ ἴδιο, ἀλλὰ σώζει «γιὰ πάντα». Τί σημαίνει, «γιὰ πάντα»; Κάποιο μεγάλο μυστήριο ὑπαινίσσεται. Ὄχι ἐδῶ μόνο λέγει, ἀλλὰ καὶ ἐκεῖ σώζει ἐκείνους ποὺ μέσω αὐτοῦ πλησιάζουν τὸ Θεό. Μὲ ποιό τρόπο σώζει; «Ζεῖ», λέγει, «αἰώνια γιὰ νὰ μεσιτεύει γι' αὐτούς».

Βλέπεις πόσο ταπεινὸ εἶναι αὐτὸ ποὺ εἶπε γιὰ τὴν ἀνθρώπινη φύση; Γιατὶ δὲ λέγει ὅτι τὸ κατόρθωσε αὐτὸ ὅταν μεσίτευσε μιὰ φορά, ἀλλὰ πάντοτε καὶ ὅταν θὰ ὑπάρχει ἀνάγκη νὰ μεσιτεύει γι' αὐτούς. Γιατὶ αὐτὸ φανερώνει τὸ «γιὰ πάντα». Τί σημαίνει «γιὰ πάντα»; Ὄχι μόνο τώρα, λέγει, ἀλλὰ καὶ ἐκεῖ στὴ μέλλουσα ζωή. Πάντοτε λοιπὸν ἔχει ἀνάγκη νὰ προσεύχεται; Καὶ πῶς θὰ μποροῦσε νὰ δικαιολογηθεῖ αὐτό; Καὶ ἄνθρωποι βέβαια δί-

καιοι ἐκ μιᾶς αἰτήσεως τὸ πᾶν ἤνυσαν, αὐτὸς δὲ ἀεὶ δεῖται; τίνος οὖν ἕνεκεν συγκάθηται; Ὁρᾷς ὅτι συγκατάβασίς ἐστι τὸ ταπεινὰ φθέγγεσθαι; Ὃ δὲ λέγει, τοιοῦτόν ἐστι· μηδὲν δείσητε, μηδὲ εἴπητε, 'ναί, φιλεῖ μὲν ἡμᾶς, καὶ παρρησίαν ἔχει πρὸς τὸν Πατέρα,
5 ἀλλ' οὐκ ἀεὶ δύναται ζῆν'· ἀεὶ γὰρ ζῇ.

«Τοιοῦτος γὰρ ἡμῖν ἔπρεπεν ἀρχιερεύς, ὅσιος, ἄκακος, ἀμίαντος, κεχωρισμένος ἀπὸ τῶν ἁμαρτωλῶν». Ὁρᾷς ὅτι περὶ τῆς ἀνθρωπότητος τὸ πᾶν εἴρηται; Ὅταν δὲ εἴπω ἀνθρωπότητα, θεότητα ἔχουσαν λέγω, οὐ διαιρῶν, ἀλλὰ ἀφεὶς τὰ πρέποντα
10 ὑποπτεύειν. Εἶδες τὴν διαφορὰν τοῦ ἀρχιερέως; Ἀνεκεφαλαιώσατο τὰ ἄνω λεχθέντα, ὅτε ἔλεγε, «πεπειραμένον δὲ κατὰ πάντα καθ' ὁμοιότητα χωρὶς ἁμαρτίας»· «τοιοῦτος γὰρ ἡμῖν», φησίν, «ἔπρεπεν ἀρχιερεύς, ὅσιος, ἄκακος». «Ἄκακος», τί ἐστιν; Ἀπόνηρος, οὐχ ὕπουλος· καὶ ὅτι τοιοῦτος, ἄκουε τοῦ προφήτου λέ-
15 γοντος, «οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ». Τοῦτο οὖν ἄν τις περὶ τοῦ Θεοῦ εἴποι; ὁ δὲ οὐκ αἰσχύνεται λέγων, ὅτι ὁ Θεὸς οὐκ ἔστιν ὕπουλος, οὐδὲ δολερός; Περὶ μὲν οὖν τοῦ κατὰ σάρκα ἔχοι ἂν λόγον, «ὅσιος, ἀμίαντος»· καὶ τοῦτο οὐ περὶ τοῦ Θεοῦ εἴποι τις ἄν· ἔχει γὰρ φύσιν μὴ μιαίνεσθαι.

20 «Καχωρισμένος ἀπὸ τῶν ἁμαρτωλῶν». Τοῦτο οὖν μόνον δείκνυσι τὸ διάφορον, ἢ καὶ αὐτὴ ἡ θυσία; Καὶ ἡ θυσία. Πῶς; «Οὐκ ἔχει», φησί, «καθ' ἡμέραν ἀνάγκην, ὥσπερ οἱ ἀρχιερεῖς, πρότερον ὑπὲρ τῶν ἰδίων ἁμαρτιῶν θυσίας ἀναφέρειν, ἔπειτα τῶν τοῦ λαοῦ· τοῦτο γὰρ ἐποίησεν ἐφάπαξ, ἑαυτὸν ἀνενέγκας».
25 Τοῦτο ποιῶν, ἐνταῦθα προανακρούεται λοιπὸν τῆς πνευματικῆς θυσίας τὴν ὑπερβολήν. Καὶ τὸ μέσον εἶπε τὸ τοῦ ἱερέως, εἶπε τὸ τῆς διαθήκης, οὐχ ὅλον μέν, εἶπε δὲ ὅμως· ἐνταῦθα προανακρούεται λοιπὸν καὶ αὐτὴν τὴν θυσίαν. Μὴ τοίνυν αὐτὸν ἱερέα ἀκούσας, ἀεὶ ἱερᾶσθαι νόμιζε· ἅπαξ γὰρ ἱεράσατο, καὶ λοιπὸν ἐκάθι-
30 σεν. Ἵνα γὰρ μὴ νομίσῃς ἄνω ἑστάναι αὐτὸν καὶ λειτουργὸν εἶ-

---

5. Ἑβρ. 4,15.
6. Ἡσ. 53,9.

καιοι πολλὲς φορὲς μὲ μιὰ αἴτηση κατόρθωσαν τὰ πάντα, καὶ αὐτὸς προσεύχεται πάντοτε; Καὶ γιὰ ποιό λόγο κάθεται μαζὶ μὲ τὸν Πατέρα; Βλέπεις ὅτι τὸ νὰ μιλάει ταπεινὰ σημαίνει συγκατάβαση; Αὐτὸ ποὺ λέγει σημαίνει τὸ ἑξῆς· μὴ φοβηθεῖτε καθόλου, οὔτε νὰ πεῖτε, 'ναί, μᾶς ἀγαπάει βέβαια καὶ ἔχει παρρησία πρὸς τὸν Πατέρα, ἀλλὰ δὲν μπορεῖ νὰ ζεῖ αἰώνια'· γιατὶ αὐτὸς ζεῖ αἰώνια.

«Τέτοιος λοιπὸν ἀρχιερέας μᾶς χρειαζόταν· ἅγιος, ἄκακος, ἀμόλυντος, χωρισμένος ἀπὸ τοὺς ἁμαρτωλούς». Βλέπεις ὅτι ὅλα ἔχουν λεχθεῖ γιὰ τὴν ἀνθρώπινη φύση; Ὅταν ὅμως λέγω ἀνθρώπινη φύση, ἐννοῶ αὐτὴν ποὺ ἔχει θεότητα· δὲν τὴν χωρίζω, ἀλλ' ἀφήνω νὰ σκέπτεταιι κανεὶς αὐτὰ ποὺ πρέπει. Εἶδες τὴ διαφορὰ τοῦ ἀρχιερέα; Ἀνακεφαλαίωσε ὅσα λέχθηκαν παραπάνω, λέγοντας, «ἔχει δοκιμασθεῖ σὲ ὅλα, ἐπειδὴ ἔγινε ἄνθρωπος σὰν καὶ μᾶς, χωρὶς νὰ ἁμαρτήσει»[5]. «Τέτοιος λοιπὸν ἀρχιερέας», λέγει, «μᾶς χρειαζόταν· ἅγιος, ἄκακος». Τί σημαίνει «ἄκακος»; Ἀπονήρευτος, ὄχι ὕπουλος. Καὶ ὅτι εἶναι τέτοιος, ἄκου τὸν προφήτη ποὺ λέγει· «δὲ βρέθηκε δόλος στὸ στόμα του»[6]. Θὰ μποροῦσε λοιπὸν νὰ τὸ πεῖ αὐτὸ κανεὶς γιὰ τὸ Θεό; Δὲν ντρέπεται ὅμως νὰ λέγει ὅτι ὁ Θεὸς δὲν εἶναι ὕπουλος οὔτε δολερός; Γιὰ τὸ Θεὸ βέβαια ποὺ ἔγινε ἄνθρωπος θὰ μποροῦσε νὰ εἶναι δικαιολογημένο. «Ἅγιος, ἀμόλυντος». Καὶ αὐτὸ δὲ θὰ μποροῦσε νὰ τὸ πεῖ κανεὶς γιὰ τὸ Θεό, γιατὶ ἔχει φύση ποὺ δὲ μολύνεται.

«Χωρισμένος ἀπὸ τους ἁμαρτωλούς». Αὐτὸ λοιπὸν μόνο δείχνει τὴ διαφορὰ ἢ καὶ ἡ ἴδια ἡ θυσία; Ἀσφαλῶς καὶ ἡ θυσία. Πῶς; «Αὐτός», λέγει, «δὲν ἔχει ἀνάγκη, ὅπως οἱ ἀρχιερεῖς, νὰ προσφέρει κάθε ἡμέρα θυσίες, πρῶτα γιὰ τὶς δικές του ἁμαρτίες καὶ ἔπειτα γιὰ τὶς ἁμαρτίες τοῦ λαοῦ. Αὐτὸ τὸ ἔκανε μιὰ γιὰ πάντα, ὅταν πρόσφερε τὸν ἴδιο τὸν ἑαυτό του». Κάνοντας αὐτὸ ἐδῶ, ὑποδηλώνει ἤδη τὴν ὑπεροχὴ τῆς πνευματικῆς θυσίας. Ἀνέφερε τὴ διαφορὰ τοῦ ἱερέα, ἀνέφερε τὴ διαφορὰ τῆς διαθήκης, ὄχι βέβαια ὅλη ἀλλὰ πάντως τὴν ἀνέφερε. Ἐδῶ ἤδη ὑποδηλώνει καὶ τὴν ἴδια τὴ θυσία. Νὰ μὴ νομίζεις λοιπόν, ὅταν ἀκούσεις ὅτι εἶναι ἱερέας, ὅτι πάντοτε εἶναι ἱερέας. Γιατὶ μιὰ φορὰ ὑπῆρξε ἱερέας· καὶ στὴ συνέχεια κάθισε. Γιὰ νὰ μὴ νομίσεις ὅτι

ναι, δείκνυσιν ὅτι οἰκονομίας τὸ πρᾶγμά ἐστιν. Ὥσπερ γὰρ δοῦλος ἐγένετο, οὕτω καὶ ἱερεὺς καὶ λειτουργός· ἀλλ' ὥσπερ δοῦλος γενόμενος, οὐκ ἔμεινε δοῦλος, οὕτω καὶ λειτουργὸς γενόμενος, οὐκ ἔμεινε λειτουργός· οὐ γὰρ λειτουργοῦ τὸ καθῆσθαι, ἀλλὰ τὸ 5 ἑστάναι. Τοῦτο οὖν αἰνίττεται ἐνταῦθα τῆς θυσίας τὸ μεγαλεῖον, ἣ ἤρκεσε μία οὖσα καὶ ἅπαξ προσενεχθεῖσα, τοσοῦτον ὅσον αἱ πᾶσαι οὐκ ἴσχυσαν.

Ἀλλ' οὔπω περὶ τούτου· τοσοῦτον δὲ τέως φησί· «τοῦτο γὰρ ἐποίησεν ἐφάπαξ». «Τοῦτο»· ποῖον; Ἀναγκαῖον γὰρ ἔχειν, 10 φησί, τί καὶ τοῦτον ὃ προσενέγκῃ· οὐ τὸ ὑπὲρ ἑαυτοῦ· πῶς γὰρ ὑπὲρ ἑαυτοῦ προσέφερεν ἀναμάρτητος ὤν; ἀλλ' ὑπὲρ τοῦ λαοῦ. Τί λέγεις; καὶ οὐ δεῖται τοῦ προσφέρειν ὑπὲρ ἑαυτοῦ, ἀλλ' ἰσχύει τοσοῦτον; Ναί, φησίν. Ἵνα γὰρ μὴ νομίσῃς τό, «ἐποίησεν ἐφάπαξ», καὶ περὶ αὐτοῦ εἰρῆσθαι, ἄκουσον τί ἐπάγει· «ὁ νόμος γὰρ 15 ἀνθρώπους καθίστησιν ἀρχιερεῖς ἔχοντας ἀσθένειαν». Διὰ τοῦτο καὶ ἀεὶ ὑπὲρ ἑαυτῶν προσφέρουσιν· ὁ μέντοι δυνατὸς ὤν, ὁ μὴ ἔχων ἁμαρτίαν, τίνος ἕνεκεν ὑπὲρ ἑαυτοῦ προσφέρει; Ἄρα οὐχ ὑπὲρ ἑαυτοῦ, ἀλλ' ὑπὲρ τοῦ λαοῦ προσέφερε· καὶ τοῦτο ἐφάπαξ.

«Ὁ λόγος δὲ τῆς ὁρκωμοσίας τῆς μετὰ τὸν νόμον, Υἱὸν 20 εἰς τὸν αἰῶνα τετελειωμένον». «Τετελειωμένον» τί ἐστιν; Ὅρα· οὐ τίθησι τὰς ἀντιδιαστολὰς ὁ Παῦλος κυρίας· εἰπὼν γάρ, «ἔχοντας ἀσθένειαν», οὐκ εἶπεν Υἱὸν δυνατόν, ἀλλά, «τετελειωμένον», τουτέστι, δυνατόν, ὡς ἂν εἴποι τις. Ὁρᾷς ὅτι τό, Υἱός, ὄνομα πρὸς ἀντιδιαστολὴν τοῦ δούλου εἴρηται; «Ἀσθένειαν» δὲ ἢ 25 τὴν ἁμαρτίαν φησίν, ἢ τὸν θάνατον. Τί ἐστιν, «εἰς τὸν αἰῶνα»; Οὐ νῦν μόνον ἀναμάρτητον, φησίν, ἀλλ' ἀεί. Εἰ τοίνυν τέλειός ἐστιν, εἰ μηδέποτε ἁμαρτάνει, εἰ ἀεὶ ζῇ, τίνος ἕνεκεν προσοίσει πολλάκις ὑπὲρ ἡμῶν θυσίας; Ἀλλὰ τέως μὲν ὑπὲρ τούτου οὐκ ἰσχυρίζεται· ὑπὲρ δὲ τοῦ μὴ προσφέρειν αὐτὸν ὑπὲρ ἑαυτοῦ, τοῦ-30 το ἰσχυρίζεται.

στέκεται στοὺς οὐρανοὺς καὶ εἶναι λειτουργός, δείχνει ὅτι τὸ πράγμα εἶναι ἔργο οἰκονομίας. Ὅπως ἔγινε δοῦλος, ἔτσι ἔγινε καὶ ἱερέας καὶ λειτουργός. Ἀλλὰ ὅπως ὅταν ἔγινε δοῦλος δὲν παρέμεινε δοῦλος, ἔτσι καὶ ὅταν ἔγινε λειτουργὸς δὲν παρέμεινε λειτουργός· γιατὶ γνώρισμα τοῦ λειτουργοῦ δὲν εἶναι τὸ νὰ κάθεται, ἀλλὰ τὸ νὰ στέκεται. Αὐτὸ λοιπὸν ὑπαινίσσεται ἐδῶ τὸ μεγαλεῖο τῆς θυσίας, ἡ ὁποία, ἂν καὶ ἦταν μία καὶ προσφέρθηκε μιὰ φορά, κατόρθωσε τόσα πολλά, ὅσα δὲν μπόρεσαν οἱ ἄλλες ὅλες.

Ἀλλὰ γι' αὐτὸ δὲν μίλησε ἀκόμη· πρὸς τὸ παρὸν αὐτὸ μόνο λέγει· «αὐτὸ τὸ ἔκανε μιὰ γιὰ πάντα». «Αὐτό», ποιό; Εἶναι ἀνάγκη, λέγει, νὰ ἔχει καὶ αὐτὸς κάτι ποὺ νὰ προσφέρει, ὄχι γιὰ τὸν ἑαυτό του (πῶς δηλαδὴ θὰ πρόσφερνε γιὰ τὸν ἑαυτό του, ἀφοῦ ἦταν ἀναμάρτητος;), ἀλλὰ γιὰ τὸ λαό. Τί λές; Καὶ δὲ χρειάζεται νὰ προσφέρει γιὰ τὸν ἑαυτο του, καὶ μπορεῖ τόσο πολύ; Ναί, λέγει. Καὶ γιὰ νὰ μὴ νομίσεις ὅτι τὸ «ἔκανε μιὰ γιὰ πάντα», λέγεται καὶ γιὰ τὸν ἑαυτό του, ἄκουσε τί προσθέτει· «ὁ νόμος ἐγκαθιστᾶ ἀρχιερεῖς ἀνθρώπους, ποὺ ἔχουν ἀδυναμίες». Γι' αὐτὸ καὶ προσφέρουν πάντοτε γιὰ τὸν ἑαυτό τους. Ἐκεῖνος ὅμως ποὺ εἶναι δυνατὸς καὶ δὲν ἔχει ἁμαρτίες γιὰ ποιό λόγο προσφέρει γιὰ τὸν ἑαυτό του; Ἄρα δὲν πρόσφερε γιὰ τὸν ἑαυτό του, ἀλλὰ γιὰ τὸ λαό· καὶ αὐτὸ τὸ ἔκανε μιὰ γιὰ πάντα.

«Τὰ λόγια ὅμως τοῦ ὅρκου, ποὺ δόθηκε μετὰ τὸ νόμο, ἐγκαθιστοῦν αἰώνια τὸν Υἱό, ποὺ εἶναι τέλειος». Τί σημαίνει «ποὺ εἶναι τέλειος»; Πρόσεχε· δὲν ἀναφέρει ὁ Παῦλος τὶς διακρίσεις κανονικά. Γιατί, ἀφοῦ εἶπε, «οἱ ὁποῖοι ἔχουν ἀδυναμίες», δὲν εἶπε 'τὸν Υἱὸ ποὺ εἶναι δυνατός', ἀλλά, «ποὺ εἶναι τέλειος», δηλαδή, ποὺ εἶναι «δυνατός», ὅπως θὰ μποροῦσε νὰ πεῖ κανείς. Βλέπεις ὅτι τὸ ὄνομα «Υἱός» λέχθηκε σὲ ἀντιδιαστολὴ τοῦ δούλου; Ἀδυναμία ὅμως ἢ τὴν ἁμαρτία λέγει ἢ τὸ θάνατο. Τί σημαίνει, «αἰώνια»; Ὄχι μόνο τώρα εἶναι ἀναμάρτητος, λέγει, ἀλλὰ πάντοτε. Ἀφοῦ λοιπὸν εἶναι τέλειος, ἀφοῦ ποτὲ δὲν ἁμαρτάνει, ἀφοῦ ζεῖ αἰώνια, γιὰ ποιό λόγο θὰ προσφέρει πολλὲς φορὲς θυσίες γιὰ μᾶς; Τώρα ὅμως δὲν ἰσχυρίζεται κάτι τέτοιο, ἀλλὰ ἰσχυρίζεται ὅτι δὲν προσφέρει ὁ ἴδιος γιὰ τὸν ἑαυτό του.

Ἐπεὶ οὖν τοιοῦτον ἔχομεν ἀρχιερέα, μιμησώμεθα αὐτόν, καὶ κατ' ἴχνος αὐτοῦ βαίνωμεν. Οὐκ ἔστιν ἄλλη θυσία· μία ἡμᾶς ἐκαθάρισε· μετὰ δε τοῦτο πῦρ καὶ γέεννα. Καὶ γὰρ καὶ διὰ τοῦτο ἄνω καὶ κάτω στρέφει λέγων, ἕνα ἱερέα, μίαν θυσίαν, ἵνα μή τις, 5 νομίζων πολλὰς εἶναι, ἀδεῶς ἁμαρτάνῃ.

4. Ὅσοι τοίνυν κατηξιώθημεν τῆς σφραγῖδος, ὅσοι τῆς θυσίας ἀπηλαύσαμεν, ὅσοι τῆς ἀθανάτου τραπέζης μετέσχομεν, μένωμεν φυλάττοντες τὴν εὐγένειαν καὶ τὴν τιμήν· οὐ γὰρ ἀκίνδυνος ἡ ἀπόπτωσις. Ὅσοι δὲ μηδέπω κατηξιώθησαν τούτων, 10 μηδὲ οὗτοι διὰ τοῦτο θαρρείτωσαν· ὅταν γάρ τις διὰ τοῦτο ἁμαρτάνῃ, ἵνα τὸ ἅγιον βάπτισμα πρὸς ἐσχάταις λάβῃ ταῖς ἀναπνοαῖς, πολλάκις οὐκ ἐπιτεύξεται. Καί, πιστεύσατέ μοι, οὐ φοβῶν ὑμᾶς λέγω, ὃ μέλλω λέγειν· πολλοὺς οἶδα τοῦτο παθόντας ἐγώ, οἳ προσδοκίᾳ μὲν τοῦ φωτίσματος πολλὰ ἡμάρτανον, πρὸς δὲ τῇ 15 ἡμέρᾳ τῆς τελευτῆς ἀπῆλθον κενοί. Ὁ γὰρ Θεὸς διὰ τοῦτο τὸ βάπτισμα ἔδωκεν, ἵνα λύσῃ τὰς ἁμαρτίας, οὐχ ἵνα αὐξήσῃ τὰς ἁμαρτίας· εἰ δέ τις τούτῳ κεχρημένος εἴη πρὸς ἄδειαν τοῦ πλείονα ἁμαρτάνειν, ῥᾳθυμίας λοιπὸν τοῦτο γίνεται αἴτιον. Εἰ γὰρ μὴ λουτρὸν ἦν, ἀσφαλέστερον ἔζων ἄν, ὡς οὐκ ἔχοντες ἄφεσιν.

20 Ὁρᾷς ὅτι τό, «ποιήσωμεν τὰ κακά, ἵνα ἔλθῃ τὰ ἀγαθά», ἡμεῖς ἐσμὲν οἱ ποιοῦντες λέγεσθαι; Διό, παρακαλῶ, καὶ ὑμεῖς οἱ ἀμύητοι νήφετε· μηδεὶς ὡς μισθωτός, μηδεὶς ὡς ἀγνώμων, οὕτω μετιέτω τὴν ἀρετήν, μηδεὶς ὡς βαρὺ καὶ φορτικόν. Μετὰ προθυμίας τοίνυν ταύτην μετέλθωμεν καὶ χαίροντες. Εἰ γὰρ μὴ 25 μισθὸς ἔκειτο, οὐκ ἐχρῆν εἶναι ἀγαθόν; ἀλλ' ὅμως κἂν μετὰ μισθοῦ γενώμεθα ἀγαθοί. Πῶς γὰρ οὐκ αἰσχύνη τοῦτο καὶ μεγίστη κατάγνωσις; 'ἐὰν μὴ δῷς μοι μισθόν', φησίν, 'οὐ γίνομαι σώφρων'. Οὐκοῦν τολμῶ τι εἰπεῖν; οὐδέποτε ἔσῃ σώφρων, οὐδὲ ὅταν σωφρονῇς, εἴ γε μισθῷ αὐτὸ ποιεῖς· οὐδὲν γὰρ ἡγῇ τὴν ἀρετήν, εἴ γε μὴ ἐρᾷς αὐτῆς. Ἀλλ' ὁ Θεὸς διὰ τὴν πολλὴν ἡμῶν

Ρωμ. 3,8.

Ἀφοῦ λοιπὸν ἔχουμε τέτοιον ἀρχιερέα, ἂς τὸν μιμηθοῦμε καὶ ἂς ἀκολουθοῦμε τὰ ἴχνη του. Δὲν ὑπάρχει ἄλλη θυσία, μία μᾶς ἔκανε καθαρούς, μετὰ ἀπ' αὐτὸ ὑπάρχει φωτιὰ καὶ κόλαση. Καὶ γι' αὐτὸ παντοῦ ἀπευθύνεται καὶ λέγει, ὅτι ὑπάρχει ἕνας ἱερέας καὶ μία θυσία, γιὰ νὰ μὴ νομίζει κανεὶς ὅτι ὑπάρχουν πολλὲς καὶ ἁμαρτάνει ἀσύστολα.

4. Ὅσοι λοιπὸν ἀξιωθήκαμε τὴ σφραγίδα τοῦ βαπτίσματος, ὅσοι ἀπολαύσαμε τὴ θυσία, ὅσοι πήραμε μέρος στὴν ἀθάνατη τράπεζα, ἂς διαφυλάσσουμε διαρκῶς τὴν εὐγενική μας καταγωγὴ καὶ τὴν τιμή, γιατὶ ἡ πτώση δὲν εἶναι ἀκίνδυνη. Ὅσοι ὅμως δὲν τὰ ἀξιώθηκαν ἀκόμη αὐτά, ἂς μὴν ἐλπίζουν γι' αὐτό. Γιατὶ ὅταν κανεὶς ἁμαρτάνει γι' αὐτό, γιὰ νὰ λάβει τὸ ἅγιο βάπτισμα στὸ τέλος τῆς ζωῆς του, πολλὲς φορὲς δὲ θὰ τὸ ἐπιτύχει. Καί, πιστέψτε με, αὐτὸ ποὺ πρόκειται νὰ πῶ δὲν τὸ λέγω γιὰ νὰ σᾶς φοβίσω· ξέρω ὅτι τὸ ἔπαθαν αὐτὸ πολλοί, οἱ ὁποῖοι μὲ τὴν προσδοκία τοῦ βαπτίσματος ἔκανεν πολλὲς ἁμαρτίες, ἀλλὰ τὴν ἡμέρα τοῦ θανάτου τους ἔφυγαν χωρὶς βάπτισμα. Ὁ Θεὸς γι' αὐτὸ ἔδωσε τὸ βάπτισμα, γιὰ νὰ ἐξαλείψει τὶς ἁμαρτίες καὶ ὄχι νὰ τὶς αὐξήσει. Ἂν ὅμως κάποιος τὸ χρησιμοποιεῖ γιὰ νὰ κάνει ἄφοβα περισσότερες ἁμαρτίες, αὐτὸ γίνεται πλέον αἰτία ραθυμίας. Γιατί, ἂν δὲν ἦταν τὸ βάπτισμα, θὰ μποροῦσαν νὰ ζοῦν μὲ περισσότερη ἀσφάλεια, ἐπειδὴ δὲ θὰ εἶχαν τὴ συγχώρηση.

Βλέπεις ὅτι τό, «ἂς κάνουμε τὸ κακὸ γιὰ νὰ ἔρθει τὸ καλό»[7], ἐμεῖς εἴμαστε ἐκεῖνοι ποὺ τὸ κάνουμε νὰ λέγεται; Γι' αὐτό, παρακαλῶ, καὶ σεῖς οἱ ἀμύητοι στὰ μυστήρια νὰ εἶστε προσεκτικοί. Κανεὶς νὰ μὴν ἀσκεῖ τὴν ἀρετὴ σὰν μισθωτὸς καὶ ἀχάριστος ἢ σὰν νὰ εἶναι κάτι δυσάρεστο καὶ ἐνοχλητικό. Ἂς τὴν ἀσκήσουμε λοιπὸν μὲ προθυμία καὶ χαρά. Ἂν δὲν ὑπῆρχε μισθός, δὲν ἔπρεπε νὰ εἶναι κανεὶς ἀγαθός; Ἀλλ' ὅμως ἂς γίνουμε ἀγαθοὶ ἔστω καὶ μὲ μισθό. Πῶς λοιπὸν δὲν εἶναι ντροπὴ αὐτὸ καὶ μέγιστη κατάκριση; Ἂν δὲ μοῦ δώσεις μισθό, λέγει, δὲ γίνομαι σώφρων. Λοιπὸν νὰ τολμήσω νὰ πῶ κάτι; Ποτὲ δὲ θὰ γίνεις σώφρων, οὔτε ὅταν σωφρονεῖς, ἐφόσον αὐτὸ τὸ κάνεις μὲ μισθό· γιατί, ἂν δὲν ἀγαπᾶς τὴν ἀρετή, τὴ θεωρεῖς ὅτι δὲν ἔχει καμμιὰ ἀξία. Ἀλλὰ ὁ Θεὸς ἐξαιτίας τῆς μεγάλης μας ἀδυναμίας θέλησε

ἀσθένειαν τέως κἂν μισθοῦ ἠθέλησεν αὐτὴν γενέσθαι, ἡμεῖς δὲ οὐδὲ οὕτω μέτιμεν αὐτήν.

Θῶμεν δέ, εἰ βούλεσθε, ὅτι ἄνθρωπός τις μυρία ἐργασάμενος κακὰ ἄπεισι καὶ καταξιωθεὶς τοῦ βαπτίσματος, ὅπερ οὐ ταχέως οἶμαι συμβαίνειν· πῶς ἀπελεύσεται ἐκεῖ, εἰπέ μοι; Ὑπὲρ μὲν τῶν εἰργασμένων οὐκ ἐγκαλούμενος, ἀπαρρησίαστος δὲ ὤν, εἰκότως. Ὅταν γὰρ ἑκατὸν ἔτη βιώσας, μηδὲν ἀγαθὸν ἔργον ἐπιδείξηται, ἀλλὰ μόνον, ὅτι οὐχ ἥμαρτε, μᾶλλον δὲ μηδὲ τοῦτο, ἀλλ' ὅτι χάριτι μόνῃ διεσώθη, ἑτέρους δὲ ἐστεφανωμένους, λαμπροὺς καὶ εὐδοκίμους ἴδῃ, κἂν εἰς γέενναν μὴ ἐμπέσῃ, ἆρα οἴσει τὴν ἀθυμίαν, εἰπέ μοι;

Ἵνα δὲ ἐπὶ ὑποδείγματος τὸ πρᾶγμα ποιήσω φανερώτερον, ἔστωσαν δύο στρατιῶται, καὶ ὁ μὲν κλεπτέτω, ἀδικείτω, πλεονεκτείτω, ὁ δὲ μηδὲν τούτων ἐργαζέσθω, ἀλλὰ ἀνθραγαθείτω, μεγάλα κατορθούτω, ἐν πολέμοις τρόπαια ἱστάτω, αἱματτέτω τὴν δεξιάν· εἶτα καιροῦ ἐπιστάντος, ὁ μὲν ἀπὸ τῆς ἀξίας ἐκείνης, ἐν ᾗ καὶ ὁ κλέπτης ἦν, ἀθρόον ἐπὶ τὸν βασιλικὸν θρόνον καὶ τὴν ἁλουργίδα ἀγέσθω, ἐκεῖνος δὲ ὁ κλέπτης ἐκεῖ μενέτω, ἔνθα ἦν, ἀπὸ δὲ τῆς φιλανθρωπίας μόνον τῆς βασιλικῆς μὴ διδότω δίκην ὧν ἔδρασεν, ἐν μέντοι τῷ ἐσχάτῳ τόπῳ ἔστω, καὶ ὑπὸ τῷ βασιλεῖ ταττέσθω· ἆρα οἴσει τὴν ἀθυμίαν, εἰπέ μοι, ὅταν ἴδῃ τὸν μὲν μετ' αὐτοῦ πρὸς αὐτὴν δήπου ἀνελθόντα τῶν ἀξιωμάτων τὴν κορυφήν, καὶ οὕτω λαμπρὸν γενόμενον, καὶ τῆς οἰκουμένης κρατοῦντα, ἑαυτὸν δε ἔτι κάτω μένοντα καὶ οὐδὲ αὐτὸ τὸ μὴ κολασθῆναι μετὰ τιμῆς ἔχοντα, ἀλλ' ἀπὸ τῆς χάριτος καὶ τῆς φιλανθρωπίας τοῦ βασιλέως; κἂν γὰρ ἀφῇ ὁ βασιλεὺς και ἐγκλημάτων ἀπαλλάξῃ, ἀλλ' ὅμως αἰσχυνόμενος βιώσεται· οὐ γὰρ δὴ καὶ ἄλλοι αὐτὸν θαυμάσονται.

Ἐν γὰρ ταῖς τοιαύταις συγχωρήσεσιν οὐ τοὺς λαμβάνοντας τὰ δῶρα, ἀλλὰ τοὺς διδόντας θαυμάζομεν· καὶ ὅσῳ ἂν μείζονα δῶσι δῶρα, τοσούτῳ μᾶλλον καταισχύνονται οἱ λαμβάνοντες, ὅταν μεγάλα ᾖ αὐτοῖς τὰ ἡμαρτημένα. Ποίοις οὖν ὀφθαλμοῖς ἀντιβλέψαι δυνήσεται ὁ τοιοῦτος τοῖς ἐν τοῖς βασιλείοις οὖσιν,

πρῶτα νὰ γίνει αὐτὴ ἔστω καὶ μὲ μισθό· ἐμεῖς ὅμως οὔτε ἔτσι τὴν ἀσκοῦμε.

Ἂς ὑποθέσουμε, ἂν θέλετε, ὅτι ἕνας ἄνθρωπος πεθαίνει, ἀφοῦ ἔπραξε ἄπειρα κακὰ καὶ ἀξιώθηκε τὸ βάπτισμα, ποὺ πιστεύω ὅτι δὲν συμβαίνει εὔκολα· πῶς, σὲ ἐρωτῶ, θὰ πάει ἐκεῖ; Χωρὶς κατηγορία βέβαια γι' αὐτὰ ποὺ ἔπραξε, ἀλλὰ καὶ χωρὶς παρρησία· καὶ σωστά. Γιατί, ὅταν ζήσει ἑκατὸ χρόνια καὶ δὲ δείξει κανένα ἀγαθὸ ἔργο, ἀλλὰ μόνο ὅτι δὲν ἁμάρτησε, ἢ καλύτερα οὔτε αὐτό, ἀλλ' ὅτι σώθηκε μόνο μὲ τὴ χάρη, καὶ δεῖ ἄλλους στεφανωμένους, λαμπρούς, καὶ δοξασμένους, καὶ ἂν ἀκόμη δὲν πέσει στὴ γέεννα, πές μου θὰ ὑποφέρει ἄραγε τὴ στενοχώρια;

Γιὰ νὰ κάνω τὸ πράγμα σαφέστερο μὲ παράδειγμα. Ἂς ὑποθέσουμε ὅτι ὑπάρχουν δύο στρατιῶτες, καὶ ὁ ἕνας κλέβει, ἀδικεῖ, εἶναι πλεονέκτης, ἐνῶ ὁ ἄλλος δὲν κάνει τίποτε ἀπ' αὐτά, ἀλλὰ κάνει ἀνδραγαθίες, κατορθώνει μεγάλα πράγματα, στήνει τρόπαια σὲ πολέμους, τραυματίζεται στὸ δεξιό του χέρι. Ἔπειτα, ὅταν ἔρθει ὁ καιρός, ὁ ἕνας ἀπὸ τὴν θέση ἐκείνη, στὴν ὁποία βρισκόταν καὶ ὁ κλέφτης, ξαφνικὰ ὁδηγεῖται στὸ βασιλικὸ θρόνο καὶ ντύνεται τὴν πορφύρα, ἐνῶ ὁ ἄλλος, ὁ κλέφτης, μένει ἐκεῖ ὅπου ἦταν καὶ μόνο ἀπὸ τὴ φιλανθρωπία τοῦ βασιλιᾶ δὲν τιμωρεῖται γιὰ ἐκεῖνα ποὺ ἔπραξε, ἀλλὰ μένει στὸ χειρότερο τόπο καὶ ὑποταγμένος στὸ βασιλιά, ἄραγε θὰ ὑποφέρει τὴ στενοχώρια, πές μου, ὅταν δεῖ ὅτι αὐτὸς ποὺ ἦταν μαζί του ἀνέβηκε στὴν κορυφὴ τῶν ἀξιωμάτων καὶ ἔγινε τόσο λαμπρὸς καὶ ἐξουσιάζει τὴν οἰκουμένη, ἐνῶ ὁ ἴδιος παραμένει ἀκόμη κάτω καὶ ὅτι δὲν τιμωρήθηκε ὄχι ἐπειδὴ τὸ ἄξιζε, ἀλλὰ ἀπὸ τὴ χάρη καὶ τὴ φιλανθρωπία τοῦ βασιλιᾶ; Γιατί, καὶ ἂν ἀκόμη τὸν ἀφήσει ὁ βασιλιὰς καὶ τὸν ἀπαλλάξει ἀπὸ τὶς κατηγορίες, θὰ ζήσει ντροπιασμένος, ἐπειδὴ καὶ οἱ ἄλλοι δὲ θὰ τὸν θαυμάζουν.

Σὲ τέτοιες περιπτώσεις χάριτος δὲ θαυμάζουμε ἐκείνους ποὺ παίρνουν τὰ δῶρα, ἀλλ' ἐκείνους ποὺ τὰ δίνουν. Καὶ ὅσο μεγαλύτερα δῶρα θὰ δώσουν, τόσο περισσότερο ντροπιάζονται ὅσοι τὰ παίρνουν, ὅταν εἶναι μεγάλα τὰ ἁμαρτήματά τους. Μὲ ποιά λοιπὸν μάτια θὰ μπορέσει ν' ἀντικρύσει ἕνας τέτοιος ἐκείνους ποὺ βρίσκονται στὰ ἀνάκτορα, ὅταν ἐκεῖνοι ἔχουν νὰ ἐπι-

ἐκείνων μυρίους ἱδρῶτας καὶ τραύματα ἐπιδεικνυμένων, αὐτὸς οὐδὲν ἔχων ἐπιδεῖξαι, ἀλλὰ καὶ αὐτὸ τὸ σωθῆναι ἀπὸ μόνης τῆς τοῦ Θεοῦ φιλανθρωπίας ἔχων; Ὥσπερ γὰρ εἴ τις ἀνδροφόνον, κλέπτην, μοιχὸν μέλλοντα ἀπάγεσθαι ἐξαιτήσαιτο, καὶ κελεύ-
5 *σειεν εἶναι παρὰ τὰ πρόθυρα τῶν βασιλείων, οὐδενὶ δυνήσεται ἀντιβλέψαι ἐκεῖνος λοιπόν, εἰ καὶ τῆς τιμωρίας ἀπήλλακται, οὕτω δὴ καὶ οὗτος.*

5. *Μὴ γὰρ δή, ἐπειδὴ βασίλεια λέγεται, νομίσητε πάντας τῶν αὐτῶν τυγχάνειν. Εἰ γὰρ ἐνταῦθα καὶ ὁ ὕπαρχος καὶ πάντες οἱ*
10 *περὶ τὸν βασιλέα, καὶ οἱ σφόδρα καταδεέστεροι καὶ τὸν τῶν λεγομένων δεκανῶν τόπον ἐπέχοντες, ἐν τοῖς βασιλείοις εἰσί, καίτοι τοσούτου ὄντος τοῦ μέσου τοῦ ὑπάρχου καὶ τοῦ δεκανοῦ, πολλῷ μᾶλλον ἐν τοῖς ἄνω βασιλείοις τοῦτο ἔσται. Καὶ τοῦτο οὐκ ἀπ' ἐμαυτοῦ λέγω· καὶ γὰρ ἑτέραν τούτων μείζονα τίθησι*
15 *διαφορὰν ὁ Παῦλος. Ὅσαι γὰρ διαφοραί, φησίν, ἀπὸ ἡλίου ἕως σελήνης καὶ ἀστέρων καὶ τοῦ μικροτάτου ἀστέρος, τοσαῦται καὶ τῶν ἐν τῇ βασιλείᾳ. Καὶ ὅτι πολλῷ πλέον τοῦ δεκανοῦ λεγομένου καὶ τοῦ ὑπάρχου, τοῦ ἡλίου καὶ τοῦ μικροτάτου ἀστέρος τὸ διάφορον, δῆλον ἅπασιν. Ὁ μὲν γὰρ ἥλιος πᾶσαν ὁμοῦ καταλάμ-*
20 *πει τὴν οἰκουμένην καὶ φαιδρὰν ποιεῖ καὶ σελήνην καὶ ἀστέρας ἀποκρύπτει, ὁ δὲ πολλάκις οὐδὲ φαίνεται, καὶ ταῦτα ἐν σκότῳ· πολλοὶ γάρ εἰσι τῶν ἀστέρων, οὓς οὐχ ὁρῶμεν. Ὅταν οὖν ἑτέρους ὁρῶμεν ἡλίους γινομένους, ἡμεῖς δὲ τῶν ἀστέρων τῶν σμικροτάτων τὴν τάξιν ἔχωμεν τῶν οὐδὲ φαινομένων, τίς ἔσται*
25 *ἡμῖν παραμυθία;*

Μή, παρακαλῶ, μὴ οὕτω νωθεῖς ὦμεν, μὴ οὕτως ἀργοί, μὴ πραγματευώμεθα τὴν παρὰ τοῦ Θεοῦ σωτηρίαν εἰς ῥᾳθυμίαν, ἀλλ' ἐμπορευώμεθα αὐτὴν καὶ πληθύνωμεν. Κἂν γὰρ κατηχούμενός τις ᾖ, ἀλλὰ τὸν Χριστὸν οἶδεν, ἀλλὰ τὴν πίστιν ἔγνω, ἀλλὰ
30 *τῶν θείων ἐπακούει λόγων, ἀλλ' οὐ πόρρω ἐστὶ τῆς θείας γνώσεως, οἶδε τὸ θέλημα τοῦ Δεσπότου αὐτοῦ. Τίνος οὖν ἕνεκεν ἀναβάλλεται; τίνος ἕνεκεν μέλλει καὶ ὑπερτίθεται;*

δείξουν ἄπειρους ἱδρῶτες καὶ τραύματα, ἐνῶ αὐτὸς δὲν ἔχει νὰ ἐπιδείξει τίποτε, ἀλλὰ καὶ αὐτὴ τὴ σωτηρία του τὴν ἔχει μόνο ἀπὸ τὴ φιλανθρωπία τοῦ Θεοῦ; Ὅπως δηλαδὴ ἂν κάποιος ἔσωζε ἕνα δολοφόνο ἢ ἕνα κλέφτη ἢ μοιχὸ ποὺ ἐπρόκειτο νὰ θανατωθεῖ καὶ τὸν πρόσταζε νὰ στέκεται στὴν ἐξώπορτα τῶν ἀνακτόρων, ἐκεῖνος δὲ θὰ μπορέσει τότε ν' ἀντικρύσει κανέναν, παρ' ὅλο ποὺ ἔχει ἀπαλλαχθεῖ ἀπὸ τὴν τιμωρία· ἔτσι ἀκριβῶς καὶ αὐτός.

5. Νὰ μὴ νομίσετε, ἐπειδη ὁ λόγος εἶναι γιὰ βασιλικὰ ἀνάκτορα, ὅτι ὅλοι ἀπολαμβάνουν τὰ ἴδια. Γιατί, ἂν ἐδῶ καὶ ὁ ὕπαρχος καὶ ὅλοι ὅσοι ἀποτελοῦν τὴν ἀκολουθία τοῦ βασιλιᾶ καὶ αὐτοὶ ἀκόμη ποὺ εἶναι πολὺ κατώτεροι καὶ κατέχουν τὴ θέση αὐτῶν ποὺ λέγονται δεκανοὶ εἶναι μέσα στὰ ἀνάκτορα, ἂν καὶ ὑπάρχει τόσο μεγάλη διαφορὰ ἀνάμεσα στὸν ὕπαρχο καὶ τὸν δεκανό, πολὺ περισσότερο θὰ συμβεῖ αὐτὸ στὰ οὐράνια ἀνάκτορα. Καὶ αὐτὸ δὲν τὸ λέγω μόνος μου, γιατὶ ὁ Παῦλος ἀναφέρει καὶ ἄλλη διαφορὰ μεγαλύτερη ἀπ' αὐτές. Ὅσες, λέγει, διαφορὲς ὑπάρχουν ἀπὸ τὸν ἥλιο ἕως τὴ σελήνη καὶ τὰ ἀστέρια καὶ τὸ πιὸ μικρότερο ἀστέρι, τόσες πολλὲς ὑπάρχουν καὶ σ' αὐτοὺς ποὺ βρίσκονται στὴ βασιλεία. Καὶ ὅτι ἡ διαφορὰ τοῦ ἥλιου καὶ τοῦ πιὸ μικρότερου ἀστεριοῦ εἶναι πολὺ μεγαλύτερη ἀπὸ τὴ διαφορὰ τοῦ δεκανοῦ καὶ τοῦ ὑπάρχου εἶναι φανερὸ σὲ ὅλους. Γιατὶ ὁ ἥλιος συγχρόνως φωτίζει καὶ φαιδρύνει ὅλη τὴν οἰκουμένη καὶ κρύβει τὴ σελήνη καὶ τὰ ἀστέρια, ἐνῶ πολλὲς φορὲς δὲ φαίνεται καὶ αὐτὰ βρίσκονται στὸ σκοτάδι· γιατὶ ὑπάρχουν πολλὰ ἀστέρια ποὺ δὲν τὰ βλέπουμε. Ὅταν λοιπὸν βλέπουμε ἄλλους νὰ γίνονται ἥλιοι, ἐνῶ ἐμεῖς ἔχουμε τὴ θέση τῶν πιὸ μικρῶν ἀστεριῶν ποὺ δὲ φαίνονται καθόλου, ποιά παρηγοριὰ θὰ ἔχουμε;

Ἂς μὴν εἴμαστε, παρακαλῶ, τόσο νωθροὶ καὶ τόσο ὀκνηροί, ἂς μὴ μετατρέπουμε τὴ σωτηρία ἀπὸ τὸ Θεὸ σὲ ἀδιαφορία, ἀλλὰ ἂς τὴν ἐκμεταλλευόμαστε καὶ ἂς τὴν αὐξάνουμε πάρα πολύ. Γιατὶ καὶ ἂν ἀκόμη κάποιος εἶναι κατηχούμενος, ἀλλὰ γνωρίζει τὸ Χριστό, γνώρισε τὴν πίστη καὶ ἀκούει τὰ θεῖα λόγια, δὲν εἶναι μακριὰ ἀπὸ τὴ θεία γνώση καὶ γνωρίζει τὸ θέλημα τοῦ Κυρίου του. Γιὰ ποιό λόγο λοιπὸν ἀναβάλλει; Γιὰ ποιό λόγο διστάζει καὶ καθυστερεῖ;

Οὐδὲν βίου κρεῖττον καλοῦ, καὶ ἐνταῦθα κἀκεῖ, καὶ ἐπὶ φωτιζομένων καὶ ἐπὶ κατηχουμένων. Τί γάρ, εἰπέ μοι, φορτικὸν ἐπιτετάγμεθα; '"Εχε', φησί, 'γυναῖκα, καὶ σωφρόνει'. Τοῦτο φορτικόν, εἰπέ μοι; καὶ πῶς, ὅπου γε πολλοὶ καὶ χωρὶς γυναικὸς
5 *σωφρονοῦσιν, οὐ Χριστιανοὶ μόνον, ἀλλὰ καὶ Ἕλληνες; Ὃ ὑπερβαίνει τοίνυν ὁ Ἕλλην διὰ κενοδοξίαν, σὺ οὐδὲ τοῦτο τηρεῖς διὰ τὸν φόβον τοῦ Θεοῦ; 'Δίδου', φησί, 'πένησιν ἐκ τῶν ὄντων'. Τοῦτο φορτικόν; Ἀλλὰ καὶ ἐνταῦθα κατηγοροῦσιν ἡμῶν Ἕλληνες, ὁλοκλήρους οὐσίας κενώσαντες διὰ κενοδοξίαν μόνην. 'Μὴ*
10 *αἰσχρολόγει'. Τοῦτο δύσκολον; εἰ γὰρ μὴ ἐπετέτακτο, οὐκ ἔδει αὐτὸ κατορθοῦν, ἵνα μὴ ἄτιμοι φαινώμεθα; ὅτι γὰρ τὸ ἐναντίον δύσκολον, τὸ αἰσχρολογεῖν λέγω, δῆλον ἐξ ὧν αἰδεῖται ἡ ψυχὴ καὶ ἐρυθριᾷ, ἐάν τι τοιοῦτον εἰπεῖν προαχθῇ, καὶ οὐδὲ ἐρεῖ, ἐὰν μὴ τάχα μεθύῃ.*

15 *Διὰ τί γὰρ ἐπ' ἀγορᾶς καθήμενος, κἂν ἐπὶ οἰκίας τοῦτο ποιῇς, ἐκεῖ οὐ ποιεῖς; ἆρα οὐχὶ διὰ τοὺς παρόντας; Διὰ τί ἐπὶ τῆς γυναικός σου ταχέως τὸ αὐτο μὴ ποιεῖς; ἆρα οὐχ ἵνα μὴ αὐτὴν ὑβρίσῃς; Ἵνα μὴ ὑβρίσῃς τοίνυν τὴν γυναῖκά σου οὐ ποιεῖς, τὸν δὲ Θεὸν ὑβρίζων οὐκ ἐρυθριᾷς; πανταχοῦ γὰρ πάρεστι καὶ πάντα*
20 *ἀκούει. 'Μὴ μέθυε', φησί· καλῶς. Τοῦτο γὰρ καὶ αὐτὸ καθ' ἑαυτὸ οὐ κόλασις; Οὐκ εἶπε, κατάτεινον τὸ σῶμα, ἀλλὰ τί; 'Μὴ μέθυε'· τουτέστι, μὴ οὕτως αὐτὸ ἐκτραχηλίσῃς, ὡς τῆς ψυχῆς ἀφελέσθαι τὴν ἀρχήν. Τί οὖν; οὐ χρὴ προνοεῖσθαι τοῦ σώματος; Μὴ γένοιτο· οὐ τοῦτο λέγω, ἀλλ' εἰς ἐπιθυμίας αὐτοῦ μὴ προνόει·*
25 *οὕτω γὰρ καὶ Παῦλος ἐκέλευσε λέγων, «καὶ τῆς σαρκὸς πρόνοιαν μὴ ποιεῖσθε εἰς ἐπιθυμίας».*

'Μὴ ἅρπαζε', φησί, 'τὰ μὴ σά, μὴ πλεονέκτει, μὴ ἐπιόρκει'. Ποίων πόνων ταῦτα δεῖται; ποίων ἱδρώτων; 'Μὴ κατηγόρει', φησί, 'μηδὲ συκοφάντει'. Ποῖον ἔχει τοῦτο πόνον; Τοὐναν-
30 *τίον μὲν οὖν πόνος. Ὅταν μὲν γὰρ εἴπῃς κακῶς, εὐθέως ἐν κινδύνῳ εἶ, ἐν ὑποψίᾳ, μὴ ἤκουσε περὶ οὗ εἶπον, ἄν τε μέγας ᾖ, ἄν τε*

---

8. Τωβὶτ 4,7.
9. Ρωμ. 13,14.

Τίποτε δὲν εἶναι ἀνώτερο ἀπὸ τὴν καλὴ ζωή, καὶ ἐδῶ καὶ ἐκεῖ, καὶ γιὰ τοὺς βαπτισμένους καὶ γιὰ τοὺς κατηχουμένους. Γιατί, πές μου, ποιά ἐνοχλητικὴ ἐντολὴ πήραμε; Νὰ ἔχεις, λέγει, γυναίκα καὶ νὰ εἶσαι ἐγκρατής. Αὐτό, πές μου, εἶναι ἐνοχλητικό; Καὶ πῶς εἶναι, ὅταν πολλοὶ καὶ χωρὶς γυναίκα εἶναι ἐγκρατεῖς, ὄχι μόνο Χριστιανοὶ ἀλλὰ καὶ ἐθνικοί; Αὐτὸ λοιπὸν ποὺ ὁ ἐθνικὸς ξεπερνάει ἀπὸ ματαιοδοξία, ἐσὺ οὔτε αὐτὸ τηρεῖς ἀπὸ φόβο τοῦ Θεοῦ; «Δίνε», λέγει, «στοὺς φτωχους ἀπὸ τὰ ὑπάρχοντά σου»[8]. Αὐτὸ εἶναι βαρύ; Ἀλλὰ καὶ ἐδῶ μᾶς κατηγοροῦν οἱ ἐθνικοί, ποὺ ἀπὸ ματαιοδοξία μόνο ξόδεψαν ὁλόκληρες περιουσίες. Νὰ μὴν αἰσχρολογεῖς. Αὐτὸ εἶναι δύσκολο; Ἂν λοιπὸν δὲ δινόταν τέτοια ἐντολή, δὲν ἔπρεπε νὰ τὸ κατορθώνουμε αὐτό, γιὰ νὰ μὴ φαινόμαστε ἀνήθικοι; Ὅτι τὸ ἀντίθετο εἶναι δύσκολο, δηλαδὴ ἡ αἰσχρολογία, φαίνεται ἀπὸ τὸ ὅτι ἡ ψυχὴ ντρέπεται καὶ κοκκινίζει, ἂν φθάσει στὸ νὰ πεῖ κάτι τέτοιο, καὶ δὲν θὰ τὸ πεῖ, ἂν ἴσως δὲν εἶναι μεθυσμένη.

Γιατί ὅταν κάθεσαι στὴν ἀγορά, ἂν τὸ κάνεις αὐτὸ στὸ σπίτι, δὲν τὸ κάνεις ἐκεῖ; Ἄραγε ὄχι γιὰ τοὺς παρόντες; Γιατί δὲν κάνεις τὸ ἴδιο εὔκολα καὶ στὴ γυναίκα σου; Ἄραγε ὄχι γιὰ νὰ μὴν τὴν ὑβρίσεις; Γιὰ νὰ μὴ ὑβρίσεις λοιπὸν τὴ γυναίκα σου δὲν τὸ κάνεις, ὅταν ὅμως ὑβρίζεις τὸ Θεό, δὲν κοκκινίζεις ἀπὸ ντροπή; Γιατὶ εἶναι παρὼν παντοῦ καὶ ἀκούει τὰ πάντα. Νὰ μὴ μεθᾶς, λέγει. Σωστά. Γιατὶ αὐτὸ καθ' ἑαυτὸ δὲν εἶναι τιμωρία; Δὲν εἶπε, βασάνιζε τὸ σῶμα, ἀλλὰ τί; Νὰ μὴ μεθᾶς, δηλαδή, νὰ μὴν τὸ ἐξουθενώνεις ἔτσι, ὥστε ν' ἀφαιρεθεῖ ἡ ἐξουσία τῆς ψυχῆς. Τί λοιπόν; Δὲν πρέπει κανεὶς νὰ φροντίζει γιὰ τὸ σῶμα; Μακριὰ μιὰ τέτοια σκέψη· δὲν ἐννοῶ αὐτό, ἀλλὰ νὰ μὴ φροντίζεις γιὰ νὰ ἱκανοποιήσεις τὶς ἐπιθυμίες του, γιατὶ ἔτσι πρόσταξε καὶ ὁ Παῦλος λέγοντας· «νὰ μὴ φροντίζετε γιὰ τὴ σάρκα, γιὰ νὰ ἱκανοποιήσετε τὶς ἐπιθυμίες της»[9].

Νὰ μὴν ἁρπάζεις, λέγει, αὐτὰ ποὺ δὲν εἶναι δικά σου, νὰ μὴν εἶσαι πλεονέκτης οὔτε ἐπίορκος. Ποιά ἀπ' αὐτὰ χρειάζονται κόπους καὶ ποιά ἱδρῶτες; Νὰ μὴν κακολογεῖς, λέει, οὔτε νὰ συκοφαντεῖς. Τί κόπο ἔχει αὐτό; Τὸ ἀντίθετο λοιπὸν εἶναι κόπος. Γιατί, ὅταν κακολογήσεις κάποιον, ἀμέσως κινδυνεύεις καὶ σὲ

μικρός· ἂν μὲν γὰρ μέγας ᾖ, ἐν ἔργοις κινδυνεύσεις εὐθέως, ἂν δὲ μικρός, τοῖς ἴσοις σε ἀμυνεῖται, μᾶλλον δὲ καὶ πολλῷ χαλεπωτέροις· μειζόνως γάρ σε ἐρεῖ κακῶς. Οὐδὲν δύσκολον, οὐδὲν φορτικὸν ἐπιτετάγμεθα, ἂν βουλώμεθα· ἂν δὲ μὴ βουλώμεθα, καὶ τὰ 5 *ῥᾷστα φορτικὰ ἡμῖν φανεῖται. Τί τοῦ φαγεῖν ῥᾷον; ἀλλ' ὑπὸ πολλῆς βλακείας πολλοὶ καὶ πρὸς τοῦτο δυσχεραίνουσι, πολλῶν δὲ ἀκούω λεγόντων, ὅτι καὶ τὸ φαγεῖν κάματος. Οὐδὲν τούτων ἔχει κάματον, ἂν θέλῃς· ἐν γὰρ τῷ θέλειν πάντα κεῖται, μετὰ τὴν ἄνωθεν χάριν.*

10 *Θελήσωμεν οὖν τὰ ἀγαθά, ἵνα καὶ τῶν αἰωνίων τύχωμεν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.*

τρώει ἡ ὑποψία, μήπως ἄκουσε γι' αὐτὸ ποὺ εἶπα, εἴτε εἶναι μεγάλος εἴτε εἶναι μικρός. Καὶ ἂν εἶναι μεγάλος, θὰ κινδυνέψεις ἀμέσως μὲ ἔργα· ἂν ὅμως εἶναι μικρός, θὰ σοῦ τὸ ἀνταποδώσει μὲ τὰ ἴδια, ἢ καλύτερα καὶ μὲ πολὺ χειρότερα, γιατὶ θὰ σὲ κακολογήσει περισσότερο. Δὲν πήραμε καμμιὰ δύσκολη καὶ ἐνοχλητικὴ ἐντολή, ἂν θέλουμε. Ἂν ὅμως δὲ θέλουμε καὶ τὰ πιὸ εὔκολα θὰ μᾶς φανοῦν δύσκολα. Τί εἶναι πιὸ εὔκολο ἀπὸ τὸ φαγητό; Καὶ ὅμως ἀπὸ πολλὴ βλακεία πολλοὶ εἶναι ἐκεῖνοι ποὺ δυσανασχετοῦν γι' αὐτὸν καὶ ἀκούω πολοὺς νὰ λένε ὅτι καὶ τὸ φαγητὸ εἶναι κούραση. Τίποτε ἀπ' αὐτὰ δὲν ἔχει κούραση, ἂν βέβαια θέλεις. Γιατὶ ἀπὸ τὴ θέλησή μας ἐξαρτῶνται ὅλα, ὕστερα ἀπὸ τὴ χάρη τοῦ Θεοῦ.

Ἂς θελήσουμε λοιπὸν τὰ ἀγαθά, γιὰ νὰ ἐπιτύχουμε καὶ τὰ αἰώνια ἀγαθά, μὲ τὴ χάρη καὶ τὴ φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μαζὶ μὲ τὸν ὁποῖο στὸν Πατέρα καὶ συγχρόνως στὸ ἅγιο Πνεῦμα ἀνήκει ἡ δόξα, ἡ δύναμη καὶ ἡ τιμή, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

Ο Μ Ι Λ Ι Α ΙΔ'

(Ἑβρ. 8,1–13)

«Κεφάλαιον δὲ ἐπὶ τοῖς λεγομένοις, τοσοῦτον ἔχομεν ἀρχιερέα, ὅς ἐκάθισεν ἐν δεξιᾷ τοῦ θρόνου τῆς μεγαλωσύνης ἐν τοῖς οὐρανοῖς, τῶν ἁγίων λειτουργός, καὶ τῆς σκηνῆς τῆς ἀληθινῆς, ἣν ἔπηξεν ὁ Κύριος, καὶ οὐκ ἄνθρωπος».

5 1. *«Ἀναμίγνυσι τὰ ταπεινὰ τοῖς ὑψηλοῖς ὁ Παῦλος, ὁ ἀεὶ τὸν διδάσκαλον μιμούμενος τὸν αὐτοῦ, ὥστε τὰ ταπεινὰ τοῖς ὑψηλοῖς ὁδὸν γενέσθαι, καὶ διὰ τούτων ἐπ' ἐκεῖνα χειραγωγηθῆναι, καὶ γενομένους ἐν τοῖς μεγάλοις, μανθάνειν ὅτι ταῦτα συγκαταβάσεως ἦν. Τοῦτο γοῦν καὶ ἐνταῦθα ποιεῖ· εἰπὼν γὰρ ὅτι ἀνήνεγ-*
10 *κεν ἑαυτόν, καὶ ἀρχιερέα δείξας, ἐπάγει· «κεφάλαιον δὲ ἐπὶ τοῖς λεγομένοις, τοιοῦτον ἔχομεν ἀρχιερέα, ὅς ἐκάθισεν ἐν δεξιᾷ τοῦ θρόνου τῆς μεγαλωσύνης ἐν τοῖς οὐρανοῖς». Καίτοι τοῦτο οὐχὶ ἱερέως, ἀλλὰ τούτου ᾧ ἱερᾶσθαι ἐκεῖνον χρή. «Τῶν ἁγίων λειτουργός». Οὐδὲ λειτουργὸς ἁπλῶς, ἀλλά, «τῶν ἁγίων λειτουρ-*
15 *γός». Καὶ τῆς σκηνῆς τῆς ἀληθινῆς, ἣν ἔπηξεν ὁ Κύριος καὶ οὐκ ἄνθρωπος». Ὁρᾷς τὴν συγκατάβασιν; Οὐχὶ πρὸ μικροῦ διίστη, λέγων· «οὐχὶ πάντες εἰσι λειτουργικὰ πνεύματα»; καὶ διὰ τοῦτο οὐδὲ ἀκούουσι, «κάθου ἐκ δεξιῶν μου». Τοῦτο δέ φησιν, ὡς τοῦ καθημένου πάντως οὐκ ὄντος λειτουργοῦ· ὥστε τοῦτο ἀκούει*
20 *διὰ τὴν σάρκα. «Σκηνὴν» δὲ ἐνταῦθα τὸν οὐρανὸν λέγει. Διὸ καὶ τὸ διάφορον δεικνὺς πρὸς τὴν ἰουδαϊκὴν ἐπάγει λέγων, «ἣν ἔπηξεν ὁ Κύριος καὶ οὐκ ἄνθρωπος».*

---

1. Ἑβρ. 1,14.

Ο Μ Ι Λ Ι Α ΙΑ΄

(Ἑβρ. 8,1–13)

«Τὸ βασικὸ στοιχεῖο τῶν ὅσων εἴπαμε εἶναι ὅτι ἐμεῖς ἔχουμε ἀρχιερέα τέτοιον, ποὺ κάθισε στὰ δεξιὰ τοῦ θρόνου τῆς μεγαλωσύνης τοῦ Θεοῦ στοὺς οὐρανούς, καὶ ὑπηρετεῖ στὰ ἅγια τῶν ἁγίων καὶ στὴ σκηνὴ τὴν ἀληθινή, τὴν ὁποία ἔστησε ὁ Κύριος καὶ ὄχι ἄνθρωπος».

1. «Ἀναμιγνύει τὰ ταπεινὰ μὲ τὰ ὑψηλὰ ὁ Παῦλος, αὐτὸς ποὺ πάντοτε μιμεῖται τὸ διδάσκαλό του, ὥστε τὰ ταπεινὰ νὰ γίνουν ὁδὸς πρὸς τὰ ὑψηλὰ καὶ μέσω αὐτῶν νὰ ὁδηγηθοῦν σ' ἐκεῖνα καὶ ὅταν φθάσουν στὰ ὑψηλὰ νὰ μάθουν ὅτι αὐτὰ ἦταν ἀποτέλεσμα τῆς συγκατάβασης τοῦ Θεοῦ. Αὐτὸ λοιπὸν κάνει καὶ ἐδῶ. Γιατί, ἀφοῦ εἶπε ὅτι πρόσφερε τὸν ἑαυτό του καὶ ἔδειξε ὅτι εἶναι ἀρχιερέας, προσθέτει· «τὸ βασικὸ στοιχεῖο τῶν ὅσων εἴπαμε εἶναι ὅτι ἐμεῖς ἔχουμε ἀρχιερέα τέτοιον, ποὺ κάθισε στὰ δεξιὰ τοῦ θρονου τῆς μεγαλωσύνης τοῦ Θεοῦ στοὺς οὐρανούς». Ἂν καὶ βέβαια αὐτὸ δὲν εἶναι γνώρισμα ἱερέα, ἀλλὰ ἐκείνου στὸν ὁποῖο πρέπει νὰ εἶναι ἱερέας. «Καὶ ὑπηρετεῖ στὰ ἅγια τῶν ἁγίων». Ὄχι ἁπλῶς ὑπηρετεῖ, ἀλλὰ «ὑπηρετεῖ στὰ ἅγια τῶν ἁγίων». «Καὶ στὴ σκηνὴ τὴν ἀληθινή, τὴν ὁποία ἔστησε ὁ Κύριος καὶ ὄχι ἄνθρωπος». Βλέπεις τὴ συγκατάβασή του; Δὲν ἔκαμε πρὶν ἀπὸ λίγο τὴ διάκριση λέγοντας, «δὲν εἶναι ὅλοι πνεύματα ποὺ ὑπηρετοῦν»[1]; Καὶ γιὰ τὸ λόγο αὐτὸν δὲν ἀκοῦν, «κάθισε στὰ δεξιά μου»[2]. Τὸ λέγει αὐτό, γιατὶ ὁπωσδήποτε δὲν εἶναι ὑπηρέτης αὐτὸς ποὺ κάθεται. Ἑπομένως αὐτὸ τὸ ἀκούει ἐξ αἰτίας τοῦ σώματος. «Σκηνὴ» ὅμως ἐδῶ ἐννοεῖ τὸν οὐρανό. Γι' αὐτὸ καὶ δείχνοντας τὴ διαφορὰ ἀπὸ τὴ σκηνὴ τῶν Ἰουδαίων προσθέτει καὶ λέγει, «τὴν ὁποία ἔστησε ὁ Κύριος καὶ ὄχι ἄνθρωπος».

2. Ἑβρ. 1,13.

Ὅρα πῶς ἦρε τὰς ψυχὰς τῶν ἐξ Ἰουδαίων πεπιστευκότων, τοῦτο εἰπών. Ἐπειδὴ γὰρ εἰκὸς ἦν αὐτοὺς φαντάζεσθαι, ὅτι σκηνὴν οὐκ ἔχομεν τοιαύτην, ἰδού, φησίν, ὁ ἱερεύς, καὶ μέγας, καὶ πολὺ μείζων ἐκείνου, καὶ θυσίαν θαυμασιωτέραν προσήνεγ-
5 *κεν. Ἀλλ' ἆρα μὴ λόγος ταῦτα, μὴ κόμπος καὶ ψυχαγωγία; Ἀλλὰ διὰ τοῦτο ἐπιστώσατο πρότερον ἀπὸ τοῦ ὅρκου, λοιπὸν δὲ καὶ ἀπὸ τῆς σκηνῆς. Ἦν μὲν οὖν καὶ αὕτη δήλη ἡ διαφορά· οὗτος δὲ καὶ ἑτέραν ἐπινοεῖ· «ἣν ἔπηξεν ὁ Κύριος», φησί, «καὶ οὐκ ἄνθρωπος». Ποῦ τοίνυν εἰσὶν οἱ λέγοντες κινεῖσθαι τὸν οὐρανόν;*
10 *ποῦ εἰσιν οἱ σφαιροειδῆ αὐτὸν εἶναι ἀποφαινόμενοι; ἀμφότερα γὰρ ταῦτα ἀνῄρηται ἐνταῦθα. «Κεφάλαιον δέ», φησίν, «ἐπὶ τοῖς λεγομένοις». Κεφάλαιον ἀεὶ το μέγιστον λέγεται. Πάλιν κατάγει τὸν λόγον· εἰπὼν τὸ ὑψηλόν, ἀδεῶς φθέγγεται λοιπὸν τὰ ταπεινά.*

15 *Εἶτα, ἵνα μάθῃς ὅτι τό, «λειτουργός», περὶ τῆς ἀνθρωπότητος εἴρηται, ὅρα πῶς πάλιν ἐπισημαίνεται· «πᾶς γὰρ ἀρχιερεύς», φησίν, «εἰς τὸ προσφέρειν δῶρά τε καὶ θυσίας καθίσταται· ὅθεν ἀναγκαῖον ἔχειν τι καὶ τοῦτον ὃ προσενέγκῃ». Μή, ἐπειδὴ ἀκούεις ὅτι κάθηται, ὕθλον εἶναι νομίσῃς τὸ ἀρχιερέα αὐ-*
20 *τὸν εἰρῆσθαι· ἐκεῖνο μὲν γὰρ τῆς ἀξίας τοῦ Θεοῦ, τὸ καθῆσθαι, τοῦτο δὲ τῆς φιλανθρωπίας τῆς πολλῆς καὶ τῆς εἰς ἡμᾶς κηδεμονίας. Διὰ τοῦτο αὐτὸ λιπαίνει καὶ τούτῳ πλέον ἐνδιατρίβει· δέδοικε γὰρ μὴ ἐκεῖνο ἀνατρέψῃ. Διὰ τοῦτο πάλιν ἐπὶ τοῦτο κατάγει τὸν λόγον, ἐπειδὴ ἐζήτουν τινές, 'τίνος ἕνεκεν ἀπέθανεν, ἱε-*
25 *ρεὺς ὤν;' Ἱερεὺς δὲ χωρὶς θυσίας οὐκ ἔστι· δεῖ τοίνυν καὶ τοῦτον ἔχειν θυσίαν. Ἄλλως δέ, εἰπὼν ὅτι ἄνω ἐστί, λέγει καὶ δεικνυσιν, ὅτι ἱερεύς ἐστι, πάντοθεν, ἀπὸ τοῦ Μελχισεδέχ, ἀπὸ τοῦ ὅρκου, ἀπὸ τοῦ προσενεγκεῖν θυσίαν.*

Ἐκ τούτου λοιπὸν καὶ ἀναγκαῖον ἄλλον πλέκει συλλογι-
30 *σμόν. «Εἰ μὲν γὰρ ἦν ἐπὶ γῆς», φησίν, «οὐδ' ἂν ἦν ἱερεύς, ὄντων τῶν ἱερέων τῶν προσφερόντων κατὰ τὸν νόμον τὰ δῶρα». Εἰ τοίνυν ἐστὶν ἱερεύς, φησίν, ὥσπερ οὖν καὶ ἔστι, δεῖ αὐτῷ τόπον*

Πρόσεχε πῶς ἐξύψωσε τὶς ψυχὲς τῶν ἐξ Ἰουδαίων πιστῶν λέγοντας αὐτό. Ἐπειδὴ δηλαδὴ ἦταν φυσικὸ νὰ σκέπτονται αὐτοὶ καὶ νὰ λένε, 'δὲν ἔχουμε σκηνὴ τέτοια', νά, λέγει, ὁ ἱερέας, καὶ μεγάλος, καὶ πολὺ μεγαλύτερος ἀπὸ ἐκεῖνον, καὶ θυσία πρόσφερε πιὸ θαυμαστή. Ἀλλὰ μήπως αὐτὰ εἶναι λόγια, μήπως ἀλαζονεία καὶ ψυχαγωγία; Γι' αὐτὸ ὅμως τὰ βεβαίωσε πρῶτα ἀπὸ τὸν ὅρκο καὶ στὴ συνέχεια καὶ ἀπὸ τὴ σκηνή. Ἦταν βέβαια καὶ ἡ διαφορὰ αὐτὴ φανερή, ἀλλὰ αὐτὸς ἐπινοεῖ καὶ ἄλλη. «Τὴν ὁποία», λέγει, «ἔστησε ὁ Κύριος καὶ ὄχι ἄνθρωπος». Ποῦ λοιπὸν εἶναι ἐκεῖνοι ποὺ λένε ὅτι κινεῖται ὁ οὐρανός; Ποῦ εἶναι αὐτοὶ ποὺ διακηρύττουν ὅτι ἔχει σχῆμα σφαίρας; Καὶ τὰ δύο ἔχουν ἀναιρεθεῖ ἐδῶ. «Τὸ βασικὸ στοιχεῖο», λέγει, «τῶν ὅσων εἴπαμε». Βασικὸ στοιχεῖο λέγεται πάντοτε τὸ μέγιστο. Πάλι κατεβάζει τὸ λόγο. Ἀφοῦ εἶπε τὸ βασικό, ἄφοβα λέγει στὴ συνέχεια τὰ ταπεινά.

Ἔπειτα, γιὰ νὰ μάθεις ὅτι τὸ «λειτουργὸς» λέχθηκε γιὰ τὴν ἀνθρώπινη φύση, πρόσεχε πῶς πάλι ἐπισημαίνεται αὐτό. «Κάθε ἀρχιερέας», λέγει, «ἐγκαθίσταται γιὰ νὰ προσφέρει δῶρα καὶ θυσίες· γι' αὐτὸ εἶναι ἀπαραίτητο καὶ αὐτὸς νὰ ἔχει κάτι νὰ προσφέρει». Μὴ νομίσεις, ἐπειδὴ ἀκοῦς πὼς κάθεται, ὅτι εἶναι ἀνοησία νὰ λεχθεῖ αὐτὸς ἀρχιερέας. Γιατὶ ἐκεῖνο, «τὸ ὅτι κάθεται», εἶναι γνώρισμα τῆς ἀξίας τοῦ Θεοῦ, ἐνῶ αὐτὸ τῆς μεγάλης φιλανθρωπίας του καὶ τῆς φροντίδας του γιὰ μᾶς. Γι' αὐτὸ τὸ προετοιμάζει καὶ ἐπιμένει περισσότερο σ' αὐτό, ἐπειδὴ φοβᾶται μήπως ἀνατρέψει ἐκεῖνο. Γι' αὐτὸ πάλι μεταφέρει σ' αὐτὸ τὸ λόγο, ἐπειδὴ ἐρωτοῦσαν νὰ μάθουν μερικοί, 'γιὰ ποιό λόγο πέθανε, ἀφοῦ ἦταν ἱερέας;' Ἱερέας ὅμως χωρὶς θυσία δὲν ὑπάρχει. Πρέπει συνεπῶς καὶ αὐτὸς νὰ ἔχει θυσία. Ἄλλωστε, λέγοντας ὅτι βρίσκεται στὸν οὐρανό, λέγει καὶ ἀποδεικνύει ἀπὸ παντοῦ ὅτι εἶναι ἱερέας, ἀπὸ τὸν Μελχισεδέκ, ἀπὸ τὸν ὅρκο, ἀπὸ τὴν προσφορὰ θυσίας.

Ἀπ' αὐτὸ στὴ συνέχεια πλέκει καὶ ἄλλον ἀναγκαῖο συλλογισμό. «Ἂν βέβαια ὁ Χριστός», λέγει, «ἦταν πάνω στὴ γῆ, δὲ θὰ ἦταν ἱερέας, ἀφοῦ ὑπάρχουν ἱερεῖς ποὺ προσφέρουν σύμφωνα μὲ τὸ νόμο τὰ δῶρα». Ἂν λοιπόν, λέγει, εἶναι ἱερέας, ὅπως [illegible]

ζητῆσαι ἕτερον. Ἐπὶ γῆς μὲν γὰρ ὤν, οὐκ ἂν ἦν ἱερεύς. Πῶς γάρ; οὐ προσήνεγκεν, οὐχ ἱεράσατο· καὶ εἰκότως· ἦσαν γὰρ οἱ ἱερεῖς. Καὶ δείκνυσιν, ὅτι οὐδὲ δυνατὸν ἐπὶ γῆς εἶναι ἱερέα· πῶς γάρ; ἐπεὶ οὐδὲ ἐπανάστασις ἦν, φησίν. Ἐνταῦθα ἀναγκαῖον συντεῖναι τὸν νοῦν καὶ συνιδεῖν τὴν ἀποστολικὴν σύνεσιν· πάλιν γὰρ τὴν διαφορὰν δείκνυσι τῆς ἱερωσύνης. «Οἵτινες», φησίν, «ὑποδείγματι καὶ σκιᾷ λατρεύουσι τῶν ἐπουρανίων».

Τίνα λέγει ἐνταῦθα ἐπουράνια; Τὰ πνευματικά· εἰ γὰρ καὶ ἐπὶ γῆς τελεῖται, ἀλλ' ὅμως Ἰησοῦς Χριστὸς κεῖται ἐσφαγμένος, ὅταν Πνεῦμα παραγίνηται, ὅταν ὁ καθήμενος ἐν δεξιᾷ τοῦ Πατρὸς ἐνταῦθα ᾖ, ὅταν υἱοὶ γίνωνται διὰ τοῦ λουτροῦ, ὅταν πολῖται ὦσι τῶν ἐν οὐρανοῖς, ὅταν πατρίδα ἔχωμεν ἐκεῖ καὶ πόλιν καὶ πολίτευμα, ὅταν ξένοι ὦμεν τῶν ἐνταῦθα, πῶς οὐκ ἐπουράνια ταῦτα πάντα τυγχάνει;

2. Ἀλλὰ τί; οἱ ὕμνοι οὐκ ἐπουράνιοι; οὐχ ἅπερ ἄνω ᾄδουσιν οἱ θεῖοι χοροὶ τῶν ἀσωμάτων δυνάμεων, ταῦτα καὶ ἡμεῖς οἱ κάτω συνῳδὰ ἐκείνοις φθεγγόμεθα; οὐχὶ καὶ τὸ θυσιαστήριον ἐπουράνιον; Πῶς; Οὐδὲν ἔχει σαρκικόν· πάντα πνευματικὰ γίνεται τὰ προκείμενα· οὐκ εἰς τέφραν, οὐκ εἰς καπνόν, οὐκ εἰς κνῖσσαν διαχεῖται ἡ θυσία, ἀλλὰ λαμπρὰ καὶ φαιδρὰ ἐργάζεται τὰ προκείμενα. Πῶς δὲ οὐκ οὐράνια τὰ τελούμενα, ὅταν οἱ διακονούμενοι αὐτοῖς ἀκούωσιν ἔτι ἐξ οὗ εἴρηται, «ἄν τινων κρατῆτε, κεκράτηνται, ἄν τινων ἀφῆτε, ἀφίενται»; Πῶς οὐκ οὐράνια πάντα, ὅταν οὗτοι καὶ τὰς κλεῖς ἔχωσι τοῦ οὐρανοῦ;

«Οἵτινες», φησίν, «ὑποδείγματι καὶ σκιᾷ λατρεύουσι τῶν ἐπουρανίων, καθὼς κεχρημάτισται Μωϋσῆς, μέλλων ἐπιτελεῖν τὴν σκηνήν. Ὅρα γάρ, φησί, ποιήσεις πάντα κατὰ τὸν τύπον τὸν δειχθέντα σοι ἐν τῷ ὄρει». Ἐπειδὴ ἡ ἀκοὴ ἡμῶν ἀμαθεστέρα τῆς ὄψεώς ἐστιν (οὐ γὰρ οὕτως ἅπερ ἂν ἀκούσωμεν, τῇ ψυχῇ

---

3. Ἰω. 20,23.

τικὰ καὶ εἶναι, πρέπει αὐτὸς νὰ ζητήσει ἄλλον τόπο. Γιατί, ἂν ἦταν πάνω στὴ γῆ, δὲ θὰ ἦταν ἱερέας. Πῶς λοιπὸν θὰ ἦταν; Δὲν πρόσφερε, δὲν τέλεσε ἔργο ἱερατικό. Καὶ πολὺ σωστά, γιατὶ ὑπῆρχαν οἱ ἱερεῖς. Καὶ δείχνει ὅτι δὲν ἦταν δυνατὸ νὰ εἶναι ἱερέας πάνω στὴ γῆ. Γιατὶ μὲ ποιό τρόπο; Ἐπειδὴ οὔτε ἐπανάσταση ὑπῆρχε, λέγει. Ἐδῶ εἶναι ἀνάγκη νὰ συγκεντρώσουμε τὸ νοῦ καὶ νὰ γνωρίσουμε καλὰ τὴ σύνεση τοῦ Παύλου, γιατὶ πάλι δείχνει τὴ διαφορὰ τῆς ἱερωσύνης. «Ἡ λατρεία», λέγει, «ποὺ προσφέρουν οἱ ἱερεῖς εἶναι ἀπεικόνιση καὶ σκιὰ τῶν ἐπουράνιων πραγμάτων».

Ποιά λέγει ἐδῶ ἐπουράνια; Τὰ πνευματικά. Γιατί, ἂν καὶ τελοῦνται πάνω στὴ γῆ, εἶναι ὅμως ἄξια τῶν οὐρανῶν. Ὅταν λοιπὸν ὁ Κύριός μας Ἰησοῦς Χριστὸς βρίσκεται σφαγμένος, ὅταν ἔρχεται τὸ Πνεῦμα, ὅταν αὐτὸς ποὺ κάθεται στὰ δεξιὰ τοῦ Πατέρα βρίσκεται ἐδῶ, ὅταν γίνονται υἱοὶ μὲ τὸ βάπτισμα, ὅταν εἶναι πολίτες αὐτῶν ποὺ βρίσκονται στοὺς οὐρανούς, ὅταν ἔχουμε ἐκεῖ πατρίδα καὶ πόλη καὶ πολίτευμα, ὅταν εἴμαστε ξένοι ἐδῶ, πῶς δὲν εἶναι ὅλα αὐτὰ ἐπουράνια;

2. Ἀλλὰ τί; Οἱ ὕμνοι δὲν εἶναι ἐπουράνιοι; Αὐτὰ ποὺ ψάλλουν στὸν οὐρανὸ οἱ θεῖοι χοροὶ τῶν ἀσωμάτων δυνάμεων, δὲν τὰ λέμε καὶ ἐμεῖς οἱ κάτω συμφωνώντας μ' ἐκείνους; Δὲν εἶναι καὶ τὸ θυσιαστήριο ἐπουράνιο; Πῶς; Δὲν ἔχει τίποτε ὑλικό. Ὅλα ὅσα εἶναι μπροστά μας γίνονται πνευματικά. Ἡ θυσία δὲν καταλήγει σὲ στάχτη, σὲ καπνὸ καὶ σὲ κνίσσα, ἀλλὰ καθιστᾶ τὰ προσφερόμενα ἀγαθὰ λαμπρὰ καὶ φαιδρά. Καὶ πῶς δὲν εἶναι οὐράνια ὅσα τελοῦνται, ὅταν ἐκεῖνοι ποὺ ὑπηρετοῦν σ' αὐτὰ ἀκοῦν ἀκόμη ἐκεῖνο ποὺ λέχθηκε, «ἂν σὲ κάποιους δὲ συγχωρῆστε τὶς ἁμαρτίες, θὰ μείνουν ἀσυγχώρητες· ἂν τὶς συγχωρῆστε, θὰ εἶναι συγχωρημένες»[3]; Πῶς δὲν εἶναι οὐράνια ὅλα, ὅταν αὐτοὶ ἔχουν ἀκόμη καὶ τὰ κλειδιὰ τοῦ οὐρανοῦ;

«Ἡ λατρεία», λέγει, «ποὺ προσφέρουν οἱ ἱερεῖς εἶναι ἀπεικόνιση καὶ σκιὰ τῶν ἐπουράνιων πραγμάτων, ὅπως πῆρε τὴν ἐντολὴ ὁ Μωυσῆς, ὅταν ἐπρόκειτο νὰ ἑτοιμάσει τὴ σκηνή. Πρόσεχε, τοῦ λέγει ὁ Θεός, νὰ τὰ κάνεις ὅλα σύμφωνα μὲ τὸν τύπο ποὺ σοῦ ὑποδείχθηκε πάνω στὸ ὄρος». Ἐπειδὴ ἡ ἀκοή μας μα-

παρακατατιθέμεθα, ὡς ἅπερ ἂν ἴδωμεν αὐταῖς ὄψεσιν), ἔδειξεν αὐτῷ πάντα. Ἡ τοίνυν τοῦτο λέγει, «ὑποδείγματι καὶ σκιᾷ» ἢ περὶ τοῦ ναοῦ αἰνίττεται· ἐπήγαγε γάρ, «ὅρα, ποιήσεις πάντα κατὰ τὸν τύπον τὸν δειχθέντα σοι ἐν τῷ ὄρει». Ἄρα περὶ τῆς κα-
5 *τασκευῆς τοῦ ναοῦ μόνον, ἢ περὶ τῶν θυσιῶν εἶδε καὶ τῶν ἄλλων ἁπάντων· μᾶλλον δὲ οὐκ ἄν τις ἁμάρτοι καὶ τοῦτο εἰπών. Οὐρανία γάρ ἐστιν ἡ Ἐκκλησία καὶ οὐδέν ἐστιν ἄλλο ἢ οὐρανός.*

«Νυνὶ δὲ διαφορωτέρας τετύχηκε λειτουργίας, ὅσῳ καὶ κρείττονός ἐστι διαθήκης μεσίτης». Ὁρᾷς, φησίν, ὅσῳ βελτίων
10 *ἡ λειτουργία τῆς λειτουργίας, εἴ γε ἐκείνη μὲν ὑπόδειγμα καὶ τύπος, αὕτη δὲ ἀλήθεια. Ἀλλ' οὐδὲν τοῦτο ὠφέλει τοὺς ἀκούοντας, οὐδὲ εὔφραινε. Διά τοι τοῦτο ὃ μάλιστα αὐτοὺς εὔφραινε, λέγει· «ἥτις ἐπὶ κρείττοσιν ἐπαγγελίαις νενομοθέτηται». Ἐπάρας ἀπὸ τοῦ τόπου καὶ τοῦ ἱερέως καὶ τῆς θυσίας, τότε καὶ τῆς διαθήκης*
15 *τὸ μέσον τίθησιν· εἰπὼν μὲν καὶ πρότερον, ὅτε ἐδείκνυ ὅτι ἀσθενὴς ἦν καὶ ἀνωφελής. Καὶ ὅρα οἷα τίθησιν ἀσφαλίσματα, μέλλων αὐτῆς κατηγορεῖν. Ἐκεῖ γὰρ εἰπών, «κατὰ δύναμιν ζωῆς ἀκαταλύτου», τότε εἶπεν, ὅτι «ἀθέτησις γίνεται προαγούσης ἐντολῆς»· εἶτα καὶ ὕστερον μέγα τι ἔθηκεν εἰπών, «δι' ἧς ἐγγίζομεν*
20 *τῷ Θεῷ».*

Ἐνταῦθα δὲ ἡμᾶς εἰς τὸν οὐρανὸν ἀναγαγὼν καὶ δείξας ὅτι ἀντὶ τοῦ ἱεροῦ τὸν οὐρανὸν ἔχομεν, καὶ ὅτι τύποι ἦσαν τῶν ἡμετέρων ἐκεῖνα, καὶ τὴν λειτουργίαν ἐπάρας τούτοις, καὶ τὴν ἱερωσύνην εἰκότως ἐπαίρει λοιπόν. Ἀλλ' ὅπερ ἔφην, ὃ μάλιστα αὐ-
25 *τοὺς εὐφραίνει τίθησι λέγων, «ἥτις ἐπὶ κρείττοσιν ἐπαγγελίαις νενομοθέτηται». Πόθεν τοῦτο δῆλον; Ἐξ ὧν αὕτη μὲν ἐξεβλήθη, ἐκείνη δὲ ἀντεισήχθη· διὰ γὰρ τοῦτο κρατεῖ, ὅτι βελτίων. Ὥσπερ γὰρ λέγει, ὅτι «εἰ ἡ τελείωσις δι' αὐτῆς ἦν, τίς ἔτι χρεία κατὰ τὴν τάξιν Μελχισεδὲκ ἕτερον ἀνίστασθαι ἱερέα;», οὕτω καὶ*

---

4. Ἑβρ. 7,16. 5. Ἑβρ. 7,18.
6. Ἑβρ. 7,20.

θαίνει μετὰ ἀπὸ τὴν ὅραση (γιατὶ δὲν ἐναποθέτουμε στὴν ψυχή μας τόσο ἐκεῖνα ποὺ θ' ἀκούσουμε, ὅσο ἐκεῖνα ποὺ θὰ δοῦμε μὲ τὰ μάτια μας), τοῦ ἔδειξε τὰ πάντα. Ἢ λοιπὸν αὐτὸ λέγει «ἀπεικόνιση καὶ σκιά», ἢ ὑπαινίσσεται γιὰ τὸ ναό, γιατὶ πρόσθεσε, «πρόσεχε, θὰ τὰ κάνεις ὅλα σύμφωνα μὲ τὸν τύπο ποὺ σοῦ ὑποδείχθηκε πάνω στὸ ὄρος». Ἄρα εἶδε μόνο γιὰ τὴν κατασκευὴ τοῦ ναοῦ ἢ γιὰ τὶς θυσίες καὶ γιὰ ὅλα τὰ ἄλλα· μᾶλλον ὅμως δὲ θὰ ἔσφαλλε κανεὶς ἂν ἔλεγε καὶ αὐτό. Γιατὶ ἡ Ἐκκλησία εἶναι οὐράνια καὶ δὲν εἶναι τίποτε ἄλλο παρὰ μόνο οὐρανός.

«Τώρα ὅμως ἡ ὑπηρεσία ποὺ ἀνέλαβε ὁ Ἰησοῦς εἶναι τόσο διαφορετικὴ ἀπὸ τὴ δική τους, ὅσο ἀνώτερη εἶναι καὶ ἡ διαθήκη, γιὰ τὴν ὁποία εἶναι μεσίτης». Βλέπεις, λέγει, πόσο καλύτερη εἶναι ἡ ὑπηρεσία ἀπὸ τὴν ὑπηρεσία, ἀφοῦ βέβαια ἐκείνη εἶναι ἀπεικόνιση καὶ τύπος, ἐνῶ αὐτὴ ἡ ἀλήθεια. Ἀλλὰ τίποτε δὲν ὠφελοῦσε αὐτὸ τοὺς ἀκροατὲς οὔτε τοὺς εὐχαριστοῦσε. Γι' αὐτὸ λέγει ἐκεῖνο ποὺ τοὺς εὐχαριστοῦσε πάρα πολύ· «ἡ ὁποία ἔχει νομοθετηθεῖ μὲ καλύτερες ὑποσχέσεις». Ἀφοῦ τοὺς ἐνθάρρυνε ἀπὸ τὸν τόπο καὶ τὸν ἱερέα καὶ τὴ θυσία, ὕστερα ἀναφέρει καὶ τὴ διαφορὰ τῆς διαθήκης, ἀφοῦ τὴν εἶπε καὶ προηγουμένως, ὅταν ἀποδείκνυε ὅτι εἶναι ἀνίσχυρη καὶ ἄχρηστη. Καὶ πρόσεχε ποιές ἐγγυήσεις ἀναφέρει, ὅταν πρόκειται νὰ τὴν κατηγορήσει. Γιατὶ ἐκεῖ ἀφοῦ εἶπε, «ἀλλὰ μὲ τὴ δύναμη ζωῆς ἀκατάλυτης»[4], τότε εἶπε, «καταργεῖται μία προηγούμενη ἐντολή»[5]. Ἔπειτα καὶ τελευταῖο ἀνέφερε κάτι μεγάλο λέγοντας, «μὲ τὴν ὁποία πλησιάζουμε τὸ Θεό»[6].

Ἐδῶ ὅμως, ἀφοῦ μᾶς ἀνέβασε στὸν οὐρανὸ καὶ ἔδειξε ὅτι ἀντὶ γιὰ τὸ ἱερὸ ἔχουμε τὸν οὐρανὸ καὶ ὅτι ἐκεῖνα ἦταν τύποι τῶν δικῶν μας, καὶ ἀφοῦ ἐξύψωσε τὴν ὑπηρεσία σ' αὐτούς, στὴ συνέχεια ἐξυψώνει πολὺ φυσικὰ καὶ τὴν ἱερωσύνη. Ἀλλά, ὅπως εἶπα, ἀναφέρει ἐκεῖνο ποὺ πάρα πολὺ τοὺς εὐχαριστεῖ λέγοντας, «ἡ ὁποία ἔχει νομοθετηθεῖ μὲ καλύτερες ὑποσχέσεις». Ἀπὸ ποῦ φαίνεται αὐτό; Ἀπὸ τὸ ὅτι αὐτὴ ἐκτοπίσθηκε καὶ εἰσήχθηκε πρὸς ἀντικατάστασή της ἐκείνη. Γι' αὐτὸ λοιπὸν ἐπικρατεῖ, ἐπειδὴ εἶναι καλύτερη. Ὅπως ἀκριβῶς λέγει, «ἂν ἡ τελειότητα ἦταν κατορθωτὴ μὲ τὴν ἱερωσύνη αὐτή, ποιά ἀνάγκη ὑπῆρχε νὰ ἐμφα-

ἐνταῦθα τῷ αὐτῷ συλλογισμῷ κέχρηται, λέγων· «εἰ γὰρ ἡ πρώτη ἐκείνη ἦν ἄμεμπτος, οὐκ ἂν δευτέρας ἐζητεῖτο τόπος»· τουτέστιν, εἰ οὐδὲν εἶχεν ἐλλιπές, εἰ ἀμέμπτους ἐποίει. Ὅτι γὰρ περὶ τούτου φησίν, ἄκουε τὸ ἑξῆς· «μεμφόμενος δὲ αὐτοῖς λέγει».
5 Οὐκ εἶπε, 'μεμφόμενος δὲ αὐτῇ', ἀλλά, «μεμφόμενος δὲ αὐτοῖς λέγει».

«Ἰδού, ἡμέραι ἔρχονται, λέγει Κύριος, καὶ συντελέσω ἐπὶ τὸν οἶκον τοῦ Ἰσραὴλ καὶ ἐπὶ τὸν οἶκον Ἰούδα διαθήκην καινήν, οὐ κατὰ τὴν διαθήκην, ἣν διεθέμην τοῖς πατράσιν αὐτῶν, ἐν 10 ἡμέρᾳ ἐπιλαβομένου μου τῆς χειρὸς αὐτῶν, ἐξαγαγεῖν αὐτοὺς ἐκ γῆς Αἰγύπτου· ὅτι αὐτοὶ οὐκ ἐνέμειναν ἐν τῇ διαθήκῃ μου, κἀγὼ ἠμέλησα αὐτῶν, λέγει Κύριος». Ναί, φησί· καὶ πόθεν δῆλον, ὅτι τέλος ἔλαβεν; Ἔδειξε μὲν οὖν καὶ ἀπὸ τοῦ ἱερέως τοῦτο, δείκνυσι δὲ τρανότρον νῦν αὐτολεξεί, ὅτι ἐκβέβληται. Πῶς δέ; «Ἐπὶ 15 κρείττοσιν ἐπαγγελίαις», εἰπών. Ποῦ γὰρ ἴσον, εἰπέ μοι, γῆ καὶ οὐρανός; Σὺ δὲ θεώρει πῶς κἀκεῖ «ἐπαγγελίαις» φησίν, ἵνα μὴ ταύτης τοῦτο κατηγορῇς. Καὶ γὰρ ἐκεῖ, «δι' ἧς ἐγγίζομεν τῷ Θεῷ ἐλπίδος», φησί, «κρείττονος», δεινῶς, ὅτι κἀκεῖ ἐλπίς· καὶ ἐνταῦθα, ἐπαγγελίας κρείττονος, αἰνιττόμενος ὅτι καὶ ἐκεῖ ἐπηγ- 20 γείλατο.

Ἐπειδὴ δὲ ἐνεκάλουν ἀεί, «ἰδοὺ γὰρ ἡμέραι ἔρχονται, λέγει Κύριος», φησί, «καὶ συντελέσω ἐπὶ τὸν οἶκον Ἰσραήλ, καὶ ἐπὶ τὸν οἶκον Ἰούδα διαθήκην καινήν». Οὐ παλαιάν τινα διαθήκην φησίν. Ἵνα γὰρ μὴ τοῦτο ἔχωσι λέγειν, καὶ τὸν χρόνον ὥρισεν· 25 οὐ γὰρ ἁπλῶς εἶπε, 'κατὰ τὴν διαθήκην, ἣν διεθέμην τοῖς πατράσιν αὐτῶν', ἵνα μὴ τὴν πρὸς τὸν Ἀβραὰμ γεγενημένην εἴπῃς ἢ τὴν πρὸς τὸν Νῶε, ἀλλὰ ποίαν δηλῶν, φησίν, «οὐ κατὰ τὴν διαθήκην, ἣν διεθέμην τοῖς πατράσιν αὐτῶν» τοῖς ἐν τῇ ἐξόδῳ. Διὸ καὶ ἐπήγαγεν, «ἐν ἡμέρᾳ ἐπιλαβομένου μου τῆς χειρὸς αὐτῶν, 30 ἐξαγαγεῖν αὐτοὺς ἐκ γῆς Αἰγύπτου· ὅτι αὐτοὶ οὐκ ἐνέμειναν ἐν τῇ διαθήκῃ μου, κἀγὼ ἠμέλησα αὐτῶν, λέγει Κύριος».

---

7. Ἑβρ. 7,11.
8. Ἑβρ. 7,19.

νισθεῖ ἄλλος ἱερέας ἀπὸ τὴ γενιὰ τοῦ Μελχισεδέκ;»[7], ἔτσι καὶ ἐδῶ χρησιμοποιεῖ τὸν ἴδιο συλλογισμὸ λέγοντας· «ἂν ἡ πρώτη ἐκείνη διαθήκη ἦταν ἄμεμπτη, δὲ θὰ ὑπῆρχε ἀνάγκη γιὰ δεύτερη». Δηλαδή, ἂν δὲν εἶχε τίποτε ἀτελές, ἂν ἔκανε τέλειους τοὺς ἀνθρωπους. Ὅτι βέβαια τὸ λέγει γι' αὐτό, ἄκου τὸ ἑπόμενο· «κατηγορώντας αὐτοὺς ὁ Θεὸς λέγει». Δὲν εἶπε, 'κατηγορώντας αὐτήν, ἀλλά, «κατηγορώντας αὐτοὺς λέγει».

«Νά, ἔρχονται ἡμέρες, λέγει ὁ Κύριος, ποὺ θὰ συνάψω μὲ τὸ λαὸ τοῦ Ἰσραὴλ καὶ μὲ τὸ λαὸ τοῦ Ἰούδα καινούρια διαθήκη, ποὺ δὲ θὰ εἶναι ὅμοια μὲ τὴ διαθήκη ποὺ σύναψα μὲ τοὺς πατέρες τους τότε, ὅταν τοὺς ἔπιασα ἀπὸ τὸ χέρι γιὰ νὰ τοὺς ὁδηγήσω ἔξω ἀπὸ τὴν Αἴγυπτο. Ἐπειδὴ αὐτοὶ δὲν ἔμειναν πιστοὶ στὴ διαθήκη μου, ἐγὼ τοὺς ἐγκατέλειψα, λέγει ὁ Κύριος». «Ναί», λέγει. Ἀλλὰ ἀπὸ ποῦ φαίνεται ὅτι ἔλαβε τέλος; Τὸ ἔδειξε βέβαια καὶ ἀπὸ τὸν ἱερέα αὐτό, τὸ δείχνει ὅμως σαφέστερα τώρα μὲ τὶς ἴδιες τὶς λεξεις, ὅτι ἔχει καταργηθεῖ. Πῶς; Λέγοντας, «ἔχει νομοθετηθεῖ μὲ καλύτερες ὑποσχέσεις». Γιατί, πές μου, ποῦ εἶναι ἴσο ἡ γῆ καὶ ὁ οὐρανός; Ἐσὺ ὅμως πρόσεχε πῶς καὶ ἐκεῖ λέγει «σὲ ὑποσχέσεις», γιὰ νὰ μὴν τὴν κατηγορεῖς γι' αὐτὸ τὸ πράγμα. Γιατὶ καὶ ἐκεῖ λέγει, «προσφέρεται μιὰ καλύτερη ἐλπίδα, μὲ τὴν ὁποία πλησιάζουμε τὸ Θεό»[8], δείχνοντας ὅτι καὶ ἐκεῖ ὑπάρχει ἐλπίδα· καὶ ἐδῶ λέγει, «μὲ καλύτερη ὑπόσχεση», ἐννοώντας ὅτι καὶ ἐκεῖ ὑποσχέθηκε.

Ἐπειδὴ ὅμως κατηγοροῦσαν πάντοτε, «νά», λέγει, «ἔρχονται ἡμέρες, λέγει ὁ Κύριος, ποὺ θὰ συνάψω μὲ τὸ λαὸ τοῦ Ἰσραὴλ καὶ μὲ τὸ λαὸ τοῦ Ἰούδα καινούρια διαθήκη». Δὲ λέγει κάποια παλαιὰ διαθήκη. Γιὰ νὰ μὴν μποροῦν νὰ λένε αὐτό, ὅρισε καὶ τὸ χρόνο. Γιατὶ δὲν εἶπε, 'ὅμοια μὲ τὴ διαθήκη ποὺ σύναψα μὲ τοὺς πατέρες τους', γιὰ νὰ μὴν ἐννοήσεις τὴ διαθήκη ποὺ ἔγινε μὲ τὸν Ἀβραὰμ ἢ μὲ τὸ Νῶε, ἀλλὰ ποιά διαθήκη ἦταν τὸ φανερώνει λέγοντας, «ποὺ δὲ θὰ εἶναι ὅμοια μὲ τὴ διαθήκη ποὺ σύναψα μὲ τοὺς πατέρες τους» ποὺ ἦταν στὴν ἔξοδο. Γι' αὐτὸ καὶ πρόσθεσε, «τότε ποὺ τοὺς ἔπιασα ἀπὸ τὸ χέρι γιὰ νὰ τοὺς ὁδηγήσω ἔξω ἀπὸ τὴν Αἴγυπτο. Ἐπειδὴ αὐτοὶ δὲν ἔμειναν πιστοὶ στὴ διαθήκη μου, ἐγὼ τοὺς ἐγκατέλειψα, λέγει ὁ Κύριος».

3. Ὁρᾷς πρῶτον παρ' ἡμῶν ἀρχόμενα τὰ κακά; Αὐτοί, φησί, πρῶτον οὐκ ἐνέμειναν. Λοιπὸν καὶ παρ' ἡμῶν ἡ ἀμέλεια, τὰ δὲ ἀγαθὰ παρ' αὐτοῦ, τὰ τῆς εὐεργεσίας λέγω. Ἐνταῦθα ὥσπερ ἀπολογίαν τίθησιν, αὐτὴν τὴν αἰτίαν δεικνύς, δι' ἣν ἐγκαταλιμ-
5 πάνει αὐτούς. «Ὅτι αὕτη ἡ διαθήκη», φησίν, «ἣν διαθήσομαι τῷ οἴκῳ Ἰσραὴλ μετὰ τὰς ἡμέρας ἐκείνας, λέγει Κύριος, διδοὺς νόμους μου εἰς τὴν διάνοιαν αὐτῶν, καὶ ἐπὶ καρδίας αὐτῶν ἐπιγράψω αὐτούς· καὶ ἔσομαι αὐτοῖς εἰς Θεόν, καὶ αὐτοὶ ἔσονταί μοι εἰς λαόν». Οὕτω περὶ τῆς καινῆς ταῦτά φησιν, ὅτι λέγει· «οὐ
10 κατὰ τὴν διαθήκην ἣν διεθέμην». Ποία δὲ ἄλλη ἐστὶ διαφορά, ἢ αὕτη; Εἰ δὲ τὸ διάφορον λέγοι τις οὐ κατὰ τοῦτο, ἀλλὰ κατὰ τὸ δοθῆναι εἰς τὰς καρδίας αὐτῶν· οὐ προσταγμάτων εἰσάγει διαφοράν, ἀλλὰ τὸν τρόπον τῆς δόσεως δείκνυσιν. Οὐκέτι γὰρ ἐν γράμμασι, φησίν, ἔσται ἡ διαθήκη, ἀλλ' ἐν καρδίαις. Δειξάτω
15 τοίνυν τοῦτο γενόμενόν ποτε ὁ Ἰουδαῖος· ἀλλ' οὐκ ἂν εὕροι· πάλιν γὰρ ἐν γράμμασιν ἐγένετο μετὰ τὴν ἐπάνοδον τὴν ἐκ Βαβυλῶνος. Ἐγὼ δὲ δείκνυμι τοὺς ἀποστόλους μηδὲν παραλαβόντας γραπτόν, ἀλλ' ἐν ταῖς καρδίαις δεξαμένους διὰ Πνεύματος ἁγίου. Διὸ καὶ ἔλεγεν ὁ Χριστός· «Ἐκεῖνος ἐλθὼν ἀναμνήσει ὑμᾶς πάν-
20 τα, καὶ διδάξει ὑμᾶς».

«Καὶ οὐ μὴ διδάξωσιν ἕκαστος», φησί, «τὸν πλησίον αὐτοῦ, καὶ ἕκαστος τὸν ἀδελφὸν αὐτοῦ, λέγων γνῶθι τὸν Κύριον· ὅτι πάντες εἰδήσουσί με, ἀπὸ μικροῦ ἕως μεγάλου αὐτῶν. Ὅτι ἵλεως ἔσομαι ταῖς ἀδικίαις αὐτῶν καὶ τῶν ἀνομιῶν αὐτῶν καὶ
25 τῶν ἁμαρτιῶν αὐτῶν οὐ μὴ μνησθῶ ἔτι». Ἰδοὺ καὶ ἄλλο σημεῖον· «ἀπὸ μικροῦ», φησίν, «ἕως μεγάλου αὐτῶν εἰδήσουσί με», καὶ οὐ μὴ εἴπωσι, «γνῶθι τὸν Κύριον». Πότε τοῦτο γέγονεν ἢ νῦν; δῆλον γὰρ τὸ ἡμέτερον· τὸ δὲ ἐκείνων οὐ δῆλον, ἀλλ' ἀπεκέκλειστο εἰς γωνίαν. Ἄλλως δέ, καινὴ τότε λέγεται, ὅταν ἑτέρα
30 ᾖ καὶ δεικνύῃ εἴ τι τῆς παλαιᾶς πλέον ἔχει. Καινὴ δὲ καὶ αὕτη τυγχάνει, ὅταν αὐτῆς τὰ μὲν περιαιρεθῇ, τὰ δὲ μή· οἷον, ἐπὶ ὑποδείγματος ἵνα εἴπω, εἴ τις οἰκίαν παλαιὰν μέλλουσαν καταπί-

---

9. Ἰω. 14,26.

3. Βλέπεις ὅτι ἀπὸ μᾶς ἀρχίζουν τὰ κακά; Πρῶτα αὐτοί, λέγει, δὲν ἔμειναν πιστοί. Στὴ συνέχεια καὶ ἀπὸ μᾶς προέρχεται ἡ ἀδιαφορία, ἐνῶ ἀπ' αὐτὸν τὰ ἀγαθά, δηλαδὴ οἱ εὐεργεσίες. Ἐδῶ σὰν νὰ ἀπολογεῖται, δείχνοντας τὴν ἴδια τὴν αἰτία, γιὰ τὴν ὁποία τοὺς ἐγκαταλείπει. «Γιατὶ ἡ διαθήκη», λέγει, «ποὺ θὰ συνάψω μὲ τὸ λαὸ τοῦ Ἰσραὴλ ὕστερα ἀπὸ τὶς ἡμέρες ἐκεῖνες, λέγει ὁ Κύριος, εἶναι ἡ ἑξῆς· θὰ τοποθετήσω τοὺς νόμους μου μέσα στὸ νοῦ τους καὶ θὰ τοὺς χαράξω στὶς καρδιές τους· ἐγὼ θὰ εἶμαι γι' αὐτοὺς Θεός, καὶ αὐτοὶ λαός μου». Αὐτὰ λέγει γιὰ τὴν καινούρια διαθήκη, γιατὶ λέγει· «ἡ ὁποία δὲ θὰ εἶναι ὅμοια μὲ τὴ διαθήκη ποὺ σύναψα». Ποιά ὅμως ἄλλη διαφορὰ ὑπάρχει ἐκτὸς ἀπ' αὐτήν; Ἂν κάποιος ἔλεγε ὅτι ἡ διαφορὰ δὲν εἶναι σ' αὐτό, ἀλλὰ στὸ ὅτι δόθηκε στὶς καρδιές τους, δὲν εἰσάγει διαφορὰ στὶς ἐντολές, ἀλλὰ δείχνει τὸν τρόπο ποὺ τὶς δίνει. Γιατὶ ἡ διαθήκη, λέγει, δὲ θὰ εἶναι χαραγμένη μὲ γράμματα, ἀλλὰ μέσα στὶς καρδιές. Ἂς δείξει λοιπὸν ὁ Ἰουδαῖος ὅτι ἔγινε αὐτὸ κάποτε. Δὲ θὰ μπορέσει νὰ βρεῖ, γιατὶ πάλι ἡ διαθήκη ἔγινε σὲ γράμματα μετὰ τὴν ἐπιστροφὴ ἀπὸ τὴ Βαβυλώνα. Ἐγὼ ὅμως θὰ δείξω ὅτι οἱ ἀπόστολοι δὲν παρέλαβαν τίποτε γραπτό, ἀλλ' ὅτι τὸ δέχθηκαν στὶς καρδιές τους μὲ τὴ βοήθεια τοῦ ἁγίου Πνεύματος. Γι' αὐτὸ καὶ ὁ Χριστὸς ἔλεγε· «ὅταν ἔλθει ὁ Παράκλητος, τὸ ἅγιο Πνεῦμα, θὰ σᾶς τὰ ὑπενθυμίσει ὅλα καὶ θὰ σᾶς διδάξει»[9].

«Καὶ δὲ θὰ διδάσκει», λέγει, «ὁ καθένας τὸν πλησίον του καὶ καθένας τὸν ἀδελφό του λέγοντας, γνώρισε τὸν Κύριο, γιατὶ ὅλοι θὰ μὲ γνωρίζουν, ἀπὸ τὸν μικρότερο ὣς τὸν μεγαλύτερο. Θὰ συγχωρήσω τὶς ἀδικίες τους καὶ θὰ ξεχάσω πιὰ τὶς ἀνομίες καὶ τὶς ἁμαρτίες τους». Νὰ καὶ ἄλλο σημάδι· «ἀπὸ τὸν μικρότερο», λέγει, «ὣς τὸν μεγαλύτερο θὰ μὲ γνωρίσουν», καὶ δὲ θὰ ποῦν, «γνώρισε τὸν Κύριο». Πότε ἔγινε αὐτὸ παρὰ τώρα; Γιατὶ τὸ δικό μας εἶναι φανερό, ἐνῶ τὸ δικό τους δὲ φαίνεται, ἀλλ' ἔχει ἀποκλεισθεῖ στὴ γωνία. Ἄλλωστε, καινούρια τότε λέγεται, ὅταν ὑπάρχει ἄλλη καὶ δείχνει ὅτι ἔχει κάτι περισσότερο ἀπὸ τὴν παλαιά. Καινούρια ὅμως εἶναι καὶ αὐτή, ὅταν ἀπ' αὐτὴν ἄλλα ἀφαιρεθοῦν καὶ ἄλλα ὄχι. Γιὰ νὰ μιλήσω μὲ παράδειγμα· ἂν κάποιος σ' ἕνα σπίτι παλαιὸ ποὺ πρόκειται νὰ πέσει τὰ ἄφηνε ὅλα καὶ

πτειν ἀφεὶς τὸ πᾶν, τὸν θεμέλιον ὑπέρραψεν, εὐθέως λέγομεν, ἐποίησεν αὐτὴν καινήν, ὅταν τὰ μὲν ἐξέλῃ, τὰ δὲ ἀντεισαγάγῃ.

Καὶ γὰρ καὶ ὁ οὐρανὸς καινὸς λέγεται οὕτως, ὅταν μηκέτι χαλκοῦς ᾖ, ἀλλ' ὑετὸν διδῷ· καὶ ἡ γῆ ὁμοίως καινή, ὅταν μὴ 5 ἄκαρπος ᾖ, οὐχ ὅταν μεταβληθῇ. Καὶ οἶκος οὕτω καινός, ὅταν τὰ μὲν αὐτοῦ ἐξαιρεθῇ, τὰ δὲ μένῃ. Ὥστε καὶ διαθήκην καινὴν καλῶς εἶπεν· ἵνα δείξῃ ὅτι παλαιὰ γέγονεν ἡ διαθήκη ἐκείνη, κατὰ τὸ μηδένα δοῦναι καρπόν. Καὶ ἵνα μάθῃς ἀκριβῶς, ἀνάγνωθι τί φησιν ὁ Ἀγγαῖος, τί ὁ Ζαχαρίας, τί ὁ ἄγγελος, τί δὲ Ἔσδρας ἐγ- 10 καλεῖ. Πῶς οὖν ἔλαβεν αὐτόν; πῶς δὲ οὐδεὶς ἐρωτᾷ Κύριον, ὅπου γε καὶ αὐτοὶ παρέβησαν, καὶ οὐδὲ αὐτοὶ ᾔδεσαν; Ὁρᾷς πῶς βεβίασται τὸ σόν; Ἐγὼ δὲ τὸ ἐμὸν τίθημι, ὅτι καινὴ κυρίως αὕτη ἂν λέγοιτο. Ἄλλως δέ, οὐδὲ ἐκεῖνο συγχωρῶ περὶ τούτου εἰρῆσθαι, τό, «ἔσται καινὸς ὁ οὐρανός». Διὰ τί γὰρ μή, λέγων ἐν τῷ 15 Δευτερονομίῳ, ὅτι «ἔσται χαλκοῦς ὁ οὐρανός», τοῦτο ἔθηκεν ἐν τῇ διαστολῇ, ἐὰν δὲ εἰσακούσητε, ἔσται καινός;

Καὶ μὴν διὰ τοῦτό φησιν ἑτέραν διαθήκην δώσειν, ἐπειδὴ τῇ προτέρᾳ οὐκ ἐνέμειναν. Τοῦτο ἐγὼ δείκνυμι, δι' ὧν φησι· «τὸ γὰρ ἀδύνατον τοῦ νόμου, ἐν ᾧ ἠσθένει διὰ τῆς σαρκός»· καὶ πά- 20 λιν, «τί πειράζετε τὸν Θεόν, ἐπιθεῖναι ζυγὸν ἐπὶ τὸν τράχηλον τῶν μαθητῶν, ὃν οὔτε οἱ πατέρες ἡμῶν, οὔτε ἡμεῖς ἰσχύσαμεν βαστάσαι;». «Ὅτι αὐτοὶ οὐκ ἐνέμειναν», φησίν. Ἐνταῦθα δείκνυσιν, ὅτι μειζόνων ἡμᾶς ἀξιοῖ καὶ πνευματικῶν. «Εἰς πᾶσαν», γάρ, φησίν, «τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν καὶ εἰς τὰ πέρατα 25 τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν». Τουτέστιν, «οὐ μὴ εἴπωσιν ἕκαστος τῷ πλησίον αὐτοῦ, γνῶθι τὸν Κύριον». Καὶ πάλιν, «πλησθήσεται ἡ γῆ τοῦ γνῶναι τὸν Κύριον, ὡς ὕδωρ πολὺ κατακαλύψαι θαλάσσας».

«Ἐν τῷ λέγειν καινήν», φησί, «πεπαλαίωκε τὴν πρώτην. 30 Τὸ δὲ παλαιούμενον καὶ γηράσκον ἐγγὺς ἀφανισμοῦ». Ὅρα τὸ κρυπτόμενον, ὅπως ἐξεκάλυψεν αὐτὴν τοῦ προφήτου τὴν διάνοιαν. Ἐτίμησε τὸν νόμον καὶ οὐκ ἠθέλησεν αὐτὸν εἰπεῖν πα-

---

10. Ἠσ. 65,17. 11. Δευτ. 28,23. 12. Ρωμ. 8,3.
13. Πράξ. 15,10. 14. Ψαλμ. 18,5. 15. Ἀβ. 2,14.

διόρθωνε τὸ θεμέλιο, ἀμέσως θὰ λέγαμε, τὸ ἔκαμε καινούριο, ὅταν ἄλλα ἀφαιρέσει καὶ τοποθετήσει ἄλλα στὴ θέση τους.

Γιατὶ καὶ ὁ οὐρανὸς λέγεται καινούριος τότε, ὅταν δὲν εἶναι πιὰ κατάξερος, ὅπως ὁ χαλκός, ἀλλὰ δίνει βροχή. Καὶ ἡ γῆ ὅμοια εἶναι καινούρια, ὅταν δὲν εἶναι ἄκαρπη, καὶ ὄχι ὅταν μεταβληθεῖ. Ἔτσι καὶ ἕνα σπίτι εἶναι καινούριο, ὅταν ἄλλα πράγματά του ἀφαιρεθοῦν καὶ ἄλλα μένουν. Ἑπομένως καλὰ εἶπε «καὶ διαθήκη καινούρια», γιὰ νὰ δείξει ὅτι ἡ διαθήκη ἐκείνη ἔγινε παλαιά, ἀφοῦ δὲν ἔδινε κανέναν καρπό. Καὶ γιὰ νὰ μάθεις καλά, διάβασε τί λέγει ὁ Ἀγγαῖος, τί ὁ Ζαχαρίας, τί ὁ ἄγγελος, καὶ τί κατηγορεῖ ὁ Ἔσδρας. Πῶς λοιπὸν ἔλαβε αὐτόν; Καὶ πῶς δὲν ἐρωτᾶ κανεὶς τὸν Κύριο, ἀφοῦ καὶ αὐτοὶ τὸν παρέβηκαν καὶ οὔτε οἱ ἴδιοι τὸν γνώριζαν; Βλέπεις πῶς ἔχει παραβιαστεῖ τὸ δικό σου; Ἐγὼ ὅμως ἀναφέρω τὸ δικό μου, γιατὶ αὐτὴ κυρίως θὰ μποροῦσε νὰ λεγόταν καινούρια. Ἄλλωστε οὔτε ἐκεῖνο ἐπιτρέπω νὰ λεχθεῖ γι' αὐτό, τὸ «ὁ οὐρανὸς θὰ γίνει καινούριος»[10]. Γιατί δηλαδή, ὅταν λέγει στὸ Δευτερονόμιο, «ὁ οὐρανὸς θὰ γίνει κατάξερος, ὅπως ὁ χαλκός»[11], δὲν ἀνέφερε σὲ ἀντιδιαστολὴ αὐτό, 'ἂν ὅμως ὑπακούσετε, θὰ γίνει καινούριος';

Ὅμως γι' αὐτὸ λέγει ὅτι θὰ δώσει ἄλλη διαθήκη, ἐπειδὴ δὲν ἔμειναν πιστοὶ στὴν προηγούμενη. Αὐτὸ θὰ τὸ δείξω μὲ ὅσα λέγει· «ἐκεῖνο ποὺ δὲν μποροῦσε νὰ κάνει ὁ νόμος, ἐξαιτίας τῆς ἀνθρώπινης ἀδυναμίας»[12]· καὶ πάλι, «γιατὶ πειράζετε τὸ Θεό, βάζοντας στὸ τράχηλο τῶν μαθητῶν ἕνα ζυγό, ποὺ οὔτε οἱ πατέρες μας οὔτε ἐμεῖς μπορέσαμε νὰ βαστάξουμε»[13]; «Ἐπειδὴ», λέγει, «αὐτοὶ δὲν ἔμειναν πιστοί». Ἐδῶ δείχνει ὅτι μᾶς θεωρεῖ ἄξιους γιὰ μεγαλύτερα καὶ πνευματικά. Γιατὶ λέγει, «σὲ ὅλη τὴ γῆ ἀκούεται ἡ φωνή τους καὶ στὰ πέρατα τῆς οἰκουμένης τὰ λόγια τους»[14]. Δηλαδή, «γιὰ νὰ μὴν πεῖ ὁ καθένας στὸν πλησίον του γνώρισε τὸν Κύριο». Καὶ πάλι, «ἡ γνώση τοῦ Κυρίου θὰ γεμίσει τὴ γῆ, ὅπως τὸ πολὺ νερὸ θὰ καλύψει τὶς θάλασσες»[15].

«Τὸ νὰ μιλάει», λέγει, «γιὰ καινούρια διαθήκη, σημαίνει ὅτι θεώρησε παλαιὰ τὴν πρώτη. Ἐκεῖνο ὅμως ποὺ γίνεται παλαιὸ καὶ γερνάει, πλησιάζει νὰ ἐξαφανισθεῖ». Πρόσεχε τὸ κρυμμένο πῶς ἀποκάλυψε τὴ σκέψη τοῦ προφήτη. Τίμησε τὸ νόμο καὶ δὲν

λαιὸν ὀνομαστί· πλὴν μέντοι τοῦτο εἶπεν· εἰ γὰρ ἐκεῖνο καινὸν ἦν, οὐκ ἂν καὶ τοῦτο τὸ μετὰ ταῦτα καινὸν ἐκάλεσεν. Ὥστε πλέον τι διδοὺς καὶ ἕτερον, «ἐπαλαιώθη», φησίν. Οὐκοῦν καταλύεται καὶ ἀπόλλυται καὶ οὐκέτι ἐστί. Λαβὼν παρὰ τοῦ προ-
5 *φήτου τὴν παρρησίαν, μᾶλλον αὐτοῦ καθέπτεται συμφερόντως, δεικνὺς ὅτι τὰ ἡμέτερα νῦν ἀνθεῖ· τουτέστιν, ἔδειξεν οὖσαν παλαιάν.*

Εἶτα λαβὼν τὸ τῆς παλαιᾶς ὄνομα, καὶ ἕτερον παρ' ἑαυτοῦ προσθεὶς τὸ τοῦ γήρως, τὸ λειπόμενον ἀπὸ τῶν ἄλλων ἔλαβε,
10 *καί φησιν· «ἐγγὺς ἀφανισμοῦ». Οὐκ ἄρα ἁπλῶς κατέπαυσεν ἡ καινὴ τὴν παλαιάν, ἀλλ' ὡς γεγηρακυῖαν, ὡς οὐ χρήσιμον. Διὰ τοῦτο ἔλεγε, «διὰ τὸ ἀσθενὲς καὶ ἀνωφελές», καί, «οὐδὲν ἐτελείωσεν ὁ νόμος», καὶ ὅτι, «εἰ ἡ πρώτη ἦν ἄμεμπτος, οὐκ ἂν δευτέρας ἐζητεῖτο τόπος». Ἄμεμπτος τί ἐστι; Χρήσιμος, ἰσχυρά.*
15 *Τοῦτο δὲ λέγει, οὐχ ὡς ἐγκλημάτων δεῖξαι ὑπεύθυνον, ἀλλ' ὡς οὐκ ἀρκοῦσαν, ἰδιωτικώτερον ἐφθέγξατο· ὡς ἄν τις εἴποι, οὐκ ἔστιν ἄμεμπτος ἡ οἰκία, τουτέστιν, ἔχει ἐλάττωμα, σαθρά ἐστιν· οὐκ ἔστιν ἄμεμπτον τὸ ἱμάτιον, τουτέστι, λοιπὸν διαρρεῖ. Οὐχ ὡς πονηρὸν τοίνυν ἐνταῦθά φησιν, ἀλλ' ὡς ἔχον τὸ αἰτίαμα καὶ*
20 *ἐλάττωμα.*

4. Οὕτω δὴ καὶ ἡμεῖς καινοί ἐσμεν, μᾶλλον δὲ καινοὶ ἐγενόμεθα· νῦν δὲ πεπαλαιώμεθα· διὰ τοῦτο ἐγγύς ἐσμεν ἀφανισμοῦ καὶ ἀπωλείας. Ἀλλ', ἂν ἐθέλωμεν, ἔστιν ἀποξῦσαι τοῦτο τὸ γῆρας. Λουτρῷ μὲν οὖν οὐκέτι δυνατόν, μετανοίᾳ δὲ ἐνταῦθα δυνατόν.
25 *Εἴ τι παλαιὸν ἐν ἡμῖν, ῥίψωμεν· εἴ τις ῥυτίς, εἴ τις κηλίς, εἴ τις σπῖλος, ἀπονιψώμεθα καὶ καλοὶ γενώμεθα, ἵνα ἐπιθυμήσῃ ὁ βασιλεὺς τοῦ κάλλους ἡμῶν. Ἔξεστι καὶ πρὸς ἐσχάτην δυσείδειαν καταπεσόντας ἀνακτήσασθαι τὸ κάλλος ἐκεῖνο, περὶ οὗ φησιν ὁ Δαυίδ· «ἄκουσον, θύγατερ, καὶ ἴδε καὶ κλῖνον τὸ οὖς σου καὶ ἐπι-*
30 *λάθου τοῦ λαοῦ σου καὶ τοῦ οἴκου τοῦ πατρός σου, καὶ ἐπιθυμήσει ὁ βασιλεὺς τοῦ κάλλους σου».*

Καὶ μὴν ἡ λήθη κάλλος οὐ ποιεῖ, κάλλος τὸ ψυχικόν. Λήθη

---

16. Ἑβρ. 7,18.19.
17. Ψαλμ. 44,11-12.

ἤθελε νὰ τὸν ὀνομάσει παλαιό. Ἀλλ' ὅμως τὸ εἶπε αὐτό· γιατὶ ἂν ἐκεῖνο ἦταν καινούριο, δὲ θὰ ὀνόμαζε καὶ αὐτό, ποὺ δόθηκε ἀργότερα, καινούριο. Ἑπομένως δίνοντας κάτι περισσότερο καὶ διαφορετικὸ λέγει· «ἔγινε παλαιὰ ἡ διαθήκη». Λοιπὸν καταργεῖται καὶ ἀφανίζεται καὶ δὲν ὑπάρχει πιά. Ἔχοντας τὴν παρρησία ἀπὸ τὸν προφήτη, τὸ ἐπικρίνει περισσότερο αὐτὸ γιὰ τὸ συμφέρον μας, δείχνοντας ὅτι τὰ δικά μας τώρα ἀνθοῦν· δηλαδή, ἔδειξε ὅτι εἶναι παλαιά.

Στὴ συνέχεια παίρνοντας τὸ ὄνομα τῆς παλαιᾶς καὶ προσθέτοντας αὐτὸς ἕνα ἄλλο, τὸ ὄνομα τοῦ γήρατος, ἔλαβε τὸ ὑπόλοιπὸ ἀπὸ τοὺς ἄλλους καὶ λέγει· «πλησιάζει νὰ ἐξαφανισθεῖ». Ἑπομένως ἡ καινούρια δὲν κατάργησε ἁπλῶς τὴν παλαιά, ἀλλὰ σὰν γερασμένη καὶ σὰν ἄχρηστη. Γι' αὐτὸ ἔλεγε, «ἐπειδὴ ἦταν ἀνίσχυρη καὶ ἄχρηστη», καί, «τίποτε δὲν ὁδήγησε στὴν τελειότητα ὁ νόμος»[16], καὶ «ἂν ἡ πρώτη ἦταν ἄμεμπτη, δὲ θὰ ὑπῆρχε ἀνάγκη γιὰ δεύτερη». Τί σημαίνει «ἄμεμπτη»; Χρήσιμη, ἰσχυρή. Καὶ τὸ λέγει αὐτό, ὄχι γιὰ νὰ δείξει ὅτι ἦταν ἔνοχη κατηγοριῶν, ἀλλά, ἐπειδὴ δὲν ἦταν ἰσχυρή, μίλησε ἁπλοϊκότερα. Σὰν νὰ ἔλεγε κάποιος· δὲν εἶναι ἄμεμπτο τὸ σπίτι, δηλαδή, ἔχει κάποιο ἐλάττωμα, δὲν εἶναι σταθερό· δὲν εἶναι ἄμεμπτο τὸ ἱμάτιο, δηλαδή, ἤδη διαλύεται. Ἐδῶ λοιπὸν δὲν τὸ λέγει αὐτὸ ἐπειδη ἦταν κακό, ἀλλ' ἐπειδὴ εἶχε τὴν κατηγορία καὶ τὸ ἐλάττωμα.

4. Ἔτσι ἀκριβῶς καὶ ἐμεῖς εἴμαστε νέοι, ἢ καλύτερα γίναμε νέοι. Τώρα ὅμως ἔχουμε γεράσει, καὶ γι' αὐτὸ βρισκόμαστε κοντὰ στὸν ἀφανισμὸ καὶ στὴν καταστροφή. Ἀλλά, ἂν θέλουμε, εἶναι δυνατὸ νὰ ἐξαλείψουμε αὐτὸ τὸ γῆρας. Δὲν μποροῦμε πιὰ μὲ βάπτισμα, μποροῦμε ὅμως ἐδῶ μὲ μετάνοια. Ὅ,τι παλαιὸ ἔχουμε μέσα μας, ἂς τὸ πετάξουμε. Ἂς καθαρίσουμε κάθε ρυτίδα, κάθε κηλίδα καὶ κάθε στίγμα, καὶ ἂς γίνουμε ὡραῖοι, γιὰ νὰ ἀγαπήσει ὁ βασιλιὰς τὴν ὀμορφιά μας. Εἶναι δυνατό, ἔστω καὶ ἂν πέσουμε στὴ χειρότερη ἀσχήμια, νὰ ξαναποκτήσουμε τὴν ὀμορφιὰ ἐκείνη, γιὰ τὴν ὁποία ὁ Δαβὶδ λέγει· «ἄκουσε, θυγετέρα, καὶ δὲς καὶ σκύψε τὸ αὐτί σου, καὶ ξέχασε τὸ λαό σου καὶ τὸ πατρικό σου σπίτι, καὶ τότε ὁ βασιλιὰς θ' ἀγαπήσει τὴν ὀμορφιά σου»[17].

Ὅμως ἡ λησμονιὰ δὲν φέρνει ὀμορφιά, καὶ ἐννοῶ τὴν

ποία; Ἡ τῶν ἁμαρτιῶν. Πρὸς γὰρ τὴν Ἐκκλησίαν τὴν ἐθνῶν διαλέγεται, παραινῶν αὐτῇ τῶν πατρῴων μὴ μνησθῆναι, τουτέστι, τῶν εἰδώλοις θυόντων· ἀπὸ γὰρ τῶν τοιούτων συνῆκται. Καὶ οὐκ εἶπε, 'μὴ μετέλθῃς αὐτά', ἀλλ' ὃ πλέον ἐστί, «μηδὲ εἰς
5 *νοῦν λάβῃς», ὃ καὶ ἀλλαχοῦ φησιν, «οὐ μὴ μνησθῶ τῶν ὀνομάτων αὐτῶν διὰ χειλέων μου»· καὶ πάλιν, «ὅπως ἂν μὴ λαλήσῃ τὸ στόμα μου τὰ ἔργα τῶν ἀνθρώπων». Οὔπω τοῦτο μεγάλη ἀρετή· μᾶλλον δὲ μεγάλη μέν, ἀλλ' οὐ τοιαύτη. Ἐκεῖ γὰρ τί φησιν; Οὐκ εἶπεν, οὐ μὴ λαλήσῃς τὰ τῶν πατέρων, ἀλλὰ μηδὲ*
10 *ἀναμνησθῇς αὐτῶν, μηδὲ εἰς νοῦν λάβῃς. Ὁρᾷς πόσον ἡμᾶς διάστημα τῆς κακίας ἀπέχειν βούλεται; Ὁ γὰρ μὴ μεμνημένος, οὐ λογιεῖται· ὁ δὲ μὴ λογιζόμενος, οὐδὲ φθέγγεται· ὁ δὲ μὴ φθεγγόμενος, οὐδὲ πράξει. Ὁρᾷς πρὸ πόσων ἀπετείχισεν ἡμᾶς ὁδῶν, πρὸ πόσων διαστημάτων ἀπεμάκρυνε καὶ ἐκ τοῦ πλείονος;*

15 *Ἀκούσωμεν τοίνυν καὶ ἡμεῖς καὶ ἐπιλαθώμεθα τῶν ἡμετέρων κακῶν, οὐ τῶν ἡμαρτημένων ἡμῖν, λέγω· «μνήσθητι γὰρ σύ», φησί, «πρῶτος, καὶ οὐ μὴ μνησθῶ ἐγώ». Οἷόν τι λέγω· μηκέτι μνημονεύωμεν ἁρπαγῆς, ἀλλὰ καὶ τὰ πρότερα ἀποδῶμεν. Τοῦτό ἐστιν «ἐπιλαθέσθαι κακίας», καὶ ἐκβαλεῖν τὸν λογι-*
20 *σμὸν τον ἁρπακτικὸν καὶ μηδέποτε αὐτὸν ἔτι δέξασθαι, ἀλλὰ καὶ τὰ ἤδη πεπλημμελημένα ἀπαλείφειν. Πόθεν δὲ ἂν γένοιτο ἡμῖν λήθη πονηρίας; Ἀπὸ τῆς μνήμης τῶν ἀγαθῶν τοῦ Θεοῦ· ἐὰν τοῦ Θεοῦ διαπαντὸς μνημονεύωμεν, οὐ δυνάμεθα κἀκείνων μεμνῆσθαι. «Εἰ ἐμνημόνευον γάρ σου», φησίν, «ἐπὶ τῆς στρωμνῆς μου,*
25 *ἐν τοῖς ὄρθοις ἐμελέτων εἰς σέ». Ἀεὶ μὲν οὖν, μάλιστα δὲ τότε χρὴ μεμνῆσθαι τοῦ Θεοῦ, ὅταν ἐν ἡσυχίᾳ ὁ λογισμὸς ᾖ, ὅταν διὰ τῆς μνήμης ἐκείνης ἑαυτοῦ καταδικάζειν δύνηται, ὅταν κατέχεσθαι ἐν τῇ μνήμῃ. Ἐν ἡμέρᾳ μὲν γὰρ ἂν μνημονεύσωμεν, ἐπεισελθοῦσαι φροντίδες ἕτεραι καὶ θόρυβοι πάλιν αὐτὴν ἐκβάλλου-*

---

18. Ψαλμ. 15,4. 19. Ψαλμ. 16,4.
20. Ψαλμ. 62,7.

ὀμορφιὰ τῆς ψυχῆς. Ποιά λησμονιὰ τὴ φέρνει; Ἡ λησμονιὰ τῶν ἁμαρτιῶν. Ἀπευθύνεται πρὸς τὴν Ἐκκλησία ποὺ προέρχεται ἀπὸ τοὺς ἐθνικούς, συμβουλεύοντας νὰ μὴ θυμηθεῖ τὰ πατρικά, δηλαδή, ἐκείνους ποὺ θυσίαζαν στὰ εἴδωλα· γιατὶ ἀπὸ ἐκείνους εἶχε συναχθεῖ. Καὶ δὲν εἶπε, 'νὰ μὴν ἀσχοληθεῖ μ' αὐτά', ἀλλά, οὔτε νὰ τὰ σκεφθεῖ, πράγμα ποὺ ἦταν κάτι περισσότερο. Αὐτὸ καὶ ἀλλοῦ τὸ λέγει· «δὲ θὰ θυμηθῶ καὶ δὲ θὰ ἀναφέρω μὲ τὰ χείλη μου τὰ ὀνοματά τους»[18]· καὶ πάλι, «γιὰ νὰ μὴ λαλεῖ τὸ στόμα μου τὰ ἔργα τῶν ἀνθρώπων»[19]. Δὲν εἶναι ἀκόμη αὐτὸ μεγάλη ἀρετή· ἢ καλύτερα, εἶναι μεγάλη, ἀλλ' ὄχι τόσο μεγάλη. Γιατὶ ἐκεῖ τί λέγει; Δὲν εἶπε, 'νὰ μὴ λαλήσεις τὰ ἔργα τῶν πατέρων', ἀλλὰ «νὰ μὴ τὰ θυμηθεῖς οὔτε νὰ τὰ σκεφθεῖς». Βλέπεις πόσο μακριὰ θέλει νὰ βρισκόμαστε ἀπὸ τὴν κακία; Γιατί, ὅποιος δὲ θυμᾶται, δὲ σκέπτεται· καὶ ὅποιος δὲ σκέπτεται οὔτε μιλάει· καὶ ὅποιος δὲ μιλάει οὔτε θὰ πράξει. Βλέπεις πόσο μακριὰ μᾶς ἀπέκλεισε, σὲ τί μεγάλη ἀπόσταση μᾶς ἀπομάκρυνε καὶ στὴ μεγαλύτερη μάλιστα ἀπόσταση;

Ἂς ἀκούσουμε λοιπὸν καὶ ἐμεῖς, καὶ ἂς ξεχάσουμε τὰ δικά μας κακά, ὄχι τὰ ἁμαρτήματά μας. «Θυμήσου», λέγει, «ἐσὺ πρῶτος καὶ δὲ θὰ θυμηθῶ ἐγώ». Τί θέλω νὰ πῶ· ἂς μὴ θυμούμαστε πιὰ τὸ τί ἁρπάξαμε, ἀλλὰ ἂς ἐπιστρέψουμε καὶ τὰ προηγούμενα. Αὐτὸ σημαίνει νὰ ξεχάσουμε τὴν κακία καὶ νὰ ἀπομακρύνουμε τὴν ἁρπακτικὴ σκέψη καὶ νὰ μὴν τὴ δεχθοῦμε πιὰ ποτέ, ἀλλὰ νὰ ἐξαλείφουμε καὶ τὰ προηγούμενα πλημμελήματα. Ἀπὸ ποῦ ὅμως μπορεῖ νὰ μᾶς ἔρθει ἡ λησμονιὰ τῆς κακίας; Ἀπὸ τὴ μνήμη τῶν ἀγαθῶν τοῦ Θεοῦ. Ἂν θυμούμαστε συνέχεια τὸ Θεό, δὲν μποροῦμε νὰ θυμηθοῦμε καὶ ἐκεῖνα. «Ὅταν σὲ θυμᾶμαι τὴ νύχτα στὸ στρῶμα μου», λέγει, «τότε πολὺ πρωὶ μελετῶ τὰ μεγαλεῖα σου»[20]. Πάντοτε βέβαια, ἀλλὰ κυρίως τότε πρέπει νὰ θυμούμαστε τὸ Θεό, ὅταν ἡ σκέψη μας ἡσυχάζει, ὅταν μὲ τὴ μνήμη ἐκείνη μπορεῖ νὰ καταδικάζει κανεὶς τὸν ἑαυτό του, ὅταν βρίσκεται μέσα στὴ μνήμη. Γιατί, ἂν τὸν θυμηθοῦμε στὴ διάρκεια τῆς ἡμέρας, ἔρχονται στὸ νοῦ μας ἄλλες φροντίδες καὶ θόρυβοι καὶ πάλι ἀπομακρύνουν αὐτὴ τὴ μνήμη. Στὴ διάρκεια ὅμως τῆς νύχτας εἶναι δυνατὸ νὰ τὸν θυμούμαστε διαρκῶς, ὅταν ἡ ψυχὴ

σιν· ἐν νυκτὶ δὲ διαπαντὸς μεμνῆσθαι δυνατόν, ὅταν ἐν γαλήνῃ ᾖ καὶ ἀναπαύσει ἡ ψυχή, ὅταν ἐν λιμένι, ὅταν ἐν εὐδίᾳ· «ἃ λέγετε ἐν ταῖς καρδίαις ὑμῶν, ἐπὶ ταῖς κοίταις ὑμῶν κατανύγητε», φησίν.

Ἔδει μὲν γὰρ καὶ δι' ἡμέρας ταύτην ἔχειν τὴν μνήμην· 5 ἐπειδὴ δὲ φροντίζετε ἀεὶ καὶ περισπᾶσθε ἐν τοῖς βιωτικοῖς, κἂν τότε μνημονεύετε ἐπὶ τῆς κοίτης τοῦ Θεοῦ· ἐν τοῖς ὄρθροις μελετᾶτε ἐν αὐτῷ. Ἂν ἐν τοῖς ὄρθροις μελετήσωμεν ταῦτα, μετὰ πολλῆς ἀσφαλείας χωρήσομεν εἰς τὰ πράγματα· ἂν ἵλεων πρῶτον τὸν Θεὸν ποιήσωμεν τῇ ἐντεύξει καὶ τῇ ἱκετηρίᾳ, οὕτω 10 προβαίνοντες οὐδένα ἕξομεν ἐχθρόν· κἂν ἔχῃς δέ, καταγελάσῃ, ἵλεων ἔχων τὸν Θεόν. Πόλεμός ἐστιν ἐν τῇ ἀγορᾷ, μάχη ἐστὶ τὰ πράγματα τὰ καθημερινά, κλυδώνιόν ἐστι καὶ χειμών. Δεῖ τοίνυν ὅπλων ἡμῖν· μέγα δὲ ὅπλον εὐχή· δεῖ οὐρίων ἀνέμων, δεῖ μαθεῖν ἅπαντα, ὥστε τὸ μῆκος τῆς ἡμέρας χωρὶς ναυαγίων διανύσαι 15 καὶ τραυμάτων· πολλοὶ γὰρ καθ' ἑκάστην ἡμέραν οἱ σκόπελοι καὶ πολλάκις προσέρραξε τὸ σκάφος καὶ κατεποντίσθη. Διὰ τοῦτο εὐχῆς ἡμῖν δεῖ μάλιστα ἑωθινῆς καὶ νυκτερινῆς.

Ὀλύμπια πολλοὶ πολλάκις ὑμῶν ἐθεάσαντο, καὶ οὐκ ἐθεάσαντο μόνον, ἀλλὰ καὶ σπουδασταὶ καὶ θαυμασταὶ τῶν ἀγωνι- 20 ζομένων ἐγένοντο, ὁ μὲν τούτου, ὁ δὲ ἐκείνου. Ἴστε οὖν ὅτι καὶ τὰς ἡμέρας τῶν ἀγώνων καὶ τὰς νύκτας ἐκείνας, δι' ὅλης νυκτὸς ὁ κήρυξ οὐδὲν ἄλλο φροντίζει, οὐδὲν ἄλλο μεριμνᾷ, ἢ ὅπως ἐξελθὼν μὴ ἀσχημονήσῃ ὁ ἀγωνιζόμενος. Ἐκεῖνοι γὰρ οἱ παρακαθήμενοι τῷ σαλπιγκτῇ παρεγγυῶσι μηδὲ φθέγγεσθαί τινι, 25 ὥστε μὴ το πνεῦμα δαπανώμενον γέλωτα ὄφλειν. Εἰ τοίνυν ὁ ἐπ' ἀνθρώπων ἀγωνίζεσθαι μέλλων, τοσαύτῃ κέχρηται προνοίᾳ, πολλῷ μᾶλλον ἡμῖν ἁρμόσει διηνεκῶς φροντίζειν καὶ μεριμνᾶν, οἷς ὁ πᾶς βίος ἀγών ἐστι. Πᾶσα τοίνυν ἔστω νὺξ παννυχίς, καὶ μεριμνῶμεν πῶς ἐξελθόντες τὴν ἡμέραν, μὴ γέλωτα ὄφλω- 30 μεν. Καὶ εἴθε γέλωτα μόνον· νυνὶ δὲ κάθηται ἐν δεξιᾷ τοῦ Πα-

---

21. Ψαλμ. 4,5.

βρίσκεται σὲ γαλήνη καὶ σὲ ἀνάπαυση, σὲ λιμάνι καὶ σὲ ἠρεμία. «Ὅσα λέτε μέσα σας», λέγει, «ὅταν κοιμᾶστε μόνοι σας, νὰ τὰ ἐπανεξετάζετε καὶ νὰ μετανοεῖτε γι' αὐτά»[21]..

Ἔπρεπε βέβαια καὶ κατὰ τὴ διάρκεια ὅλης τῆς ἡμέρας νὰ ἔχετε αὐτὴ τὴ μνήμη. Ἐπειδὴ ὅμως πάντοτε ἔχετε φροντίδες καὶ ἀσχολεῖστε μὲ τὰ βιοτικά, τουλάχιστο τότε νὰ θυμᾶστε τὸ Θεό, στὸ κρεβάτι σας, καὶ τὸ πρωὶ νὰ μελετᾶτε τὰ μεγαλεῖα του. Ἂν τὸ πρωὶ τὰ μελετήσουμε αὐτά, θὰ προχωρήσουμε μὲ πολλὴ ἀσφάλεια στὰ ἔργα μας. Ἂν πρῶτα καταστήσουμε μὲ τὴ μελέτη καὶ τὴν ἰκεσία εὐμενὴ τὸ Θεὸ ἀπέναντί μας, ἔτσι προχωρώντας δὲ θὰ ἔχουμε κανέναν ἐχθρό. Καὶ ἂν ἔχεις, θὰ τὸν περιφρονήσεις, ἀφοῦ ἔχεις τὸ Θεὸ εὐμενὴ ἀπέναντί σου. Πόλεμος γίνεται στὴν ἀγορά, μάχη εἶναι τὰ καθημερινὰ πράγματα, τρικυμία καὶ χειμώνας. Μᾶς χρειάζονται λοιπὸν ὅπλα, καὶ εἶναι μεγάλο ὅπλο ἡ προσευχή. Χρειαζόμασε εὐνοϊκοὺς ἀνέμους, πρέπει νὰ τὰ μάθουμε ὅλα, ὥστε νὰ διανύσουμε ὅλη τὴν ἡμέρα χωρὶς ναυάγια καὶ τραύματα. Γιατὶ κάθε ἡμέρα ὑπάρχουν πολλοὶ σκόπελοι καὶ συχνὰ προσκρούει τὸ σκάφος καὶ καταποντίζεται. Γι' αὐτὸ ἔχουμε ἀνάγκη ἀπὸ τὴν προσευχή, καὶ κυρίως ἀπὸ τὴν πρωινὴ καὶ νυχτερινή.

Πολλοὶ ἀπὸ σᾶς παρακολούθησαν πολλὲς φορὲς Ὀλυμπιακοὺς ἀγῶνες. Καὶ ὑπῆρξαν ὄχι μόνο θεατές, ἀλλὰ καὶ ὀπαδοὶ καὶ θαυμαστὲς τῶν ἀθλητῶν, ἄλλος αὐτοῦ καὶ ἄλλος ἐκείνου. Γνωρίζετε λοιπὸν ὅτι, καὶ τὶς ἡμέρες καὶ τὶς νύχτες ἐκεῖνες τῶν ἀγώνων, ὅλη τὴ νύχτα ὁ κήρυκας γιὰ τίποτε ἄλλο δὲ φροντίζει, γιὰ τίποτε ἄλλο δὲ μεριμνᾶ, παρὰ μόνο πῶς ὅταν βγεῖ ὁ ἀθλητὴς νὰ μὴν ἀγωνισθεῖ ἄσεμνα. Ἐκεῖνοι ὅμως ποὺ κάθονται κοντὰ στὸ σαλπιγκτὴ τὸν συμβουλεύουν νὰ μὴν μιλάει σὲ κανέναν, ὥστε ὅταν τελειώνει τὸ φύσημά του νὰ μὴ γίνεται γελοῖος. Ἂν λοιπὸν ἐκεῖνος ποὺ πρόκειται ν' ἀγωνισθεῖ μπροστὰ σὲ ἀνθρώπους τόσο πολὺ φροντίζει, πολὺ περισσότερο ἁρμόζει σ' ἐμᾶς νὰ φροντίζουμε καὶ νὰ μεριμνοῦμε, στοὺς ὁποίους ὅλη ἡ ζωὴ εἶναι ἀγώνας. Κάθε νύχτα λοιπὸν ἂς εἶναι γιὰ μᾶς παννυχίδα καὶ ἂς φροντίζουμε πῶς ὅταν τελειώσουμε τὴν ἡμέρα νὰ μὴ γίνουμε γελοῖοι. Καὶ μακάρι μόνο νὰ γινόμασταν γελοῖοι. Τώρα ὅμως ὁ

τρὸς ὁ ἀγωνοθέτης, ἀκούων ἀκριβῶς μήτι ἀπηχὲς φθεγγώμεθα, μήτι παρὰ μέλος· οὐ γὰρ πραγμάτων μόνον, ἀλλὰ καὶ ρημάτων ἐστὶ κριτής.

Παννυχίσωμεν, ἀγαπητοί· ἔχομεν καὶ ἡμεῖς σπουδαστάς, 5 *ἐὰν θέλωμεν· ἑκάστῳ ἡμῶν ἄγγελος παρακάθηται· ἡμεῖς δὲ ρέγχομεν δι' ὅλης νυκτός· καὶ εἴθε τοῦτο μόνον· πολλοὶ δὲ καὶ ἀσελγῆ πράττουσι πολλά, οἱ μὲν πρὸς αὐτὰ τὰ χαμαιτυπεῖα βαδίζοντες, οἱ δὲ τὰς οἰκίας πορνεῖα ποιοῦντες τῷ ἑταίρας ἄγειν ἐκεῖ. Πάνυ γε· οὐ γὰρ καλῶς μεριμνῶσιν ἀγωνίσασθαι. Ἕτεροι μεθύ-* 10 *ουσι καὶ παραφθέγγονται, ἄλλοι θορυβοῦσιν, ἕτεροι παννυχίζουσι κακῶς, καὶ τῶν καθευδόντων χεῖρον πλέκοντες δόλους· ἄλλοι τόκους ἀριθμοῦντες, ἕτεροι φροντίσι κοπτόμενοι, καὶ πάντα μᾶλλον ποιοῦντες, ἢ τὰ τῷ ἀγῶνι προσήκοντα.*

Διό, παρακαλῶ, πάντα ἀφέντες, εἰς ἓν ὁρῶμεν μόνον, ὅπως 15 *τὸ βραβεῖον λάβωμεν καὶ τὸν στέφανον ἀναδησώμεθα· πάντα πράττωμεν, δι' ὧν δυνησώμεθα τυχεῖν τῶν ἐπηγγελμένων ἀγαθῶν, ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι, δόξα, κράτος, τιμή, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.*

ἀγωνοθέτης κάθεται στὰ δεξιὰ τοῦ Πατέρα, ἀκούοντας μήπως λέμε κάτι ἀνάρμοστο, κάτι παράφωνο· γιατὶ δὲν εἶναι κριτὴς μόνο τῶν πράξεων, ἀλλὰ καὶ τῶν λόγων μας.

Ἂς ἀγρυπνήσουμε μὲ προσευχές, ἀγαπητοί. Ἔχουμε καὶ ἐμεῖς θαυμαστές, ἂν θέλουμε. Στὸν καθένα μας παρακάθεται ἕνας ἄγγελος. Ἐμεῖς ὅμως ροχαλίζουμε ὅλη νύχτα. Καὶ μακάρι νὰ συνέβαινε αὐτὸ μόνο. Πολλοὶ κάμνουν καὶ πολλὲς ἀσέλγειες, ἄλλοι πηγαίνοντας στὰ χαμαιτυπεῖα καὶ ἄλλοι κάνοντας τὰ σπίτια τους πορνεῖα, γιατὶ ὁδηγοῦν ἐκεῖ τὶς ἑταῖρες. Καὶ φυσικὰ γίνεται αὐτὸ ἐπειδὴ δὲ φροντίζουν ν' ἀγωνισθοῦν καλῶς. Ἄλλοι μεθοῦν καὶ παραμιλοῦν, ἄλλοι θορυβοῦν, ἄλλοι ἀγρυπνοῦν κακῶς κι ἐπινοοῦν δόλους χειρότερα καὶ ἀπ' αὐτοὺς ποὺ κοιμοῦνται. Ἄλλοι μετροῦν τοὺς τόκους, ἄλλοι βασανίζονται μὲ φροντίδες καὶ κάνουν περισσότερο ὅλα τὰ ἄλλα, παρὰ ἐκεῖνα ποὺ ἁρμόζουν στὸν ἀγώνα.

Γι' αὐτό, παρακαλῶ, ἀφήνοντας ὅλα τὰ ἄλλα, ἂς βλέπουμε σ' ἕνα μόνο, πῶς νὰ λάβουμε τὸ βραβεῖο καὶ νὰ φορέσουμε τὸ στεφάνι. Ἂς κάμνουμε ὅλα ἐκεῖνα μὲ τὰ ὁποῖα θὰ μπορέσουμε ν' ἀπολαύσουμε τὰ ἀγαθὰ ποὺ μᾶς ἔχει ὑποσχεθεῖ ὁ Θεός, τὰ ὁποῖα εὔχομαι νὰ τὰ ἐπιτύχουμε ὅλοι μας μὲ τὴ χάρη καὶ τὴ φιλανθρωπία τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μαζὶ μὲ τὸν ὁποῖο στὸν Πατέρα καὶ συγχρόνως στὸ ἅγιο Πνεῦμα ἀνήκει ἡ δόξα, ἡ δύναμη καὶ ἡ τιμή, τώρα καὶ πάντοτε καὶ στοὺς αἰῶνες τῶν αἰώνων. Ἀμήν.

Ο Μ Ι Λ Ι Α ΙΕ'

(Ἑβρ. 9,1–14)

«Εἶχε μὲν οὖν καὶ ἡ πρώτη δικαιώματα λατρείας, τό τε ἅγιον κοσμικόν. Σκηνὴ γὰρ κατεσκευάσθη ἡ πρώτη, ἐν ᾗ ἥ τε λυχνία καὶ ἡ τράπεζα καὶ ἡ πρόθεσις τῶν ἄρτων, ἥτις λέγεται Ἅγια. Μετὰ δὲ τὸ δεύτερον καταπέτασμα σκηνὴ ἡ
5 *λεγομένη Ἅγια ἁγίων, χρυσοῦν ἔχουσα θυμιατήριον, καὶ τὴν κιβωτὸν τῆς διαθήκης περικεκαλυμμένην πάντοθεν χρυσίῳ, ἐν ᾗ στάμνος χρυσῆ ἔχουσα τὸ μάννα, καὶ ἡ ῥάβδος τοῦ Ἀαρὼν ἡ βλαστήσασα, καὶ αἱ πλάκες τῆς διαθήκης· ὑπεράνω δὲ αὐτῆς χερουβὶμ δόξης, κατασκιάζοντα τὸ ἱλα-*
10 *στήριον, περὶ ὧν οὐκ ἔστι νῦν λέγειν κατὰ μέρος».*

1. Ἔδειξεν ἀπὸ τοῦ ἱερέως, ἀπὸ τῆς ἱερωσύνης, ἀπὸ τῆς διαθήκης, ὅτι τέλος ἔμελλεν ἔχειν ἐκείνη· δείκνυσι λοιπὸν καὶ ἀπ' αὐτῆς τῆς σκηνῆς τοῦ σχήματος. Πῶς; «Ἅγια» λέγων, καὶ «Ἅγια ἁγίων». Τὰ μὲν οὖν «Ἅγια» τοῦ προτέρου καιροῦ σύμ-
15 *βολά ἐστιν (ἐκεῖ γὰρ διὰ θυσιῶν πάντα γίνεται), τὰ δὲ «Ἅγια τῶν ἁγίων», τούτου τοῦ νῦν ἐνεστῶτος· λέγει δὲ «Ἅγια τῶν ἁγίων» τὸν οὐρανόν, τὸ αὐτὸ δὲ καὶ καταπέτασμα τοῦ οὐρανοῦ, καὶ τὴν σάρκα εἰσερχομένην εἰς τὸ ἐσώτερον τοῦ καταπετάσματος, τουτέστι, διὰ τοῦ καταπετάσματος τῆς σαρκὸς αὐτοῦ. Καλὸν*
20 *δὲ ἄνωθεν τοῦτο τὸ χωρίον ἀναλαβόντας εἰπεῖν.*

Τί οὖν φησιν; «Εἶχε μὲν οὖν καὶ ἡ πρώτη». «Ἡ πρώτη» τίς; Ἡ διαθήκη. Δικαιώματα λατρείας. Τί ἐστι, «δικαιώματα»; Σύμβολα ἢ θεσμούς· ὡσεὶ ἔλεγε, τότε εἶχε, νῦν οὐκ ἔχει· δείκνυ-

Ο Μ Ι Λ Ι Α ΙΕ'

(Ἑβρ. 9,1–14)

«Εἶχε καὶ ἡ πρώτη διαθήκη διατάξεις περὶ τῆς λατρείας καὶ ἁγιαστήριο κοσμικό. Κατασκευάσθηκε δηλαδὴ τὸ πρῶτο μέρος τῆς σκηνῆς, στὸ ὁποῖο ὑπῆρχε ἡ λυχνία καὶ ἡ τράπεζα καὶ οἱ ἄρτοι τῆς πρόθεσης, τὸ ὁποῖο λέγεται Ἅγια. Μετὰ τὸ δεύτερο καταπέτασμα ἦταν τὸ μέρος τῆς σκηνῆς, ποὺ ὀνομαζόταν Ἅγια τῶν Ἁγίων. Ἐκεῖ ὑπῆρχε ἕνα χρυσὸ θυμιατήρι καὶ ἡ κιβωτὸς τῆς διαθήκης, ποὺ ἦταν ἀπὸ ὅλα τὰ μέρη καλυμμένη μὲ χρυσάφι, καὶ μέσα σ' αὐτὴν ὑπῆρχε ἡ χρυσὴ στάμνα ποὺ περιεῖχε τὸ μάννα, ἡ ράβδος τοῦ Ἀαρὼν ποὺ εἶχε βλαστήσει, καὶ οἱ πλάκες τῆς διαθήκης. Ἐπάνω ἀπὸ τὴν κιβωτὸ ὑπῆρχαν χερουβὶμ ἔνδοξα ποὺ ἐπισκίαζαν τὸ ἱλαστήριο, γιὰ τὰ ὁποῖα δὲν εἶναι δυνατὸ νὰ μιλήσουμε τώρα λεπτομερῶς».

1. Ἔδειξε ἀπὸ τὸν ἱερέα, ἀπὸ τὴν ἱερωσύνη καὶ ἀπὸ τὴ διαθήκη ὅτι ἐκείνη ἐπρόκειτο νὰ ἔχει τέλος· δείχνει πλέον καὶ ἀπὸ τὴ μορφὴ τῆς ἴδιας τῆς σκηνῆς. Πῶς; Μιλώντας γιὰ «Ἅγια» καὶ «Ἅγια τῶν ἁγίων». Τὰ «Ἅγια» δηλαδὴ εἶναι σύμβολα τοῦ προηγουμένου καιροῦ (γιατὶ ἐκεῖ γίνονταν ὅλα μὲ θυσίες), ἐνῶ τὰ «Ἅγια τῶν Ἁγίων εἶναι σύμβολα αὐτοῦ τοῦ παρόντος καιροῦ. Ὀνομάζει «Ἅγια τῶν ἁγίων» τὸν οὐρανό, καὶ τὸ ἴδιο καὶ καταπέτασμα τοῦ οὐρανοῦ, καὶ τὴ σάρκα ποὺ εἰσέρχεται στὸ ἐσώτερο τοῦ καταπετάσματος, δηλαδὴ μέσω τοῦ καταπετάσματος τῆς σάρκας αὐτοῦ. Ἀλλὰ καλὸ εἶναι νὰ μιλήσουμε ἐξετάζοντας ἀπὸ τὴν ἀρχὴ τὸ χωρίο αὐτό.

Τί λέγει λοιπόν; «Εἶχε καὶ ἡ πρώτη». Ποιά «πρώτη»; Ἡ διαθήκη. «Δικαιώματα περὶ τῆς λατρείας». Τί σημαίνει «δικαιώματα»; Σύμβολα ἢ διατάξεις. Σὰν νὰ ἔλεγε, Τότε εἶχε, ἐνῶ τώρα

σιν ἤδη τούτῳ αὐτὴν ἐκκεχωρηκυῖαν· τότε γὰρ εἶχε, φησίν. Ὥστε νῦν, εἰ καὶ ἕστηκεν, οὐκ ἔστι. «Τό τε ἅγιον κοσμικόν». «Κοσμικὸν» λέγει, ἐπειδὴ πᾶσιν ἠφίετο ἐπιβαίνειν, καὶ δῆλος ἦν ὁ τόπος ἐν τῷ αὐτῷ οἴκῳ, ἔνθα οἱ ἱερεῖς εἰστήκεσαν, ἔνθα οἱ
5 *Ἰουδαῖοι, οἱ προσήλυτοι, οἱ Ἕλληνες, οἱ Ναζωραῖοι. Ἐπεὶ οὖν καὶ Ἕλλησι βατὸν ἦν, «κοσμικὸν» αὐτὸ καλεῖ· οὐ γὰρ δὴ οἱ Ἰουδαῖοι ὁ κόσμος ἦσαν. «Σκηνὴ» γάρ, φησί, «κατεσκευάσθη ἡ πρώτη, ἥτις λέγεται ἅγια, ἐν ᾗ ἥ τε λυχνία καὶ ἡ τράπεζα καὶ ἡ πρόθεσις τῶν ἄρτων». Ταῦτα σύμβολα τοῦ κόσμου. «Μετὰ δὲ*
10 *τὸ δεύτερον καταπέτασμα». Ἄρα οὐκ ἦν καταπέτασμα ἕν, ἀλλὰ καὶ ἔξω καταπέτασμα ἦν. «Σκηνή, ἥτις λέγεται Ἅγια ἁγίων». Ὅρα πῶς πανταχοῦ «σκηνὴν» καλεῖ παρὰ τὸ σκηνοῦν ἐκεῖ. «Χρυσοῦν ἔχουσα θυμιατήριον», φησί, «καὶ τὴν κιβωτὸν τῆς διαθήκης περικεκαλυμμένην πάντοθεν χρυσίῳ, ἐν ᾗ στάμνος*
15 *χρυσῆ ἔχουσα τὸ μάννα, καὶ ἡ ῥάβδος Ἀαρὼν ἡ βλαστήσασα, καὶ αἱ πλάκες τῆς διαθήκης».*

Πάντα ταῦτα σεμνὰ ἦν καὶ λαμπρὰ τῆς ἰουδαϊκῆς ἀγνωμοσύνης ὑπομνήματα. «Καὶ αἱ πλάκες τῆς διαθήκης». Κατέαξε γὰρ αὐτάς. «Καὶ τὸ μάννα»· ἐγόγγυσαν γάρ· καὶ διὰ τοῦτο, εἰς ἐγγό-
20 *νους παραπέμπων τὴν μνήμην, προσέταξεν εἰς τὴν στάμνον τὴν χρυσῆν ἀποτεθῆναι αὐτό. «Καὶ ἡ ῥάβδος Ἀαρὼν ἡ βλαστήσασα». Ἐπανέστησαν γάρ. Ἐπεὶ οὖν καὶ ἀχάριστοι ἦσαν οἱ Ἰουδαῖοι καὶ εὐεργετούμενοι συνεχῶς ἐπελανθάνοντο, διὰ τοῦτο προστάξει τοῦ νομοθέτου εἰς τὴν στάμνον τὴν χρυσῆν ἀπέθεσαν*
25 *αὐτά, καὶ οὕτως εἰς ἐγγόνους παρέπεμπον τὴν μνήμην. «Ὑπεράνω δὲ αὐτῆς χερουβὶμ δόξης κατασκιάζοντα τὸ ἱλαστήριον». Τί ἐστι «χερουβὶμ δόξης»; Ἤτοι τὰ ἔνδοξα, ἢ τὰ ὑποκάτω τοῦ Θεοῦ φησι. Καλῶς δὲ καὶ ἐπαίρει ταῦτα τῷ λόγῳ, ἵνα δείξῃ μείζονα ὄντα τὰ μετὰ ταῦτα. «Περὶ ὧν οὐκ ἔστι», φησί, «νῦν λέγειν*
30 *κατὰ μέρος». Ἐνταῦθα ᾐνίξατο, ὅτι οὐ ταῦτα ἦν μόνον τὰ ὁρώμενα, ἀλλὰ αἰνίγματά τινα ἦν. «Περὶ ὧν οὐκ ἔστι», φησί, «νῦν*

δὲν ἔχει. Δείχνει ὅτι αὐτὴ τὰ παραχώρησε ἤδη σ' αὐτόν· γιατὶ λέγει, τότε εἶχε. Ὥστε τώρα, ἂν καὶ παραμένει δὲν ὑπάρχει. «Καὶ ἁγιαστήριο κοσμικό». Τὸ ὀνομάζει «κοσμικὸ» ἐπειδὴ ἐπιτρεπόταν σ' ὅλους νὰ εἰσέρχονται, καὶ ἦταν γνωστὸς ὁ τόπος, μέσα στὸν ἴδιο οἶκο, στὸν ὁποῖο ἀλλοῦ στέκονταν οἱ ἱερεῖς, ἀλλοῦ οἱ Ἰουδαῖοι, καὶ ἀλλοῦ οἱ προσήλυτοι, οἱ Ἕλληνες καὶ οἱ Ναζωραῖοι. Ἐπειδὴ λοιπὸν ἐπιτρεπόταν νὰ μπαίνουν καὶ οἱ Ἕλληνες, γι' αὐτὸ τὸ ὀνομάζει «κοσμικό»· γιατὶ βέβαια δὲν ἦταν ὁ κόσμος οἱ Ἰουδαῖοι. Γιατὶ λέγει, «κατασκευάσθηκε τὸ πρῶτο μέρος τῆς σκηνῆς, τὸ ὁποῖο λέγεται Ἅγια, καὶ στὸ ὁποῖο ὑπῆρχε ἡ λυχνία καὶ ἡ τράπεζα καὶ οἱ ἄρτοι τῆς πρόθεσης». Αὐτὰ εἶναι σύμβολα τοῦ κόσμου. «Μετὰ ἀπὸ τὸ δεύτερο καταπέτασμα». Ἄρα δὲν ὑπῆρχε μόνο ἕνα καταπέτασμα, ἀλλ' ὑπῆρχε καὶ ἔξω καταπέτασμα. «Ὑπῆρχε σκηνὴ ποὺ ὀνομαζόταν Ἅγια τῶν Ἁγίων». Πρόσεχε πῶς παντοῦ τὸ ὀνομάζει «σκηνή», ἐπειδὴ διέμεναν ἐκεῖ. «Ποὺ εἶχε», λέγει, «χρυσὸ θυμιατήρι καὶ τὴν κιβωτὸ τῆς διαθήκης καλυμμένη ἀπὸ παντοῦ μὲ χρυσάφι, μέσα στὴν ὁποία ὑπῆρχε ἡ χρυσὴ στάμνα, ἡ ράβδος τοῦ Ἀαρὼν ποὺ βλάστησε, καὶ οἱ πλάκες τῆς διαθήκης».

Ὅλα αὐτὰ ἦταν σεβαστὰ καὶ λαμπρὰ ὑπομνήματα τῆς ἰουδαϊκῆς ἀχαριστίας. «Καὶ οἱ πλάκες τῆς διαθήκης». Γιατὶ τὶς ἔσπασε. «Καὶ τὸ μάννα»· γιατὶ γόγγυσαν· καὶ γι' αὐτό, παραπέμποντας τὴ μνήμη στοὺς ἀπογόνους, πρόσταξε νὰ τὸ τοποθετήσουν στὴ χρυσὴ στάμνα. «Καὶ ἡ ράβδος τοῦ Ἀαρὼν ποὺ βλάστησε». Γιατὶ ἐπαναστάτησαν. Ἐπειδὴ δηλαδὴ οἱ Ἰουδαῖοι ἦταν ἀχάριστοι καὶ ἐνῶ εὐεργετοῦνταν συνεχῶς λησμονοῦσαν τὶς εὐεργεσίες, γι' αὐτὸ μὲ προσταγὴ τοῦ νομοθέτη τοποθέτησαν αὐτὰ μέσα στὴ χρυσὴ στάμνα, παραπέμποντας ἔτσι τὴ μνήμη στοὺς ἀπογόνους. «Πάνω ἀπὸ τὴν κιβωτὸ ὑπῆρχαν τὰ ἔνδοξα χερουβὶμ ποὺ κατασκίαζαν τὸ ἱλαστήριο». Τί σημαίνει «χερουβὶμ δόξης»; Ἢ ἐννοεῖ τὰ ἔνδοξα ἢ τὰ κάτω ἀπὸ τὸ Θεό. Καὶ σωστὰ μεγαλοποιεῖ αὐτὰ μὲ τὸ λόγο, γιὰ νὰ δείξει ὅτι εἶναι ἀνώτερα τὰ στὴ συνέχεια. «Γιὰ τὰ ὁποῖα», λέγει, «δὲν εἶναι δυνατὸ νὰ μιλήσουμε τώρα λεπτομερῶς». Ἐδῶ ὑπαινίχθηκε, ὅτι δὲν ἦταν αὐτὰ μόνο τὰ βλεπόμενα, ἀλλ' ἦταν ἁπλῶς κάποια αἰνίγματα. «Γιὰ τὰ ὁποῖα

λέγειν κατὰ μέρος»· ἴσως ὡς μακροῦ δεομένων λόγου. «Τούτων δὲ οὕτω κατεσκευασμένων, εἰς μὲν τὴν πρώτην σκηνὴν διαπαντὸς εἰσίασιν οἱ ἱερεῖς τὰς λατρείας ἐπιτελοῦντες». Τουτέστιν, ἦν μὲν ταῦτα, οὐκ ἀπέλαυον δὲ τούτων αὐτῶν οἱ Ἰουδαῖοι· οὐ γὰρ 5 ἑώρων αὐτά. Ὥστε οὐκ ἐκείνοις μᾶλλον ἦν, ἢ οἷς προετυποῦτο. «Εἰς δὲ τὴν δευτέραν ἅπαξ τοῦ ἐνιαυτοῦ μόνος ὁ ἀρχιερεύς, οὐ χωρὶς αἵματος, ὃ προσφέρει ὑπὲρ ἑαυτοῦ καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων». Ὁρᾷς ἤδη τοὺς τύπους προκαταβεβλημένους;

Ἵνα γὰρ μὴ λέγωσιν, ὅτι 'πῶς μία θυσία', καὶ 'πῶς ὁ ἀρ- 10 χιερεὺς ἅπαξ προσέφερε', δείκνυσιν αὐτὸ ἄνωθεν οὕτως ὄν· εἴ γε ἡ ἁγιωτέρα μία ἦν καὶ ἡ φρικτή. Οὕτως ἠθίζοντο ἄνωθεν· καὶ γὰρ τότε ὁ ἀρχιερεύς, φησίν, ἅπαξ προσέφερε. Καὶ καλῶς εἶπεν, «οὐ χωρὶς αἵματος»· οὐ χωρὶς μὲν αἵματος, οὐ μὴν τούτου τοῦ αἵματος· οὐ γὰρ τοσαύτη ἦν ἡ πραγματεία. Δείκνυσιν ὅτι ἔσται, 15 οὐ πυρὶ ἀναλουμένη, ἀλλὰ ἀπὸ αἵματος μᾶλλον δεικνυμένη. Ἐπειδὴ γὰρ θυσίαν ἐκάλεσε τὸν σταυρόν, οὔτε πῦρ ἔχοντα, οὔτε ξύλα, οὔτε πολλάκις προσφερόμενον, ἀλλὰ ἅπαξ ἐν αἵματι προσενεχθέντα, δείκνυσιν ὅτι καὶ ἡ παλαιὰ θυσία τοιαῦτα ἦν, ἅπαξ προσεφέρετο ἐν αἵματι. «Ὃ προσφέρει», φησίν, «ὑπὲρ ἑαυτοῦ 20 καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων». Ὅρα· οὐκ εἶπεν, 'ἁμαρτημάτων', ἀλλ', «ἀγνοημάτων», ἵνα μὴ μέγα φρονήσωσιν. Εἰ γὰρ καὶ μὴ ἑκὼν ἥμαρτες, φησίν· ἀλλ' ἄκων ἠγνόησας, καὶ τούτου οὐδείς ἐστι καθαρός. Καὶ πανταχοῦ τό, «ὑπὲρ ἑαυτοῦ», τίθησι, δεικνὺς ὅτι ὁ Χριστὸς πολλῷ μείζων ἐστὶ τοῦ παρὰ Ἰουδαίοις ἀρ- 25 χιερεύς. Εἰ γὰρ κεχώρισται τῶν ἁμαρτιῶν ἡμῶν, πῶς ὑπὲρ ἑαυτοῦ προσήνεγκε; Τί οὖν ταῦτα εἶπες, φησί; Τοῦτο γὰρ κρείττονός ἐστιν. Οὐδαμοῦ ἐνταῦθα θεωρία· λοιπὸν δὲ θεωρεῖ καί φησι· «τοῦτο δηλοῦντος τοῦ Πνεύματος τοῦ ἁγίου, μήπω πεφανερῶσθαι τὴν τῶν ἁγίων ὁδόν, ἔτι τῆς πρώτης σκηνῆς ἐχούσης στά-

δὲν μποροῦμε», λέγει, «τώρα νὰ μιλήσουμε λεπτομερῶς»· ἴσως χρειάζονται μακρότερο λόγο. «Ὄντας λοιπὸν αὐτὰ ἔτσι κατασκευασμένα, στὸ πρῶτο μέρος τῆς σκηνῆς εἰσέρχονται πάντοτε οἱ ἱερεῖς καὶ ἐπιτελοῦν τὰ τῆς λατρείας». Δηλαδὴ ὑπῆρχαν βέβαια αὐτά, ἀλλ' ὅμως δὲν ἀπολάμβαναν αὐτὰ οἱ Ἰουδαῖοι· γιατὶ δὲν τὰ ἔβλεπαν. Ὥστε μᾶλλον δὲν ἦταν γιὰ ἐκείνους, ἀλλὰ γιὰ ἐκείνους γιὰ τοὺς ὁποίους ἀποτελοῦσαν προτύπωση. «Στὸ δεύτερο μέρος ὅμως μπαίνει μιὰ φορὰ τὸ χρόνο μόνο ὁ ἀρχιερέας, καὶ ὄχι χωρὶς αἷμα, τὸ ὁποῖο προσφέρει γιὰ τὸν ἑαυτό του καὶ γιὰ τὰ ἀπὸ ἄγνοια ἁμαρτήματα τοῦ λαοῦ». Βλέπεις ὅτι ἤδη ἔχουν προκαταβληθεῖ οἱ τύποι;

Γιὰ νὰ μὴ λένε δηλαδή, 'πῶς εἶναι μία ἡ θυσία' καὶ 'πῶς ὁ ἀρχιερέας πρόσφερε μία φορὰ μόνο θυσία', δείχνει ὅτι αὐτὸ γίνεται ἔτσι ἀπὸ τὴν ἀρχή· ἐφόσον ἡ ἁγιότερη θυσία καὶ ἡ φρικτὴ ἦταν μία. Ἔτσι συνηθιζόταν ἀπὸ τὴν ἀρχή· γιατὶ καὶ τότε ὁ ἀρχιερέας μία φορὰ πρόσφερνε θυσία. Καὶ σωστὰ εἶπε «ὄχι χωρὶς αἷμα»· ὄχι βέβαια χωρὶς αἷμα, ἀλλ' ἀσφαλῶς ὄχι μ' αὐτὸ τὸ αἷμα· γιατὶ δὲν ἦταν τόση μεγάλη ἡ πραγματεία. Δείχνει ὅτι θὰ συμβεῖ αὐτὴ ἡ θυσία, ὄχι ὅμως δαπανώμενη ἀπὸ τὴ φωτιά, ἀλλὰ μᾶλλον ὅτι θὰ κατορθωθεῖ ἀπὸ τὸ αἷμα. Ἐπειδὴ δηλαδὴ ὀνόμασε τὸ σταυρὸ «θυσία», ποὺ δὲν εἶχε οὔτε φωτιὰ οὔτε ξύλα οὔτε προσφέρεται πολλὲς φορές, ἀλλὰ προσφέρθηκε μία φορὰ μὲ αἷμα. «Τὸ ὁποῖο», λέγει, «προσφέρει γιὰ τὰ ἀπὸ ἄγνοια ἁμαρτήματα τοῦ λαοῦ». Πρόσεχε· δὲν εἶπε, 'γιὰ τὰ ἁμαρτήματα', ἀλλὰ «γιὰ τὰ ἀγνοήματα», γιὰ νὰ μὴ μεγαλοφρονήσουν. Ἂν καὶ βέβαια δὲν ἁμάρτησες, λέγει, μὲ τὴ θέλησή σου, ἀλλ' ἦταν ἀκούσιο τὸ ἀγνόημά σου, καὶ κανένας δὲν εἶναι καθαρὸς ἀπὸ αὐτό. Καὶ παντοῦ ἀναφέρει τὸ «γιὰ τὰ δικά του», γιὰ νὰ δείξει ὅτι ὁ Χριστὸς εἶναι πολὺ πιὸ ἀνώτερος ἀπὸ τὸν ἀρχιερέα τῶν Ἰουδαίων. Γιατί, ἂν εἶναι ἀπαλλαγμένος ἀπὸ τὶς ἁμαρτίες μας, πῶς πρόσφερε θυσία γιὰ τὸν ἑαυτό του; Γιατί λοιπόν, λέγει, τὰ εἶπες αὐτά; Γιατὶ αὐτὸ εἶναι γνώρισμα ἀνωτέρου. Πουθενὰ ἐδῶ θεωρία. Τώρα ὅμως προχωρεῖ στὴν ἐξήγηση καὶ λέγει· «μ' αὐτὸ ἤθελε νὰ δηλώσει τὸ ἅγιο Πνεῦμα, ὅτι δὲν εἶχε φανερωθεῖ ἀκόμη ἡ ὁδὸς ποὺ ὁδηγοῦσε στὰ Ἅγια, ἐφόσον ἀκόμη ἐξακολουθοῦσε νὰ

σιν». Διὰ τοῦτό φησι, ταῦτα οὕτω κατεσκεύασται, ἵνα μάθωμεν ὅτι τὰ «Ἅγια τῶν ἁγίων», τουτέστιν, ὁ οὐρανός, ἔτι ἐστὶν ἄβατος. Μὴ οὖν, ἐπειδὴ μὴ ἐπιβαίνομεν αὐτοῦ, φησί, νομίζωμεν αὐτὸν μηδὲ εἶναι, ἐπεὶ οὐδὲ τῶν ἁγίων ἐπέβημεν. «Ἥτις παραβο-
5 *λή», φησίν, «εἰς τὸν καιρὸν τὸν ἐνεστηκότα».*

2. Καιρὸν ἐνεστηκότα ποῖον λέγει; Τὸν πρὸ τῆς τοῦ Χριστοῦ παρουσίας· μετὰ γὰρ τὴν παρουσίαν τοῦ Χριστοῦ οὐκέτι καιρός ἐστιν ἐνεστώς· πῶς γάρ, ἐπιγενόμενος καὶ τέλος ἔχων; Καὶ ἕτερον δὲ ἐμφαίνων, τοῦτό φησι· «ἥτις παραβολὴ εἰς τὸν καιρὸν τὸν
10 *ἐνεστηκότα»· τουτέστιν, ὁ τύπος γέγονε. «Καθ' ὃν δῶρά τε καὶ θυσίαι προσφέρονται, μὴ δυνάμεναι κατὰ συνείδησιν τελειῶσαι τὸν λατρεύοντα». Εἶδες πῶς σαφῶς ἔδειξεν ἐντεῦθεν τί ἐστι τό, «οὐδὲν ἐτελείωσεν ὁ νόμος», καὶ τό, «εἰ ἡ πρώτη ἦν ἄμεμπτος»; Πῶς; «Κατὰ συνείδησιν». Αἱ γὰρ θυσίαι οὐ τὸν ἀπὸ τῆς ψυχῆς*
15 *ῥύπον ἠφίεσαν, ἀλλ' ἔτι περὶ σῶμα ἦσαν· «κατὰ νόμον γὰρ ἐντολῆς σαρκικῆς», φησίν. Οὐ γὰρ δὴ μοιχείαν, οὐδὲ φόνον, οὐδὲ ἱεροσυλίαν ἐφιέναι ἠδύναντο. Ὁρᾷς, 'τόδε φάγε', 'τόδε μὴ φάγῃς'; ἅπερ ἐστὶν ἀδιάφορα. «Μόνον ἐπὶ βρώμασι καὶ πόμασι καὶ διαφόροις βαπτισμοῖς». Τόδε πίε, φησί· καίτοι περὶ τοῦ ποτοῦ οὐδὲν*
20 *ἦν διατεταγμένον· ἀλλ' ἐξευτελίζων αὐτὰ οὕτως εἶπε· «καὶ διαφόροις βαπτισμοῖς καὶ δικαιώμασι σαρκός, μέχρι καιροῦ διορθώσεως ἐπικείμενα». Αὕτη γὰρ ἡ δικαιοσύνη τῆς σαρκός. Ἐνταῦθα καταβάλλει τὰς θυσίας, δεικνὺς ὅτι οὐδεμίαν εἶχον ἰσχύν, καὶ ὅτι μέχρι καιροῦ διορθώσεως ἦσαν· τουτέστιν, ἔμενον τὸν*
25 *καιρὸν τὸν διορθοῦντα πάντα.*

«Χριστὸς δὲ παραγενόμενος ἀρχιερεὺς τῶν μελλόντων ἀγαθῶν, διὰ τῆς μείζονος καὶ τελειοτέρας σκηνῆς, οὐ χειροποιήτου». Τὴν σάρκα ἐνταῦθα λέγει. Καλῶς δὲ καὶ «μείζονα» καὶ «τελειοτέραν» εἶπεν, εἴ γε ὁ Θεὸς Λόγος καὶ πᾶσα ἡ τοῦ Πνεύμα-
30 *τος ἐνέργεια ἐνοικεῖ ἐν αὐτῇ· «Οὐ γὰρ ἐκ μέτρου δίδωσιν ὁ Θεὸς*

---

1. Ἑβρ. 7,19.
2. Ἑβρ. 7,16.

ὑπάρχει ἡ πρώτη σκηνή». Γι' αὐτὸ λέγει, αὐτὰ κατασκευάσθηκαν ἔτσι, γιὰ νὰ μάθουμε ὅτι τὰ Ἅγια τῶν Ἁγίων, δηλαδὴ ὁ οὐρανός, εἶναι ἀκόμη ἄβατος. Νὰ μὴ νομίζουμε λοιπόν, ἐπειδὴ δὲν εἰσερχόμαστε σ' αὐτόν, καὶ ὅτι δὲν ὑπάρχει αὐτός, ἀφοῦ οὔτε στὰ Ἅγια εἰσήλθαμε. «Αὐτὰ εἶναι συμβολικά», λέγει, «τοῦ σημερινοῦ καιροῦ».

2. Ποιόν ὀνομάζει «καιρὸ παρόντα»; Τὸν καιρὸ πρὶν ἀπὸ τὸν ἐρχομὸ τοῦ Χριστοῦ· γιατὶ μετὰ τὸν ἐρχομὸ τοῦ Χριστοῦ δὲν εἶναι πλέον καιρὸς παρών· πῶς δηλαδὴ μπορεῖ νὰ εἶναι καιρὸς παρὼν ἀφοῦ παρέρχεται καὶ λαμβάνει τέλος; Θέλει καὶ κάτι ἄλλο νὰ δηλώσει λέγοντας ὅτι «αὐτὰ εἶναι συμβολικὰ τοῦ παρόντος καιροῦ»· δηλαδή, ὁ τύπος πέρασε. «Τὰ δῶρα καὶ οἱ θυσίες ποὺ προσφέρονταν τότε δὲν μποροῦσαν νὰ προσφέρουν ἐσωτερικὴ τελείωση σ' ἐκεῖνον ποὺ πρόσφερνε τὴ λατρεία». Εἶδες πῶς μὲ σαφήνεια ἔδειξε μ' αὐτὸ τί σημαίνει τὸ «σὲ τίποτε δὲ πρόσφερε τελείωση ὁ νόμος»[1], καὶ τὸ «ἐὰν ἡ πρώτη ἦταν ἄμεμπτη»; Πῶς; «Ἐσωτερικά». Γιατὶ οἱ θυσίες δὲν καθάριζαν τὸν ρύπο τῆς ψυχῆς, ἀλλ' ἀκόμη προσφέρονταν γιὰ τὸ σῶμα· γιατὶ λέγει, «γίνεται σύμφωνα μὲ νόμο ποὺ ἰσχύει γιὰ ἀνθρώπους»[2]. Δὲν μποροῦσαν δηλαδὴ νὰ συγχωροῦν μοιχεία, οὔτε φόνο, οὔτε ἱεροσυλία. Βλέπεις νὰ λέγει, 'αὐτὸ φάγε', 'ἐκεῖνο μὴ τὸ φᾶς'; Πράγματα ποὺ ἦταν ἀδιάφορα. «Γιατὶ εἶχαν σχέση μὲ φαγητὰ καὶ ποτὰ καὶ διάφορες πλύσεις μὲ νερό». Αὐτὸ πιές, λέγει· ἂν καὶ βέβαια δὲν ὑπῆρχε καμμία διάταξη γιὰ τὸ ποτό, ἀλλὰ ξευτελίζοντας αὐτὰ εἶπε αὐτό· «καὶ μὲ διάφορες πλύσεις μὲ νερὸ καὶ διατάξεις ποὺ ἀναφέρονται στὸ σῶμα καὶ ἰσχύουν μέχρι τὸν καιρὸ τῆς ἀντικατάστασης αὐτῶν». Γιατὶ αὐτὴ εἶναι ἡ δικαιοσύνη τοῦ σώματος. Ἐδῶ ὑποβιβάζει τὶς θυσίες, δείχνοντας ὅτι δὲν εἶχαν καμμιὰ ἰσχύ, καὶ ὅτι ἴσχυαν μέχρι τὸν καιρὸ τῆς διόρθωσης αὐτῶν. Δηλαδὴ περίμεναν τὸν καιρὸ ποὺ τὰ διορθώνει ὅλα.

«Ἀλλ' ὅταν ἦλθε ὁ Χριστὸς ὡς ἀρχιερέας τῶν μελλοντικῶν ἀγαθῶν, εἰσῆλθε διὰ τῆς σκηνῆς ποὺ εἶναι ἀνώτερη καὶ τελειότερη καὶ δὲν εἶναι χειροποίητη». Ἐδῶ ἐννοεῖ τὴ σάρκα. Καὶ σωστὰ τὴν ὀνόμασε καὶ «ἀνώτερη» καὶ «τελειότερη», ἐφόσον σ' αὐτὴν κατοικεῖ ὁ Θεὸς Λόγος καὶ ὅλη ἡ ἐνέργεια τοῦ Πνεύμα-

*τὸ Πνεῦμα»· ἢ τελειοτέρας, ἅτε καὶ ἀλήπτου οὔσης, λέγει, καὶ
μείζονα κατορθούσης. «Τουτέστιν, οὐ ταύτης τῆς κτίσεως».
Ἰδοὺ πῶς μείζονος· οὐ γὰρ ἂν ἐκ Πνεύματος, εἰ ἄνθρωπος αὐτὴν
κατεσκεύασεν. «Οὐ ταύτης τῆς κτίσεως», φησί, τουτέστιν, οὐ
5 τούτων τῶν κτισμάτων, ἀλλὰ πνευματικῆς· ἐκ Πνεύματος γὰρ
κατεσκεύαστο ἁγίου. Ὁρᾷς πῶς καὶ «σκηνὴν»· καὶ «καταπέτα-
σμα» καὶ «οὐρανὸν» τὸ σῶμα καλεῖ; «Διὰ τῆς μείζονος καὶ τε-
λειοτέρας», φησί, «σκηνῆς»· εἶτα, «διὰ τοῦ καταπετάσματος,
τουτέστι, τῆς σαρκὸς αὐτοῦ»· καὶ πάλιν, «εἰς τὸ ἐσώτερον τοῦ
10 καταπετάσματος»· καὶ πάλιν· «εἰσερχομένην εἰς τὰ Ἅγια τῶν
ἁγίων», ἐμφανισθῆναι τῷ προσώπῳ τοῦ Θεοῦ. Τίνος οὖν ἕνεκεν
τοῦτο ποιεῖ; Ἡμᾶς διδάξαι βουλόμενος, καθ' ἕτερον καὶ ἕτερον
σημαινόμενον, τὸν αὐτὸν λόγον ὄντα. Οἷόν τι λέγω, καταπέτα-
σμα ὁ οὐρανός ἐστιν· ὥσπερ γὰρ ἀποτειχίζει τὰ ἅγια καταπέτα-
15 σμα, καὶ ἡ σὰρξ κρύπτουσα τὴν θεότητα· καὶ σκηνὴ πάλιν ὁ οὐ-
ρανός· ἐκεῖ γάρ ἐστιν ἔνδον ὁ ἱερεύς.*

*«Χριστὸς δέ», φησί, «παραγενόμενος ἀρχιερεύς». Οὐκ
εἶπε 'γενόμενος', ἀλλά, «παραγενόμενος», τουτέστιν, εἰς αὐτὸ
τοῦτο ἐλθών, οὐχ ἕτερον διαδεξάμενος· οὐ πρότερον παρεγένετο,
20 καὶ τότε ἐγένετο, ἀλλ' ἅμα ἦλθε. Καὶ οὐκ εἶπε, «παραγενόμενος
ἀρχιερεὺς» 'τῶν θυομένων', ἀλλά, «τῶν μελλόντων ἀγαθῶν»·
ὡς οὐκ ἰσχύοντος τοῦ λόγου παραστῆσαι τὸ πᾶν. «Οὐδὲ δι' αἵμα-
τος», φησί, «τράγων καὶ μόσχων». Πάντα ἐξηλλαγμένα. «Διὰ δὲ
τοῦ ἰδίου αἵματος», φησίν, «εἰσῆλθεν ἐφάπαξ εἰς τὰ ἅγια». Ἰδοὺ
25 τὸν οὐρανὸν τοῦτο ἐκάλεσεν. «Ἐφάπαξ», φησίν, «εἰσῆλθεν εἰς
τὰ ἅγια, αἰωνίαν λύτρωσιν εὑράμενος»· καὶ τό, «εὑράμενος»,
σφόδρα τῶν ἀπόρων ἦν καὶ τῶν παρὰ προσδοκίαν, πῶς διὰ
μιᾶς εἰσόδου αἰωνίαν λύτρωσιν ηὕρατο. Εἶτα τὸ πιθανόν· «εἰ γὰρ
τὸ αἷμα ταύρων καὶ τράγων καὶ σποδὸς δαμάλεως ῥαντίζουσα
30 τοὺς κεκοινωμένους ἁγιάζει πρὸς τὴν τῆς σαρκὸς καθαρότητα,*

τος· γιατὶ «ὁ Θεὸς δὲ δίνει μὲ τὸ μέτρο τὸ Πνεῦμα»· ἢ τὸ λέγει ἐπειδὴ εἶναι τελειότερη, ἀφοῦ εἶναι ἀκατάληπτη, καὶ κατορθώνει μεγαλύτερα. «Δὲν εἶναι δηλαδὴ ἀπὸ αὐτὸν τὸν κόσμο». Νὰ πῶς εἰσῆλθε ἀπὸ σκηνὴ ποὺ εἶναι ἀνώτερη· γιατὶ δὲν θὰ ἦταν κατασκευασμένη ἀπὸ τὸ Πνεῦμα, ἂν τὴν κατασκεύασε ἄνθρωπος. «Δὲν εἶναι ἀπὸ αὐτὸν τὸν κόσμο»· δηλαδὴ δὲν εἶναι ἀπὸ αὐτὰ τὰ κτίσματα, ἀλλὰ ἀπὸ τὸν πνευματικὸ κόσμο· γιατὶ ἔχει κατασκευασθεῖ ἀπὸ τὸ ἅγιο Πνεῦμα. Βλέπεις πῶς ὀνομάζει τὸ σῶμα καὶ «σκηνὴ» καὶ «καταπέτασμα» καὶ «οὐρανό»; «Εἰσῆλθε», λέγει, «διὰ σκηνῆς ποὺ εἶναι ἀνώτερη καὶ τελειότερη»· ἔπειτα, «διὰ τοῦ καταπετάσματος, δηλαδὴ τῆς σάρκας αὐτοῦ»· καὶ πάλι, «στὸ ἐσώτερο τοῦ καταπετάσματος»· καὶ πάλι, «ποὺ εἰσέρχεται στὰ Ἅγια τῶν ἁγίων», γιὰ νὰ παρουσιασθεῖ μπροστὰ στὸ Θεό. Καὶ γιὰ ποιό λόγο τὸ κάνει αὐτό; Ἐπειδὴ θέλει νὰ μᾶς διδάξει μὲ τὸ καθένα ἀπὸ αὐτὰ τὴ διαφορετικὴ σημασία ποὺ ἔχει, ἀλλὰ ἔχει τὴν ἴδια αἰτία. Ἐννοῶ τὸ ἑξῆς μ' αὐτό. Ὁ οὐρανὸς εἶναι καταπέτασμα· ὅπως τὰ Ἅγια τὰ ἀποκρύπτει τὸ καταπέτασμα, ἔτσι καὶ ἡ σάρκα ἀποκρύπτει τὴ θεότητα· καὶ ὅμοια τὸ σῶμα εἶναι σκηνή, ἔχοντας μέσα τὴ θεότητα· καὶ ὁ οὐρανὸς ἐπίσης εἶναι σκηνή, γιατὶ ἐκεῖ μέσα εἶναι ὁ ἱερέας.

«Ἀλλ' ὅταν ἦλθε ὁ Χριστὸς ὡς ἀρχιερέας». Δὲν εἶπε, 'ἔγινε', ἀλλὰ «ἦλθε», δηλαδὴ ἦλθε σ' αὐτὸ τὸ ἴδιο, δὲν ἔλαβε ἄλλο. Δὲν ἦλθε προηγουμένως καὶ μετὰ ἔγινε ἀρχιερέας, ἀλλὰ συγχρόνως ὅταν ἦλθε. Καὶ δὲν εἶπε, 'ἦλθε ὡς ἀρχιερέας τῶν θυσιαζομένων', ἀλλὰ «τῶν μελλοντικῶν ἀγαθῶν»· γιατὶ ὁ λόγος δὲν μποροῦσε νὰ παραστήσει τὸ πᾶν. «Ὄχι μὲ αἷμα», λέγει, «τράγων καὶ μοσχαριῶν». Ὅλα εἶναι ἀλλαγμένα. «Ἀλλὰ μὲ τὸ δικό του αἷμα», λέγει, «εἰσῆλθε μιὰ γιὰ πάντα στὰ Ἅγια». Νὰ «Ἅγια» ὀνόμασε τὸν οὐρανό. «Μιὰ γιὰ πάντα», λέγει, «εἰσῆλθε στὰ Ἅγια, ἐξασφαλίζοντας αἰώνια λύτρωση». Καὶ τὸ «ἐξασφάλισε», ἦταν ἀπὸ τὰ ὑπερβολικὰ ἀδύνατα καὶ πέρα ἀπὸ κάθε ἐλπίδα, πῶς δηλαδὴ μὲ μία εἴσοδο ἐξασφάλισε αἰώνια λύτρωση. Ἔπειτα τὸ πειστικό· «Γιατὶ ἂν τὸ αἷμα ταύρων καὶ τράγων καὶ τὸ ράντισμα μὲ στάχτη ἀπὸ δαμάλι ἁγιάζει τοὺς μολυσμένους ὡς πρὸς τὴν ἐξωτερικὴ καθαρότητα, πόσο περισσότερο τὸ αἷμα τοῦ Χρι-

πόσῳ μᾶλλον τὸ αἷμα τοῦ Χριστοῦ, ὃς διὰ Πνεύματος ἁγίου ἑαυτὸν προσήνεγκεν ἄμωμον τῷ Θεῷ, καθαριεῖ τὴν συνείδησιν ὑμῶν ἀπὸ νεκρῶν ἔργων, εἰς τὸ λατρεύειν Θεῷ ζῶντι;».

Εἰ γὰρ σάρκα, φησί, δύναται καθαρίσαι τὸ αἷμα τῶν ταύ-
5 ρων, πολλῷ μᾶλλον τῆς ψυχῆς τὸν ῥύπον ἀποσμήξει τὸ αἷμα τοῦ Χριστοῦ. Ἵνα γὰρ μὴ ἀκούσας, «ἁγιάζει», μέγα τι νομίσῃς, ἐπισημαίνεται καὶ δείκνυσιν ἑκατέρου τοῦ καθαρμοῦ τὸ μέσον, καὶ πῶς οὗτος μὲν ὑψηλός, ἐκεῖνος δὲ ταπεινός· καὶ λέγει, ὅτι εἰκότως, εἴ γε ἐκεῖνο μὲν τὸ αἷμα ἦν ταύρων, τοῦτο δὲ τοῦ Χριστοῦ.
10 Καὶ οὐκ ἠρκέσθη τῷ ὀνόματι, ἀλλὰ καὶ τὸν τρόπον τίθησι τῆς προσφορᾶς· «ὃς διὰ Πνεύματος ἁγίου», φησίν, «ἑαυτὸν προσήνεγκεν ἄμωμον τῷ Θεῷ»· τουτέστι, τὸ ἱερεῖον ἄμωμον ἦν ἁμαρτιῶν καθαρόν. Τὸ δέ, «διὰ Πνεύματος ἁγίου», δηλοῖ ὅτι οὐ διὰ πυρὸς προσήνεκται, οὐδὲ δι' ἄλλων τινῶν. «Καθαριεῖ τὴν συνεί-
15 δησιν ὑμῶν», φησίν, «ἀπὸ νεκρῶν ἔργων». Καὶ καλῶς εἶπεν, «ἀπὸ νεκρῶν ἔργων»· εἴ τις γὰρ ἥψατο τότε νεκροῦ, ἐμιαίνετο· καὶ ἐνταῦθα εἴ τις ἅψαιτο νεκροῦ ἔργου, μολύνεται διὰ τῆς συνειδήσεως. «Εἰς τὸ λατρεύειν Θεῷ ζῶντι», φησί, «καὶ ἀληθινῷ». Ἐνταῦθα ἐμφαίνει, ὅτι τὸν νεκρὰ ἔργα ἔχοντα οὐκ ἔνι δουλεύειν
20 τῷ ζῶντι Θεῷ. «Ἀληθινῷ δὲ καὶ ζῶντι Θεῷ» εἰκότως εἶπε, δηλῶν ἐντεῦθεν ὅτι καὶ τὰ προσαγόμενα αὐτῷ τοιαῦτα. Ὥστε ταῦτα τὰ παρ' ἡμῖν καὶ ζῶντα καὶ ἀληθινά, ἐκεῖνα δὲ τὰ παρὰ Ἰουδαίοις καὶ νεκρὰ καὶ ψευδῆ· καὶ εἰκότως.

3. Μηδεὶς τοίνυν νεκρὰ ἔργα ἔχων εἰσίτω ἐνταῦθα. Εἰ γὰρ τὸν
25 νεκροῦ σώματος ἁπτόμενον οὐκ ἔδει εἰσιέναι, πολλῷ μᾶλλον τὸν νεκρὰ ἔργα ἔχοντα· μολυσμὸς γάρ ἐστι χαλεπώτατος. Νεκρὰ δὲ ἔργα ἐστὶ πάντα τὰ ζωὴν οὐκ ἔχοντα, τὰ δυσωδίας πνέοντα. Ὥσπερ γὰρ τὸ νεκρὸν σῶμα πρὸς οὐδεμίαν αἴσθησίν ἐστι χρήσιμον, ἀλλὰ καὶ λυπεῖ τοὺς πλησιάζοντας, οὕτω καὶ ἡ ἁμαρ-
30 τία εὐθέως τὸ λογιστικὸν πλήττει, καὶ οὐκ ἀφίησιν οὐδὲ αὐτὴν τὴν διάνοιαν ἠρεμεῖν, ἀλλὰ θορυβεῖ καὶ ταράττει. Λέγεται δὲ καὶ

στοῦ, ὁ ὁποῖος διὰ τοῦ ἁγίου Πνεύματος πρόσφερε τὸν ἑαυτό του ἄμωμη θυσία στὸ Θεό, θὰ καθαρίσει τὴ συνείδησή σας ἀπὸ τὰ νεκρὰ ἔργα, ὥστε νὰ λατρεύετε τὸν ζωντανὸ Θεό;».

Ἐὰν δηλαδή, λέγει, τὸ αἷμα τῶν ταύρων μπορεῖ νὰ καθαρίσει σάρκα, πόσο περισσότερο θὰ καθαρίσει τὸν ρύπο τῆς ψυχῆς τὸ αἷμα τοῦ Χριστοῦ. Γιὰ νὰ μὴ νομίσεις δηλαδή, ἀκούοντας ὅτι «ἁγιάζει», ὅτι εἶναι κάτι τὸ σπουδαῖο, ἀναφέρει καὶ δείχνει τὴ διαφορὰ τοῦ κάθε καθαρισμοῦ, καὶ πῶς ὁ καθαρισμὸς αὐτὸς εἶναι ὑψηλός, ἐνῶ ἐκεῖνος ταπεινός. Καὶ λέγει ὅτι αὐτὸ εἶναι πολὺ φυσικό, ἀφοῦ ἐκεῖνο ἦταν τὸ αἷμα ταύρων, ἐνῶ αὐτὸ τοῦ Χριστοῦ. Καὶ δὲν ἀρκέσθηκε στὸ ὄνομα μόνο, ἀλλ' ἀναφέρει καὶ τὸν τρόπο τῆς προσφορᾶς· γιατὶ λέγει, «ὁ ὁποῖος διὰ τοῦ ἁγίου Πνεύματος πρόσφερε τὸν ἑαυτό του θυσία ἄμωμη στὸ Θεό»· δηλαδὴ τὸ θυσιαζόμενο ἦταν ἄμωμο καὶ καθαρὸ ἀπὸ ἁμαρτίες. Τὸ «διὰ τοῦ ἁγίου Πνεύματος», δηλώνει ὅτι δὲν προσφέρθηκε διὰ πυρὸς οὔτε μὲ κάποιους ἄλλους. «Θὰ καθαρίσει τὴ συνείδησή σας», λέγει, «ἀπὸ νεκρὰ ἔργα». Καὶ σωστὰ εἶπε, «ἀπὸ νεκρὰ ἔργα»· γιατὶ ἂν κάποιος τότε ἄγγιζε νεκρὸ μολυνόταν· καὶ ἐδῶ ἂν κάποιος συμβεῖ ν' ἀγγίσει νεκρὸ ἔργο, μολύνεται μὲ τὴ συνείδηση. «Ὥστε νὰ λατρεύετε», λέγει, «τὸν ζωντανὸ καὶ ἀληθινὸ Θεό». Ἐδῶ δείχνει, ὅτι ἐκεῖνος ποὺ διαπράττει νεκρὰ ἔργα δὲν εἶναι δυνατὸ νὰ δουλεύει στὸν ζωντανὸ Θεό. Καὶ σωστὰ εἶπε, «τὸν ἀληθινὸ καὶ ζωντανὸ Θεό», δείχνοντας καὶ μ' αὐτό, ὅτι καὶ τὰ προσφερόμενα σ' αὐτὸν εἶναι τέτοια. Ἐπομένως ὅλα αὐτὰ τὰ δικά μας εἶναι καὶ ζωντανὰ καὶ ἀληθινά, ἐνῶ ἐκεῖνα τὰ τῶν Ἰουδαίων εἶναι καὶ νεκρὰ καὶ ψευδή· καὶ πολὺ σωστά.

3. Κανένας λοιπὸν ποὺ ἔχει νεκρὰ ἔργα νὰ μὴ εἰσέρχεται ἐδῶ. Γιατί, ἂν ἐκεῖνος ποὺ ἀγγίζει νεκρὸ σῶμα δὲν ἔπρεπε νὰ εἰσέρχεται, πολὺ περισσότερο δὲν πρέπει ἐκεῖνος ποὺ ἔχει νεκρὰ ἔργα· γιατὶ εἶναι μολυσμὸς φοβερότατος. Καὶ νεκρὰ ἔργα εἶναι ὅλα ἐκεῖνα ποὺ δὲν ἔχουν ζωή, ποὺ ἐκπέμπουν δυσωδία. Ὅπως δηλαδὴ τὸ νεκρὸ σῶμα δὲν εἶναι χρήσιμο σὲ καμμιὰ αἴσθηση, ἀλλὰ καὶ προξενεῖ λύπη σ' ἐκείνους ποὺ τὸ πλησιάζουν, ἔτσι καὶ ἡ ἁμαρτία πλήττει ἀμέσως τὸ λογιστικὸ καὶ δὲν ἀφήνει οὔτε τὸν ἴδιο τὸ νοῦ νὰ ἠρεμεῖ, ἀλλὰ τὸν θορυβεῖ καὶ τὸν ταράσσει. Λέγε-

λοιμὸς τικτόμενος διαφθείρειν τὰ σώματα. Τοιαύτη ἐστὶ καὶ ἡ ἁμαρτία· λοιμοῦ οὐδὲν διενήνοχεν, οὐ τὸν ἀέρα διαφθείρουσα πρῶτον, εἶτα τὰ σώματα, ἀλλ' εὐθέως εἰς τὴν ψυχὴν εἰσπηδῶσα.

5 *Οὐχ ὁρᾷς τοὺς λοιμώττοντας πῶς φλεγμαίνουσι, πῶς περιστρέφονται, πῶς δυσωδίας εἰσὶν ἐμπεπλησμένοι, πῶς αὐτῶν αἰσχραὶ αἱ ὄψεις, πῶς ὅλοι ἀκάθαρτοι; Τοιοῦτοί εἰσι καὶ οἱ ἁμαρτάνοντες, κἂν μὴ βλέπωσιν. Εἰπέ μοι γάρ, πυρέττοντος παντὸς οὐκ ἔστι χείρων ὁ τῇ ἐπιθυμίᾳ τῶν χρημάτων ἢ τῶν σωμά-*
10 *των ἁλούς; οὐχὶ ἀκαθαρτότερος τούτων πάντων ἐστί, πάντα τὰ ἀναίσχυντα καὶ ποιῶν καὶ πάσχων; Τί γὰρ αἰσχρότερον ἀνδρὸς χρημάτων ἐρῶντος; ὅσα αἱ ἑταιριζόμεναι γυναῖκες, ὅσα αἱ ἐπὶ τῆς σκηνῆς οὐ παραιτοῦνται ποιεῖν, τοσαῦτα οὐδὲ οὗτος· μᾶλλον δὲ ἐκείνας εἰκός ἐστι παραιτήσασθαι, ἢ τοῦτον. Τί λέγω, οὐ πα-*
15 *ραιτεῖται; καὶ δουλοπρεπῆ πράγματα ὑπομένει, κολακεύων οὓς οὐ δεῖ, θρασυνόμενος πάλιν ἔνθα μὴ δεῖ, πανταχοῦ ἀνώμαλος· πονηροὺς ἄνδρας καὶ γόητας πολλάκις διεφθαρμένους, πολλῷ καὶ πενεστέρους καὶ εὐτελεστέρους αὐτοῦ παρακάθηται κολακεύων, καὶ ἑτέρους ἀγαθοὺς καὶ πάντοθεν ἐναρέτους ὑβρίζων*
20 *καὶ θρασυνόμενος.*

Εἶδες ἑκατέρωθεν τὴν ἀσχημοσύνην, τὴν ἀναισχυντίαν; Καὶ ταπεινός ἐστι πέρα τοῦ μέτρου, καὶ ἀλαζών. Ἀλλ' ἑστήκασιν ἐπὶ οἰκήματος αἱ πόρνοι, καὶ τοῦτό ἐστι τὸ ἔγκλημα, ὅτι τὸ σῶμα πωλοῦσι χρημάτων ἕνεκεν· ἀλλ' ἔχουσί τινα ἀπολογίαν,
25 *τὴν πενίαν καὶ τὸν καταναγκάζοντα λιμόν· εἰ καὶ τὰ μάλιστα οὐδὲ τοῦτο ἱκανὸν εἰς ἀπολογίαν· ἐξῆν γὰρ ἐργαζομένας διατρέφεσθαι. Ἐνταῦθα δὲ ἕστηκεν ὁ πλεονέκτης, οὐκ ἐπὶ οἰκήματος, ἀλλ' ἐπὶ τῆς πόλεως μέσης, οὐ σῶμα, ἀλλὰ τὴν ψυχὴν προδιδοὺς τῷ διαβόλῳ, ὥστε καὶ συγγίνεσθαι καὶ εἰσέρχεσθαι πρὸς αὐτὸν*
30 *ὥσπερ ὄντως πρὸς πόρνην, καὶ τὴν ἐπιθυμίαν αὐτοῦ πᾶσαν*

ται ὅτι καὶ ἡ ἐμφάνιση λοιμοῦ καταστρέφει τὰ σώματα. Τέτοια εἶναι καὶ ἡ ἁμαρτία· δὲν διαφέρει καθόλου ἀπὸ τὸ λοιμό, διαφθείροντας ὄχι τὸν ἀέρα πρῶτα καὶ μετὰ τὰ σώματα, ἀλλ' ἀμέσως ὑπεισέρχεται στὴν ψυχή.

Δὲν βλέπεις ἐκείνους ποὺ ὑποφέρουν ἀπὸ λοιμώδη νόσο πῶς φλογίζονται, πῶς περιστρέφονται, πῶς εἶναι γεμάτοι ἀπὸ δυσωδία, πῶς εἶναι αἰσχρὰ τὰ πρόσωπά τους, πῶς ὅλοι εἶναι ἀκάθαρτοι; Τέτοιοι εἶναι καὶ ἐκεῖνοι ποὺ ἁμαρτάνουν, ἔστω καὶ ἂν δὲν τὸ βλέπουν. Γιατὶ πές μου, δὲν εἶναι χειρότερος ἀπὸ ἐκεῖνον ποὺ ὑποφέρει ἀπὸ πυρεττὸ αὐτὸς ποὺ κυριεύθηκε ἀπὸ τὴν ἐπιθυμία τῶν χρημάτων ἢ τῶν σωμάτων; δὲν εἶναι ἀκαθαρτότερος ἀπὸ ὅλους αὐτούς, διαπράττοντας ὅλα τὰ ἀδιάντροπα καὶ ὑποφέροντας ἀπὸ αὐτά; Πράγματι τί ὑπάρχει αἰσχρότερο ἀπὸ ἄνδρα ποὺ ἀγαπᾶ ὑπερβολικὰ τὰ χρήματα; Ὅσα δὲν σταματοῦν νὰ τὰ κάμνουν οἱ πόρνες γυναῖκες καὶ οἱ θεατρίνες, αὐτὰ δὲν παύει νὰ τὰ κάνει κι αὐτός· ἢ καλύτερα ἐκεῖνες εἶναι δυνατὸ νὰ σταματήσουν, αὐτὸς ὅμως ὄχι. Τί λέγω, δὲν σταματᾶ; Ὑπομένει καὶ δουλοπρεπὴ πράγματα, κολακεύοντας ἐκείνους ποὺ δὲν πρέπει, δείχνοντας ἐπίσης θρασύτητα ἐκεῖ ποὺ δὲν πρέπει, παρουσιάζοντας παντοῦ ἀνωμαλία. Κάθεται πολλὲς φορὲς μὲ πονηροὺς ἀνθρώπους καὶ γόητες καὶ διεφθαρμένους, πολὺ πιὸ φτωχοὺς καὶ πιὸ εὐτελεῖς ἀπὸ αὐτὸν τὸν ἴδιο, ἐνῶ ἄλλους ἀγαθοὺς καὶ κατὰ πάντα ἐνάρετους τοὺς ὑβρίζει καὶ συμπεριφέρεται πρὸς αὐτοὺς μὲ θρασύτητα.

Εἶδες καὶ ἀπὸ τὰ δύο καὶ τὴν ἀσχημοσύνη καὶ τὴν ἀδιαντροπιά; Καὶ ταπεινὸς εἶναι πέρα ἀπὸ τὸ μέτρο, καὶ ἀλαζών. Διαμένουν βέβαια οἱ πόρνες σὲ οἴκημα καὶ αὐτὸ εἶναι τὸ ἄξιο κατηγορίας τους, τὸ ὅτι πωλοῦν τὸ σῶμα τους ἔναντι χρημάτων, ἀλλ' ἔχουν κάποια δικαιολογία τὴ φτώχεια καὶ τὴν πείνα ποὺ τὶς καταναγκάζει, ἂν καὶ βέβαια οὔτε αὐτὸ μπορεῖ νὰ θεωρηθεῖ ὡς δικαιολογία· γιατὶ μποροῦν νὰ ἐργάζονται καὶ νὰ τρέφονται. Ἐδῶ ὅμως συχνάζει ὁ πλεονέκτης ὄχι σὲ οἴκημα, ἀλλὰ στὸ μέσο τῆς πόλης, προσφέροντας ὄχι τὸ σῶμα, ἀλλὰ τὴν ψυχή του στὸ διάβολο, ὥστε καὶ νὰ εἰσέρχεται καὶ νὰ συνευρίσκεται μαζί του σὰν πρὸς πόρνη πραγματικά, καὶ ἀφοῦ ἐκπληρώσει ὅλη τὴν ἐπιθυμία

πληρώσας ἐξέρχεται· καὶ ὁρῶσι πᾶσα ἡ πόλις, οὐ δύο ἄνδρες καὶ τρεῖς. Καὶ τοῦτο δὲ τῶν πορνῶν ἴδιόν ἐστιν, ὅτι τοῦ τὸ χρυσίον διδόντος εἰσί· κἂν γὰρ δοῦλος ᾖ, κἂν ἐλεύθερος, κἂν μονομάχος, κἂν ὁστισοῦν, προτείνῃ δὲ τὸν μισθόν, καταδέχονται·
5 *τοὺς δὲ μηδὲν προτείνοντας, κἂν πάντων ὦσιν εὐγενέστεροι, χωρὶς τοῦ ἀργυρίου οὐ προσίενται. Τοῦτο καὶ ἐνταῦθα οὗτοι ποιοῦσι· τοὺς μὲν ὀρθοὺς λογισμούς, ὅταν ἀργύριον μὴ ἔχωσιν, ἀποστρέφονται, τοῖς δὲ μιαροῖς καὶ ὄντως θηριομάχοις συγγίνονται διὰ τὸ χρυσίον καὶ ἀσχημόνως συγγίνονται καὶ τὸ κάλλος*
10 *ἀπολλύουσι τῆς ψυχῆς. Καθάπερ γὰρ ἐκεῖναι φύσει μὲν εἰδεχθεῖς καὶ μέλαιναι καὶ ἀγροικίδες καὶ παχεῖαι καὶ ἄμορφοι καὶ κακόπλαστοι, καὶ πάντοθεν αἰσχραί, οὕτω καὶ αἱ τούτων γίνονται ψυχαί, οὐδὲ τοῖς ἔξωθεν ἐπιτρίμμασι τὴν ἀμορφίαν συγκαλύψαι δυνάμεναι. Ὅταν γὰρ ἐσχάτη ᾖ δυσείδεια, ὅσα ἂν ἐπινοήσωσιν,*
15 *οὐδὲ ὑποκρίνασθαι δύνανται. Ὅτι γὰρ ἀναισχυντία πόρνας ποιεῖ, ἄκουσον τοῦ προφήτου λέγοντος· «ἀπηναισχύντησας πρὸς πάντας, ὄψις πόρνης ἐγένετό σοι».*

Τοῦτο καὶ πρὸς τοὺς πλεονέκτας ἔστιν εἰπεῖν, ἀπηναισχύντησας πρὸς πάντας, οὐ πρὸς τούσδε καὶ τούσδε, ἀλλὰ καὶ πρὸς
20 *πάντας. Πῶς; Οὐ πατέρα, οὐχ υἱόν, οὐ γυναῖκα, οὐ φίλον, οὐκ ἀδελφόν, οὐκ εὐεργέτην, οὐδένα ἁπλῶς αἰδεῖται ὁ τοιοῦτος. Καὶ τί λέγω φίλον καὶ ἀδελφὸν καὶ πατέρα; αὐτὸν οὐκ αἰδεῖται τὸν Θεόν, ἀλλὰ πάντα μῦθος αὐτῷ εἶναι δοκεῖ, καὶ γελᾷ ὑπὸ τῆς πολλῆς ἐπιθυμίας μεθύων, καὶ οὐδὲ τῇ ἀκοῇ παραδεχόμενός τι τῶν*
25 *ὠφελεῖν αὐτὸν δυναμένων. Ἀλλ' ὢ τῆς ἀτοπίας, καὶ οἷα φθέγγονται· Οὐαί σοι, μαμωνᾶ, καὶ τῷ μὴ ἔχοντί σε! Ἐνταῦθα διαπρίομαι ὑπὸ τοῦ θυμοῦ· οὐαὶ γὰρ τοῖς ταῦτα λέγουσι, κἂν ἐν γέλωτι λέγωσιν. Εἰπέ μοι γάρ, οὐ τοιαύτην ἀπειλὴν ἠπείλησεν ὁ Θεὸς λέγων, «οὐ δύνασθε δυσὶ κυρίοις δουλεύειν»; σὺ δὲ ἐκλύεις*

---

3. Ἱερ. 3,3.
4. Ματθ. 6,24.

του ἐξέρχεται, καὶ βλέπει ὅλη ἡ πόλη, καὶ ὄχι μόνο δυὸ καὶ τρεῖς ἄνθρωποι. Καὶ αὐτὸ εἶναι χαρακτηριστικὸ γνώρισμα τῶν πορνῶν, τὸ νὰ δίνει σ' αὐτὲς κανεὶς χρήματα· εἴτε δηλαδὴ εἶναι κανεὶς δοῦλος εἴτε ἐλεύθερος εἴτε μονομάχος εἴτε ὁποιοσδήποτε καὶ προσφέρει ἀμοιβή, καταδέχονται, ἐνῶ ἐκεῖνοι ποὺ δὲν προσφέρουν τίποτε, κι ἂν ἀκόμη εἶναι εὐγενέστεροι ἀπ' ὅλους, χωρὶς τὰ χρήματα δὲν μποροῦν νὰ τὶς πλησιάσουν. Αὐτὸ κάμνουν καὶ αὐτοὶ ἐδῶ· τοὺς ὀρθοὺς λογισμούς, ὅταν δὲν ἔχουν χρήματα, τοὺς ἀποστρέφονται, ἐνῶ τοὺς μιαροὺς καὶ πραγματικὰ θηριομάχους τοὺς συναναστρέφονται ἐξαιτίας τῶν χρημάτων, ἀσχημονοῦν μαζί τους καὶ χάνουν τὴν ὀμορφιὰ τῆς ψυχῆς τους. Ὅπως ἀκριβῶς δηλαδὴ ἐκεῖνες εἶναι ὡς πρὸς τὴ φύση τους ἀπουκρουστικὲς καὶ γεμάτες πονηριὰ καὶ ἄγριες καὶ παχειὲς καὶ ἄσχημες καὶ κακόπλαστες καὶ σ' ὅλα αἰσχρές, τέτοιες γίνονται καὶ οἱ ψυχὲς αὐτῶν, μὴ μπορώντας μὲ τὰ ἐξωτερικὰ βαψίματα νὰ συγκαλύψουν τὴν ἀσχήμια τους. Γιατί, ὅταν ἡ ἀσχήμια εἶναι ἡ χειρότερη ἀπ' ὅλες, ὅσα καὶ ἂν ἐπινοήσουν δὲν μποροῦν νὰ ὑποκριθοῦν. Τὸ ὅτι βέβαια ἡ ἀδιαντροπιὰ κάμνει πόρνες, ἄκουσε τὸν προφήτη ποὺ λέγει· «συμπεριφέρθηκες πρὸς ὅλους μὲ ἀδιαντροπιά, ἀπέκτησες μορφὴ πόρνης»[3].

Αὐτὸ μποροῦμε νὰ ποῦμε καὶ πρὸς τοὺς πλεονέκτες· συμπεριφέρθηκες πρὸς ὅλους μὲ ἀδιαντροπιά· ὄχι πρὸς αὐτοὺς καὶ πρὸς ἐκείνους, ἀλλὰ πρὸς ὅλους. Πῶς; Ὁ ἄνθρωπος αὐτοῦ τοῦ εἴδους δὲ σέβεται οὔτε τὸν πατέρα του οὔτε τὸ παιδί του οὔτε τὴ γυναίκα του οὔτε φίλο οὔτε ἀδελφὸ οὔτε εὐεργέτη οὔτε κανένα ἄλλο γενικά. Καὶ γιατί λέγω φίλο καὶ ἀδελφὸ καὶ πατέρα; Δὲ σέβεται τὸν ἴδιο τὸ Θεό, ἀλλὰ τὰ θεωρεῖ ὅλα τὰ σχετικὰ μ' αὐτὸν μύθο, καὶ γελᾶ μεθυσμένος ἀπὸ τὴ μεγάλη ἐπιθυμία, καὶ οὔτε ν' ἀκούσει θέλει κάτι ἀπὸ ἐκεῖνα ποὺ μποροῦν νὰ τὸν ὠφελήσουν. Ἀλλὰ πὼ πὼ παραλογία, ποιά εἶναι καὶ τὰ λόγια ποὺ λένε· Ἀλλοίμονό σου, μαμωμᾶ, καὶ σ' ἐκεῖνον ποὺ δὲν ἔχει! Ἐδῶ κατακυριεύομαι ἀπὸ τὴ φλόγα τοῦ θυμοῦ· ἀλλοίμονο σ' ἐκείνους ποὺ λένε αὐτά, κι ἂν ἀκόμη τὰ λένε γελώντας. Γιατὶ πές μου, δὲν ἀπείλησε μ' αὐτὴ τὴν ἀπειλὴ ὁ Θεὸς λέγοντας, «δὲν μπορεῖτε νὰ δουλεύετε σὲ δύο κυρίους»[4]; καὶ σὺ καταργεῖς τὴν ἀπειλὴ τολ-

τὴν ἀπειλήν, τοιαῦτα τολμῶν φθέγγεσθαι ἐπὶ κακῷ τῷ σεαυτοῦ; Οὐκ εἰδωλολατρίαν αὐτὴν εἶναί φησιν ὁ Παῦλος, καὶ τὸν πλεονέκτην εἰδωλολάτρην καλεῖ; σὺ δὲ ἕστηκας γελῶν κατὰ τὰς βιωτικὰς γυναῖκας, γελωτοποιῶν κατὰ τὰς ἐν τῇ σκηνῇ;

5 *4. Τοῦτο πάντα ἀνέτρεψε, τοῦτο κατέβαλε· γέλως γέγονε τὰ ἡμέτερα καὶ πολιτισμὸς καὶ ἀστειότης· οὐδὲν εὐσταθές, οὐδὲν στιβαρόν. Οὐ πρὸς τοὺς βιωτικοὺς ἄνδρας μόνον λέγω ταῦτα, ἀλλ' οἶδα οὓς αἰνίττομαι· γέλωτος γὰρ ἐμπέπλησται ἡ Ἐκκλησία. Ἂν ὁ δεῖνα ἀστεῖον εἴπῃ, γέλως εὐθέως ἐν τοῖς καθημένοις*

10 *γίνεται· καὶ τὸ θαυμαστόν, ἐν αὐτῷ τῷ καιρῷ τῆς εὐχῆς οὐ παύονται πολλοὶ τοῦ γελᾶν. Πανταχοῦ χορεύει ὁ διάβολος, πάντας ἐνεδύσατο, πάντων κρατεῖ· ἠτίμασται ὁ Χριστός, παρέωσται, ἐν οὐδενός ἐστι μέρει ἡ ἐκκλησία. Οὐκ ἀκούετε Παύλου λέγοντος, «αἰσχρότης καὶ μωρολογία καὶ εὐτραπελία ἀρθήτω ἀφ' ὑμῶν»;*

15 *Μετὰ τῆς αἰσχρότητος τὴν εὐτραπελίαν τίθησι· σὺ δὲ γελᾷς; «Μωρολογία» τί ἐστι; Τὰ μηδὲν ἔχοντα χρήσιμον. Γελᾷς δὲ ὅλως, καὶ διαχεῖς τὸ πρόσωπον ὁ μονάζων; ὁ ἐσταυρωμένος, ὁ πενθῶν, γελᾷς, εἰπέ μοι; Ποῦ τοῦ Χριστοῦ τοῦτο ἤκουσας ποιοῦντος; Οὐδαμοῦ, ἀλλὰ κατηφοῦντος μὲν πολλάκις. Καὶ γὰρ*

20 *ὅτε τὴν Ἰερουσαλὴμ εἶδεν ἐδάκρυσε, καὶ ὅτε τὸν προδότην ἐνενόησεν ἐταράχθη, καὶ ὅτε τὸν Λάζαρον ἔμελλεν ἐγείρειν ἔκλαυσε· σὺ δὲ γελᾷς; Εἰ ἐπὶ τοῖς ἑτέρων ἁμαρτήμασιν ὁ μὴ ἀλγῶν κατηγορίας ἄξιος, ὁ ἐπὶ τοῖς αὐτοῦ ἀναλγήτως διακείμενος καὶ γελῶν ποίας ἔσται συγγνώμης ἄξιος; Πένθους ὁ παρὼν καιρὸς καὶ*

25 *θλίψεως, ὑπωπιασμοῦ καὶ δουλαγωγίας, ἀγώνων καὶ ἱδρώτων· σὺ δὲ γελᾷς; Οὐχ ὁρᾷς πῶς ἐπετιμήθη Σάρρα; οὐκ ἀκούεις τοῦ Χριστοῦ λέγοντος, «οὐαὶ οἱ γελῶντες, ὅτι κλαύσονται»; Ταῦτα ψάλλεις καθ' ἑκάστην ἡμέραν. Τί γὰρ λέγεις, εἰπέ μοι; ὅτι 'ἐγέλασα'; Οὐδαμῶς· ἀλλὰ τί; «Ἐκοπίασα ἐν τῷ στεναγμῷ μου».*

30 *Ἀλλὰ τάχα τινές εἰσιν οὕτω διακεχυμένοι καὶ χαῦνοι, ὡς καὶ ἐν*

---

5. Ἐφ. 5,4. 6. Λουκᾶ 6,25.

7. Ψαλμ. 6,6.

μώντας νὰ λὲς τέτοια λόγια πρὸς κακὸ τοῦ ἑαυτοῦ σου; Δὲν λέγει ὁ Παῦλος ὅτι αὐτὴ εἶναι εἰδωλολατρία καὶ ὀνομάζει εἰδωλολάτρη τὸν πλεονέκτη; Σὺ ὅμως στέκεσαι καὶ γελᾶς ὅπως οἱ κοσμικὲς γυναῖκες, προκαλώντας τὰ γέλια σὰν τὶς γυναῖκες τοῦ θεάτρου;

4. Αὐτὸ τὰ ἀνέτρεψε ὅλα, αὐτὸ τὰ κατέρριψε· κατάντησαν τὰ δικά μας γέλως καὶ πολιτισμὸς καὶ ἀστειότητα· τίποτε τὸ σταθερό, τίποτε τὸ στερεό. Δὲν τὰ λέγω αὐτὰ μόνο πρὸς τοὺς κοσμικοὺς ἄνδρες, ἀλλὰ γνωρίζω ποιούς ὑπαινίσσομαι· γέμισε ἡ Ἐκκλησία ἀπὸ γέλωτα. Ἂν ὁ τάδε πεῖ κάποιο ἀστεῖο, ἀμέσως προκαλοῦνται γέλια σ' ἐκείνους ποὺ κάθονται. Καὶ τὸ θαυμαστὸ εἶναι ὅτι πολλοὶ δὲν σταματοῦν νὰ γελοῦν καὶ κατὰ τὴν ἴδια τὴν ὥρα τῆς εὐχῆς. Παντοῦ χορεύει ὁ διάβολος, ὅλους τοὺς ντύθηκε, ὅλους τοὺς ἐξουσιάζει. Ἀτιμάσθηκε ὁ Χριστός, περιφρονήθηκε, δὲν ὑπάρχει πουθενὰ ἡ ἐκκλησία. Δὲν ἀκοῦτε τὸν Παῦλο ποὺ λέγει, «αἰσχρότητα καὶ μωρολογία καὶ γελοιότητες ἂς ἐξαφανισθοῦν ἀπὸ σᾶς»[5]; Μαζὶ μὲ τὴν αἰσχρότητα ἀναφέρει τὴ γελοιότητα καὶ σὺ γελᾶς; Μωρολογία τί εἶναι; Ἐκεῖνα ποὺ δὲν ἔχουν τίποτε τὸ χρήσιμο. Γελᾶς λοιπὸν διαρκῶς καὶ φαιδρύνεις τὸ πρόσωπό σου σὺ ὁ μοναχός; Γελᾶς, πές μου, σὺ ποὺ ἔχεις σταυρωθεῖ, σὺ ποὺ πενθεῖς; Ποῦ ἄκουσες τὸ Χριστὸ νὰ τὸ κάνει αὐτό; Πουθενά, ἀλλὰ πολλὲς φορὲς ἦταν σκυθρωπός. Πραγματικὰ ὅταν εἶδε τὴν Ἱερουσαλὴμ δάκρυσε, ὅταν σκέφθηκε τὸν προδότη ταράχθηκε, καὶ ὅταν ἐπρόκειτο ν' ἀναστήσει τὸν Λάζαρο ἔκλαψε· καὶ σὺ γελᾶς; Ἐὰν ἐκεῖνος ποὺ δὲν πονᾶ γιὰ τὰ ἁμαρτήματα τῶν ἄλλων εἶναι ἄξιος κατηγορίας, ἐκεῖνος ποὺ συμπεριφέρεται μὲ ἀναλγησία γιὰ τὰ δικά του καὶ γελᾶ ποιά συγγνώμη εἶναι ἄξιος νὰ ἐπιτύχει; Ὁ παρὼν καιρὸς εἶναι καιρὸς πένθους καὶ θλίψεως, βασάνων καὶ δουλαγωγίας, ἀγώνων καὶ ἱδρώτων· καὶ σὺ γελᾶς; Δὲν βλέπεις πῶς ἐπιτιμήθηκε ἡ Σάρρα; Δὲν ἀκοῦς τὸ Χριστὸ ποὺ λέγει, «ἀλλοίμονο σ' ἐκείνους ποὺ γελοῦν, γιατὶ θὰ κλάψουν»[6]; Αὐτὰ ψάλλεις καθημερινά. Πές μου δηλαδή, τί λές; 'Γέλασα'; Καθόλου· ἀλλὰ τί; «Ἀπέκαμα ἀπὸ τοὺς στεναγμούς μου»[7]. Ἀλλ' ἴσως μερικοὶ εἶναι τόσο παραλυμένοι καὶ ἀποχαυνωμένοι, ὥστε νὰ γελοῦν καὶ γιὰ τὴν ἐπιτίμηση αὐτή, σὰν νὰ τὰ

τῇ ἐπιτιμήσει ταύτῃ γελᾶν, ὅτι δὴ περὶ γέλωτος ταῦτα διαλεγόμεθα. Καὶ γὰρ τοιοῦτόν ἐστιν ἡ παραφορά, τοιαύτη ἡ παραπληξία, οὐδὲ αἰσθάνεται τῆς ἐπιτιμήσεως.

Ἕστηκεν ὁ ἱερεὺς τοῦ Θεοῦ τὴν πάντων εὐχὴν ἀναφέρων, 5 *σὺ δὲ γελᾷς, οὐδὲν δεδοικώς; Καὶ ἐκεῖνος μὲν τρέμων ὑπὲρ σοῦ τὰς εὐχὰς ἀναφέρει, σὺ δὲ καταφρονεῖς; Οὐκ ἀκούεις τῆς Γραφῆς λεγούσης, «οὐαὶ οἱ καταφρονηταί»; οὐ φρίττεις; οὐ συστέλλεις σαυτόν; Καὶ εἰς μὲν βασίλεια εἰσιών, καὶ σχήματι καὶ βλέμματι καὶ βαδίσματι καὶ πᾶσι τοῖς ἄλλοις κοσμεῖς σαυτόν· ἐνταῦθα δέ,* 10 *ἔνθα τὰ ὄντως ἐστὶ βασίλεια, καὶ τοιαῦτα οἷα τὰ οὐράνια, καὶ γελᾷς; Σὺ μὲν οὖν οἶδα ὅτι οὐχ ὁρᾷς· ἄκουε δε ὅτι ἄγγελοι πάρεισι πανταχοῦ, καὶ μάλιστα ἐν τῷ οἴκῳ τοῦ Θεοῦ παρεστήκασι τῷ βασιλεῖ, καὶ πάντα ἐμπέπλησται τῶν ἀσωμάτων ἐκείνων δυνάμεων. Οὗτος ἐμοὶ καὶ πρὸς γυναῖκας ὁ λόγος, αἳ ἐπὶ μὲν τῶν ἀν-* 15 *δρῶν οὐ τολμῶσι τοῦτο ποιεῖν ταχέως, κἂν ποιῶσι δέ, οὐκ ἀεί, ἀλλὰ παρὰ τὸν καιρὸν τῆς ἀνέσεως· ἐνταῦθα δὲ ἀεί. Κατακαλύπτεις, εἰπέ μοι, τὴν κεφαλὴν καὶ γελᾷς, ὦ γύναι, ἐν ἐκκλησίᾳ καθημένη; εἰσῆλθες ἐξομολογήσασθαι τὰ ἁμαρτήματα, προσπεσεῖν τῷ Θεῷ, δεηθῆναι καὶ ἱκετεῦσαι ὑπὲρ τῶν κακῶς σοι πεπλημ-* 20 *μελημένων, καὶ μετὰ γέλωτος τοῦτο ποιεῖς; Πῶς οὖν αὐτὸν ἐξιλεώσασθαι δυνήσῃ;*

Καὶ τί κακὸν ὁ γέλως, φησίν; Οὐ κακὸν ὁ γέλως, ἀλλὰ κακὸν τὸ παρὰ μέτρον, τὸ ἄκαιρον. Ὁ γέλως ἔγκειται ἐν ἡμῖν, ἵν', ὅταν φίλους ἴδωμεν διὰ μακροῦ χρόνου, τοῦτο ποιῶμεν, ὅταν τι- 25 *νὰς καταπεπληγμένους καὶ δεδοικότας, ἀνῶμεν αὐτοὺς τῷ μειδιάματι, οὐχ ἵνα ἀνακαγχάζωμεν καὶ ἀεὶ γελῶμεν· ὁ γέλως ἔγκειται τῇ ψυχῇ τῇ ἡμετέρᾳ, ἵνα ἀνῆταί ποτε ἡ ψυχή, οὐχ ἵνα διαχέηται. Ἐπεὶ καὶ ἐπιθυμία ἡμῖν ἔγκειται σωμάτων. Καὶ οὐ πάντως ἀνάγκη διὰ τὸ ἐγκεῖσθαι καὶ αὐτῇ χρῆσθαι, ἢ κεχρῆσθαι* 30 *ἀμέτρως· ἀλλὰ καὶ κρατοῦμεν αὐτῆς καὶ οὐ λέγομεν, 'ἐπειδὴ ἐγ-*

λέμε δηλαδὴ αὐτὰ γιὰ νὰ προκαλέσουμε γέλωτα. Πραγματικὰ τέτοια εἶναι ἡ παραφροσύνη, τέτοια ἡ τρέλλα, οὔτε τὴν ἐπιτίμηση αἰσθάνεται.

Στέκεται ὁ ἱερέας τοῦ Θεοῦ λέγοντας τὴν εὐχὴ γιὰ ὅλους, καὶ σὺ γελᾶς, χωρὶς νὰ φοβᾶσαι τίποτε; Καὶ ἐκεῖνος βέβαια λέγει τρέμοντας τὶς εὐχὲς γιὰ σένα, καὶ σὺ τὸν περιφρονεῖς; Δὲν ἀκοῦς τὴ Γραφὴ ποὺ λέγει, «ἀλλοίμονο στοὺς καταφρονητές»; Δὲν φρίττεις; δὲν δείχνεις συστολή; Καὶ βέβαια εἰσερχόμενος σὲ ἀνάκτορα προσέχεις νὰ εἶναι κόσμιο καὶ τὸ παράστημά σου καὶ τὸ βλέμμα σου καὶ τὸ βάδισμά σου καὶ ὅλα τὰ ἄλλα, ἐνῶ ἐδῶ, ὅπου εἶναι τὰ πραγματικὰ ἀνάκτορα, καὶ τέτοια ὅπως ἀκριβῶς εἶναι τὰ οὐράνια, γελᾶς; Σὺ βέβαια γνωρίζω ὅτι δὲν βλέπεις, ἄκουε ὅμως ὅτι παντοῦ παραβρίσκονται ἄγγελοι καὶ μάλιστα στὸν οἶκο τοῦ Θεοῦ στέκονται δίπλα στὸ βασιλιά, καὶ ὅλα εἶναι γεμάτα ἀπὸ τὶς ἀσώματες ἐκεῖνες δυνάμεις. Ὁ λόγος μου αὐτὸς ἀπευθύνεται καὶ πρὸς τὶς γυναῖκες, οἱ ὁποῖες μπροστὰ στοὺς ἄνδρες βέβαια δὲν τολμοῦν εὔκολα νὰ τὸ κάνουν αὐτό, καὶ ἂν τὸ κάνουν, δὲν τὸ κάνουν πάντοτε, ἀλλὰ κατὰ τὸν χρόνο τῆς ἀνάπαυσης, ἐνῶ ἐδῶ πάντοτε. Πές μου, γυναίκα, καλύπτεις τὸ κεφάλι σου καὶ γελᾶς βρισκόμενη μέσα στὴν ἐκκλησία; Εἰσῆλθες νὰ ἐξομολογηθεῖς τὰ ἁμαρτήματά σου, νὰ προσπέσεις στὸ Θεό, νὰ τὸν παρακαλέσεις καὶ νὰ τὸν ἱκετεύσεις γιὰ τὰ κακὰ ποὺ διέπραξες καὶ τὰ πλημμελήματα, καὶ τὸ κάνεις αὐτὸ γελώντας; Πῶς λοιπὸν θὰ μπορέσεις νὰ καταστήσεις αὐτὸν εὐμενή;

Καὶ τί κακό, λέγει, εἶναι τὸ γέλιο; Δὲν εἶναι κακὸ τὸ γέλιο, ἀλλὰ κακὸ εἶναι ὅταν γίνεται πέρα ἀπὸ τὸ μέτρο καὶ ἄκαιρα. Τὸ γέλιο ὑπάρχει σὲ μᾶς ὥστε, ὅταν δοῦμε φίλους ποὺ ἔχουμε πολὺ χρόνο νὰ τοὺς δοῦμε, νὰ τὸ κάνουμε αὐτό, ὅταν δοῦμε κάποιους συνεσταλμένους καὶ φοβισμένους, νὰ τοὺς ἐνθαρρύνουμε μὲ τὸ χαμόγελο, καὶ ὄχι νὰ καγχάζουμε καὶ νὰ γελᾶμε πάντοτε. Τὸ γέλιο ὑπάρχει μέσα στὴν ψυχή μας, γιὰ νὰ ἀνακουφίζεται κάποτε ἡ ψυχή, ὄχι γιὰ νὰ ὁδηγεῖται στὴ διάχυση. Ἄλλωστα καὶ ἡ ἐπιθυμία ὑπάρχει μέσα στὰ σώματά μας καὶ δὲν πρέπει ὁπωσδήποτε ἐπειδὴ ὑπάρχει νὰ τὴ χρησιμοποιοῦμε ἢ νὰ τὴ χρησιμοποιοῦμε πέρα ἀπὸ τὸ μέτρο· ἀλλὰ καὶ συγκρατοῦμε αὐτὴν καὶ δὲ λέμε,

κειται, χρησώμεθα'. Μετὰ δακρύων δούλευε τῷ Θεῷ, ἵνα δυνηθῇς ἀπονίψασθαι τὰ ἡμαρτημένα. Οἶδα ὅτι πολλοὶ διαμωκῶνται ἡμᾶς λέγοντες, 'εὐθέως δάκρυα'. Διὰ τοῦτο δακρύων καιρός. Οἶδα δὲ καὶ οἰωνίζονται οἱ λέγοντες, «φάγωμεν καὶ πίωμεν· αὔ-
5 *ριον γὰρ ἀποθνήσκομεν». Ἀλ' ἐννόησον ὅτι «ματαιότης ματαιοτήτων, τὰ πάντα ματαιότης»· οὐκ ἐγὼ λέγω, ἀλλ' αὐτὸς ὁ τὴν πεῖραν τῶν πραγμάτων πάντων λαβών, ταῦτά φησιν· «ᾠκοδόμησά μοι οἰκίας, ἐφύτευσά μοι ἀμπελῶνας, ἐποίησά μοι κολυμβήθρας ὑδάτων, οἰνοχόους καὶ οἰνοχοούσας»· καὶ τί δὴ μετὰ*
10 *ταῦτα πάντα φησί; «Ματαιότης ματαιοτήτων, τὰ πάντα ματαιότης.*

Πενθήσωμεν τοίνυν, ἀγαπητοί, πενθήσωμεν, ἵνα ὄντως γελάσωμεν, ἵνα ὄντως ἡσθῶμεν ἐν τῷ καιρῷ τῆς χαρᾶς τῆς εἰλικρινοῦς· αὕτη μὲν γὰρ ἡ χαρὰ πάντως λύπῃ ἀναμέμικται, καὶ οὐ-
15 *δέποτε καθαρὰν αὐτὴν ἔστιν εὑρεῖν· ἐκείνη δὲ εἰλικρινής ἐστι καὶ ἄδολος καὶ οὐδὲν ἔχουσα ὕπουλον οὐδὲ ἀναμεμιγμένον· ἐκείνην ἡσθῶμεν τὴν χαράν, ἐκείνην μεταδιώξωμεν. Ἄλλως δὲ οὐκ ἔστιν αὐτῆς ἐπιτυχεῖν ἢ διὰ τοῦ ἐνταῦθα μὴ τὰ ἡδέα, ἀλλὰ τὰ ὠφελοῦντα αἱρεῖσθαι, καὶ μικρὸν θλίβεσθαι ἑκόντας, καὶ μετὰ*
20 *εὐχαριστίας ἅπαντα φέρειν τὰ συμπίπτοντα. Οὕτω γὰρ δυνησόμεθα καὶ τῆς βασιλείας τῶν οὐρανῶν ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ, καὶ τὰ ἑξῆς.*

---

8. Α' Κορ. 15,32.
9. Ἐκκλ. 1,2.
10. Ἐκκλ. 2,4–8.

'ἐπειδὴ ὑπάρχει μέσα μας, ἂς τὴ χρησιμοποιήσουμε'. Μὲ δάκρυα δούλευε τὸ Θεό, γιὰ νὰ μπορέσεις νὰ καθαρίσεις τὰ ἁμαρτήματά σου. Γνωρίζω ὅτι πολλοὶ μὲ κατηγοροῦν λέγοντας, 'ἀμέσως δάκρυα'. Γι' αὐτὸ εἶναι καιρὸς δακρύων. Γνωρίζω ὅτι καὶ αἰσιοδοξοῦν ὅλοι ἐκεῖνοι ποὺ λένε, «ἂς φᾶμε καὶ ἂς πιοῦμε, γιατὶ αὔριο πεθαίνομε»[8]. Ἀλλὰ σκέψου ὅτι «ματαιότης ματαιοτήτων, τὰ πάντα ματαιότης»[9]. Δὲν τὸ λέγω ἐγώ, ἀλλ' ἐκεῖνος ποὺ γνώρισε ὅλα τὰ πράγματα ἔμπρακτα, λέγει τὰ ἑξῆς· «οἰκοδόμησα γιὰ τὸν ἑαυτό μου σπίτια, φύτευσα ἀμπέλια, κατασκεύασα δεξαμενὲς ὑδάτων καὶ εἶχα οἰνοχόους καὶ οἰνοχόες»[10]. Καὶ τί λέγει μετὰ ἀπὸ ὅλα αὐτα; «Ματαιότης ματαιοτήτων, τὰ πάντα ματαιότης».

Ἂς πενθήσουμε λοιπόν, ἀγαπητοί, ἂς πενθήσουμε, γιὰ νὰ γελάσουμε πραγματικά, γιὰ νὰ νιώσουμε πραγματικὰ εὐφροσύνη κατὰ τὸν καιρὸ τῆς εἰλικρινοῦς χαρᾶς. Γιατὶ αὐτὴ ἡ χαρὰ ὁπωσδήποτε εἶναι ἀναμιγμένη μὲ λύπη καὶ δὲν εἶναι δυνατὸ νὰ τὴ βροῦμε αὐτὴν ποτὲ καθαρή, ἐνῶ ἐκείνη εἶναι εἰλικρινὴς καὶ ἄδολη καὶ δὲν ἔχει τίποτε τὸ ὕπουλο οὔτε κάτι ἄλλο ἀναμιγμένο. Μὲ ἐκείνη τὴ χαρὰ ἂς νιώθουμε εὐχαρίστηση, ἐκείνην ἂς ἐπιδιώξουμε. Δὲν εἶναι δυνατὸ νὰ ἐπιτύχουμε αὐτὴν ἀλλιῶς, παρὰ μὲ τὸ μὴ προτιμᾶμε ἐδῶ τὰ εὐχάριστα, ἀλλὰ ἐκεῖνα ποὺ ὠφελοῦν, καὶ νὰ θλιβόμαστε λίγο μὲ τὴ θέλησή μας καὶ νὰ ὑποφέρουμε μὲ εὐχαριστία ὅλα ἐκεῖνα ποὺ μᾶς συμβαίνουν. Γιατὶ ἔτσι θὰ μπορέσουμε νὰ ἐπιτύχουμε καὶ τὴ βασιλεία τῶν οὐρανῶν, μὲ τὴ χάρη καὶ φιλανθρωπία καὶ τὰ ἑξῆς.

ΕΥΡΕΤΗΡΙΑ

Οἱ ἀριθμοὶ παραπέμπουν κατὰ σειρὰ γιὰ τὰ χωρία τῆς Γραφῆς στὸ κεφάλαιο, τὸ στίχο καὶ τὴ σελίδα ποὺ βρίσκονται, ἐνῶ γιὰ τὰ ὀνόματα καὶ πράγματα ἁπλῶς στὴ σελίδα ποὺ βρίσκονται.

2. Εὑρετήριο ὀνομάτων καὶ πραγμάτων

3. Εὑρετήριο χωρίων τῆς Γραφῆς τῆς ιε΄ Ὁμιλίας

4. Εὑρετήριο ὀνομάτων καὶ πραγμάτων ιε΄ ὁμιλίας

ΠΕΡΙΕΧΟΜΕΝΑ

ΕΚΔΟΘΕΝΤΑ ΕΡΓΑ ΠΑΤΕΡΩΝ ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ

Α'. ΑΠΑΝΤΑ Μ. ΒΑΣΙΛΕΙΟΥ

Τόμος 1ος Ἐπιστολές.
» 2ος Ἐπιστολές.
» 3ος Ἐπιστολές.
» 4ος Ὁμιλίες στὴν Ἑξαήμερο.
» 5ος Ὁμιλίες σὲ Ψαλμούς.
» 6ος Ὁμιλίες ἠθικὲς καὶ πρακτικές.
» 7ος Ὁμιλίες δογματικές, περιστατικές, ἐγκωμιαστικές, παιδ/κές.
» 8ος Ἀσκητικὰ Α' (Ὅροι κατὰ πλάτος).
» 9ος Ἀσκητικὰ Β' (Ὅροι κατ' ἐπιτομήν).
» 10ος Δογματικὰ ἔργα.

Β'. ΑΠΑΝΤΑ Μ. ΑΘΑΝΑΣΙΟΥ

Τόμος 1ος Ἀπολογητικὰ (Κατὰ εἰδώλων, Περὶ ἐνανθρωπήσεως).
» 2ος Δογματικὰ Α' (Λόγοι κατὰ Ἀρειανῶν Α'–Β').
» 3ος Δογματικὰ Β' (Λόγοι κατὰ Ἀρειανῶν Γ'–Δ').
» 4ος Δογματικὰ Γ'.
» 5ος Ἑρμηνευτικὰ Α'.
» 6ος Ἑρμηνευτικὰ Β' (Ἐξήγησις στοὺς Ψαλμούς).
» 7ος Ἑρμηνευτικὰ Γ' (Ἐξήγησις στοὺς Ψαλμούς).
» 8ος Ἱστορικοδογματικα Α'.
» 9ος Ἱστορικοδογματικὰ Β'.
» 10ος Ἱστορικοδογματικὰ Γ'
» 11ος Ἀσκητικὰ (Βίος Μ. Ἀντωνίου ...).
» 12ος Διάφορα ἀμφιβαλλόμενα ἔργα.

Γ' ΑΠΑΝΤΑ ΓΡΗΓΟΡΙΟΥ ΤΟΥ ΘΕΟΛΟΓΟΥ

Τόμος 1ος Προσωπικὲς Σχέσεις καὶ Ἐκκλησιαστικὴ Διακονία Α'.
» 2ος Προσωπικὲς Σχέσεις καὶ Ἐκκλησιαστικὴ Διακονία Β'.
» 3ος Ἀπολογητικὰ ἔργα.
» 4ος Δογματικὰ ἔργα.
» 5ος Ὁμιλίες.
» 6ος Ἐγκωμιαστικοὶ καὶ Ἐπιτάφιοι Λόγοι.
» 7ος Ἐπιστολές.
» 8ος Ὁ Χριστὸς πάσχων καὶ Ἔπη δογματικά.
» 9ος Ἔπη Ἠθικά.
» 10ος Ἔπη Ἱστορικά.
» 11ος Ἔπη εἰς Ἑτέρους. – Ἐπιγράμματα.

Δ' ΑΠΑΝΤΑ ΕΥΣΕΒΙΟΥ ΚΑΙΣΑΡΕΙΑΣ

Τόμος 1ος Ἐκκλησιαστικὴ Ἱστορία (Βιβλία Α' - Γ').
» 2ος Ἐκκλησιαστικὴ Ἱστορία (Βιβλία Δ' - ΣΤ').
» 3ος Ἐκκλησιαστικὴ Ἱστορία (Βιβλία Ζ' - Ι').
» 4ος Τριακονταετηρικὸς στὸ Μ. Κων/ντῖνο.– Στὸ Βίο Μ. Κων/ντίνου.– Λόγος Μ. Κων/ντίνου στὸ Σύλλογο τῶν ἁγίων.

Ε' ΑΠΑΝΤΑ ΙΩΑΝΝΟΥ ΔΑΜΑΣΚΗΝΟΥ

Τόμος 1ος Δογματικὰ Α' (Ἔκδοσις ἀκριβὴς τῆς ὀρθοδόξου πίστεως).

ΣΤ' ΑΠΑΝΤΑ ΙΩΑΝΝΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ

Τόμος 1ος Διάλογος Παλλαδίου.– Περὶ ἀσαφείας τῶν προφητειῶν.– Σύνοψις Παλαιᾶς Διαθήκης.
» 2ος Ὁμιλίες στὴ Γένεσι (Α' - ΚΓ').
» 3ος Ὁμιλίες στὴ Γένεσι (ΚΔ' - ΜΑ').
» 4ος Ὁμιλίες στὴ Γένεσι (ΜΒ' - ΞΔ').
» 5ος Ὁμιλίες στὴ Γένεσι (Γ' - ΙΒ').– Στοὺς Ψαλμοὺς (ΜΑ' - ΜΓ').
» 6ος Ὁμιλίες στοὺς Ψαλμοὺς (ΜΔ' - ΡΚΓ').
» 7ος Ὁμιλίες στοὺς Ψαλμοὺς (ΡΚΔ' - ΡΝ') καὶ Ὁμιλίες στὸν Δαυὶδ καὶ τὸν Σαούλ.
» 8ος Ὁμιλίες στὴ Γένεσι (Α' - Θ').– Ὑπόμνημα στὸν Ἠσαΐα.– Ὑπόμνημα στὸν Δανιὴλ (Κεφ. Ι'-ΙΓ').
» 9ος Ὑπόμνημα στὸ Κατὰ Ματθαῖον Εὐαγγέλιο (Ὁμ. Α'-Κ').
» 10ος Ὑπόμνημα στὸ Κατὰ Ματθαῖον Εὐαγγέλιο (Ὁμ. ΚΑ'-ΜΗ').
» 11ος Ὑπόμνημα στὸ κατὰ Ματθαῖον Εὐαγγ. (Ὁμιλ. ΜΘ'-ΟΕ').
» 12ος α) Ὑπόμνημα στὸ κατὰ Ματθαῖον Εὐαγγ. (Ὁμιλ. ΟΣΤ'-ϞΑ').
β) Ὑπόμνημα στὸ κατὰ Ἰωάννην Εὐαγγ. (Ὁμιλ. Α'-Δ').
» 13ος Ὑπόμνημα στὸ κατὰ Ἰωάννην Εὐαγγέλιο (Ὁμιλ. Ε'-ΛΑ').
» 13α' Ὑπόμνημα στὸ κατὰ Ἰωάννην Εὐαγγέλιο (Ὁμιλ. ΛΒ'-ΝΔ').
» 14ος Ὑπόμνημα στὸ κατὰ Ἰωάννην Εὐαγγέλιο (Ὁμιλ. ΝΕ'-ΠΗ').
» 15ος Ὑπόμνημα στὶς Πράξεις (Ὁμιλ. Α'-ΚΓ').
» 16α' Ὑπόμνημα στὶς Πράξεις (Ὁμιλ. ΚΔ'-ΜΔ').
» 16β' Ὑπόμνημα στὶς Πράξεις (Ὁμιλ. ΜΕ'-Ν'), στὴν Πρὸς Ρωμαίους (Ὁμιλ. Α'-Ι').
» 17ος Ὑπόμνημα στὴν Πρὸς Ρωμαίους (Ὁμιλ. ΙΑ'-ΛΓ').
» 18ος Ὑπόμνημα στὴν Α' Πρὸς Κορινθίους (Ὁμιλ. Α'-ΚΑ').
» 18α' Ὑπόμνημα στὴν Α' Πρὸς Κορινθίους (Ὁμιλ. ΚΒ'-ΜΔ'), καὶ Β' Πρὸς Κορινθίους (Ὁμιλ. Α'-ΙΑ')
» 19ος Ὑπόμνημα στὴ Β' Πρὸς Κορινθίους (Ὁμιλ. Α'-ΚΔ').
» 20ος Ὑπόμνημα στὴ Β' Πρὸς Κορινθίους (Ὁμιλ. ΚΕ'-Λ') καί στὴν Πρὸς Ἐφεσίους (Ὁμιλ. Α'-ΙΑ').

» 21ος Ὑπόμνημα στὴν Πρὸς Ἐφεσίους (Ὁμιλ. ΙΒ΄-ΚΔ΄) καὶ στὴν Πρὸς Φιλιππησίους (Ὁμιλ. Α΄-ΙΒ΄).
» 22ος Ὑπόμνημα στὴν Πρὸς Φιλιππησίους (Ὁμιλ. ΙΓ΄-ΙΕ΄), στὴν Πρὸς Κολοσσαεῖς καὶ στὴν Πρὸς Θεσσαλονικεῖς Α΄.
» 23ος Ὑπόμνημα στὴ Β΄ Πρὸς Θεσσαλονικεῖς (Ὁμιλ. Α΄-Ε΄), στὴν Α΄ Πρὸς Τιμόθεον (Ὁμιλ. Α΄-ΙΗ΄) καὶ Β΄ Πρὸς Τιμόθεον (Ὁμιλ. Α΄-Ι΄).
» 24ος Ὑπόμνημα στὴν Πρὸς Τίτο (Ὁμιλ. Α΄-S΄), στὴν Πρὸς Φιλήμονα (Ὁμιλ. Α΄-Γ΄), στὴν Πρὸς Ἑβραίους (Ὁμιλ. Α΄-ΙΕ΄).
» 25ος Α. Ὑπόμνημα στὴν Πρὸς Ἑβραίους (Ὁμιλ. ΙS΄-ΛΔ΄),
Β. Εἰς τὸν πτωχὸν Λάζαρον, (Ὁμιλίες Α΄ - Ζ΄).
» 26ος Ὁμιλίες Ἠθικὲς - Ἁγιογραφικές.
» 27ος Ὁμιλίες Ἁγιογραφικὲς - Ἑρμηνευτικές.
» 28ος Ποιμαντικὰ καὶ Ἀσκητικά Α΄.
» 29ος Ἀσκητικὰ Β΄.
» 30ος Ὁμιλίες Κατηχητικὲς - Ἠθικές.
» 31ος Ὁμιλ. κατηχητικὲς καὶ ἠθικὲς Β΄ - Ὁμιλ. Περιστατικὲς Α΄.
» 32ος Ὁμιλίες Περιστατικὲς Β΄.
» 33ος Ὁμιλίες Περιστατικὲς Γ΄.
» 34ος Ὁμιλίες Περιστατικὲς Δ΄. α) Πρὸς Ἰουδαίους καὶ Ἕλληνας. β. Πρὸς Ἰουδαίους. γ) Περὶ εἱμαρμένης καὶ προνοίας. δ) Εἰς τὸν μακάριον Βαβύλαν.
» 35ος Ὁμιλίες δογματικές.
» 36ος Ὁμιλίες ἑορταστικὲς - ἐγκωμιαστικές.

» 37ος Ὁμιλίες Ἐγκωμιαστικές.- Ἐπιστολὲς πρὸς Ὀλυμπιάδα (Α΄-ΙΖ΄).- Βίος τῆς ὁσίας Ὀλυμπιάδος.
» 38ος Ἐπιστολές. Ὑπὸ ἔκδοση.

Ζ΄ ΑΠΑΝΤΑ ΓΡΗΓΟΡΙΟΥ ΝΥΣΣΗΣ

Τόμος 1ος Δογματικὰ Α΄ (Πῶς τρία πρόσωπα λέγοντες - Κατὰ εἱμαρμένης - Διάλογος περὶ ψυχῆς καὶ ἀναστάσεως, καὶ Λόγος Κατηχητικὸς Μέγας).
» 2ος Δογματικὰ Β΄ (Κατὰ Εὐνομίου Ἀντιρρητικοὶ Λόγοι Α΄ - Β΄.)
» 3ος Δογματικὰ Γ΄ (Κατὰ Εὐνομίου Ἀντιρρητικὸς Λόγος Γ΄ – Λόγος ἀντιρρητικὸς πρὸς τὴν Εὐνομίου ἔκθεσιν.
» 5ος Ἑρμηνευτικὰ Α΄ (Περὶ κατασκευῆς τοῦ ἀνθρώπου – Ἀπολογητικὸς περὶ τῆς Ἑξαημέρου – Περὶ τῆς τοῦ ἀνθρώπου γενέσεως (Ὁμιλίες Α–Γ).
» 6ος Ἑρμηνευτικα Γ΄ (Εἰς τὴν ἐπιγραφὴν τῶν Ψαλμῶν – Εἰς τὸν 6ον Ψαλμὸν – Περὶ τῆς ὀγδόης – Εἰς τὸν Ἐκκλησιαστήν.

Η΄ ΑΠΑΝΤΑ ΓΡΗΓΟΡΙΟΥ ΤΟΥ ΠΑΛΑΜΑ

Βίος Γρηγορίου Παλαμᾶ ὑπὸ Φιλοθέου Κοκκίνου.

Τόμος 1ος Λόγοι ἀποδεικτικοὶ δύο Περὶ ἐκπορεύσεως τοῦ ἁγίου Πνεύματος - Ἐπιστολὲς πρὸς Ἀκίνδυνον Α΄, Β΄, Γ΄, Ἐπιστολὲς πρὸς Βαρλαὰμ Α΄, Β΄.
» 2ος Ὑπὲρ τῶν ἱερῶς ἡσυχαζόντων Λόγοι Α΄-Γ΄.
» 3ος Πραγματεῖες δογματικὲς καὶ ὁμολογιακές.
» 4ος Ἐπιστολές.
» 5ος Κατὰ Ἀκινδύνου Λόγοι Ἀντιρρητικοὶ (Α΄ – Γ΄).
» 6ος Κατὰ Ἀκινδύνου Λόγοι Ἀντιρρητικοὶ (Δ΄ – Ζ΄).
» 9ος Ὁμιλίες Α΄–Κ΄.
» 10ος Ὁμιλίες ΚΑ΄–ΜΒ΄.
» 11ος Ὁμιλίες ΜΒ΄–ΞΓ΄.

Θ΄ ΦΙΛΟΚΑΛΙΑ

Τόμος 1ος Ἀποφθέγματα Γερόντων.
» 2ος Τὸ Λειμωνάριον.
» 3ος Διονυσίου Ἀρεοπαγίτου, Περὶ θείων ὀνομάτων, Περὶ οὐρανίου ἱεραρχίας, Περὶ ἐκκλησιαστικῆς ἱεραρχίας, Περὶ μυστικῆς θεολογίας, Ἐπιστολές.
» 5ος Κυρίλλου Σκυθοπολίτου, Βίοι ἁγίων.
» 7ος Μακαρίου τοῦ Αἰγυπτίου, 50 Πνευματικὲς Ὁμιλίες.
» 9ος Διαδόχου Φωτικῆς, Κεφάλαια Γνωστικά, Λόγος στὴ Ἀνάληψη, Ὁράσεις, Ἐρωταποκρίσεις.- Ἰωάννου Καρπαθίου Κεφάλαια Παρακλητικὰ 100.
» 10Α Τῶν Ἁγίων Βαρσανουφίου καὶ Ἰωάννου Ἐρωταποκρίσεις (Α΄-ΣΚΘ΄).
» 10Β Τῶν Ἁγίων Βαρσανουφίου καὶ Ἰωάννου Ἐρωταποκρίσεις (ΣΛ΄-ΦΚΒ΄).
» 12ος Ἀββᾶ Ἠσαΐα, Λόγοι Ἀσκητικοὶ - ἀββᾶ Ζωσιμᾶ, Κεφάλαια ὠφέλιμα - ἀββᾶ Δωροθέου, Πραγματεῖες καὶ Ἐπιστολές.
» 14ος Μάξιμος ὁ Ὁμολογητής, Μυσταγωγία – Τὰ 400 Κεφάλαια Περὶ Ἀγάπης – Λόγος Ἀσκητικὸς – Τὰ 200 Κεφάλαια Περὶ Θεολογίας.
» 19Α Συμεὼν ὁ Ν. Θεολόγος, Βίος Συμεὼν ὑπὸ Νικήτα Στηθάτου, Κεφάλαια - Εὐχαριστίες - Διάλογος μετὰ Σχολαστικοῦ.
» 19Β Συμεὼν ὁ Νέος Θεολόγος, Βίβλος τῶν Θεολογικῶν Λόγων (Λόγοι Α΄–Γ΄) – Βίβλος τῶν Ἠθικῶν Λόγων (Λόγοι Α΄–ς΄)
» 19Γ Συμεὼν ὁ Νέος Θεολόγος, Α΄ Βίβλος τῶν Ἠθικῶν Λόγων (Λόγοι Ζ΄–ΙΕ΄) – Β΄ Κατηχητικοὶ Λόγοι (Λόγοι Α΄–Ζ΄).
» 22ος Νικολάου Καβάσιλα, Ἑρμηνεία στὴ Θεία Λειτουργία - Περὶ τῆς ἐν Χριστῷ Ζωῆς.

Ι' ΤΑ ΜΑΡΤΥΡΙΑ ΤΩΝ ΑΡΧΑΙΩΝ ΧΡΙΣΤΙΑΝΩΝ

ΙΑ' ΑΠΟΛΟΓΗΤΑΙ

Τόμος 1ος Ἰουστῖνος, Ἀπολογίες Α' καὶ Β' – Λόγος Περὶ Ἀναστάσεως – Διάλογος Πρὸς Τρύφωνα.

» 2ος Τατιανός, (Πρὸς Ἕλληνας) – Ἀθηναγόρας, (Πρεσβεία Χριστιανῶν καὶ Περὶ ἀναστάσεως νεκρῶν) – Θεόφιλος Ἀντιοχείας, (Πρὸς Αὐτόλυκον Βιβλία Α–Γ) – Ἐπιστολὴ πρὸς Διόγνητον.

ΛΟΙΠΕΣ ΕΚΔΟΣΕΙΣ ΤΟΥ ΒΥΖΑΝΤΙΟΥ

Τόμος 1ος Ψαλμοὶ τοῦ Προφητάνακτα Δαυὶδ (Α'-ΟΑ'), σὲ κείμενο, ἀντίστοιχη ποιητικὴ ἀπόδοση, ἐκτενὴ μετάφραση καὶ διδάγματα.

Χ. ΒΟΥΛΓΑΡΗ, Ὑπόμνημα στὴν Α' καὶ Β' Πέτρου τόμοι δύο.

Φωτοστοιχειοθεσία: «ΓΡΑΦΙΚΕΣ ΤΕΧΝΕΣ» ΕΛΕΥΘΕΡΙΟΥ ΜΕΡΕΤΑΚΗ
Ἀρμενοπούλου 30 – Τηλ. 200 621 – Θεσσαλονίκη

Ἐκτύπωση Ὄφσετ: «ΓΡΑΦΙΚΕΣ Τ6ΕΧΝΕΣ» ΦΩΤΗ ΠΑΛΑΙΟΧΩΡΙΝΟΥ
Κατσιμίδου 30 – Τηλ. 928 592 – Θεσσαλονίκη

Βιβλιοδεσία: Ἀφοὶ ΒΑΡΟΥΣΙΑΔΗ
Λαχανᾶ 17 – Τηλ. 839 414 – Θεσσαλονίκη